VII. Aspice nunc quid humani generis assiduus hostis diabolus in eorum animis pepererit, quod velut illius afflatu perciti pronuntiarent. Nam adversus illa purgare sese student Judaicæ opinionis satellites, **614** quandoquidem lux illa doctrinæ, quæ in divinis Evangeliis clarissime fulget, nonnullo pudore illos afficit, ne sinceræ Evangelii cognitioni penitus repugnare videantur. Quare ita disputant, hominem fuisse Jesum, cui de cœlo Verbum aspiraverit. Unde illa omnia de se ipso, quatenus est homo, profitetur. Etenim Pater unus est cum Filio Deus; homo vero ex inferiori ordine propriam personam præ se fert. Ita personæ omnino conficiuntur duæ. Verum homo Deus esse, o mortalium omnium stolidissime atque ab cœlesti sapientia alienissime, qui potest? Potest, id quod asseris, homo esse simplex, qui ita de se loquitur: *Qui vidit me, vidit et Patrem* [4]? Nam si homo ejusmodi est, qualis est Pater, nihil hic ab homine discrepabit. Atqui Deus Verbum, qui perfectissime naturam hominis induit, perfectus æque Deus a Patre ante omnia progenitus, non minus jure quam evidenter de se ipso testatur: *Qui vidit me, vidit et Patrem;* quemadmodum ex Judæorum de illo sermone constat: *Non enim solum*, ait Joannes, *quærebant interficere ipsum, quod hæc faceret, sed etiam quia Filium Dei sese diceret, æqualem Deo seipsum asserens* [5]. Nam cum illis verbis utitur: *Qui vidit me, vidit et Patrem*, æqualem sibi Deum Patrem constituit.

At homo similis Deo, aut sicut Deus esse non potest; sed is nimirum, qui a Deo Patre Deus unigenaque Filius revera processit. De quo ita testatur Apostolus: *Qui cum in forma Dei esset, non rapinam arbitratus est, esse æqualem Deo, sed semet ipsum exinanivit, formam servi accipiens* [6]. Ex quibus illa verba *in forma esset* ad Deum pertinent; quod autem ad servilem formam attinet, extrinsecus ascitam esse declarat, nec illius aliquando fuisse significat. Sed persæpe accidit ut Salvator noster ac Dominus Jesus Christus Deusque Verbum quædam humano more et ad hominum affectiones accommodate proferat. Quod tum minime fecit cum diceret: *A Patre meo exivi et venio* [7].

A ἀποστείλας με Πατήρ. Πόσα δὲ ἄλλα τοσαῦτα, καὶ ἐπέκεινα τούτων! Ἰδοὺ γάρ, φησίν· Ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε οὐρανοῦ καὶ γῆς· ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις. Ναὶ, ὁ Πατήρ· ὅτι οὕτως γέγονεν εὐδοκία ἔμπροσθέν σου. Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου, καὶ οὐδεὶς οἶδε τὸν Υἱὸν εἰ μὴ ὁ Πατὴρ, καὶ τὸν Πατέρα οὐδεὶς ἔγνω εἰ μὴ ὁ Υἱὸς, καὶ ᾧ ἐὰν ὁ Υἱὸς ἀποκαλύψῃ. Ἀπεκάλυψας γὰρ νηπίοις. Καὶ, Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου, ἵνα ἐκκόψῃ τὴν τούτων ἐπινενοημένην ξενολεξίαν.

B Ζ'. Ἀλλ' ὅρα τὸν ἀεὶ ἀντιπολεμοῦντα τῇ τῶν ἀνθρώπων φύσει διάβολον, τί ἐν αὐτοῖς ἐνεκίσσησεν, ὥσπερ ἀπὸ διαβολικῆς ἐνεργείας τοῦ λέγειν. Δῆθεν γὰρ ἀπολογοῦνται πρὸς ταῦτα οἱ τῆς τῶν Ἰουδαίων αἱρέσεως ὑπηρέται, ὑπὲρ τούτου αἰσχυνόμενοι διὰ τὴν τῶν θείων Εὐαγγελίων σαφῆ ὑφηγήσεως διδασκαλίαν, ἵνα μὴ ὀφθῶσι τελειότατα ἀντιπράττοντες τῇ τοῦ Εὐαγγελίου ἀληθινῇ γνώσει. Φάσκουσι γὰρ, ὅτι ἄνθρωπος ἦν ὁ Ἰησοῦς, καὶ ἐν αὐτῷ ἐνέπνευσεν ἄνωθεν ὁ Λόγος. Καὶ ταῦτα περὶ ἑαυτοῦ ὁ ἄνθρωπος λέγει. Ὁ Πατὴρ γὰρ ἅμα τῷ Υἱῷ εἷς Θεός· ὁ δὲ ἄνθρωπος κάτωθεν τὸ ἴδιον πρόσωπον ὑποφαίνει. Καὶ οὕτως τὰ δύο πρόσωπα πληροῦνται. Πῶς οὖν ἄνθρωπος Θεὸς δύναται εἶναι, ὦ πάντων ἀνθρώπων ἀβέλτερε, καὶ ἀπὸ τοῦ ἐπουρανίου φρονήματος τὸν νοῦν ἀπεστραμμένε; Πῶς δύναται ἄνθρωπος εἶναι ψιλὸς κατὰ σὲ, ὁ λέγων· Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα; Εἰ γὰρ ὁ ἄνθρωπος ὡς ὁ Πατὴρ, οὐδὲν διαλλάττει ὁ Πατὴρ τοῦ ἀνθρώπου. Εἰ δὲ ὁ Θεὸς Λόγος, ὁ ἐνανθρωπήσας ἐν τελειότητι, τελείως ὢν ἐστι Θεὸς, ἄνωθεν ἀπὸ Πατρὸς γεγεννημένος, δικαίως καὶ σαφῶς φθέγγεται περὶ ἑαυτοῦ λέγων, ὅτι Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα, ὡς καὶ οἱ Ἰουδαῖοί φασι περὶ αὐτοῦ· Οὐ μόνον γὰρ, φησὶν, ἐζήτουν ἀποκτεῖναι αὐτὸν, ὅτι ταῦτα ἐποίει, ἀλλ' ὅτι καὶ Υἱὸν Θεοῦ ἑαυτὸν ἔλεγεν, ἴσον Θεῷ ἑαυτὸν φάσκων. Τὸ γὰρ εἰπεῖν πάλιν, Ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε τὸν Πατέρα, τὸν Πατέρα Θεὸν ἴσον ἑαυτοῦ φάσκει.

C

D Οὐκ ἄνθρωπος δέ ἐστιν ἴσος Θεῷ, οὐδὲ ὡς Θεός· ἀλλὰ ἐν ἀληθείᾳ γεγεννημένος, ἐκ Θεοῦ Πατρὸς Θεὸς Υἱὸς μονογενής. Φησὶ γὰρ περὶ αὐτοῦ Παῦλος· Ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών. Τὸ μὲν περὶ Θεοῦ ἦν ἐν μορφῇ περὶ δὲ τῆς τοῦ δούλου μορφῆς προσληπτὴν ἀπέφηνε, καὶ οὐκ εἶπεν αὐτοῦ οὖσάν ποτε. Πολλάκις δὲ καὶ ἀνθρωπίνως διαλέγεται ὁ Σωτὴρ ἡμῶν, καὶ Κύριος Ἰησοῦς Χριστὸς, ὁ Θεὸς Λόγος, καὶ πολλάκις ἀνθρωποπαθῶς φθέγγεται. Ἀλλ' οὐχ ὅτε λέγει· Ἐκ τοῦ Πατρός μου ἐξῆλθον, καὶ ἥκω· τοῦτο γὰρ οὐ δύναται ἀπὸ ἀνθρωπότητος λέγεσθαι· ἀλλ' ὅτε δικαίως ἐπιμαρτυρεῖ λέγων· Ἐὰν ἐγὼ μαρτυρῶ περὶ

[1] Joan. VIII, 17, 18. [2] Matth. XI, 25. [3] Luc. X, 22. [4] Joan. XIV, 9. [5] Joan. V, 18. [6] Philipp. II, 6, 7. [7] Joan. XVI, 28.

Digitized by Google

ἐμαυτοῦ, ἡ μαρτυρία μου οὐκ ἔστιν ἀληθής· ἵνα δείξῃ τὴν ἑαυτοῦ ἐνανθρώπησιν· καὶ τὸ ἀνάπαλιν περὶ θεότητος λέγων· *Κἂν τε ἐγὼ μαρτυρῶ περὶ ἐμαυτοῦ, ἡ μαρτυρία μου ἀληθής ἐστιν*, ἵνα δείξῃ ἀληθινὴν θεότητα, καὶ ἀληθινὴν ἐνανθρώπησιν.

A Neque enim istud ex hominis natura profiscisci potuit. Sed id demum usurpavit, cum de se jure ita testatus est : *Si ego testimonium perhibeo de me ipso, testimonium meum non est verum* [1]; quo suam humanitatem ostenderet. At e contrario de sua divinitate sermonem instituens : *Etsi*, inquit, *ego testimonium perhibeo de meipso, testimonium meum verum est* [2], ut veram in se divinitatem atque humanitatem exprimeret.

Η'. Οὐ δύο τοίνυν Θεοί, ὅτι οὔτε δύο Πατέρες· οὐδὲ ἀνῄρηται ἡ ὑπόστασις τοῦ Λόγου, ὅτι οὐ μία συναλιφὴ θεότητος Υἱοῦ πρὸς Πατέρα. Οὐ γάρ ἐστιν ἑτεροούσιος ὁ Υἱὸς τοῦ Πατρὸς, ἀλλὰ ὁμοούσιος τῷ Πατρί. Οὐ δύναται δὲ εἶναι ἑτεροούσιος τῷ γεγεννηκότι, οὐδὲ ταυτοούσιος, ἀλλὰ ὁμοούσιος (8). Οὐδὲ πάλιν λέγομεν αὐτὸν μὴ εἶναι ταυτὸν τῇ οὐσίᾳ τῷ Πατρί. Ἔστι γὰρ ταυτὸν τῇ θεότητι, καὶ τῇ οὐσίᾳ ὁ Υἱὸς πρὸς τὸν Πατέρα, καὶ οὐκ ἀλλοῖος παρὰ τὸν Πατέρα, οὐδὲ ἀπὸ ἄλλης ὑποστάσεως, ἀλλὰ ὡς ἀληθῶς Υἱὸς Πατρὸς τῇ τε οὐσίᾳ, καὶ τῇ ὑποστάσει, καὶ τῇ ἀληθείᾳ. Ἀλλ' οὐχ ὁ Πατὴρ ἐστιν ὁ Υἱὸς, οὐδὲ ὁ Υἱὸς ἐστιν ὁ Πατὴρ, ἀλλὰ Υἱὸς ἀληθῶς ἐκ Πατρὸς γεγεννημένος. Διὸ οὔτε δύο Θεοὶ, οὔτε δύο Υἱοὶ, οὔτε δύο ἅγια Πνεύματα, ἀλλὰ μία θεότης ἡ Τριὰς, Πατὴρ, Υἱὸς, καὶ ἅγιον Πνεῦμα, ὁμοούσιος οὖσα. Ὅταν γὰρ εἴπῃς ὁμοούσιον, οὐ συναλιφὴν σημαίνει. Τὸ γὰρ *ὁμοούσιον* οὐχ ἑνός ἐστι σημαντικὸν, οὐδὲ τοῦ ὄντος Υἱοῦ πρὸς Πατέρα γνησίου τὴν οὐσίαν διίστησι, καὶ τὴν ὑπόστασιν ἀπαλλοτριοῖ, διὰ τὸ ὁμοούσιον. Οὐ γὰρ ἀρχὰς δύο κηρύττει ὁ θεῖος λόγος, ἀλλὰ μίαν ἀρχήν. *Συνελεύσεται* γὰρ, φησὶν, *ὁ οἶκος Ἰούδα, καὶ ὁ οἶκος Ἰσραὴλ, καὶ θήσονται ἑαυτοῖς ἀρχὴν μίαν.* Ὁ τοίνυν ἀρχὰς δύο κηρύττων, δύο Θεοὺς κηρύττει. Καὶ ὁ ἀναιρῶν τὸν Λόγον, καὶ τὴν αὐτοῦ ὑπόστασιν, Ἰουδαϊσμὸν ὑποφαίνει. Μαρκίων γὰρ δύο ἀρχὰς ὑποφαίνει, μᾶλλον δὲ τρεῖς ἑαυταῖς ἐναντίας. Οἱ δὲ νέοι Ἰουδαῖοι, Σαμοσατῖται οὗτοι, ἀναιροῦσι τὴν ὑπόστασιν τοῦ Λόγου, ἵνα κυριοκτόνοι καὶ αὐτοὶ ἀποφανθῶσι, καὶ ἐπαρνησίθεοι τῆς τοῦ Κυρίου ἡμῶν σωτηρίας

VIII. Quocirca neque duo Dii sunt, **615** neque Patresduo, neque Verbi persona tollitur, quoniam Filii divinitas nequaquam in unum cum Patre conflatur. Non enim Filius alterius est, quam Pater substantiæ, sed consubstantiaiis Patri. Neque potest aut alterius esse a genitore substantiæ, aut ejusdem substantiæ ac persona minime distinctæ, sed consubstantialem esse, uti diximus, oportet. B Jam vero non idcirco idem esse cum Patre, quod ad essentiam attinet, negandum putamus. Est enim divinitate idem et essentia cum Patre Filius, nec ab eo diversus, aut ex aliena quadam hypostasi, sed vere Patris et essentia, et hypostasi, et veritate Filius. Tametsi neque Pater sit Filius, neque Filius vicissim Pater; sed Filius a Patre revera genitus. Ex quo fit, ut non duo sint Dii, Filiique duo, non Spiritus sancti duo, sed una sit in Trinitate divinitas, Pater, Filius et Spiritus sanctus, planeque consubstantialis exsistat. Nam hæc ipsa vox *consubstantialis* non conjunctionem ac conflationem declarat; non enim ejusmodi vocabulum unum quiddam indicat, neque germani a Patre C Filii substantiam secernit, aut hypostasin alienam facit, ut sibi consubstantialis ratio constare possit. Siquidem unum tantummodo, non duo principia divinus sermo prædicat. *Convenient*, inquit, *domus Juda, et domus Israel, et constituent sibi ipsis principatum unum* [3]. Quare qui duo principia proponit, totidem Deos obtrudit. Quisquis autem Verbum ejusque personam tollit e medio, Judaicam impietatem ostendit. Marcion sane principia duo, vel tria potius, et quidem contraria invicem, affirmat. At novi Judæi, Samosateni, inquam, isti, Verbi personam detrahunt, ut et ipsi Domini interfectores, ac Dei, et allatæ nobis a Domino salutis infliciatores habeantur.

Μία γοῦν ἡ ἀρχὴ, καὶ ἐξ αὐτῆς ὁ Υἱὸς εἰκὼν ἀκριβὴς, φύσει ἐκτυποῦσα τὸν ἴδιον Πατέρα καὶ ὁμοία κατὰ πάντα τρόπον. Ὅτι Θεὸς ἐκ Θεοῦ, καὶ Υἱὸς ἐκ Πατρὸς, Θεὸς ἀληθινὸς ἐκ Θεοῦ ἀληθινοῦ, καὶ φῶς ἐκ φωτὸς, μία οὖσα θεότης, καὶ ἓν ἀξίωμα. Διό φησι· *Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν.* Οὔτε Κατ' εἰκόνα σὴν, ἵνα μὴ διέλῃ· οὔτε Κατ' εἰκόνα ἐμὴν, ἵνα μὴ ἀνόμοιον καὶ ἄνισον ἀποφάνῃ· *κατ' εἰκόνα* δὲ *ἡμετέραν*· καὶ τὸ, *ποιήσωμεν*, ἵνα μὴ ἀλλότριος ᾖ ὁ Πατὴρ τῶν γενομένων ὑπ' αὐτοῦ, μηδὲ ὁ Μονογενὴς ἀλλότριος τῆς δημιουργίας. Ἀλλὰ ὁ Πατὴρ σὺν τῷ Υἱῷ δημιουργεῖ, καὶ ὁ Υἱὸς, δι' οὗ τὰ πάντα γέγονε, συνδημιουργὸς τῷ Πα-

Maneat igitur unum esse principium, a quo Filius manarit, velut imago quædam accurata, quæ D Patrem suum referat proprie, eique in omnibus similis exsistat; quoniam Deus est ex Deo, et a Patre Filius, Deus verus de Deo vero, lumen de lumine, una scilicet divinitas, unaque dignitas. Ob id ita loquitur : *Faciamus hominem ad imaginem nostram et similitudinem* [4]. Non Ad imaginem tuam dixit, ne divisionem induceret; neque Ad imaginem meam, ne dissimilem et inæqualem ostenderet; sed *ad imaginem nostram*. Illud vero, *faciamus*, eo pertinet, ne aut ab iis quæ produxit, abalienetur Pater, aut a procreandi functione Filius extraneus

[1] Joan. v, 31. [2] Joan. viii, 18. [3] Ose. i, 3. [4] Gen. i, 26.

(8) *Οὐδὲ ταυτοούσιος, ἀλλ' ὁμοούσιος.* Difficile est ταυτοούσιον Latine sic exprimere, ut ab eo quod est ὁμοούσιον distinguas. Significat autem essentiam ac substantiam ita penitus eamdem, ut ne personarum quidem discrimen admittat.

Digitized by Google

putetur. At vero Pater una cum **616** Filio molitur; Filius item, per quem facta sunt omnia, operis et ipse cum Patre est artifex. Tum quia Filius ab illo genitus est, unus perfectusque Deus, ex Patre perfecto, et perfecti Filii perfectus Pater; qui quidem paternæ perfectionis imaginem obtinet, imago minime aspectabilis Dei, non imaginis exemplum, neque imaginis imago, neque dissimilis; sed imago Patris, ut verissimam illam a Patre principii ac temporis experte generationem nulla in re variam dissimilemque monstraret.

A τρι, καὶ διὰ τὸ ἐξ αὐτοῦ γεγεννῆσθαι τὸν Υἱὸν, εἷς Θεὸς τέλειος ἐκ τελείου Πατρὸς, καὶ Πατὴρ τέλειος τελείου Υἱοῦ, τῆς πατρικῆς τελειότητος ἔχοντος τὴν εἰκόνα, εἰκὼν Θεοῦ τοῦ ἀοράτου, οὐ παράδειγμα εἰκόνος, οὐκ εἰκὼν εἰκόνος, οὐκ ἀνόμοιος, ἀλλ' εἰκὼν τοῦ Πατρὸς, ἵνα τὸ ἀπαράλλακτον δείξῃ τῆς ἀπὸ τοῦ ἀνάρχου καὶ ἀχρόνου γεννήσεως ἐν ἀληθείᾳ.

Quamobrem imago Patris est Filius. Nam et reges pro eo quod imaginem habent, non idcirco reges duo sunt, sed unus rex est duntaxat cum imagine sua. Nec unum quiddam est duabus constans partibus imperfectum. Verum perfectus Pater, perfectus Filius, perfectus Spiritus sanctus. *Ego enim*, inquit, *in Patre* [1], non ad eum modum, B quo in hominis corde sermo est, sed intelligibilem cum Filio Patrem et Filium a Patre genitum asserimus. Nequaquam vero Deus ille Verbum in hominem velut in domicilium quoddam subiit : adeo ut, posteaquam homo genitus est, apparuerit in eo Verbum, quod in cœlo præterea sic, tanquam in hominis corde sermo, inesset in Patre. Hæc enim dogmata ex furioso dæmonis afflatu prodierunt, abnegatique funditus Dei notas præ se ferunt.

Εἰκὼν τοίνυν ὁ Υἱὸς τοῦ Πατρός. Καὶ γὰρ καὶ οἱ βασιλεῖς οὐ διὰ τὸ ἔχειν εἰκόνα δύο εἰσὶ βασιλεῖς, ἀλλὰ βασιλεὺς εἷς σὺν τῇ εἰκόνι (εἰς βασιλεῖς). Οὐχὶ ἓν τι ἐκ δύο μερῶν ἀτελὲς ὑπάρχον· ἀλλὰ τέλειος ὁ Πατὴρ, τέλειος ὁ Υἱὸς, τέλειον τὸ ἅγιον Πνεῦμα. *Ἐγὼ γὰρ ἐν τῷ Πατρὶ*· οὐχ ὡς λόγος ἐν καρδίᾳ ἀνθρώπου· ἀλλὰ Πατέρα οἴδαμεν νοητὸν σὺν Υἱῷ, καὶ Υἱὸν ἀπὸ Πατρὸς γεγεννημένον. Καὶ οὐχ ὡς ἐν ἀνθρώπῳ ἐλθὼν εἰς οἰκητήριον ὁ θεῖος Λόγος· καὶ μετὰ τὸ γεγεννῆσθαι ὀφθέντα ἐν αὐτῷ τὸν Λόγον, καὶ πάλιν ἐν Θεῷ ὑπάρχοντα ἄνω, ὡς ἐν καρδίᾳ ἀνθρώπου λόγος. Ταῦτα γὰρ τῆς τοῦ δαίμονος ἐμβροντήσεώς ἐστι, καὶ ἐπαρνησιθείας πάσης ἔχοντα τοὺς χαρακτῆρας.

IX. Cum igitur pauca hæc, quæ hactenus disputavimus, ad illius confutandam hæresim idonea esse judicemus; neque enim expugnatu difficilis illorum vis est, nec ejusmodi, minime ut prudentibus omnibus possit everti; cum, inquam, veritatis C dogmate doctrinaque spinarum illius radices exciderimus, ejusque, ut ita dicam, virus exstinxerimus, ac letiferum illius venenum patefecerimus, postquam scilicet opitulatorem cum Filio Patrem, qui vere est, invocavimus, et Filium vere subsistentem, ac genitum, necnon et Spiritum sanctum subsistentem ejus Spiritum ac salutarem, totiusque illius administrationis ac susceptæ carnis auctorem; quæstionis ab novis illis Judæis propositæ capite per mortis tropæum, crucem scilicet, comminuto, ad reliquas transeamus.

Θ'. Ταῦτα δὲ τὰ ὀλίγα πρὸς τὴν τούτου αἵρεσιν καλῶς ἔχειν δοκιμάσαντες· οὐ δυσχερὴς γὰρ ἡ τούτων δύναμις, οὔτε μὴ δυναμένη ὑπὸ πάντων συνετῶν ἀνατρέπεσθαι· διὸ καὶ τούτου τὰς ῥίζας τῶν ἀκανθῶν ἐκτεμόντες τῷ τῆς ἀληθείας κηρύγματι καὶ φρονήματι, καὶ τὸν ἰὸν, ὡς εἰπεῖν, ἀποσβέσαντες, καὶ τὸ δηλητήριον τούτου προδείξαντες, τὸν ἀρωγὸν ἐπικεκλημένοι σὺν Υἱῷ Πατέρα, τὸν ὄντως ὄντα, καὶ Υἱὸν ὄντως ἐνυπόστατον γεγεννημένον, καὶ τὸ ἅγιον Πνεῦμα τὸ αὐτοῦ Πνεῦμα ἐνυπόστατον, καὶ σωτήριον τῆς οἰκονομίας, τῆς ἐνσάρκου πραγματείας, διὰ τοῦ τροπαίου τοῦ κατὰ θάνατον, τοῦ σταυροῦ, φημὶ, τὴν κεφαλὴν τούτου ῥήξαντες, τοῦ ζητήματος τῶν νέων Ἰουδαίων, ἐπὶ τὰς ἐξῆς ἴωμεν, ὦ ἀγαπητοί.

Cæterum viperæ quoddam genus est, dryinam vocant, illi hæresis conditori quam simillimum. Quod ut plurimum in herbis aut quercubus delitescit [unde ei dryinæ nomen est, eo quod arbores D consectetur atque inter folia quæ ex arbore decidunt jacens, **617** cujusque in se viriditatem exprimat,] ac licet non adeo acerbum dolorem inurat hoc animal, tamen si diutius virus adhæserit, letum affert : eodem prorsus modo hæreticus iste, cum secta sua ad omnia sese genera institutorum applicans, iis se quam simillimum efficit; nam et Christi sibi appellationem imposuit, et Judæorum dogmata profitetur; et cum Verbum esse Christum fateatur, non eum tamen esse, secum animo statuit. Denique in plerisque se sine ullo pudore traducit. Cujus nos doctrina, sive potius errore, Chri-

Δρυΐνας γάρ τις ἔχις οὕτω καλουμένη τούτῳ ἔοικε τῷ αἱρεσιάρχῃ. Ὡς δρυΐνας λέγεται μὲν εἶναι ἔχις, παρὰ δὲ τὰς πόας, ἢ καὶ δρῦας ἐμφωλεύει συνεχέστατα· διὸ καὶ δρυΐνας καλεῖται, ἀπὸ τοῦ φιλόδενδρον αὐτὸ εἶναι, καὶ ἑαυτὸ παρεικάζειν ἀναμέσον τῶν ἐκ τῶν δένδρων ῥιπτομένων φύλλων τῇ ἑκάστου χλωρότητι· οὐ τοσοῦτον δὲ εἶναι ὀδυνηρὸν τὸ ζῶον· ἐὰν δὲ ἐπιμείνῃ, θάνατον ἐμποιεῖν· οὕτως γὰρ καὶ οὗτος, καὶ ἡ ἀπ' αὐτοῦ αἵρεσις πάντων ἀριθμῶν ἑαυτὸν ἀπεικάζεται. Χριστοῦ μὲν ὄνομα ἐνδεδυμένος, Ἰουδαίων δὲ τὸ φρόνημα ἐπανῃρημένος, Λόγον Χριστὸν ὁμολογῶν, οὐκ ὄντα δὲ τοῦτον διανοούμενος. Καὶ ἐν πολλοῖς ἑαυτὸν θριαμβεύων οὐκ αἰσχύνεται. Οὗ καὶ τὴν δοκοῦσαν διδασκαλίαν, πλάνην δὲ οὖσαν, ἐν τῷ ὑποδήματι τοῦ Χριστοῦ καταπεπατηκότες, καὶ τῇ σμίλῃ τῇ ἰατρικῇ τοῦ Εὐαγγελίου τοὺς δεδηγμέ-

[1] Joan. XIV, 10.

Digitized by Google

νους ἀμύξαντες, τόν τε ἰὸν ἀπ' αὐτῶν ἐκκρίνοντες, ἐπὶ τὴν τῶν ἑξῆς διήγησιν, ὡς προεῖπον, ἐλευσόμεθα. A

ΚΑΤΑ ΜΑΝΙΧΑΙΩΝ,

Αἵρεσις ΜΣ', ἡ καὶ ΞΣ'.

Α'. Μανιχαῖοι, οἱ καὶ Ἀκουανῖται λεγόμενοι, διά τινα Οὐέτρανον (9) ἀπὸ τῆς Μέσης τῶν ποταμῶν ἐλθόντα Ἀκούαν, οὕτω καλούμενον, ἐν τῇ Ἐλευθεροπόλει ἐνέγκαντα ταύτην τὴν τοῦ δηλητηρίου τούτου πραγματείαν· οὗτοι κατὰ τὸν καιρὸν ἐκεῖνον τοῦ βίου αὐτῶν ἐκήρυξαν μέγα τῷ κόσμῳ κακὸν μετὰ τὴν Σαβελλίου ἐπανάστασιν. Ἐν χρόνοις γὰρ οὗτοι Αὐρηλιανοῦ τοῦ βασιλέως γεγόνασι, περὶ ἔτος τέταρτον τῆς αὐτοῦ βασιλείας. Ἔστι δὲ ἡ πολυθρύλλητος, καὶ ἐν πολλοῖς μέρεσι τῆς γῆς φημιζομένη, ἐκ Μάνη B τινός, ὡς ἔφην, λαβοῦσα τὸ πλατυνθῆναι ἐν μέρεσι τῆς γῆς.

Μάνης δὲ οὗτος ἀπὸ τῆς τῶν Περσῶν ὡρμᾶτο γῆς, Κούβρικος μὲν τὸ πρῶτον καλούμενος, ἐπονομάσας δὲ ἑαυτῷ Μάνη ὄνομα (10), τάχα, οἶμαι, ἐκ τῆς τοῦ Θεοῦ οἰκονομίας τὸ μανιῶδες ἑαυτῷ ἐπισπασάμενος ὄνομα· καὶ ὡς μὲν αὐτὸς ᾤετο, κατὰ τὴν τῶν Βαβυλωνίων γλῶτταν δῆθεν *σκεῦος* ἑαυτῷ τὸ ὄνομα ἐπέθετο· τὸ γὰρ *μάνη* ἀπὸ τῆς Βαβυλωνίας εἰς τὴν Ἑλληνίδα μεταφερόμενον *σκεῦος* ὑποφαίνει τοὔνομα· ὡς δὲ ἡ ἀλήθεια ὑποφαίνει, τῆς μανίας τὸ ἐπώνυμον κέκτηται δι' ἣν ἐνεβροντίθη ὁ ἐλεεινὸς τῷ κόσμῳ ὑποσπείρας κακοδιδασκαλίαν. Ἦν δὲ οὗτος ὁ Κούβρικος χήρας τινὸς δοῦλος, ἥτις, ἅπαις τελευτήσασα, κατέλειψεν αὐτῷ χρημάτων ἀσυνείκαστον C πλῆθος, χρυσοῦ τε καὶ ἀργύρου, καὶ ἀρωμάτων, καὶ ἄλλων. Καὶ αὐτὴ δὲ τῆς κληρονομίας τὴν διαδοχὴν ἔσχεν ἐκ Τερβίνθου [1] τινός, δούλου καὶ αὐτοῦ ὑπάρξαντος, μετονομασθέντος δὲ Βουδδᾶ κατὰ τὴν τῶν Ἀσσυρίων γλῶτταν· ὃς καὶ αὐτὸς δοῦλος ὑπῆρχε Σκυθιανοῦ (11) τινος, ἀπὸ τῆς Σαρακηνίας ὁρμωμένου, κατὰ δὲ τὰ τέρματα τῆς Παλαιστίνης, τουτέστιν ἐν τῇ Ἀραβίᾳ, ἀνατραφέντος. Οὗτος ὁ Σκυθιανὸς ἐν τοῖς προειρημένοις τόποις παιδευθεὶς τὴν Ἑλλήνων γλῶσσαν καὶ τὴν τῶν γραμμάτων αὐτῶν παιδείαν, δεινός τε γέγονε περὶ τὰ μάταια τοῦ κόσμου φρονήματα. Ἀεὶ δὲ στελλόμενος τὴν πορείαν ἐπὶ τὴν τῶν Ἰνδῶν χώραν, πραγματείας χάριν, πολλὴν ἐμπορίαν ἐποιεῖτο. Ὅθεν πολλὰ κτησάμενος ἐν τῷ κόσμῳ καὶ διὰ τῆς Θηβαΐδος διιών· ὅρμοι γὰρ τῆς Ἐρυθρᾶς D θαλάσσης διάφοροι, ἐπὶ τὰ στόμια τῆς Ῥωμανίας διακεχριμένοι, ὁ μὲν εἷς ἐπὶ τὴν Αἰλᾶν (12), ἥτις

[1] γρ. Τερεβίνθου.

sti velut calceo proculcato, medicoque Evangelii scalpello iis qui morsi erant scarificatis, ac veneno omni ab illis exempto, ad insequentem, ut ante diximus, disputationem transibimus.

ADVERSUS MANICHÆOS,

Hæresis XLVI, sive LXVI.

I. Manichæi, quos Acuanitas de Acuæ Veterani cujusdam nomine vocant, qui e Mesopotamia profectus, letiferum illud virus Eleutheropolin transtulit, magnum per illud tempus, in quod ætas ipsorum incurrit, prædicatione sua malum in orbem terrarum invexerunt. Nam Aureliano imperante, quarto ejus imperii anno emergere cœperunt. Celeberrima hæc hæresis est, et quamplurimas regiones illius fama peragravit : quæ a Mane quodam, uti dixi, per multas oras partesque terrarum dissipandi sui initium accepit

Porro Manes, genere Persa, Cubricus primum appellatus, Manis sibi nomen imposuit. Atque hoc divina quadam providentia factum arbitror, furoris uti sibi nomen asciscceret; quanquam eo se cognomine afficere cogitabat, quod Babyloniorum lingua *vas* significat. *Manes* quippe Babyloniis, si Græce transferatur, σκεῦος, id est *vas* exprimit. Sed ita se res habet, ut a furore et insania ejusmodi sibi appellationem indiderit, qua fanatici more percitus infelix pessimum in orbe dogma disseminavit. Sed Cubricus iste viduæ cujusdam servus fuit, quæ sine liberis decedens infinitam ei pecuniarum vim, et auri **618** argentique et aromatum cæterarumque rerum copiam testamento reliquit, cum eamdem ipsam hæreditatem a Terbintho quodam perinde et ipso servo mulier accepisset, qui mutato nomine Assyriorum linguâ Buddas est dictus. Atque hic Scythiani cujuspiam servus fuit, qui e regione Saracenorum oriundus in Palæstinæ finibus, in Arabia scilicet, educatus fuerat, ubi Græcorum lingua ac litterarum studiis institutus, summam inanissimarum hujus mundi disciplinarum scientiam adeptus est. Cumque identidem negotiandi gratia in Indiam proficisceretur, magnam et copiosam mercaturam faciebat. Ex qua plurimum locupletatus Thebaidem obire solebat. Portus enim mare Rubrum varios habet, quibus ad Romanum limitem aditus diverse patet. Horum unus Ælam spectat, quam sacræ Litteræ Ælon appellant. Quem ad locum tertio demum anno Salo-

(9) *Διά τινα Οὐέτρανον.* Veteranum Acuam appellat, hoc est qui militia defunctus legitimam missionem impetrasset.

(10) *Ἐπονομάσας δὲ ἑαυτῷ Μάνη ὄνομα.* Elias in *Tisbi* mirum esse scribit, quod cum Judæi מינין vocent hæreticos, in Græcorum commentariis scriptum sit hæreticum quemdam exstitisse, qui Manes diceretur, ejusque sectatores מינין.

(11) *Ὃς καὶ αὐτὸς δοῦλος ὑπῆρχε Σκυθιανοῦ.* Errat itaque Theodoretus, qui Manen cum Scythiano confundit, ut et Suidas, cum tanto ante Scythianus exstiterit.

(12) *Ὁ μὲν εἷς ἐπὶ τὴν Αἰλᾶν.* Lib. III Reg., cap. IX, 26, classem quoque fecit rex Salomon in Asion-gaber, quæ est juxta Ælath in littore maris Rubri in terra Idumææ; LXX, Αἰλάθ, non Αἰλών· Josephus lib. VIII, cap. 6, Asion-gaber ait Berenicen vocari, haud procul Elana urbe. Sed hallucinatus est, ut opinor, Josephus ; nam Asion-gaber in Idumæa ponitur, Berenice vero a Ptolemæo in Africa ipsa, longe superior, ac Thebaidem ex ad-

Digitized by Google

monis appulsa navis aurum advehebat, et elephantinos dentes, et aromata, necnon et pavones aliaque nonnulla. Alius est portus ad Castrum clysmatis obversus. Tertius in superioribus Ægypti partibus ad Berenicem pertinet, qua ad Thebaidem pervenitur, indidemque advectæ ex India merces per Thebaidem distrahuntur, aut Alexandriam Chrysorrhoa flumine, qui idem ac Nilus est, et in Scripturis Geon dicitur, adeoque per totam Ægyptum ac Pelusium usque devehuntur. Ad eumque modum ad alias urbes naves applicant mercatores, qui ex India merces in Romanorum fines important.

II. Hæc ego paulo diligentius historiæ sum causa persecutus, ut uniuscujusque sectæ stirpem et B originem lectores cognoscerent. Nam qui narrationem aliquam instituit, ad id pro viribus eniti debet, ut ab ipsis quodammodo radicibus rem omnem repetat, unde veritas constare possit, licet alioqui scriptori sermonis elegantia et orationis venustas non suppetat; quo ex rei veritate prudentibus id quod quæritur comprobetur. Sed ut ad Scythianum redeam, hic initio divitiis inflatus, et aromatum, cæterarumque ex India opum copia, cum Hypselen Thebaidis oppidum venisset, **619** ibique perditam quamdam mulierculam invenisset eleganti corporis specie, pro eo ac stolidus erat stupore affectus, e lupanari, ubi tum meretriciam exercebat, abducit; et ad eam adhærescens, in libertatem assertam sibi in matrimonium adjunxit. C Deinde longo post tempore homo nefarius præ deliciis minime sese continens, et in otio degens, ac sceleribus assuetus, novi aliquid in orbem introducere nimio ex luxu in animum induxit. Itaque voces quasdam ejusmodi ex sese, non ex Litteris sacris, aut ex sancti Spiritus oraculis, sed ex infelici humani ingenii ratione commentus est. Quæ enim, aiebat, ratio est, cur quæ in tota hac rerum universitate continentur, inæqualia sunt, puta album et nigrum, fulvum et viride, humidum et siccum, cœlum ac terra, nox et dies, anima et corpus, bonum et malum, justum et injustum, nisi quod ex duobus hæc sunt principiis exorta? Diabolus enim acrius adversus humanum D genus bellum movens illius menti portentum illud opinionis ingeneravit, adeo ut quod nusquam est, animo conciperet, et quod reipsa est, minime cognosceret, ut in misere aberrantium hominum ingeniis quoddam bellum excitaret, qui præter eum, qui revera est, esse alium arbitrantur, atque a duabus, ut ita dicam, radicibus, sive principiis universa perfici, quod omnium impium maxime est ac longe perditissimum. Sed de ea re postea dicemus. In iis igitur Scythianus ille excæcatus animo, atque a Pythagora erroris argumenta na-

verso respiciens : quod Epiphanii descriptioni congruit, qui Berenicen tertium Rubri maris portum enumerat.

ἐστὶν ἐν τῇ θείᾳ Γραφῇ Αἰλών· ἔνθα που ἡ ναῦς Σολομῶντος διὰ τριῶν ἐτῶν ἐρχομένη ἔφερε χρυσὸν καὶ ὀδόντας ἐλεφαντίνους, ἀρώματά τε καὶ ταῶνας, καὶ τὰ ἄλλα· ὁ δὲ ἕτερος ὅρμος ἐπὶ τὸ Κάστρον τοῦ κλύσματος· ἄλλος δὲ ἀνωτάτω ἐπὶ τὴν Βερνίκην καλουμένην, δι' ἧς Βερνίκης καλουμένης ἐπὶ τὴν Θηβαΐδα φέρονται, καὶ τὰ ἀπὸ τῆς Ἰνδικῆς ἐρχόμενα εἴδη ἐκεῖσε τῇ Θηβαΐδι διαχύνεται, ἢ ἐπὶ τὴν Ἀλεξανδρέων διὰ τοῦ Χρυσορρόα ποταμοῦ, Νείλου δέ φημι, τοῦ καὶ Γηὼν ἐν ταῖς Γραφαῖς φερομένου, καὶ ἐπὶ πᾶσαν τῶν Αἰγυπτίων γῆν, καὶ ἐπὶ τὸ Πηλούσιον φέρεται. Καὶ οὕτως εἰς τὰς ἄλλας πατρίδας διὰ θαλάσσης διερχόμενοι οἱ ἀπὸ τῆς Ἰνδικῆς ἐπὶ τὴν Ῥωμανίαν ἐμπορεύονται.

Β'. Ταῦτα δέ μοι κατὰ λέξιν ἐσπουδάσθη ἱστορίας χάριν παραδοῦναι, ὅπως καὶ τῶν ῥιζῶν ἑκάστης ὑποθέσεως οἱ ἐντυγχάνειν ἐθέλοντες μὴ ἀμοιρήσωσι. Δεῖ γὰρ τὸν ἐπιβαλλόμενον διηγήσει τινὶ κατὰ δύναμιν ἐπιβάλλεσθαι, καὶ ἐκ τῆς ῥίζης ποιεῖσθαι τὴν εἰσαγωγήν· ἔνθεν εὑρίσκεται καὶ τὰ τῆς ἀληθείας, κἂν τε ἀπορῇ ὁ λέγων εὐκοσμίας λόγου καὶ εὐπείας φθογγῆς· ὅπως ἀπὸ τῆς ἀληθινῆς ἱστορίας τὸ ζητούμενον τοῖς συνετοῖς ἀποδειχθήσεται. Ἐν ἀρχῇ τοίνυν οὗτος ὁ Σκυθιανὸς πλούτῳ πολλῷ ἐπαρθείς, καὶ κτήμασιν ἡδυσμάτων, καὶ τοῖς ἄλλοις τοῖς ἀπὸ τῆς Ἰνδίας, καὶ ἐλθὼν περὶ τὴν Θηβαΐδα εἰς Ὑψηλὴν πόλιν (13) οὕτω καλουμένην, εὑρὼν ἐκεῖ γύναιον ἐξωλέστατον, καὶ κάλλει σώματος πρόοπτον, ἐκπλῆξάν τε αὐτῶν τὴν ἀσυνεσίαν, ἀνελόμενός τε τοῦτο ἀπὸ τοῦ στέγους (ἔστηκε γὰρ ἡ τοιαύτη ἐν τῇ πολυκοίνῳ ἀσεμνότητι) ἐπεκαθέσθη τῷ γυναίῳ, καὶ ἐλευθερώσας αὐτὸ, συνήφθη αὐτῷ πρὸς γάμον. Χρόνου δὲ πολλοῦ προκόπτοντος, διὰ τὴν ὑπερβολὴν ἧς εἶχε τρυφῆς, οὐκ ἤνεγκεν ὁ ἀλητήριος· ἀλλὰ ὡς ἀργὸς καὶ ἐθὰς κακῶν, ἐκ τοῦ περισσοῦ τῆς τρυφῆς στρήνου ἐπενόει λοιπὸν κατὰ τὸν νοῦν τι καινότερον τῷ βίῳ προσοῖσαι. Καὶ ἀφ' ἑαυτοῦ διανοηθεὶς, ἐπλάσατο ῥήματα τοιαῦτα, οὐκ ἀπὸ τῆς θείας Γραφῆς εὑράμενος, καὶ Πνεύματος ἁγίου φθογγῆς, ἀλλὰ ἀπὸ λογισμῶν ἀνθρωπείας φύσεως τῶν δειλαίων φάσκων. Τίνι τῷ λόγῳ ἄνισα κεῖται τὰ ἐν παντὶ τῷ ὁριζομένῳ τῆς κτήσεως κύτει, μέλαν καὶ λευκὸν, πυῤῥὸν καὶ χλωρὸν, ὑγρὸν καὶ ξηρὸν, οὐρανὸς καὶ γῆ, νὺξ καὶ ἡμέρα, ψυχὴ καὶ σῶμα, ἀγαθόν τε καὶ φαῦλον, δίκαιόν τε καὶ ἄδικον; ἀλλ' ὅτι πάντως ταῦτα ἐκ δύο τινῶν συνέστηκεν. Ἐνεκίσσα δὲ ἐν τῇ αὐτοῦ διανοίᾳ ὁ διάβολος, ἐπὶ πλεῖον στρατεύσας κατὰ τῆς ἀνθρωπείας φύσεως, τὸ δεινὸν φρόνημα, ὡς ὑπονοεῖν τὸ μὴ ὄν, καὶ ὂν μὴ ἐπιγινώσκειν, ἵνα πόλεμόν τινα ἐν ταῖς διανοίαις τῶν ἠπατημένων ἐνστήσηται τοῖς νομίζουσιν εἶναί τι μετὰ τὸν ὄντα, καὶ ὡς εἰπεῖν ἐκ δύο ῥιζῶν, ἢ δύο ἀρχῶν ἐνεργεῖσθαι τὰ πάντα, ὅπερ ἐστὶ πάντων δυσσεβέστατον καὶ μοχθηρότατον. Ἀλλὰ περὶ τούτου αὖθις ἐρῶ. Ἐν τούτοις γὰρ ὁ προειρημένος Σκυθιανὸς τυφλωθεὶς τὴν διάνοιαν, λαβὼν παρὰ Πυθαγόρου τὰς προφάσεις, οὕτως ἐφρό-

(13) *Εἰς Ὑψηλὴν πόλιν.* Stephanus· Ὑψηλὶς κώμη Αἰγύπτου.

Digitized by Google

νησε, καὶ βίβλους τέσσαρας (14) ἑαυτῷ πλάσσεται· τῇ μιᾷ ὄνομα θέμενος *Μυστηρίων*, τῇ δὲ δευτέρᾳ *Κεφαλαίων*, τῇ τρίτῃ *Εὐαγγέλιον*, τῇ τετάρτῃ *Θησαυρῶν*· ἐν αἷς τὰ ἰσόζυγα καὶ τὰ ἰσόῤῥοπα δύο ἀρχῶν συζεύξας πρόσωπα καθ' ἑκάστην ὑπόθεσιν, οὕτως ὑπολαβὼν ὁ τάλας, καὶ οὕτως κατὰ τοῦτο τὸ μέρος ἐφαντάζετο, ὡς τι μέγα εὑρὼν τῷ βίῳ. Καὶ τῷ ὄντι μέγα κακὸν εὕρατο τῷ βίῳ καθ' ἑαυτοῦ καὶ τῶν ὑπ' αὐτοῦ πλανωμένων.

A ctus ejusmodi opiniones habuit, ac libros quatuor conscripsit : quorum unum *Mysteriorum* inscripsit, alterum *Capitum*, tertium *Evangelium*, quartum *Thesaurorum*. In iis paria atque æqualia duo principia personasque in unoquoque argumento copulans, ita sibi persuaserat miser, itaque hac in parte somniabat, magnum a se quiddam in vita repertum. Et vero magnum sane malum in suam eorumque, quibus imposuit, perniciem in vitam invexit.

Γ'. Ἐπειδὴ δὲ ὁ ἀνὴρ ἐν τούτοις ἦν, ἀκηκόει δὲ πῶς οἱ προφῆται, καὶ ὁ νόμος προεφήτευον περὶ τῆς τοῦ κόσμου συστάσεως, καὶ περὶ τοῦ ἑνὸς καὶ μονάρχου τοῦ ἀεὶ ὄντος, καὶ μὴ διαλείποντος τοῦ εἶναι Πατρὸς, καὶ τοῦ αὐτοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, ἠθέλησε περιττοτέρᾳ τινὶ φερόμενος ἡδυπιθείᾳ, καὶ κατὰ τὸν ἰδιωτικὸν αὐτοῦ νοῦν ἐπιτωθάζων, καὶ βαρεῖς στρήνους ἐν ἑαυτῷ ἀγόμενος, στέλλεσθαι τὴν πορείαν ἐπὶ τὰ Ἱεροσόλυμα περὶ τοὺς χρόνους τῶν ἀποστόλων (15), ὡς δῆθεν ἐκεῖσε ποιούμενος τὸν λόγον περὶ τοὺς τὰ ἐπὶ μοναρχίας κηρύττοντας, καὶ τῶν τοῦ Θεοῦ κτισμάτων. Ὁ δὲ τάλας, ἀνελθὼν, ἀντιβάλλειν ἤρξατο πρὸς τοὺς ἐκεῖσε πρεσβυτέρους, τοὺς κατὰ τὴν νομοθεσίαν Θεοῦ τὴν τῷ Μωϋσῇ δοθεῖσαν, καὶ προφητικῇ ἑκάστου προφήτου διδασκαλίᾳ βιοῦντας. Ὅτι, Πῶς φατε ἕνα Θεὸν ποιήσαντα νύκτα τε καὶ ἡμέραν, σάρκα τε καὶ ψυχὴν, ξηρόν τε καὶ ὑγρὸν, οὐρανόν τε καὶ γῆν, σκότος τε καὶ φῶς; Οἱ δὲ σαφῶς ἐδείκνυον. Οὐ γὰρ ἡ ἀλήθεια παρακέκρυπται. Ὁ δὲ ἀντιλέγων οὐκ ἠσχύνετο. Μηδὲν δὲ δυνάμενος περαιῶσαι, ὅμως τῇ ἀναισχυντίᾳ τῆς χαλεπότητος ἐφέρετο. Ὡς δὲ οὐκ ἴσχυσέ τι ἀνῦσαι, ἀλλὰ τὸ ἧττον μᾶλλον ἀπηνέγκατο, ἐπετήδευσε δι' ὧν εἶχε μαγικῶν βιβλίων (καὶ γὰρ καὶ γόης ἦν ἀπὸ τῆς τῶν Ἰνδῶν καὶ Αἰγυπτίων καὶ ἐθνομύθου σοφίας ἐμπορευσάμενος τὰ δεινὰ καὶ ὀλετήρια τῆς γοητείας), φαντασίαν τινὰ ἐπὶ δώματος ἀνελθὼν καὶ ἐπιτηδεύσας, ὅμως οὐδὲν ἰσχύσας, ἀλλὰ καταπεσὼν ἐκ τοῦ δώματος, τέλει τοῦ βίου ἐχρήσατο. Ἦν δὲ διατρίψας ἐκεῖ ἱκανὰ ἔτη, μαθητὴν δὲ ἔχων ἕνα μόνον μεθ' ἑαυτοῦ, τὸν προειρημένον Τέρβινθον, ᾧ καὶ τὰ ἴδια ἐπίστευσεν ὡς πιστικωτάτῳ, καὶ κατ' εὔνοιαν αὐτῷ ἐξυπηρετουμένῳ· ὃς, τελευτήσαντος τοῦ Σκυθιανοῦ, κηδεύει μὲν αὐτὸν φιλοφρονέστατα, καὶ θάψας σκέπτεται μὴ πρὸς τὸ γύναιον ἀνακάμψαι, τὸ ἤδη ἀπὸ πορνείας ἤτοι αἰχμαλωσίας τῷ Σκυθιανῷ συνημμένον.

III. Inter hæc cum audisset prophetarum ac legis oraculis mundi procreationem, atque unum solumque omnium principem moderatoremque celebrari, qui et semper exsisteret, nec desineret unquam, Patrem scilicet, ac Filium et Spiritum B **620** sanctum, abundantioribus et nimiis deliciis impulsus, atque ut rudi imperitoque erat ingenio, cavillans ac vehementiore luxu fractus, Hierosolymam sub apostolorum tempora proficisci statuit, ut illic sermonem cum iis conferret, qui ea prædicarent, quæ ad unius principatum resque a Deo conditas pertinerent. Itaque simulatque ad urbem illam accessit, cum presbyteris, qui illic erant, quique ex legis a Deo Mosi traditæ ac propheticæ disciplinæ præscripto vitam instituebant, disputare cœpit. Qui enim, aiebat, unum esse Deum asseritis, qui noctem diemque condiderit, necnon carnem et animam, siccum et humidum, cœlum atque terram, tenebras ac lucem? Quod cum illi aperte demonstrarent; neque enim occulta veritas C est; contra ille sine ullo pudore contendere. Verum ubi nihil proficit, in eadem nihilominus molestiæ impudentia persistit. Postremo cum nihil efficeret omnino, sed victus potius abscederet, magicis quibusdam libris adhibitis (erat enim maleficiorum peritus, ac perniciosam illam et exitiabilem artem ex Indorum et Ægyptiorum gentiliumque disciplina velut mercimonium quoddam abstulerat), præstigiis illudere conatus est; ac domo quadam conscensa nihilo magis quod volebat assecutus est. Quippe inde præceps decidens ex hac vita migravit, cum multos illic annos egisset, atque unum tantummodo secum discipulum habuisset, Terbinthum videlicet illum, quem diximus, cui et sua omnia velut fidissimo benevolentissimoque administro D commisit. Illic mortuum Scythianum quam honorificentissime sepelivit. Tum apud se deliberans statuit ad illam mulierculam non reverti, quam e meretricio quæstu ac servitute sibi Scythianus adjunxerat.

Ἀλλὰ ἀποδιδράσκει, λαβὼν πάντα ὅσαπερ εἶχε, χρυσόν τε καὶ ἄργυρον, καὶ τὰ ἄλλα, εἰς τὴν τῶν Περσῶν χώραν, ἑαυτοῦ τὸ ὄνομα, ἵνα μὴ κατάφωρος γένηται, ἀντὶ Τερβίνθου, ὡς ἄνω μοι προδεδήλωται, Βουδδᾶν ἑαυτῷ ἐπιθέμενος ὄνομα. Οὗτος δὲ πάλιν

Itaque cum omnibus quæ habebat, auro scilicet, argento, cæterisque copiis, in Persidem aufugit. Ibi, ne deprehenderetur, mutato nomine, pro Terbintho Buddam se, uti diximus, appellat. Atque hic pessimam rursus quatuor illorum Scythiani librorum

(14) *Καὶ βίβλους τέσσαρας*. Apud Suidam quatuor librorum istorum auctor fuisse dicitur Terebinthus, sive Buddas; quorum etiam ordo aliter instituitur. Nam primus est *Mysteriorum*, secundus *Evangelii*, tertius *Thesauri*, quartus *Capitum*.

(15) *Περὶ τοὺς χρόνους τῶν ἀποστόλων*. Commode istud accipiendum est, ut apostolorum tempora vocet, quæ illis proxima sunt; nam ut apostolos viderit Scythianus, nequaquam procedit, uti postea constabit, cum de Manichæi tempore disputabitur.

Digitized by Google

ac magicarum artium et præstigiarum hæreditatem adiit. Idem enim litterarum apprime studiis erat eruditus. Sed cum in Perside et ipse disputaret, atque apud viduam quamdam habitans, cum ædituis ac sacerdotibus Mithræ, in primisque Parco quodam, ac Labdaco prophetis, de **621** duobus principiis contenderet, neque vel idololatriæ antistitibus resistere posset, sed ab iis turpissime convictus esset, Scythiani, quem sequebatur, exemplo domus fastigium conscendens, ibique magicis artibus id efficere studens, ne quis sibi deinceps contradicere auderet, ab angelo dejectus cecidit, atque ob ea quæ moliebatur maleficia periit. Anus porro, sepulto illius corpore, pecuniam omnem obtinuit. Quæ quidem cum liberos ac propinquos haberet nullos, diu in illo statu perseveravit. Tandem vero Cubricum, qui et Manes dictus est, ad obsequia famularia servum coemit : cui moriens malam illam hæreditatem perinde atque aspidis virus, multorum ad interitum ac perniciem reliquit.

A Ἔσχε κακὴν διαδοχὴν κληρονομίας, τὰ τέσσαρα βιβλία τοῦ Σκυθιανοῦ καὶ τὰ τῆς μαγείας ἐπιτηδεύματα. Ἦν γὰρ καὶ οὗτος ἐν γράμμασιν ἐπιμελέστατα πεπαιδευμένος. Ὡς δὲ καὶ αὐτὸς, διαλεγόμενος ἐν τῇ Περσῶν χώρᾳ, καταχθεὶς πρὸς γραῦν τινα χήραν, καὶ τοῖς τοῦ Μίθρα νεωκόροις τε καὶ ἱερεῦσι τοῦ εἰδώλου, προφήτῃ τινὶ Πάρκῳ καὶ Λαβδάκῳ συζητήσας περὶ τῶν δύο ἀρχῶν, καὶ μὴ δυνηθεὶς μήτε κἂν πρὸς τοὺς τῆς εἰδωλολατρείας πρυτάνεις διαλεχθῆναι, ἀλλ' ἐλέγχῳ καταστὰς παρ' αὐτῶν, καὶ αἴσχος ἀπενεγκάμενος, ὡσαύτως τῷ προειρημένῳ Σκυθιανῷ τὰ ὅμοια φρονήσας, ἐπὶ τὸ δωμάτιον ἀνελθών, μαγεύειν τι δῆθεν πρὸς τὸ μή τινα αὐτῷ ἀντιλέγειν ἐπιτηδεύσας, ὑπὸ ἀγγέλου καταχθεὶς κατέπεσε, καὶ οὕτως τέθνηκε δι' ἣν ἠβούλετο ἐπιχειρῆσαι μαντικὴν ἐνέργειαν. Ἡ δὲ γραῦς, περιστείλασα B τούτου τὸ σῶμα, τῶν χρημάτων αὐτοῦ ἐν καθέξει γεγένηται· καὶ μὴ ἔχουσα παῖδα, μηδέ τινα τῶν διαφερόντων, ἔμεινε πολλῷ τῷ χρόνῳ οὕτως. Ὕστερον δὲ προσελάβετο πριαμένη τὸν Κούβρικον, τὸν καὶ Μάνην, ἑαυτῇ πρὸς ὑπηρεσίαν· καὶ τελευτῶσα κατέλιπεν αὐτῷ τὰ τῆς κακῆς κληρονομίας, ὡς ἰὸν ἀπὸ ἀσπίδος καταλειφθέντα εἰς πολλῶν φθορὰν καὶ ἀπώλειαν.

IV. Itaque Cubricus, qui se Manem vocavit, inter Persas, apud quos degebat, disputare instituit. Verum cum nemini dogmata sua probaret, sed quicunque doctrinam illius audiebant, moleste ferrent, ac novitate ipsa horrendisque illis et ad decipiendum compositis fabulis ac vocibus vehementer obstupescerent, cumque omnes ille, quos C de impio commento sermones habebat, refelli evertique cerneret; occasionem quamdam excogitavit, per quam inanissimis illis et ad stuporem confictis fabulis auctoritatem asciscceret. Cum enim percrebuisset, Persarum regis filium quadam ægritudine correptum in regia Persarum urbe decumbere (neque enim Manes illic degebat, sed alio quodam in loco ab regis aula dissito), excæcante illum improbitate sua, ratus in heri sui Terbinthi, sive Buddæ, qui et Scythiani hæres fuerat, libris posse se ad sanandum regis filium remedia quædam invenire, ex urbe sua digressus ad regiam contendit, ac quorsum venisset aperiens, certam filio regis opem promittit. Sed spes impostorem fefellit. Nam cum ægro medicamenta quædam adhibuisset, D exspectatione sua frustratus est : adeo ut inter illius manus adolescens postremo sit mortuus, quo vana ipsius ac mendacia promissa convincerentur. Hæc cum ita contigissent, **622** jussu regis in vincula conjicitur. Neque enim Persarum reges in gravioris delicti reos subinde supplicia decernunt; sed exquisitiori quodam mortis excogitato genere, tormentis prius illos ac quæstioni subjiciunt. Hic igitur illorum mos est.

Δ'. Πάλιν οὖν Κούβρικος, ὁ ἑαυτὸν ἐπονομάσας Μάνην, ἐν αὐτοῖς διῆγε, καὶ ἐν αὐτοῖς διελέγετο. Καὶ ὡς οὐδεὶς αὐτῷ ἐπείθετο, ἀλλὰ ἀκούοντες Μανιχαίου διδασκαλίαν, ἐδυσφόρουν μὲν, καὶ ἐξενολεκτοῦντο πάντες ἐπὶ τῇ καινοτομίᾳ καὶ δεινῇ μυθοποιίᾳ, καὶ κενῇ ἀπάτῃ, ὁ δὲ ὁρῶν τὰ ἴδια τῆς κακομηχανίας ἀνατρεπόμενα τῶν λόγων συνθήματα· τὴν διάνοιαν κεπφωθεὶς ἐπενόει ἑαυτῷ πρόφασίν τινα, δι' ἧς τὸ ἴδιον πλασματικῆς δεινοποιήσεως ταύτης συστήσειε. Καὶ φήμης διαδοθείσης, ὡς ὁ υἱὸς τοῦ τῶν Περσῶν βασιλέως ἀλγήματί τινι περιπέπτωκε, καὶ κατέκειτο ἐν τῇ βασιλευούσῃ Περσίδος πόλει (οὐ γὰρ ἐκεῖσε ὁ Μάνης διέτριβεν, ἀλλὰ ἄλλη που ἀπὸ πόρρωθεν τῆς τοῦ βασιλέως)· ὑπὸ τῆς ἰδίας κακίας τυφλώττων, καὶ νομίσας μή πω ἀφ' ὧν εὗρε βιβλίων τοῦ ἑαυτοῦ δεσπότου Τερβίνθου, τοῦ καὶ Βουδδᾶ, διαδόχου δὲ τοῦ Σκυθιανοῦ, δύνασθαί [1] τινα ἰάματα ἐνεργῆσαι εἰς τὸν τοῦ βασιλέως υἱὸν, ἀπαίρει ἐκ τοῦ ἰδίου τόπου, καὶ ὁρμᾷ, καὶ τολμήσας μηνύει τὰ περὶ ἑαυτοῦ, ὠφελεῖν ἐπαγγελλόμενος. Ἀλλ' οὐ προεχώρησε τῷ γόητι ἡ τῆς ἐλπίδος φαντασία. Ἤμβροτε γὰρ ἀπὸ τῆς καραδοκίας τινὰ εἴδη φαρμακευτικῆς προενέγκας τῷ νοσηλευομένῳ παιδὶ τοῦ βασιλέως. Τέλος γοῦν εἰς τὰς χεῖρας αὐτοῦ θνήσκει τὸ μειράκιον, ἵνα πάντα τὰ μετὰ τοῦ ψεύδους διελέγχηται μάταια ἐπαγγέλματα. Ὡς δὲ τοῦτο οὕτως ἀπέβη, προστάγματι βασιλικῷ ἐμβάλλεται εἰς τὸ δεσμωτήριον. Οὐ γὰρ εὐθὺς οἱ τῶν Περσῶν βασιλεῖς τὰς τιμωρίας κατὰ τῶν τὰς μείζους αἰτίας, τῶν ἀτοπήματα [2] δρώντων ἐπιφέρουσιν· ἀλλὰ περιττοτέραν τινὰ ἐπινοοῦσι θανατικὴν ψῆφον μετὰ βασάνων τοὺς ἐπαπειλουμένους διατίθεσθαι. Καὶ ταῦτα μὲν οὕτως.

V. At Manes, sive Cubricus, interim in carcere detinebatur, ubi illum discipuli ejus identidem invisebant. Jam enim suam, ut ita dicam, manum

Ε'. Ἐπέμενέ τε τῇ εἱρκτῇ διατελῶν ὁ Μάνης, ὁ καὶ Κούβρικος, καὶ ὑπὸ τῶν ἰδίων μαθητῶν ἐπισκεπτόμενος. Ἤδη γὰρ ὁ ἀγύρτης συναγήοχεν ἑαυτῷ

[1] For. δύναται. [2] For. καὶ ἀτοπ.

Digitized by Google

στρατὸν, ὡς εἰπεῖν, οὓς δὴ μαθητὰς ἐκάλει, τὸν ἀριθμὸν ἤδη περὶ δύο καὶ εἴκοσιν. Ἐξ ὧν τινας τρεῖς ἐκλεξάμενος, Θωμᾶν τινα οὕτω καλούμενον, καὶ Ἑρμείαν, καὶ Ἄδδαν, διενοήθη ἀκηκοὼς περὶ τῶν κατὰ τὴν Ἰουδαίαν καὶ ἐν ὅλῳ τῷ κόσμῳ ἱερῶν βιβλίων, φημὶ δὲ Χριστιανικῶν, νόμου τε καὶ προφητῶν, Εὐαγγελίων, καὶ ἀποστόλων. Δοὺς τοίνυν χρυσίον τοῖς προειρημένοις, ἐπὶ τὰ μέρη τῶν Ἱεροσολύμων ἀπέστειλε. Τοῦτο δὲ ἐποίησε πρινὴ καθειρχθῆναι ἐν τῇ φυλακῇ, ὅτε διαλεγόμενος πολλοῖς τὸ ἴδιον δόγμα οὐκ ἴσχυσε συστῆσαι. Ἀκηκοὼς δὲ περὶ ὀνόματος Χριστοῦ καὶ τῶν αὐτοῦ δούλων, Χριστιανῶν τέ φημι, διεγνώκει διὰ τοῦ ὀνόματος τῆς ὑποθέσεως Χριστοῦ ἀπατῆσαι τοὺς πεπλανημένους. Οἱ δὲ ἀπελθόντες ὠνήσαντο· οὐ γὰρ ἀνεβάλλοντο. Παλινδρομήσαντες δὲ, ὡς οὐ καταλαμβάνουσιν αὐτὸν οὐκέτι ἐν ἐλευθέρῳ ἀέρι, ἀλλὰ ἐν τῷ δεσμωτηρίῳ, κἀκεῖσε εἰσελθόντες, ἐπεδείκνυον αὐτῷ τὰς βίβλους. Ὁ δὲ, λαβὼν καὶ ἀνερευνήσας, ἐῤῥᾳδιούργησε, προσπλέξας τῇ ἀληθείᾳ τὸ ἴδιον ψεῦδος, ἔνθα που εὗρε πρόσωπον λόγου ἢ κλῆσιν δυναμένην ἀποτελεῖν ὁμοίωμα τοῦ αὐτοῦ φρονήματος. Καὶ ἐντεῦθεν λοιπὸν ἐκράτυνε τὸ ἐπίπλαστον τοῦ αὐτοῦ κοσμήματος [1]. Ἀλλὰ καὶ μεταξὺ ἄργυρον, προσλιπαρήσας τὸν ἐπὶ τοῦ δεσμωτηρίου, δίδωσι πολὺν, καὶ φυγὰς ἀπαλλάττεται, καταλείψας τὴν τῶν Περσῶν χώραν, καὶ τῇ Ῥωμανίᾳ προσέβαλε. Μέσον δὲ ἤδη τυγχάνων τῆς Μέσης τῶν ποταμῶν καὶ τῆς Περσίδος, περὶ τὰς ἐρημίας ἔτι ὑπάρχων, ἤκουσε περὶ μεγάλου τινὸς ἀνδρὸς ἐν θεοσεβείᾳ ἀκροτάτῃ διαπρέποντος, Μαρκέλλου τοῦνομα, κατοικοῦντος ἐν Κασχάρῃ πόλει τῆς Μεσοποταμίας, ὃς ἦν ἀνὴρ κατὰ πάντα Χριστιανὸς, καὶ ἔργοις δικαιοσύνης θαυμασιώτατος, χήραις μὲν ἐπαρκῶν καὶ πένησιν, ὀρφανοῖς δὲ καὶ τοῖς ἐνδεομένοις· διανοεῖται προσπλέξαι πρὸς τὸν ἄνδρα, ἵν', ὑποχείριον τοῦτον κτησάμενος, δυνηθείη δι' αὐτοῦ κατάρξαι οὐ μόνον τῆς Μεσοποταμίας, ἀλλὰ καὶ τοῦ κλίματος παντὸς τοῦ πρὸς τὴν Συρίαν τε καὶ Ῥωμανίαν. Γράφει δὲ αὐτῷ ἐπιστολὴν οὕτω διὰ Τύρβωνός τινος τῶν αὐτοῦ μαθητῶν ἀπὸ τοῦ πέρατος τοῦ Στράγγα ποταμοῦ, ἀπὸ καστέλλου Ἀραβίωνος οὕτω καλουμένου· ἥτις ἡ ἐπιστολὴ περιεῖχε τάδε. Καί μοι λαβὼν ἀνάγνωθι τὸ ἐπιτήδευμα τῆς τοῦ ἀπατεῶνος μοχθηρίας.

circulator iste collegerat, quos discipulos nominabat, duos ac viginti. Quorum e numero tres elegit, Thomam, Hermeam et Addam. Ac cum animo repeteret quæ de sacris Christianorum libris audierat, qui in Judæa totoque terrarum orbe circumferebantur, hoc est lege, prophetis, Evangeliis apostolorumque scriptis, numerata pecunia Hierosolymam illos allegat. Sed hoc ante fecerat, quam in carcerem conjiceretur, quando apud multos verba faciens dogma suum probare non poterat. Quamobrem audito Christi ejusque servorum, hoc est Christianorum, nomine, hac ipsa professionis hujus appellatione ad illudendos homines abuti statuit. Profecti itaque discipuli libros illos nulla interposita mora coemunt. Deinde ad magistrum reversi jam eum libertate privatum atque in carcerem compactum reperiunt. Quo ad illum ingressi libros offerunt. Quibus acceptis ac diligenter evolutis, mala fide pleraque depravavit, veritati mendacium suum admiscuit, ubicunque speciem aliquam orationis appellationemque nactus est, quæ nonnihil opinionis suæ simile præ se ferret. Unde et confictam deinceps a se fabulam affirmare conatus est. Interim ingenti pecuniarum vi assiduisque precibus exorato commentariensi fugam arripit, ac relicta Perside Romanorum fines ingreditur. Cumque jam ad Mesopotamiæ Persidisque confinia ac solitudinem, quæ illic est, pervenisset, nuntiatum est præstantissimum quemdam esse virum, atque excellenti pietate præditum, Marcellum nomine, qui Cascharæ, quod Mesopotamiæ oppidum est, habitaret, virum undequaque Christianum, atque in omnibus justitiæ officiis plane mirabilem: qui et viduis, et pauperibus, necnon et orphanis, ac denique indigentibus largiretur. Ad hunc igitur applicare se **623** constituit, ut cum obnoxium sibi hominem habuisset, non in Mesopotamia modo, sed et toto illo Syriæ Romanique imperii tractu dominari posset. Quocirca ejusmodi ad illum epistolam scribit, per Turbonem quemdam, unum ex discipulis suis, ex castello Arabione, quod ad Strangam fluvium situm est: epistola porro ita sese habebat. Quam tu in manus accipiens impostoris illius callidam ac veteratoriam artem legendo cognoscito.

Μανιχαίου πρὸς Μάρκελλον ἐπιστολή.

ϛ'. Μανιχαῖος ἀπόστολος Ἰησοῦ Χριστοῦ, καὶ οἱ σὺν ἐμοὶ πάντες ἅγιοι καὶ παρθένοι, Μαρκέλλῳ τέκνῳ ἀγαπητῷ χάρις, ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς καὶ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· καὶ ἡ δεξιὰ τοῦ Φωτὸς διατηρήσοι σε ἀπὸ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ, καὶ τῶν συμπτωμάτων αὐτοῦ, καὶ παγίδων τοῦ πονηροῦ. Ἀμήν.

Manichæi ad Marcellum epistola.

VI. Manichæus apostolus Jesu Christi, et qui mecum sunt sancti omnes et virgines, Marcello filio charissimo, gratia, misericordia, pax a Deo Patre et Domino nostro Jesu Christo; ac te Lucis dextera custodiat a præsenti sæculo nequam, ejusque casibus, et laqueis maligni. Amen.

Τὴν μὲν περὶ σὲ ἀγάπην μεγίστην οὖσαν αἰσθηθεὶς λίαν ἐχάρην· τὴν δὲ πίστιν οὐκ οὖσαν κατὰ τὸν ὀρθὸν λόγον ἠχθέσθην. Ὅθεν πρὸς ἐπανόρθωσιν τοῦ τῶν ἀνθρώπων γένους ἀποσταλεὶς, φειδόμενός τε τῶν

Quod te summa charitate præditum esse cognovi, vehementer sum gavisus. Quod vero non rectæ rationi consentaneam fidem profiteris, equidem dolui. Quamobrem cum ad corrigendum genus

[1] γρ. βοσκήματος.

Digitized by Google

humanum missus fuerim, eorumque, qui se in fraudem erroremque commiserint, rationem habeam, necessarium putavi has ad te litteras scribere : quibus in primis animæ tuæ, tum tuorum saluti consulerem, ut ne confusum quiddam perturbatumque sentires, pro eo ac rudiorum magistri docent, qui quidem ita prædicant : Bonum ac malum ab eodem proficisci ; unumque duntaxat principium statuunt ; neque lucem a tenebris, bonum a malo, exteriorem hominem ab interiori, ut ante dixi, discernunt ac separant : imo vero alterius cum altero confundendi miscendique nullum finem faciunt. Tu vero, fili, ne ut plerique hominum temere ac sine ratione ambo ista conjungito, neque bonitatis auctori Deo tribuito. Nam illi principium, ac finem, et horum auctorem malorum ad Deum referunt, *quorum finis maledicto proximus est* [1]. Non enim iis quæ in Evangeliis a Salvatore ac Domino nostro Jesu Christo dicuntur, fidem adhibent : *Non potest arbor bona fructus malos facere, neque arbor mala bonos* **624** *fructus facere* [2]. Quemadmodum vero Deum Satanæ malorumque quæ ab eo geruntur conditorem ac procreatorem asserere audeant, magnopere demiror. Atque utinam hactenus vanissima illorum consilia progrederentur, nec unigenitum Dei Filium Christum Dominum, qui de Patris sinu descendit [3], Mariæ cujusdam mulierculæ filium esse dicerent, atque ex sanguine carneque, tum vero reliquo mulierum fetore prodiisse. Sed ne longiorem epistolam scribens diutius æquitatem tuam detineam, cum præsertim naturali eloquentia caream, his quæ dicta sunt ero contentus. Ubi vero ad te venero, plenius omnia cognosces, si quidem salutis tuæ curam aliquam suscipis. Neque enim cuiquam laqueum injicimus [4], ut stolidiores nonnulli faciunt. Intellige quæ dico, fili charissime.

VII. Hanc epistolam cum Marcellus vir egregius ac religiosissimus, et in primis illustris legisset, mirum in modum obstupuit. Ac tum forte contigit, ut eodem die, quo illam a Manichæo epistolam Dei servus accepit, Archelaus urbis episcopus una cum illo domi esset. Qui re omni perspecta, dentibus fremens, rugientis leonis instar, ac divino quodam ardore percitus, ad Manichæum potius proficisci cupiebat, hominemque e barbaris, unde is ortus erat, advenientem et ad humani generis perniciem insurgentem capere. Sed prudens Marcellus, mitigato precibus episcopo, Tyrbonem hortatus est, ut ad Manem in Arabionis castellum rediret, ubi ab illo exspectabatur. Hoc autem castellum est inter Persidem ac Mesopotamiam situm. Sed cum Tyrbo reverti ad Manichæum nollet, eo relicto, expeditum quemdam cursorem e familia sua, destinat, per quem has ad illum litteras dedit.

ἀπάτῃ καὶ πλάνῃ ἑαυτοὺς ἐκδεδωκότων, ταῦτα τὰ γράμματα πρὸς σὲ ἀναγκαῖον ἡγησάμην ἀποστεῖλαι· πρῶτον μὲν πρὸς σωτηρίαν τῆς σεαυτοῦ ψυχῆς, ἔπειτα δὲ καὶ τῶν ἅμα σοι τυγχανόντων, πρὸς τὸ ἀδιάκριτόν [5] σε ἔχειν τὸν λογισμὸν, ὡς οἱ τῶν ἁπλουστέρων καθηγεμόνες διδάσκουσι, λέγοντες τὸ ἀγαθὸν καὶ τὸ κακὸν ἀπὸ τοῦ αὐτοῦ φέρεσθαι, καὶ μίαν ἀρχὴν εἰσηγούμενοι, οὐ διακρίνοντες, οὐδὲ διαιροῦντες ἀπὸ τοῦ φωτὸς τὸ σκότος, καὶ τὸ ἀγαθὸν ἀπὸ τοῦ κακοῦ καὶ φαύλου, καὶ τὸν ἔξωθεν ἄνθρωπον ἀπὸ τοῦ ἔνδον, ὡς προείπομεν· ἀλλὰ κιρνῶντες καὶ ἐγκαταμιγνύντες θάτερον θατέρῳ οὐ παύονται. Σὺ δὲ, ὦ τέκνον, μὴ ἴσα τοῖς πολλοῖς τῶν ἀνθρώπων ἀλογίστως καὶ ἁπλῶς ἀμφότερα, ὡς ἂν τύχοι, ἑνώσῃς, μηδὲ τῷ τῆς ἀγαθοσύνης Θεῷ ἀνατίθεσο. Ἀρχὴν γὰρ καὶ τέλος καὶ τὸν τούτων πατέρα τῶν κακῶν ἐπὶ τὸν Θεὸν ἀναφέρουσιν, *ὧν τὸ τέλος κατάρας ἐγγύς*. Οὔτε γὰρ ἐν τοῖς εἰρημένοις Εὐαγγελίοις παρ' αὐτοῦ τοῦ Σωτῆρος ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ πιστεύουσιν, ὅτι *Οὐ δύναται δένδρον καλὸν καρποὺς κακοὺς ποιῆσαι, οὐδὲ μὴν δένδρον κακὸν καλοὺς καρποὺς ποιῆσαι*. Καὶ πῶς τὸν Θεὸν τοῦ Σατανᾶ καὶ τῶν κακῶν αὐτοῦ πραγμάτων λέγειν τολμῶσι ποιητὴν καὶ δημιουργὸν, θαυμάζειν μοι ἐπέρχεται. Καὶ εἴτε μὲν ἄχρι τούτων ἔφθασεν αὐτῶν ἡ ματαιοπονία, καὶ μὴ τὸν Μονογενῆ τὸν ἐκ τῶν κόλπων τοῦ Πατρὸς καταβάντα Χριστὸν, Μαρίας τινὸς γυναικὸς ἔλεγον εἶναι υἱὸν, ἐξ αἵματος, καὶ σαρκὸς, καὶ τῆς ἄλλης δυσωδίας τῶν γυναικῶν γεγενῆσθαι. Καὶ ἵνα μὴ τὰ πολλὰ διὰ τῆσδε τῆς ἐπιστολῆς γράφων εἰς μῆκος χρόνου διασύρω σου τὴν ἐπιείκειαν, οὐκ ἔχων τὰς φυσικὰς φράσεις, ἐπὶ τούτοις ἀρκεσθήσομαι. Τὸ δ' ὅλον γνώσῃ παρόντος μου πρὸς σὲ, εἴγε τῆς σεαυτοῦ σωτηρίας ἔτι φείδῃ. Οὐδὲ γὰρ βρόχον τινὶ ἐπιβάλλω, ὡς οἱ τῶν πολλῶν ἀφρονέστεροι ποιοῦσιν. Νόει ἃ λέγω, τέκνον τιμιώτατε.

Ζ'. Ταύτην ἀναγνοὺς τὴν ἐπιστολὴν ὁ ἀξιολογώτατος Μάρκελλος, καὶ θεοσεβέστατος ἀνὴρ, καὶ διαφανὴς, ἐθαύμαζε καὶ ἐξεπλήττετο. Συμβέβηκε γὰρ Ἀρχέλαον τὸν τῆς πόλεως ἐπίσκοπον οἰκαδε ἅμα αὐτῷ συνεῖναι κατ' ἐκείνην τὴν ἡμέραν, ἐν ᾗ τὴν ἐπιστολὴν τοῦ Μανιχαίου μετὰ χεῖρας εἰληφεν ὁ τοῦ Θεοῦ δοῦλος. Ὁ δὲ Ἀρχέλαος, γνοὺς τὴν αἰτίαν, καὶ τὴν ἐπιστολὴν ἀναγνοὺς, ἔβρυχε τοὺς ὀδόντας, ὥσπερ λέων ὠρυόμενος, καὶ ζῆλον Θεοῦ ἀναλαβὼν, ἐπειρᾶτο ὁρμῆσαι μᾶλλον ἕως αὐτοῦ, καὶ χειρώσασθαι τὸν τοιοῦτον, ὡς ἐπίλυτον [6] ἐκ βαρβάρων, ὅθεν καὶ ὥρμᾶτο πρὸς ἀφανισμὸν τῶν υἱῶν τῶν ἀνθρώπων ἐπαναστάντα. Ὁ δὲ συνετὸς Μάρκελλος τὸν μὲν ἐπίσκοπον ἀξιώσας κατεπράϋνε, Τύρβωνι δὲ παρεκελεύετο διανύειν τὴν ὁδοιπορίαν πρὸς τὸν Μάνην ἐν τῷ κωστέλλῳ Ἀραβίωνος, ἔνθα που ἐξεδέχετο τὸν Τύρβωνα. Ἔστι δὲ τοῦτο τὸ φρούριον ἀνὰ μέσον τῶν Περσῶν καὶ ἀναμέσον τῆς Μεσοποταμίας. Ὁ δὲ παρῃνήσατο τὴν πρὸς τὸν Μανιχαῖον ἄφιξιν· καὶ [7] μὴ καταναγκάσας τὸν Τύρβωνα, ἀποστέλλει τινὰ ταχυδρόμον τῶν ἰδίων, γράψας αὐτῷ ἐπιστολὴν τοιάνδε.

[1] Hebr. vi, 8. [2] Matth. vii, 17. [3] Joan. i, 18. [4] I Cor. vii 35. [5] For. μὴ ἀδ. [6] For. ἐπίλυτον. [7] Deest ὁ Μάρκελλος.

Digitized by Google

Ἐπιστολὴ Μαρκέλλου πρὸς Μανιχαῖον.

Μάρκελλος ἀνὴρ ἐπίσημος Μανιχαίῳ τῷ διὰ τῆς ἐπιστολῆς δηλουμένῳ χαίρειν. Τὴν μὲν ὑπὸ σοῦ γραφεῖσαν ἐπιστολὴν προσηκάμην· τὸν δὲ Τύρβωνα προσεδεξάμην κατὰ φιλοφροσύνην ἐμήν. Τῶν δὲ γραμμάτων τὸν νοῦν οὐδαμῶς ἔγνων· εἰ μὴ σὺ παραγενόμενος φράσῃς ἡμῖν καταλογάδην ἕκαστον, ὡς ὑπέσχου διὰ τῆς ἐπιστολῆς. Ἔρρωσθε.

Η'. Ταῦτα γνοὺς ὁ Μάνης ἐσκέπτετο οὐκ ἀγαθὴν εἶναι τὴν τοῦ Τύρβωνος ἐν καθέξει γενομένην παρουσίαν (πολλάκις δὲ καὶ αὐτὸν ἠπάτα, ἄλλα παρὰ τὰ ὄντα λογιζόμενος), πληροφορίας τῆς ἑαυτοῦ διανοίας χάριν. Ὅμως, διὰ τῆς ἐπιστολῆς λαβόμενος τὴν πρόφασιν, δρομαίως ἦκε πρὸς τὸν Μάρκελλον. Ὁ δὲ ἐπίσκοπος Ἀρχέλαος ἔχων ἐν ἑαυτῷ μετὰ τὸν λόγον [1] καὶ τὸ ζηλωτικὸν τῆς πίστεως, ἐβουλεύετο, εἰ ἦν δυνατὸν, ἐξ αὐτῆς τὸν ἄνδρα, ὥσπερ πάρδαλιν, ἢ λύκον, ἢ τι ἕτερον τῶν θηρίων ἀγρεύσας, θανάτῳ παραδοῦναι, ἵνα μὴ λυμανθῇ τὰ θρέμματα, τοιούτου θηρὸς, [ἐφ' ὁδοῦ] τὴν [2] εἴσοδον κατανοῶν. Ὁ δὲ Μάρκελλος τῇ μακροθυμίᾳ μᾶλλον ἠξίου καὶ ἀνεξικάκως τὸν πρὸς αὐτὸν διάλογον ἀπ' αὐτοῦ γενέσθαι. Ὁ δὲ ἤδη μεμαθηκὼς τῆς τοῦ Μάνη γνώμης τὴν πᾶσαν ὑπόθεσιν· διηγήσατο γὰρ αὐτοῖς ὁ Τύρβων, αὐτῷ τε καὶ Μαρκέλλῳ, τὴν τῆς αἱρέσεως πᾶσαν κενοφωνίαν· ὡς ὁ μὲν Μάνης δύο ἀρχὰς εἰσηγεῖται ἀνάρχους ἀεὶ οὔσας, καὶ μηδέποτε διαλειπούσας τὸ εἶναι, ἀντικειμένας πρὸς ἀλλήλας· καὶ τῇ μὲν μιᾷ ὄνομα τίθησι τὸ φῶς καὶ ἀγαθὸν, τῇ δὲ ἑτέρᾳ σκότος καὶ κακίαν, ὡς εἶναι Θεὸν καὶ διάβολον· ποτὲ δὲ καὶ θεοὺς τοὺς ἀμφοτέρους καλεῖ, Θεὸν ἀγαθὸν, καὶ Θεὸν πονηρόν. Εἶναι δὲ ἐκ τῶν δύο ἀρχῶν τὰ πάντα, καὶ συνεστάναι· καὶ τὴν μὲν μίαν ἀρχὴν τὰ ἀγαθὰ πάντα ποιεῖν, τὴν δὲ ἑτέραν ὁμοίως τὰ φαῦλα. Ἔχειν δὲ ἐν τῷ κόσμῳ τῶν δύο τούτων ἀρχῶν τὰς ὑποστάσεις. Καὶ τὴν μὲν μίαν ἀρχὴν πεποιηκέναι τὸ σῶμα, τὴν δὲ ψυχὴν εἶναι τῆς ἑτέρας. Αὐτὴν δὲ εἶναι τὴν ψυχὴν τὴν ἐν ἀνθρώποις, καὶ ἐν παντὶ ζώῳ, καὶ πετεινῷ, καὶ ἑρπετῷ, καὶ κνωδάλῳ· οὐ μόνον ἀλλὰ καὶ ἐν τοῖς φυτοῖς τὴν τῆς ζωῆς ἰκμάδα κίνησιν εἶναι ψυχῆς φάσκων, ἣν καὶ ἐν τοῖς ἀνθρώποις ὑπάρχουσαν λέγει.

ΜΔ'. Πολλάκις δὲ τῆς ἑαυτοῦ διανοίας ἐπιλαθόμενος, περὶ ὧν δ' ἂν εἴποι ἐπιλανθάνεται, καὶ ἃ ποτε κατασκευάζει, τὰ αὐτὰ πάλιν ἀνασκευάζει ἀγνοῶν. Ὅτε μὲν γὰρ τὴν ψυχὴν φάσκει τὴν βεβρωμένην ἐγκατάκλειστον ὁριζόμενος ἐν σώμασι τοῖς οὖσιν· ὅτε δὲ ἁφηρπάσθαι ἀπὸ τῶν ἀρχόντων ἄνωθεν ἐκ τῆς C πανοπλίας τοῦ ἀγαθοῦ Θεοῦ τὴν αὐτὴν ὁρίζεται, ὡς μηκέτι βεβρῶσθαι, ἀλλὰ ἠχμαλωτεῦσθαι· ποτὲ δὲ τὴν αὐτὴν αἰχμάλωτον ληφθεῖσαν οὐκέτι συναδόντως λέγει, ἀλλ' ἕτερον τρόπον τὴν κατ' αὐτῆς ὑπόθεσιν διηγεῖται, φάσκων, ὡς δέλεαρ αὐτὴν ἑκουσίᾳ γνώμῃ παραβεβλῆσθαι ὑπὸ τῆς ἄνωθεν δυνάμεως δίκην ἐρίφου ἐν βόθρῳ βληθέντος, εἰς τὸ τὸν θῆρα ἀγρεῦσαι, ἐρεθισθέντα τε καὶ κατελθόντα τὸν ἔριφον λαβεῖν, καὶ αὐτὸν τὸν θῆρα θηρευθῆναι. Καὶ εἰ μὲν τῆς ἰδίας δυνάμεως τὸν ἔριφον ἀπέστειλεν ἡ ἄνω δύναμις, ὃ ἐστιν ἀγαθὸς Θεὸς, ἢ τὸ φῶς, ὡς αὐτὸς ὀνομάζει, κἂν τε θηρεύσῃ τὸν θῆρα, τέως πρῶτος ὁ ἔριφος καταβρωθήσεται, καὶ μᾶλλον ἑαυτὴν βλάψει ἡ ἄνω δύναμις, μέρος αὐτῆς ὑποβάλλουσα εἰς βρῶμα τῷ θηρὶ, ἵνα δι' οὗ μέρους αὐτὴ ζημιουμένη δόξῃ τὸν D θῆρα θηρεῦσαι, καὶ οὐκέτι οὐκ ἰσχύουσα, καὶ ὑπερτάτη, καὶ δυνατὴ, λόγῳ ἢ θελήματι τὸν θῆρα χειρώσηται· ἀλλὰ μηχανᾶται πολυτρόπως, καὶ πανουργεύεται, ἵνα δυνηθῇ τοῦ θηρὸς περιγενέσθαι. Καὶ εἰ ὅλως θηρευθείη ὁ θὴρ ἤδη ἀπὸ τοῦ ἰδίου μέρους, ἀπεβάλετο τὸν ἔριφον τὸν βεβρωμένον, κἂν τε ὅλως δυνηθείη θηρεῦσαι. Εἰ γὰρ τὴν ψυχὴν ἀπέστειλεν ἐνταῦθα ἡ ἄνω δύναμις, ἵνα διὰ τῆς ψυχῆς πεδήσῃ τὰς ἀρχὰς, καὶ τὰς ἐξουσίας θηρεύουσα, οὐκ ἀπέδη ὁ σκοπὸς τῇ οὕτω βουλευσαμένῃ. Κἂν τε γὰρ ἀπέστειλε τὴν ψυχὴν θηρεῦσαι, τεθήρευται, ἢ παγιδεῦσαι, πεπαγίδευται, ἐλθοῦσα ἀπὸ καθαρᾶς φύσεως, καὶ ὑποπεσοῦσα πρῶτον μὲν δεσμῷ σώματος τῆς ὕλης, εἶτα δὲ καὶ πολλαῖς τῶν ἁμαρτημάτων

Digitized by Google

ἀτοπίαις. Καὶ πανταχόθεν διαπίπτει ὁ τοῦ πλάνου λόγος, καὶ ἡ τοῦ ἁλιτηρίου διδασκαλία.

ΜΕ'. Φέρε δὴ ἴδωμεν καὶ περὶ τῆς μητρὸς τῆς ζωῆς, ἧς φάσκει δυνάμεως προβεβλῆσθαι· καὶ αὐτὴν δὲ τὴν μητέρα τῆς ζωῆς τόν τε πρῶτον ἄνθρωπον τὰ πέντε στοιχεῖα, ἄτινά ἐστιν, ὡς ἐκεῖνος λέγει, ἄνεμος, φῶς, ὕδωρ, πῦρ καὶ ὕλη. Ταῦτα δὲ ἐνδυσάμενον αὐτὸν, ὡς πρὸς κατασκευὴν πολέμου κατελθεῖν κάτω, καὶ πολεμῆσαι τῷ σκότει. Οἱ γὰρ τοῦ σκότους ἄρχοντες, πολεμοῦντες αὐτῷ, ἔφαγον ἐκ τῆς πανοπλίας αὐτοῦ, ὅ ἐστιν ἡ ψυχή. Ὦ ἀγύρτου μιμολογίας! ὦ χλεύης ἀσυνεικάστου καὶ γελοιώδους ὑποθέσεως! Τὰ ἐπίχειρα[1] πανταχόθεν ἀδυναμίαν προσάπτει τῷ Θεῷ, πανταχόθεν ἄγνοιαν ὁρίζεται τῷ πάντα γινώσκοντι Θεῷ. Ὁ γὰρ προβαλὼν τὴν μητέρα τῆς ζωῆς, κατὰ τὸν αὐτοῦ λόγον, ἢ ὅτι ἀγνωσίαν εἶχε, τίνα τὰ ἀπὸ τῆς μητρὸς τῆς ζωῆς ἐπιτελούμενα, ἢ ὅτι ἀποτελεσθέντα παρὰ τὴν προσδοκίαν τῆς διανοίας τὰ συμβεβηκότα ἄλλως εὑρεθέντα ὄνειδος φέρει. Ἄγνοιαν γὰρ ὀφλήσειε ὁ ἕτερα μὲν διανοηθεὶς ἀποβήσεσθαι, (ὁ) ἕτερα δὲ εὑρὼν ἐς ὕστερον γενόμενα, οὐ κατὰ τὴν αὐτοῦ θέλησιν. Ἡ γὰρ μήτηρ τῆς ζωῆς ἡ παρ' αὐτῷ δύναμις καλουμένη, ἐξ αὐτοῦ προβληθεῖσα, ὡς αἰσχρόν ἐστι καὶ τὸ λέγειν μητέρα ζωῆς! Οὐ γὰρ ἀποδέχεται τοῖς τὸν σώφρονα λογισμὸν κεκτημένοις τι θῆλυ ἐν τῇ θεότητι διανοεῖσθαι. Καὶ αὕτη δὲ, φησὶν, ἡ θήλεια προεβάλετο τὸν πρῶτον ἄνθρωπον· καὶ ὅλως εἰπεῖν, τὸν πρῶτον ἄνθρωπον τὴν φύσιν καὶ τὴν μητέρα τῆς ζωῆς ἐκ τῶν ἐν ἡμῖν γιγνομένων φαντάζεται. Ἄνθρωπος γὰρ κέκληται ἐπὶ τῆς γῆς, καὶ μήτηρ ἐκ τῆς γῆς ἡμᾶς γεννήσασα, ἡ ἐκ Θεοῦ τῷ Ἀδὰμ κεκτισμένη. Φαντάζεται δὲ ἀπὸ τῶν ἰδίων λογισμῶν ὁ κτηνώδης ἐν οὐρανῷ τοιαῦτα εἶναι, ὁποῖα καὶ ἐπὶ τῆς γῆς ὑπάρχει. Ἄτινα οὐκ ἐπιδέχεται[2], ὡς ὁ θεῖος λόγος πάντη διδάσκει. Λέγει γὰρ *σώματα ἐπουράνια*, καὶ *σώματα ἐπίγεια*· ἀλλ' ἑτέρα μὲν ἡ τῶν ἐπουρανίων δόξα, ἑτέρα δὲ ἡ τῶν ἐπιγείων· καὶ οὕτως ὅλως τὰ ὑπεράνω τῶν οὐρανῶν διηγήσατο. Ἀλλὰ περὶ τῶν φαινομένων τούτων τῶν σῶμα ὑπαρχόντων, ἡλίου λέγω, ἢ σελήνης, ἢ τῶν ἐπὶ γῆς ὄντων, καὶ τῶν σωμάτων τῶν ἁγίων, ὥς γε διανοούμεθα ταπεινοὶ ὄντες. Εἰ δὲ καὶ τῶν ὑπὲρ οὐρανὸν ἔσται λόγος, διὰ τὸ ἐν αὐτῷ τῷ Ἀποστόλῳ τῆς γνώσεως βαθύτατον χώρημα, οὐ πάντως ὁριζόμεθα. Ὁμῶς πολλὰ τῶν ἐπιγείων λέλεκται· πόσῳ μᾶλλον τὰ ὑπεράνω τῶν οὐρανῶν; Πόθεν δύναται τοῖς ἐπιγείοις ἀπεικάζεσθαι, ὦ οὗτος;

ΜΣ'. Τὸν δὲ πρῶτον ἄνθρωπον (ὄν) φάσκεις πάλιν κατεσκευακέναι ἑαυτῷ πανοπλίας χάριν τὸν ἄνεμον, τὸ φῶς, τὸ πῦρ, τὸ ὕδωρ, τὴν ὕλην, ἵνα[3] εἰ μὲν ἄνωθέν ἐστιν ὁ πρῶτος ἄνθρωπος, καὶ ὧδε ἦλθεν ἑαυτῷ κατασκευάσαι τὴν πανοπλίαν, καὶ προβάλλειν

creti cum materia corporis incidit; tum multis est peccatorum incommodis obstricta. Quamobrem hæretici illius atque exsecrandi hominis tam oratio, quam doctrina omni ex parte refellitur.

XLV. Age nunc matrem illam vitæ videamus, quam ab virtute productam **658** affirmat, eamdemque cum primo homine quinque elementa procreasse, quæ sunt ex illius opinione, ventus, lux, aqua, ignis et materia. Quibus indutus ille, velut ad comparandum bellum in inferiora delapsus, cum tenebris congressus est. Nam tenebrarum principes, cum eo confligentes ex ejus armatura, quæ anima est, nonnihil adederunt. O inimicas circulatoris ineptias! o fabulam risu omni ac ludibrio dignam! Ubique divino numini imbecillitatem affingit, cumque qui novit omnia summa undique ignorantia constringit. Nam qui matrem illam vitæ produxerit, sive ignorabat quid esset illa factura sive jam facta diversa ab eo, quod speraverat, inventa sunt, infamiam effugere non potest. Necesse est enim ignorantiæ illum argui, qui cum aliud eventurum esse cogitaverit, aliud præter voluntatem suam evenisse postea cognoscit. Quod vero ad illam vitæ matrem attinet, quam etiam virtutem nominat, et ab eo vult esse productam, quam turpe est vitæ illam matrem dicere! Nemo enim, qui sano judicio præditus sit, admittere quidquam in divina natura femineum potest. At iste etiam ab hac femina primum esse procreatum hominem narrat. Et, uno verbo dicam, primum hominem vitæque matrem ad eorum, quæ in nobis accidere cernuntur, similitudinem commentus est. Siquidem et homo vocatur in terra, et mater, quæ nos e terra genuit, quæque Adamo divinitus est producta[4]. Ergo eadem quæ in terra fiunt, etiam in cœlo reperiri sua inductus opinione stupidus homo nugatur. Quæ quidem ab omni ratione sunt alienissima; id quod ubique sacræ Litteræ nos docent. Quæ *cœlestia corpora*, et *terrena corpora* nominatim exprimunt[5], sed alia est cœlestium gloria, alia terrenorum. Ubi non de iis quæ supra cœlestes orbes sunt, disserit, sed de aspectabilibus iisce corporibus, sole, luna, sive etiam de iis quæ in terra sunt, sanctorumque corporibus: quemadmodum pro tenuitate nostra interpretandum credimus. Utrum vero de iis, insuper quæ supra cœlum eminent hoc loco sermo sit, propter immensam Apostoli altissimamque scientiam, certi nihil asserimus. Terrena quidem pleraque commemoravit. Quanto magis quæ cœlo ipso superiora sunt? Quanam **659** ratione cum terrenis comparari poterunt?

XLVI. Quod vero primum ais hominem armaturæ sibi loco ventum, lucem, ignem, aquam ac materiam fabricasse, si e cœlo primus ille homo derivatus est, atque huc procudendæ illius armaturæ gratia venit, qua velut lorica quadam ac

[1] Vox illa τὰ ἐπίχειρα non admodum necessaria videtur. [2] F. ἐνδέχεται. [3] Pro ἵνα forte ἀλλὰ [4] Gen. I, 26. [5] I Cor. XV, 40.

munimento se protegeret; consequens est ut hæc inferiora illo potentiora sint qui e cœlo descenderit Aqua enim illa ipsa est quæ cernitur, lux quæ oculis apparet, materia quæ opinione tua corrumpitur, ventus qui auribus nostris insonat, ignis idem ille denique, quem ad usum vitæ passim adhibemus. Quibus rebus si principes oppugnat, cedo quænam illa belli ratio administratioque proponitur? quis istius belli dux et auctor classicum nobis concinet : Age perrumpamus hostium phalanges, prœliumque conflemus? Quis in eum primus jaculetur, qui contra principatuum ac potestatum substantiam furiosus incurrit? Estue ut ventus confligere possit, aut materia, quæ ex tua sententia corrumpitur? Ignisne porro, qui ad usum nostrum a Deo creatus est? An lux illa, quæ pro temporum descriptis a Deo spatiis vicissim tenebris cedit? At opinor, aqua pugnabit. Quo tandem pacto? Edissere, sodes, ineptas illas tuas fabulas. Atqui per hæc omnia tam bona quam mala fieri videmus. Sic ignis adminiculo sacrificia idolis instruuntur, neque id officii genus detrectat ignis, aut peccatum prohibet. Quin et aquam maritimam libant qui dæmones adorant; nec ullus unquam ad hoc summæ ignorantiæ opus aqua præstandum est prohibitus. Quam multi prædones in maris aquis homicidia perpetrarunt? Ac tantum abest ut nequitiæ principibus, quod tu dicis, aqua contraria sit, ut iis potius opituletur ac conferat, non ipsius aquæ culpa, sed ipsiusmet hominis, cui peccati sui causa tribuenda sit. O nugas atque ineptias!

Quid illa vero armorum structura elementorumque munimentum primo illi homini profuit, cum ad prœliandum delapsus a tenebris victus ac debellatus fuerit? Tua enim hæc oratio est; oppressum afflictumque in iis inferioribus hominem, qui eum idcirco precatus esset, exaudisse Patrem, et aliam productam a se misisse virtutem, **660** quem viventem spiritum appellat. Tolle larvam tuam, o Menander comice! Nam cum ejusmodi plane sis, latebram tibi nihilominus quæris, ac mera nobis adulteria et ebrietates narras. Nihil enim apud te compositum ac modestum. Tu enim pro veritate Græcorum fabulas inducens sectatoribus tuis illudis. Credo equidem sapientiorem te Hesiodum fuisse, dum illas in Theogonia fabulas edisserit : necnon et Orpheum, atque Euripidem. Nam isti, quantumvis ridicula narrent, perspicuum est, quod poetæ essent, falsa de industria confinxisse. Tu vero luculentiorem ut errorem facias, falsa pro veris obtrudis.

XLVII. Igitur vivum illum spiritum narras e cœlo delapsum primo homini porrexisse dexteram, atque e tenebris eduxisse, eum, inquam, hominem, qui in inferiori hoc orbe periclitabatur. Qui cum ut absumptam liberaret animam descendisset, nec eripere potuisset, illum ipsum, inquam, qui ad sa-

[1] Regius τὰ πτερά. [2] Cor. ἀνενηνοχέναι.

A ἑαυτῷ ταύτην εἰς θωρακισμὸν ἑαυτοῦ καὶ ἐνδυναμίαν, ἄρα δυνατώτερα τὰ ἐν τῷ κόσμῳ τούτῳ ὑπὲρ τὸν ἄνωθεν ἐλθόντα τῶν ἐπουρανίων. Ὕδωρ γάρ ἐστι τὸ ὁρατὸν, καὶ φῶς τὸ φαινόμενον, καὶ ὕλη ἡ κατὰ σὲ φθειρομένη, καὶ ἄνεμος ὁ ἐν ἡμῖν ἐνηχούμενος, καὶ τὸ πῦρ τοῦτο ᾧ ἀκωλύτως οἱ πάντες κεχρήμεθα ἐν ταῖς χρείαις. Καὶ εἰ διὰ τοιούτων τοὺς ἄρχοντας πολεμεῖ, τίς ἡ ἐνέργεια τοῦ πολέμου; λέγε· τίς ἡμῖν σαλπίσειεν ἀρχηγὸς πολέμου γινόμενος· Διατέμωμεν τὰς φάλαγγας, ἐπισυστήσωμεν τὰ παρὰ[1] τοῦ πολέμου; Τίς βάλοι πρῶτον βέλος κατὰ τοῦ χαλεπῶς μανέντος κατὰ τῆς ἀρχῶν καὶ ἐξουσιῶν ὑποστάσεως; Ἄνεμος πολεμεῖ, ὦ οὗτος; ἀλλὰ ὕλη ἡ κατὰ σὲ φθειρομένη; ἀλλὰ τὸ πῦρ τὸ εἰς χρῆσιν ἡμετέραν κατασκευασθὲν ὑπὸ τοῦ Κυρίου; ἀλλὰ τὸ φῶς τὸ ὑποχωροῦν τῷ σκότει ἀναμέρος, διαστημάτων τῶν χρόνων ἐκ Θεοῦ τεταγμένων; ἀλλὰ τὸ ὕδωρ; ποίῳ τρόπῳ, διήγησαι τὰ παρὰ σοὶ κενοφωνούμενα. Καὶ γὰρ ὁρῶμεν διὰ τούτων μᾶλλον καὶ ἀγαθὰ καὶ φαῦλα γινόμενα. Ἐν τῷ γὰρ πυρὶ θυσίαι γίνονται εἰδώλοις, καὶ οὐ παραιτεῖται τὸ πῦρ, οὐδὲ κωλύει τὴν ἁμαρτίαν. Τῷ ὕδατι τῆς θαλάσσης σπένδουσιν οἱ τοῖς δαιμονίοις προσκυνοῦντες, καὶ οὐ κεκώλυταί ποτε ἐν ὕδατι ὁ πειρώμενος ἄγνοιαν ἐπιτελέσαι. Πόσοι δὲ πειρατὰι φόνους εἰργάσαντο ἐν ὕδασι θαλάσσης; καὶ μᾶλλον οὐκ ἐναντίον τὸ ὕδωρ τοῖς ἄρχουσι τῆς πονηρίας, ὡς σὺ λέγεις, ἀλλὰ συνεργητικὸν μᾶλλον τὸ ὕδωρ, οὐκ ὄντος αἰτίου τοῦ ὕδατος, ἀλλὰ αἰτίου ἑκάστου ἀνθρώπου τῆς ἑαυτοῦ ἁμαρτίας. Καὶ ὦ τῆς πολλῆς σου B φλυαρίας!

Τί δὲ ὠφέλησεν ἡ κατασκευὴ τῶν ὅπλων, καὶ ὁ θωρακισμὸς τῶν στοιχείων, τὸν πρῶτον κατὰ σὲ ἄνθρωπον τὸν κατελθόντα πολεμῆσαι, καὶ ὑπὸ τοῦ σκότους καταπονηθέντα; Φάσκεις γὰρ, ὅτι ἐθλίβη ἐκεῖ κάτω ὁ ἄνθρωπος. Εὐξαμένου δὲ αὐτοῦ ἤκουσεν ὁ Πατὴρ, ὡς ἔφης, καὶ ἀπέστειλεν ἑτέραν δύναμιν προβληθεῖσαν ὑπ' αὐτοῦ, λεγομένην πνεῦμα ζῶν. Ἐπαρόν σου τὸ προσωπεῖον, ὦ κωμῳδοποιὲ Μένανδρε. Ἐκεῖνος γὰρ ὢν, σεαυτὸν σκεπάζεις; μοιχῶν ἔργα διηγούμενος καὶ μέθης. Οὐδὲν γὰρ ἐν σοὶ καθέστηκε. Τῶν γὰρ Ἑλλήνων τὰ ποιήματα ἀντὶ τῆς ἀληθείας παρεισφέρων, πλανᾷς τοὺς ὑπὸ σοῦ ἡπατημένους. Τάχα γὰρ ὑπὲρ σὲ Ἡσίοδος ἐφρόνησε, τὰ περὶ τῆς θεογονίας ποιητεύματα διηγησάμενος· τάχα Ὀρφεὺς, C τάχα Εὐριπίδης. Ἐκεῖνοι γὰρ, κἂν καταγέλαστα διηγήσαντο, δῆλοί εἰσιν, ὅτι ποιηταὶ ὑπάρχοντες ἐποιητεύσαντο τὰ οὐκ ὄντα. Σὺ δὲ ὡς ὄντα διηγῇ, ἵνα τὴν πλάνην περισσοτέραν ἐργάσῃ.

MZ'. Τοῦτο φάσκεις τὸ πνεῦμα τὸ ζῶν κατελθὸν κάτω δεδωκέναι δεξιὰν, καὶ ἀνενοχέναι[2] ἀπὸ τοῦ σκότους τὸν πρῶτον λεγόμενον παρὰ σοὶ ἄνθρωπον, τὸν κάτω ἐν τοῖς κατωτέροις κινδυνεύσαντα, τὸν κατελθόντα σῶσαι τὴν βεβρωμένην ψυχὴν, καὶ μὴ δυνηθέντα σῶσαι, ἀλλὰ αὐτὸν κεκινδυνευκέναι εἰς σωτη-

Digitized by Google

ρίαν ἀπεσταλμένος [1] ἐκινδύνευσε, καὶ ἐπεδεήθη ἑτέρου πάλιν ἀπεσταλμένου πρὸς τὴν τούτου σωτηρίαν. Πόσῳ γε μᾶλλον ἡ ψυχὴ κινδυνεύσειε δι' ἣν ὁ ἀπεσταλμένος πρῶτος ἄνθρωπος ἐλθὼν ἐκινδύνευσεν; Ἀλλὰ καὶ δεύτερον ἀπεσταλμένον εἰς τὸ σῶσαι, ὅπερ φάσκεις εἶναι αὐτὸς πνεῦμα ζῶν, κατὰ μετάμελον. Ἄρα ὁ Πατὴρ ἀπέστειλε τὸν ἔτι ἰσχυρότερον, ἵνα τοῦ πρώτου ἀνθρώπου σωτὴρ γένηται. Ἢ ἠγνόει μὲν ἐκεῖνον ἀδυνατοῦντα τὸν πρῶτον, καὶ ὑπολαμβάνων, ὅτι σώσει κινδυνεύσαντος αὐτοῦ, ὕστερον διὰ τῆς πείρας ἐγνωκὼς προβάλλεται καὶ ἀποστέλλει; Καὶ πολλή τίς ἐστιν ἡ ἀτοπία, ὦ Μανιχαῖε, καὶ ἀσύστατον τὸ παρά σοῦ ληρολόγημα τῆς πάσης διδασκαλίας. Φάσκει δὲ πάλιν, ὅτι κατελθὸν τὸ Πνεῦμα ἔδωκε δεξιάν, καὶ ἀνήνεγκε τὸν πρῶτον κινδυνεύσαντα ἄνθρωπον. Διὰ τοῦτο μυστήριον τοῖς ἑαυτοῦ μαθηταῖς παραδέδωκεν εἰς τὸ ἐπιδιδόναι δεξιάν, ὅταν ἀλλήλοις συναντήσωσι σημείου χάριν, ὡς ἀπὸ σκότους σωθέντες. Ἐν γὰρ τῷ σκότει πάντα φάσκει εἶναι, πλὴν αὐτοῦ μόνου. Καὶ γὰρ οἱ τυφλοὶ χλεύης ἕνεκα μᾶλλον παρὰ τῶν ὁρώντων τὸ κακόφημον ἐκκλίνοντες, πολὺ βλέποντες ἀκούουσιν.

A lutem alterius missus fuerat, in discrimen adductum, atque alterius ope, qui perinde ad liberandum mitteretur, opus habuisse. Quanto igitur magis periclitari par erat animam, cujus gratia primus homo missus periculum adierit? Sed secundum quemdam liberatorem velut in subsidium allegatum esse doces, velut Patrem prioris consilii pœniteret; et illum vivum spiritum appellas. Fortiorem igitur a Patre quempiam missum oportet, primi ut hominis vindex esse posset. An vero primum illum imbecillum fore nesciebat? et quem periclitanti saluti fore sperabat, posteaquam experientia cognovit, alium illum produxit et emisit? Absurdissima sunt, o Manichæe, quæ dicis, ac tuum illud dogma minime cohærens est nugarumque plenissimum. B Illud vero insuper affirmat, delapsum in terras spiritum dextram dedisse, ac primum hominem de salute periclitantem extulisse sursum. Quam ob causam mysterium quoddam discipulis suis tradidit, ut cum invicem occurrunt dexteram conferant: quo signo e tenebris vindicatos se esse declarent. Nam omnia præter se unum versari in tenebris affirmat. Quippe et cæci ipsi ferme a videntibus, mali ominis vitandi gratia, multum videntes appellari solent.

ΜΗ'. Εἶτα φάσκει πάλιν, ἑτέρας τινὰς κατασκευὰς ἡμῖν καὶ ἀρχιτεκτονίας ἐργαζόμενος, ὡς παρὼν ἐκεῖσε, καὶ φανταζόμενος τὰ μὴ ὄντα, ὅτι τότε τοῦτο τὸ ζῶν πνεῦμα ἔκτισε, φησὶ, τὸν κόσμον· καὶ αὐτὸ τρεῖς ἑτέρας δυνάμεις φορέσαν, καὶ κατελθὸν ἀνήνεγκε τοὺς ἄρχοντας, καὶ ἐστερέωσεν ἐν τῷ στερεώματι, ὅ ἐστιν αὐτῶν ἡ σφαῖρα· καὶ τὸ μὲν ἀνήνεγκεν. Οὔτε νοεῖ ὁ κτηνώδης πῶς ἑαυτῷ ἀντιμάχεται, καὶ τὰ παρ' αὐτῷ ἐπαινετὰ λέγει, καὶ τὰ ψογιζόμενα εἰς ἔπαινον φέρει δίκην μεθύοντος καὶ παραφερομένου, καὶ ἕτερα ἀνθ' ἑτέρου [2] παραλαλοῦντος. Φάσκει γὰρ τοὺς ἄρχοντας κάτω ὑπάρχοντας ἐν τῷ σκότει πονηρᾶς εἶναι ὑποστάσεως, καὶ φθορᾶς τὸ χωρίον. Καὶ εἰ ἐκ ταύτης τῆς φθορᾶς, καὶ εἰ ἐκ τοῦ μέρους τοῦ σκότους τὸ πνεῦμα βιασάμενον τοὺς ἄρχοντας εἰς ἄνω ἀνήνεγκεν, ἐπὶ τιμωρίᾳ μᾶλλον, φαύλων δὲ χωρίων (34) τὴν μετάστασιν ποιούμενον ἐπὶ τιμωρίᾳ μετέσπασεν εἰς τὰ ἄνω, οὐκέτι ἔσται τὰ ἄνω ἀγαθὰ, καὶ ὑποστάσεως ζωτικῆς, ἀλλὰ μᾶλλον θανάτου. Καὶ τὰ κάτω οὐκέτι τιμωρία, ἀλλὰ ἀγαθῆς τινος οὐσίας, ἐξ οὗ τόπου βουληθὲν τὸ πνεῦμα εἰς τιμωρίαν μεταβαλεῖν τοὺς ἄρχοντας ἀπὸ τῶν ἡδέων καὶ ἀναγκαίων, ἐπὶ τὸν τιμωρὸν τόπον μετήγαγεν, ἵν' οὕτως αὐτοὺς τιμωρήσοιτο. Καὶ ἄλλως, εἰ τὸ πνεῦμα τὸν κόσμον πεποίηκε, πῶς πάλιν λέγεις τὸν κόσμον μὴ ὑπὸ Θεοῦ γεγενῆσθαι; Καὶ εἰ τῶν ἀρχόντων τυγχάνει σῶμα τὸ στερέωμα, ἐν ποίῳ ἄρα σταυρῷ προσέπηξε τοὺς ἄρχοντας; Ποτὲ μὲν γὰρ λέγεις αὐτοὺς ἐν τῷ στερεώματι πεπῆχθαι, ποτὲ δὲ αὐτὸ τὸ στερέωμα σῶμα τῶν αὐτῶν ὁρίζῃ. Καὶ πολλή σου ἡ ἀσυναρτησία τῶν λό-

XLVIII. Post hæc novas quasdam structuras ac molitiones designans, **661** quasi illic fuisset; quæque nuspiam sunt sibi ipsi confingens, vivum illum spiritum ait condidisse mundum, ac tres alias virtutes ferentem, descendentemque principes eduxisse, atque in firmamento stabilisse, qui sit ipsorum globus; atque hoc pacto sursum evexisse. C In quo quemadmodum secum pugnet pecus illa non videt; cum tam ea quæ laudabilia statuit ipse, quam quæ vituperanda censet, ad laudem conferat, velut ebrius, aut mente captus, quique in sermone identidem hallucinetur. Etenim principes illos, qui in infima regione tenebrisque versantur, mala esse substantia præditos docet, ac locum ipsum corruptionis esse proprium. Atqui si ex hac ipsa corruptela, tenebrarumque regione, spiritus per vim principes illos sursum extulit, pœnæ id infligendæ causa fecisse potius videtur, ut illos malis iis ex sedibus extractos in superiora transferret. Quare bona esse superiora hæc ipsa desinent, vitalisque D substantiæ, sed deinceps morti tribuenda, ac vice versa inferiora non amplius supplicii, sed naturæ cujusdam melioris conditionem obtinebunt, cum ex eo loco spiritus, quos ad pœnam trahere principes vellet, indidem, velut ex jucundis ac familiaribus sedibus, alio tanquam ad supplicii locum puniendi causa transtulerit. Deinde si mundus a spiritu fabricatus est, quanam ratione mundum negas a Deo procreatum? Item si firmamentum principum corpus est, cui tandem cruci principes affixit? Quos

[1] Leg. γὰρ ἀπεστ. [2] Cor. ἑτέρων.

(34) *Φαύλων δὲ χωρίων.* Depravata ista sunt, nisi forte μετάστασιν τῶν χωρίων dixit pro εἰς τὰ χωρία.

Digitized by Google

tu nonnunquam in firmamento suffixos doces. Alias firmamentum ipsum eorumdem corpus esse defendis. Ex quibus apparet summam in oratione tua inconstantiam inesse, neque quidquam cum veritate consentaneum ac consequens habere. Quare non tam nobis hostis in omnibus, quam tibi ipsi dogmatisque tui sectatoribus inimicus ingruere videris.

XLIX. Sed illud præterea profitetur : Postquam illo in globo principes in crucem sustulit, sidera produxisse, quæ sunt animæ reliquiæ. Non enim animam esse dixit, sed ejus tantummodo reliquias. O vanum absurdumque decretum ! o falsos minimeque consentaneos sermones ! Nam reliquiæ omnes totius partes aliquæ sunt, iisdemque majus esse totum necesse est. Quocirca si reliquiæ sidera ipsa sunt, velim nobis majus aliquid sideribus ipsis ostendat, ut animam videamus. **662** Sin totum ipsum devoratum est et consumptum, ejusque reliquiæ sidera ipsa sunt, cum hæc cruci affixis principibus inferiora sint, tandem et ipsa devorabuntur : cum principes, ut dixi, superiores sedes obtineant. Quod si pro eo quod suffixi sunt, nec animam, nec sidera retinere possunt, ruit omnis illa tua, Manichæe, inanis ac conficta narratio.

Pergit idem atque ita disserit : Posteaquam, inquit, Bajulum increpavit, materia quoque stirpes sibi universas produxit. Quas cum deprædati essent principes, tum magnus princeps cæteros omnes ac primarios convocans, viritim singulas ab iis virtutes accepit ; dehinc hominem ad prioris illius exemplar effinxit, eique illigavit animam ; atque ea demum est commistionis mutuæque temperationis ratio. Verum cum vivus Pater afflictam in corpore videret animam, pro humanitate clementiaque sua, unice dilectum a se Filium ad illius salutem dimisit. Ob hanc enim causam, tum Bajuli gratia missum illum existimat. Porro Filius mox ut advenit, sese in hominis speciem figuramque convertit ; adeo ut hominibus hominis instar appareret, et eum illi natum esse sibi persuaderent. Qui cum accessisset, et ad hominum salutem recuperandam suum opus designasset, machinam quamdam exstruxit ; in qua cadi inerant duodecim ; quæ globi vertigine circumvoluta mortuorum in sublime animas evehit, quas ubi sol exceperit, repurgat, et in lunam transmittit. Ita lunæ, quem appellamus, orbis impletur.

L. Vides quanta sit impostoris vanitas oblivioque tanquam ex ebrietate contracta ? Quæ enim antea dixit, non recordatur amplius, et quæ dixisse videtur, commutat ac destruit, et suamet ipse dogmata subvertit. Nam alias aliter disserit, ut priora posterioribus evertat, ac quæ initio everterat, rursus instauret ; ut illud perspicue declaret, non sui se compotem esse, sed ab impuro spiritu correptum alia pro aliis phreneticorum more garrire. Nam si de adventu Domini nostri Jesu Christi lo-

γων, ἥτις οὐδεμίαν ἀκολουθίαν πρὸς τὴν ἀλήθειαν ἔχει. Ὡς ἐν πᾶσιν ἡμῖν ἐπεφοίτησε [1] πολέμιος, μᾶλλον δὲ ἑαυτῷ καὶ τοῖς σου τὴν γνώμην δεχομένοις.

ΜΘ'. Εἶτα πάλιν φάσκει ὁ αὐτὸς, ὅτι, μετὰ τὸ ἐσταυρωκέναι τοὺς ἄρχοντας ἐν τῇ σφαίρᾳ, ἔκτισε τοὺς φωστῆρας, ἃ ἐστι τῆς ψυχῆς τὸ λείψανον. Καὶ οὐ λέγει τὴν ψυχὴν, ἀλλὰ τῆς ψυχῆς λείψανα. Ὦ ἀσυστάτου δόγματος, καὶ λόγων ψευδῶν καὶ ἀσυναρτήτων ! Πᾶν γὰρ τὸ λείψανον μέρος τυγχάνει τοῦ πληρώματος. Τὸ δὲ πλήρωμα μεῖζον τυγχάνει τοῦ λειψάνου. Εἰ τοίνυν τὰ λείψανά εἰσιν οἱ φωστῆρες, δειξάτω ἡμῖν μειζότερον τῶν φωστήρων, ἵνα ἴδωμεν τὴν ψυχήν. Εἰ δὲ τὸ μὲν πλήρωμα βέβρωται καὶ ἀνάλωται, λείψανον δὲ οἱ φωστῆρες, ἆρα καὶ αὐτοὶ ὑποκάτω τῶν ἐσταυρωμένων ἀρχόντων ὄντες βρωθήσονται, τῶν ἀρχόντων τὴν ἐπανότητα κεκτημένων. Εἰ δὲ, διὰ τὸ ἐσταυρῶσθαι, μηκέτι δύνασθαι [2] ἐν καθέξει τῆς ψυχῆς καὶ τῶν φωστήρων εἶναι, διέπεσεν ὁ σοῦ ληρώδης λόγος, ὦ Μανιχαῖε.

Εἶτα πάλιν ὁ αὐτὸς διδάσκων, ὅτι, μετὰ τὸ ἐπιτιμῆσαι τῷ Ὡμοφόρῳ, ἔκτισε, φησὶν, ἑαυτῇ καὶ ἡ ὕλη πάντα τὰ φυτά· καὶ συλωμένων τῶν αὐτῶν ὑπὸ τῶν ἀρχόντων, ἐκάλεσεν ὁ μέγας ἄρχων πάντας τοὺς ἄρχοντας καὶ πρωτίστους, καὶ ἔλαβεν ἀπ' αὐτῶν ἀνὰ μίαν δύναμιν· καὶ κατεσκεύασεν ἄνθρωπον κατὰ τὴν ἰδέαν τοῦ πρώτου ἀνθρώπου ἐκείνου, καὶ ἐδέσμευσε τὴν ψυχὴν ἐν αὐτῷ. Αὕτη ἐστὶν ἡ τῆς συγκράσεως ὑπόθεσις. Ὅτι δὲ εἶδε, φησὶν, ὁ Πατὴρ ὁ ζῶν θλιβομένην τὴν ψυχὴν ἐν τῷ σώματι, εὔσπλαγχνος ὢν καὶ ἐλεήμων, ἔπεμψε τὸν Υἱὸν αὐτοῦ τὸν ἠγαπημένον εἰς σωτηρίαν τῆς ψυχῆς. Διὰ γὰρ ταύτην τὴν πρόφασιν, καὶ τὴν τοῦ Ὡμοφόρου ἀπεστάλθαι αὐτὸν φάσκει. Καὶ ἐλθὼν ὁ Υἱὸς μετεσχημάτισεν ἑαυτὸν εἰς ἀνθρώπου εἶδος, καὶ ἐφαίνετο τοῖς ἀνθρώποις ὡς ἄνθρωπος, καὶ οἱ ἄνθρωποι ὑπέλαβον αὐτὸν γεγεννῆσθαι. Ἐλθὼν οὖν, καὶ ποιήσας τὴν δημιουργίαν πρὸς σωτηρίαν τῶν ἀνθρώπων, μηχανὴν συνεστήσατο ἔχουσαν δώδεκα κάδους, ἥτις, ὑπὸ τῆς σφαίρας στρεφομένη, ἀνιμᾶται τῶν θνησκόντων τὰς ψυχάς. Καὶ ταύτας ὁ μέγας φωστὴρ ταῖς ἀκτῖσι λαβὼν, καθαρίζει, καὶ μεταδίδωσι τῇ σελήνῃ· καὶ οὕτω πληροῦται τῆς σελήνης ὁ δίσκος, ὁ παρ' ἡμῖν προσαγορευόμενος.

Ν'. Καὶ ὁρᾷς πόση τούτου τοῦ γόητος ἡ ληρώδης φλυαρία, καὶ μέθης λήθη ; Τὰ γὰρ ὑπ' αὐτοῦ λεγόμενα εἰς λήθην μεταδίδωσι, καὶ ὅσα δοκεῖ λέγειν, μετασκευάζει, καὶ ἀνασκευάζει, τὰ ἴδια καταλύων δόγματα. Ἄλλοτε μὲν ἄλλως καὶ ἄλλως διηγούμενος, καὶ τὰ ὕστερα τὰ πρῶτα καταλύει, καὶ ἃ ἐν πρώτοις κατέλυσεν, αὖθις πάλιν οἰκοδομεῖ, [ὡς] ἵνα δείξῃ, ὅτι ἀφ' [3] ἑαυτοῦ οὐ καθέστηκεν, ἀλλὰ ὑπὸ πνεύματος ἀκαθάρτου ἐλαυνόμενος ἄλλα ἀντ' ἄλλων διηγεῖται, καθάπερ οἱ φρενητιῶντες. Ἦτοι γὰρ τὴν παρ-

[1] F. ἐπεφοίτησας. [2] F. δύνανται. [3] F. ἐφ'.

Digitized by Google

οὐσίαν λέγει τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ πολλὰ ἔτη τοῦ γενέσθαι τοὺς φωστῆρας, ἦλθεν ἡ παρουσία, καὶ μετὰ τὴν παρ' αὐτῷ μηχανὴν καλουμένην τῶν δώδεκα κάδων. Ἀεὶ γὰρ ἐν οὐρανῷ ἐξ ὁτου γέγονε τυγχάνει τὰ ἄστρα, ἤτοι στοιχεῖα αὐτὰ καλεῖν βούλονται, ἤτοι διαστήματα τοῦ οὐρανοῦ καὶ μέτρα. Ὅμως ἀπὸ τετάρτης ἡμέρας τῆς κοσμοποιίας τὰ πάντα καλῶς τέτακται, οὐκ εἰς βλάβην τῶν ὑπὸ Θεοῦ κυριευομένων. Ἡ δὲ τοῦ Χριστοῦ παρουσία ἐν τῷ πεντεκαιδεκάτῳ ἔτει Τιβερίου Καίσαρος ἤρξατο τοῦ κηρύγματος, μετὰ τριακοστὸν ἔτος τῆς αὐτοῦ γεννήσεως, ὅπερ κατήντα εἰς πεντακισχιλιοστὸν (35) πεντακοσιοστὸν ἕνατον ἔτος τῆς κοσμοποιίας, καὶ τριακοστὸν τῆς αὐτοῦ ἡλικίας, τριακοστὸν δὲ τρίτον ἕως τοῦ σταυροῦ. Πῶς οὖν ἀπὸ πρώτης ταῦτα ἐν οὐρανῷ ὑπῆρχε, φωστῆρές τε καὶ ἄστρα; Εἰ δὲ λέγει, Πρὸ τούτου ἐλθὼν ἐποίησε ταῦτα, ἀσύστατος αὐτοῦ ἡ φλυαρία. Πρὶν γὰρ τοῦ εἶναι ἄνθρωπον ἐπὶ τῆς γῆς, ἐγένοντο τὰ κατ' αὐτὸν καλούμενα στοιχεῖα, καὶ οἱ δώδεκα μάτην καλούμενοι κάδοι, καὶ ἡ μηχανή, ἣν βούλεται χαριστικοῖς ὀνόμασι φαντάζειν τοὺς ὑπ' αὐτοῦ πεπλανημένους.

quitur, **663** annis ille multis postea contigit, quam aut sidera producta sunt, aut illa duodenorum cadorum machina exstitit. Ex quo enim astra producta sunt, in cœlo perpetuo fuerunt, sive eadem illa malint elementa, sive cœli spatia ac mensuras appellare. Utcunque sit, ex quarta creationis die bene constituta sunt omnia, nihilque ad eorum, quæ sub Dei ditione sunt, perniciem est factum. At vero Christus post suum in hunc mundum adventum anno decimo quinto Tiberii Cæsaris prædicationem exorsus est, post annum a nativitate tricesimum, qui in quinquies millesimum ac quingentesimum nonum annum conditi orbis incurrit, estque tricesimus, uti dixi, ætatis illius annus; nam tricesimo tertio in crucem actus est. Quinam igitur fieri potest, ut hæc in cœlo principio fuerint, majora videlicet minoraque sidera? Si ante hoc tempus venisse, atque illa produxisse dicat, non potest illius fabula consistere. Etenim priusquam in terris esset homo, quæ appellat elementa producta fuisse, perindeque et vanos illos cados molemque defendit, quam jucundis quibusdam appellationibus ideo describit, ut a se deceptis hominibus illudat.

ΝΑ'. Παντὶ γὰρ τῷ σύνεσιν κεκτημένῳ φανερόν ἐστιν ἀπ' αὐτῆς τῆς Γραφῆς καὶ ἀκολουθίας, ὅτι, πρὶν τοῦ πλασθῆναι τὸν Ἀδὰμ τὸν πρωτόπλαστον ἄνθρωπον, γεγόνασιν ἐν τῇ τετάρτῃ ἡμέρᾳ πάντες οἱ ἀστέρες καὶ οἱ φωστῆρες. Οὗτος δὲ λέγει, ὅτι Ἦλθε, φησί, ποιῆσαι τοὺς δώδεκα κάδους ἐν ἰδέᾳ ἀνθρώπου, καὶ ἐφαίνετο τοῖς ἀνθρώποις ἄνθρωπος, κἂν ἀγνοῶν, [κἂν] τὴν ἐξ ὑπαρχῆς γεγενημένην οἰκονομίαν νομίζει τι λέγειν, καὶ ὡς τυφλὸς ἑαυτὸν ὁδηγῶν τοῖς ὑπ' αὐτοῦ τυφλωθεῖσι τὰ προχωροῦντα εἰς ψεύσματα ὑφηγεῖται. Παρούσης δὲ τῆς ἀληθείας, καὶ ἀνοιγούσης τὰ ὄμματα διὰ τῶν συνετῶν, εἰς γέλωτα φέρει τὴν αὐτοῦ ληρῳδίαν. Ποίοις γὰρ ἀνθρώποις ἐφαίνετο τοῖς μὴ ὑπάρχουσι; Πῶς δὲ ἐν ἀνθρώπου ἐφαίνετο ἰδέᾳ, ὁ μὴ λαβὼν σῶμα; Καὶ εἰ μὲν ἐν τῇ ἐνσάρκῳ παρουσίᾳ ἐπλήρου τοῦτο φαινόμενος, καὶ μὴ ὤν, δόκησις ἂρα ἦν τὰ πράγματα. Ἆρα οὖν οὐ πέφηνεν, οὐδὲ ἦλθεν. Εἰ γὰρ ἐλθὼν οὐκ ἦν, οὐδὲ ἦλθεν ἀπ' ἀρχῆς. Εἰ δὲ ἐνομίζετο μὲν ἄνθρωπος, οὐκ ἦν δὲ ἄνθρωπος, τί τὸ ἐπῆξαν[1] τὸν τοῦ Θεοῦ Λόγον ἄνθρωπον φανῆναι μὴ ὄντα; Εἰ μή τι ἀπὸ δανειστῶν ἐλκόμενος ἠβούλετο ἑαυτὸν σχηματοποιῆσαι ἰδέαν, ἵνα δυνηθῇ λαθεῖν τοὺς αὐτὸν ἐπιζητοῦντας. Εἰ δὲ καὶ ἐφαίνετο, καὶ οὐκ ἦν, ποία τις ἦν αὕτη ἡ ἀλήθεια; Ἐν ἀληθείᾳ γὰρ οὐκ ἐνι ψεῦσμα, ὡς λέγει περὶ αὐτοῦ ὁ Μονογενής· ὅτι *Ἐγώ εἰμι ἡ ἀλήθεια καὶ ἡ ζωή*. Ἡ δὲ ζωὴ θάνατον οὐκ ἔχει. Καὶ ἡ ἀλή-

LI. Nam ex ipsa divinarum Scripturarum serie cuilibet prudenti manifestum est, antequam primus noster parens Adamus a Deo formaretur, die quarto cum reliqua sidera, tum majora duo producta. At ille : Venit, inquit, duodenos ut cados fabricaret, sub hominis specie, atque ejusmodi hominibus apparuit. In quo totam illam incarnationis administrationem ignorans dicere se nihilominus aliquid existimat; ac velut cæcus semetipsum dirigens iis quorum animos obcæcavit, reliqua deinceps mendacia narrando pertexit. Mox autem ut adesse veritas cœpit, et sapientium virorum beneficio oculos aperire, tota hæc fabula in risum ac ludibrium dissolvitur. Quibus enim tandem hominibus, qui nulli erant, apparere potuit? Quomodo vero hominis specie videri poterat, qui nullum corpus induerat? Ac si tum, cum carne præditus advenit, perfecit illud, ut quod non erat esse videretur, totum illud negotium nihil habuit præter opinionem ac speciem : quare neque apparuit neque venit. Nam si quando venit re ipsa non erat, ne venisse quidem dicendus est. **664** Quod si homo esse credebatur, nec re ipsa tamen erat, quid erat quod divinum Verbum urgeret adeo, ut homo cum non esset appareret? Nisi forte a creditoribus vexatus, novo hoc cultu ac figura dissimulare seipsum vellet, ut eos a quibus quærebatur lateret.

[1] Cor. ἐπεῖξαν.

35) *Ὅπερ κατήντα εἰς πεντακισχιλιοστόν*. Si Christus anno ætatis XXX baptizatus est, isque a mundi conditu fuerit 5509 annus, natus erit ex Epiphanii sententia, anno mundi 5580. Varias ex LXX seniorum ratiociniis annorum summas ab orbe condito collectas fuisse Græci demonstrant; nam præter hanc Epiphanii, Martyrologium Romanum aliam instituit, secundum quam ad Christi natalem anni numerantur 5199. Præter hanc tres alias in usu esse reperimus : prima est quæ Christum anno 5493, vel 5494, natum putat, quæ a nonnullis Antiochena nominatur; secunda, quæ Christi nativitatem in annum 5500 conjicit, quam Æthiopicam appellant; tertia, quæ et omnium celeberrima est et usitatissima, ab orbis initio ad Christi natalem annos putat 5509. De iis alias uberius disseremus.

Digitized by Google

Deinde si quod non erat esse visus est, quænam hæc veritas fuit? Abest enim a veritate mendacium, pro eo ac de se Unigenitus ipse testatur : *Ego sum veritas et vita* [1]. Vita mortis est expers. Veritas mutationem nullam sustinet, ne ab ea perturbata veritas esse desinat. Quamobrem ruit omnis illius undequaque tragœdia. Nam neque post adventum Domini fabricata sunt sidera, nec homines antequam illa conderentur exstiterunt. Adeoque tam hinc quam illinc, ut antea demonstravi, Manichæus impostor refellitur.

A θεια οὐκ ἂν ἀλλοίωσιν ὑπομένοι, ἵνα μὴ τὴν ἀλήθειαν ταράξασα μηκέτι ἀλήθεια γένηται. Καὶ διέπεσεν ἐκ παντὸς λόγου ἡ αὐτοῦ τραγῳδοποιὸς ὑπόθεσις. Οὔτε γὰρ μετὰ τὴν παρουσίαν τὰ ἄστρα κέκτισται, οὐδὲ πρὸ τοῦ γενέσθαι ἄστρα ἄνθρωποι ἦσαν. Καὶ ἐντεῦθεν καὶ ἐκεῖθεν ἐξελήλεκται ὁ πλάνος Μανιχαῖος, ὡς ἤδη μοι ἄνω δεδήλωται.

LII. Nam quod de luna fingit, ejus orbem receptis animabus impleri, velim mihi dicas, quomodo idem ille orbis impleri potuit, antequam hominum quisquam in terra moreretur? Si quidem post nongentos et triginta annos, quos Adamus vixit, cum primus ex hac vita discessit, fierine potuit una ut B orbem anima compleret? Quinam porro nongenti illi ac triginta anni, vel omnino tempora vocata sunt, nisi impleretur minuereturque luna, ac constitutum sibi curriculum conficeret, ita ut non ex animarum multitudine redundaret, sed divinæ sapientiæ mandato ac præscripto regeretur? Sed addit universa illa animalia eadem illa anima repleri, ut nimirum hominis, et muris, ac vermiculi cæterorumque vilissimorum corporum pares atque æquales animas constituat.

NB'. Περὶ δὲ τῆς ὑποθέσεως τῆς σελήνης φάσκει, ὅτι ἐκ τῶν ψυχῶν ὁ δίσκος ἐμπίπλαται. Πρὶν δὲ τοῦ ἀποθανεῖν ἄνθρωπον ἐπὶ τῆς γῆς, πόθεν ἐνεπίμπλατο ὁ δίσκος; Μετὰ γὰρ ἐνακοσιοστὸν καὶ τριακοστὸν ἔτος τῆς τοῦ Ἀδὰμ ζωῆς, πρῶτος ἀποθανὼν ἐπὶ τῆς γῆς, ἡ μία ψυχὴ. πῶς ἐπλήρου τὸν δίσκον; Ἢ πῶς τὰ ἐννακόσια τριάκοντα ἔτη ἐκλήθη, καὶ χρόνοι, εἰ μὴ ἡ σελήνη ἐπληροῦτο, καὶ ἔφθινε, καὶ τὸν αὐτῇ τεταγμένον δρόμον ἐτέλει, οὐκ ἀπὸ ψυχῶν λαμβάνουσα τὴν πλημμύραν, ἀλλὰ ἀπὸ Θεοῦ ἔχουσα τὸ πρόσταγμα τῆς αὐτοῦ σοφίας; Πάντα δὲ τὰ ζῶα, φησὶ, γεμίζει τῆς αὐτῆς ψυχῆς, ἵνα ἐξισώσῃ ψυχὴν ἀνθρώπου, καὶ μυὸς, καὶ σκώληκος, καὶ τῶν ἄλλων δυσγενῶν τῇ πλάσει σωμάτων.

Sed iisdem ineptiis infuscata sunt cætera, velut principibus objici virginem virili alias, alias muliebri forma. In quo tanquam hermaphrodito dæmone confingendo cupiditatem ipse suam ac libi- C dinem proponit. Pergit deinde, et quoties, ait, hujus illecebra virginis princeps magnus capitur, nubes suas prætendit, et pestem immittit, ac radices succidere incipit, ex quo mors consequitur. Nec illud homo stupidus intelligit, quam vituperando mortem nominat, vitam potius appellari debuisse, quod ejus beneficio a corporibus animæ liberentur. **665** Quod si animam corpore velut custodia principes includi putarent, nunquam id summus ille committeret, ut quam per vim ab eo dicis occupari animam, e carcere dimitteret. Quanta est in iis præstigiis ac ludicra disciplina vanitas!

Τὰ δὲ ἄλλα λοιπὸν τῆς φλυαρίας, ὡς ἡ παρθένος φαίνεται τοῖς ἄρχουσι ποτὲ μὲν εἰς ἀνδρὸς σχῆμα, ποτὲ δὲ εἰς θηλείας. Τάχα τὸν Ἑρμαφρόδιτον τοῦ αὐτοῦ δαίμονος ἐνδαλλόμενος τὰ ἑαυτοῦ πάθη εἰσηγεῖται τῆς ἐπιθυμίας. Εἶτα, φησὶν, ὅταν ὁ μέγας συληθῇ ὑπὸ τῆς λεγομένης παρθένου, προβάλλει αὐτοῦ τὰς νεφέλας, καὶ ποιεῖ λοιμὸν, καὶ ἄρχεται τέμνειν τὰς ῥίζας, καὶ οὕτω θάνατος γίνεται. Καὶ οὐκ εἶδεν ὁ κτηνώδης, ὅτι ὃν φάσκει θάνατον φυγίζων, μᾶλλον ζωὴν ὤφειλε καλεῖν, διὰ τὸ ἀπὸ σωμάτων ἀπαλλάττεσθαι τὰς ψυχάς. Εἰ δὲ ὅλως τὸ εἶναι ἐν σώματι τὴν ψυχὴν φυλακὴν ἡγοῦνται οἱ ἄρχοντες, τοῦτο οὐδέποτε ἐπιτελεῖ ὁ ἄρχων, ἵνα ἀπαλλάξῃ ἀπὸ δεσμωτηρίου τὴν ὑπ' αὐτοῦ κατεχομένην ψυχὴν, κατὰ τὸν αὐτοῦ λόγον. Καὶ πόση τις ἀτοπία ἐν ταύτῃ τῇ κυβευτικῇ διδασκαλίᾳ!

LIII. Cætera non minore risu digna sunt, sed in primis quos electos illi nuncupant. Ac sunt isti quidem ad damnationem a diabolo delecti, ut quod D scriptum est reipsa perficiatur : *Et cibus ejus electus* [2]. Illi enim velut fuci quidam desidentes nihil operis exercent, sed curiose perquirentes nihil penitus intelligunt. Quibus et Apostolus iis verbis denuntiat (nimirum prophetico illos afflatu cognoverat), non ex Dei, sed diaboli magisterio disciplinaque progredi, furiosos utique homines, et otiosos, atque in suscepta improbitate pertinaces. De iis igitur loquens : *Qui non laborat*, inquit, *non manducet* [3]; quo inertium istorum adumbraret institutum. Cæterum catechumenos ipsi suos hortantur, victum ut sibi large suppeditent. Ii vero quibuscunque opus habent electis suis offerunt, quo

ΝΓ'. Τὰ δὲ ἄλλα χλεύης ἔμπλεα· ὡς οἱ ἐκλεκτοὶ αὐτῶν καλούμενοι. Καὶ τῷ μὲν ὄντι ἐξελέγησαν ὑπὸ τοῦ διαβόλου εἰς κατάκριμα, ὅπως πληρωθῇ τὸ εἰρημένον· *Καὶ τὰ βρώματα αὐτοῦ ἐκλεκτά*. Ἐκεῖνοι γὰρ καθεζόμενοι κηφῆνες, καὶ μηδὲν ἐργαζόμενοι, ἀλλὰ περιεργαζόμενοι, καὶ μηδὲ γινώσκοντες, οἷς ἐπικηρυκεύεται ὁ ἅγιος Ἀπόστολος, λέγων (ὡς κατὰ προφητείαν γινώσκων), ὅτι οὐκ ἐκ τῆς τοῦ Θεοῦ διδασκαλίας ἐπιφοιτῶσιν, ἀλλὰ ἐκ τοῦ διαβόλου ἐμβεβροντημένοι τινὲς, ἀργοὶ, καὶ αὐθάδεις κακῶν. Φάσκει, λέγων· *Ὁ μὴ ἐργαζόμενος, μηδὲ ἐσθιέτω*· ἵνα παραχαράξῃ τὴν τῶν παρέργων τούτων ὑπόθεσιν. Παρακελεύονται οὖν τοῖς αὐτῶν κατηχουμένοις τρέφειν αὐτοὺς δαψιλῶς. Οἱ δὲ πᾶν ὁτιοῦν ἀναγκαῖον προσφέρουσι τοῖς ἐκλεκτοῖς ἑαυτῶν, ἵνα δῆθεν εὐσεβὴς ὀφθεὶη τρέφων τὰς ψυχὰς τὰς ἐκλελεγμένας. Οἱ

[1] Joan. XIV, 6. [2] Habac. I, 16. [3] II Thess. III, 10.

Digitized by Google

δὲ λαβόντες, ὡς γέλοιόν ἐστιν εἰπεῖν, προφάσει τοῦ εὔξασθαι ὑπὲρ τῶν ἐνηνοχότων, μᾶλλον δὲ σχεδὸν κατάραν αὐτοῖς ἐπιτιθέασιν, ἐπιμαρτυρήσαντες αὐτοῖς κακίαν μᾶλλον ἢ ἀγαθοσύνην. Φάσκουσι γὰρ οὕτως· ὅτι Ἐγὼ οὐκ ἔσπειρά σε, οὐκ ἐθέρισά σε, οὐκ ἤλεσα, εἰς λιβάνου οὐκ ἔβαλον. ἄλλος ἤνεγκε, καὶ ἔφαγον· ἀναίτιός εἰμι. Καὶ μᾶλλον πονηροποιοὺς ὑπέδειξαν τοὺς ἑαυτῶν τροφεῖς. Καὶ γὰρ ἀληθές. Ἔδει γὰρ τὸν ἀρνούμενον τὸν Θεὸν, τὸν ποιήσαντα πάντα, μηδὲ ἀπὸ τῶν τοῦ Θεοῦ τρέφεσθαι κατ' εἰρωνείαν. Αὐτοὶ δὲ οὐ τέμνουσι τὸν βότρυν, ἀλλὰ ἐσθίουσι τὸν βότρυν, ἵνα ἐλεγχθῶσι παντάπασι μέθην μᾶλλον ἔχοντες, ἢπερ ἀληθείας ἀνάληψιν. Ποῖον γάρ ἐστι τὸ δεινότερον; Ὁ μὲν γὰρ τρυγῶν ἅπαξ ἔτεμε τὸν βότρυν· ὁ δὲ ἐσθίων διὰ τῶν μασσητήρων, καὶ διὰ τοῦ καταδαμάζειν ἕκαστον κόκκον, μᾶλλον πολυπλασίως ἐβασάνισε καὶ ἔτεμε. Καὶ οὐχ ὅμοιος οὐκέτι ἔσται τῷ τέμνοντι ἅπαξ ὁ μασησάμενος καὶ καταδαπανήσας[1]· ἀλλ' ἵνα μόνον δόξωσι δοξοποιεῖν ὅσον τῆς ἀληθείας ἔχει τεκμήριον.

A scilicet in alendis electis illis animabus religiosi esse videantur. At isti, quod vel dicto ridiculum est, iis acceptis muneribus, orationis loco, quam pro largitoribus concipere debuerant, propemodum imprecationem rependunt, et illorum in hoc beneficio improbitatem potius quam probitatem versatam esse testificantur. Sic enim loquuntur : Ego te neque seminavi, neque messui, non molendo comminui, non in clibanum immisi ; alius obtulit, et comedi ; immunis ab culpa sum. Ita eos ipsos, a quibus aluntur, maleficii condemnant. Jure id quidem ac merito. Nam qui Deum, a quo omnia facta sunt, ejurat, indignus est, qui Dei bonis hoc modo per jocum ac ludibrium alatur. Præterea racemos cum amputare non audeant, iisdem tamen vescuntur, B ut omnino constet ebrietate ac temulentia illos potius, quam suscepta veritate ad id impelli. Quid enim gravius est? Nam qui vindemiat, botrum semel amputat ; qui vero comedit, dum acinos singulos mandit ac dentibus comminuit, multo animam torquet vehementius ac concidit. Nec eadem ejus qui semel resecat, ac qui commolit et consumit, esse ratio videtur. Sed id unum spectare videntur, ut quod veritatis indicium utcunque præ se fert 666 ad opinionem suam conciliandam in medium afferat.

ΝΔ'. Εἶτα πάλιν ἀθυρογλωττεῖ περὶ τοῦ παραδείσου, ὃν καλεῖ κόσμον. Ἔστι δὲ, φησὶ, τὰ φυτὰ τὰ ἐν αὐτῷ, ἃ παρ' ἡμῖν ἐπαινετὰ, ἃ αὐτὸς ἀρνεῖται, ἵνα δειχθῇ ἀληθῶς ὑπὸ τοῦ ὄφεως ἠπατημένος. Καθὼς ἐκείνης παρέφθειρε τὴν ἀκοὴν τῆς ἀκάκου Εὔας, οὕτως ὁ δεινὸς ὄφις καὶ αὐτὸς παραφθείρει ἀκοάς. Τὰ γὰρ, φησὶν, ἐν τῷ παραδείσῳ λεγόμενα φυτὰ ἐπιθυμιῶν εἰσιν ἀπάται, αἳ διαφθείρουσι τὸν λογισμὸν τῶν ἀνθρώπων. Τὸ δὲ ἐν τῷ παραδείσῳ φυτὸν, ἐξ ὧν γνωρίζουσι τὸ καλὸν, αὐτός ἐστιν ὁ Ἰησοῦς, ἡ γνῶσις ἡ ἐν τῷ κόσμῳ. Ὁ δὲ λαμβάνων διακρίνει τὸ καλὸν καὶ τὸ κακόν. Καὶ ὁρᾷς πῶς πάντα τὰ ὀρθὰ διαστρέφει, τοῦ Ἀποστόλου διαῤῥήδην βοῶντος καὶ διδάσκοντος, ὅτι *Φοβοῦμαι μήπως, ὡς ὁ ὄφις ἐξηπάτησεν Εὔαν ἐν τῇ πανουργίᾳ, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν ἀπὸ τῆς ἁγνότητος καὶ τῆς ἁπλότητος, τῆς εἰς τὸν Χριστόν*. Καὶ ὅρα πῶς ἀπεφήνατο αὐτὸν πλάνον καὶ πανοῦργον, καὶ ἠπατηκότα τὴν Εὔαν. Καὶ πάλιν ἐν ἄλλῳ τόπῳ ὁ αὐτὸς Ἀπόστολος· *Ἀνὴρ οὐκ ὀφείλει κομᾶν, δόξα καὶ εἰκὼν Θεοῦ ὑπάρχων*. Καὶ ὁρᾷς, ὡς δόξαν Θεοῦ ἔφη τὴν κόμην ἐπὶ σώματος φερομένην, καὶ οὐκ ἐν ψυχῇ· καὶ μετὰ ταῦτά φησιν· *Ἀδὰμ οὐκ ἐξηπατήθη· ἀλλ' ἡ γυνὴ ἐν παραβάσει γενομένη ἡμάρτηκε. Σωθήσεται δὲ διὰ τῆς τεκνογονίας, ἐὰν ἐμμείνωσιν ἐν τῇ πίστει*. Καὶ ὅρα πῶς φύσει τὰ ἀληθινὰ κεκήρυκται ἐν τῇ θείᾳ Γραφῇ. Καὶ μάτην οὕτως κομποποιεῖ, μᾶλλον δὲ χλεύην ὑφίσταται παρὰ τοῖς τὴν τελείαν φρόνησιν κεκτημένοις. Εἶτα πάλιν ἐνταῦθα διηγεῖται μὴ εἶναι τὸν κόσμον τοῦ Θεοῦ, ἀλλ' ἢ ἀπὸ μέρους τῆς ὕλης πεπλάσθαι. Ἐν τῷ δὲ μὴ ἑαυτῷ στοιχεῖν, ἀλλὰ κατὰ τῶν αὐτῶν φέρεσθαι ἀνασκευὰς καὶ κατασκευὰς ἐπιπλαττόμενος, παντί τῳ σαφές ἐστι ληροῦντος εἶναι τὸ τοιοῦτο φρόνημα.

LIV. Eadem linguæ licentia de paradiso garrit, quem mundum appellat. Sunt autem, ut ille dicit, quædam in illo arbores, quas nos quidem laudandas arbitramur, ipse vero damnat, ut vel hac ratione deceptum se ab serpente demonstret. Nam quemadmodum iste nimium simplicis Evæ auribus C perniciem insinuavit : sic et hujus auditum idem ille serpens horribilis corrupit[2]. Illæ igitur, inquit, quæ in paradiso esse dicuntur, arbores, cupiditatis illecebræ sunt, quibus hominum animi depravari solent. Porro lignum illud quo bonum dignoscitur, ipsemet Jesus est, sive scientia, quæ in hoc mundo residet : quam qui accipit bonum a malo discernit. Vides ut iste quidquid rectum est distorquere studeat, cum Apostolus diserte clamet ac prædicet : *Timeo ne sicut serpens decepit Evam astutia sua, ita corrumpantur cogitationes vestræ a castitate et simplicitate in Christum*[3]. Ubi illud animadvertis quomodo impostorem illum ac vafrum esse dicat, a quo Eva decepta sit. Sed alio loco idem Apostolus, *Vir*, inquit, *comam alere non debet, cum sit gloria et* D *imago Dei*[4]. Quibus verbis vides ut comam illam, quæ in corpore, non in anima geritur, Dei gloriam appellet. Deinde subjicit : *Adam non est deceptus, sed mulier in transgressione facta peccavit. Salvabitur autem per liberorum procreationem, si permanserint in fide*[5]. Vide quam apte sacris in Litteris vera ac sincera quæque prædicentur, ille contra frustra sese venditet, vel potius ludibrio sit apud eos, qui perfecta sapientia præditi sunt. Addit eodem loco, mundum minime ad Deum pertinere, sed a materiæ partibus esse fabricatum. Verum hoc ipso quod secum minime consentiat, sed ea ipsa dogmata, quæ confinxit, evertat ac stabiliat, apparet hæc a delirantis ingenio esse profecta.

[1] Deesse nonnihil videtur. [2] Gen. II, 1 sqq. [3] II Cor. XI, 3. [4] I Cor. XI, 14. [5] I Tim. II, 14, 15.

Digitized by Google

LV. Præterea animarum ex aliis in alia corpora transitus edisserit. Quod mendacium a Platone, vel Zenone Stoico, vel quopiam alio ex fanaticis illis corrogasse videtur. Etenim qui fieri potest, ut a corpore in corpus anima transferatur? Nam si corpora jamdudum formata et parata forent, ut animas exciperent, nonnihil scenica ista fabula verisimile **667** proponeret. Nunc cum id quod proseminatur exigua quadam e stilla sit, non video quemadmodum tantillo in corpore tantam ubertatem ac copiam anima reperiat; sic enim finguntur ea omnia quæcunque tandem finguntur. Ita nullus istius narrationi locus est; nec ab uno corpore in aliud animæ transfunduntur. Siquidem absque mutua maris ac feminæ conjunctione nihil in ullo animalium genere propagatione formatur. Num igitur sic consistit anima, ut amborum copulatione corporum circulatoris istius fabulam absolvat? Sane miram illorum stoliditatem oportet esse, qui ejusmodi vel cogitando sibi finxerint. Nobis autem, ne quæ augusta ac religiosa sunt, commutemus, satis esse visum est velut e longinquo argumenti hujus informasse speciem. Quocirca perniciosam hanc atque exitiabilem opinionem prætermittam. Nam perabsurda sunt ejusmodi omnia dogmata. Etenim si corporibus corpora mutent animæ, ut qui olim homo fuerit postea canis exsistat, cur non ex homine vel bove canis nascitur? aut cur non avis progignitur? Imo contra, si quod infiniti temporis spatio monstrum hujus generis oriatur, portenti habetur instar. Ac natura quidem ipsa suis se finibus continet, neque aut hominis, aut pecudis ullius naturam, contra quam postulet ipsa, commutat, sed in unaquaque specie eadem perpetuo qualitas ac conditio remanet. Jam vero si a corpore aliud pro altero corpus oriri non potest, quanto magis in aliud corpus transgredi hominis anima non poterit? Quæ est autem, inquit ille, mutationis illius ratio? Ut nimirum si, cum in homine esset, veritatis scientiam non perceperit, subinde in canem, aut equum introducta, ac perdomita, intelligentiaque prædita, humanum in corpus denuo revertatur, atque ita compos scientiæ facta in orbem lunæ recipiatur. In quo per illud sane mirum est: Animam, quandiu in homine fuit, cui scholarum grammaticorum, sophistarum, innumerarum denique artium copia suppetit, qui sermocinatione, auditu, eruditione præditus est, in eo, inquam, homine tanta in inscitia animam esse versatam, eamdem vero mox ut in porcum translata fuerit, majoris esse scientiæ participem. Quo quidem decreto suam illam scientiæ professionem porcorum propriam magis esse declarat. Tantus est hominis error et impietas.

668 LVI. De Adami vero fabricatione idem ille cum disputat, alia pro aliis eadem errandi licentia pertexit. Sic enim asserit: Eum qui dixit: *Faciamus hominem ad imaginem nostram et similitudinem*[1], addidisse nonnihil, itaque concepisse, *Venite, faciamus;* quod in Scriptura non legitur, sed illud duntaxat, *Faciamus hominem ad imaginem nostram et similitudinem.* Verum non modo Apostolus, sed

[1] Gen. I, 26.

A ΝΕ'. Μεταγγισμοὺς δὲ ψυχῶν διηγεῖται ἀπὸ σωμάτων εἰς σώματα, ἄτινα τάχα ἢ παρὰ Πλάτωνος, ἢ Ζήνωνος τοῦ Στωϊκοῦ, ἢ παρά τινος τῶν πεφαντασμένων ἐρανισάμενος τουτὶ τὸ ψεῦσμα εὑρίσκεται. Πῶς γὰρ οἷόν ἐστιν ἀπὸ σώματος εἰς σῶμα εἰσκρίνεσθαι τὴν ψυχήν; Εἰ μὲν γὰρ σώματα πεπλασμένα καὶ ἕτοιμα ἦν, καὶ οὕτω τὰς ψυχὰς ὑπεδέχετο, πιθανή τις ἦν ἡ τῆς τραγῳδίας μυθοποιία· εἰ δὲ τὸ σπειρόμενόν ἐστιν ἐκ σταγόνος βραχείας, πῶς ἡ ψυχὴ ἐν τῷ τοσούτῳ μικρῷ σώματι εὗρε τοιαύτην εὐροιαν; Οὕτω γὰρ τὰ πλασσόμενα πλάσσεται· καὶ οὐκέτι συσταθήσεται αὐτοῦ ὁ λόγος. Οὔτε γὰρ ἀπὸ σώματος εἰς σῶμα μεταγγίζονται αἱ ψυχαί. Δίχα γὰρ μίξεως θηλείας πρὸς ἄρρενα, καὶ ἄρρενος πρὸς θήλειαν ἐν ἑκάστῳ τῶν ζώων, οὐδέν τι τῶν πλασσομένων γίνεται.

B Ἆρα γοῦν οὕτως ἔστηκεν ἡ ψυχή, ἵνα τῇ συναφείᾳ τῶν δύο σωμάτων τὸ τραγῴδημα τοῦτο τοῦ ἀγύρτου ἐπιτελέσῃ; Καὶ πολλή τίς ἐστιν ἡ ἀτοπία ἐν τοῖς τὰ τοιαῦτα κἂν διανοουμένοις. Ἡμεῖς δὲ ἵνα μὴ τὰ σεμνὰ μεταβάλλωμεν, ἀρκετῶς ἔσχομεν μόνον ὡς ἀπὸ πόρρωθεν δοῦναι τῆς ὑποθέσεως τὸ εἶδος. Παρελεύσομαι τοίνυν ἀπὸ τῆς τοιαύτης φθοροποιοῦ ὑπονοίας. Καὶ γὰρ πάντα ἄτοπα τὰ τοιαῦτα διανοήματα. Εἰ γὰρ ἐκ σώματος εἰς σῶμα ἡ μεταβολὴ τῶν ψυχῶν, καὶ ὁ ποτὲ ἄνθρωπος ὕστερον κύων, διὰ τί μὴ ἀπὸ ἀνθρώπου κύων γίνεται, ἢ ἀπὸ βοός; διὰ τί ὄρνις οὐ τίκτεται; Ἀλλ' εἰ ἄρα συμβαίη χρόνῳ τινὶ ἐν τῷ ἀπλέτῳ αἰῶνι τεράστιόν τι γενέσθαι, σημείου ἕνεκα γίνεται. Καὶ ἡ φύσις μὲν ἑαυτῆς τοὺς ὅρους ἐπίσταται, καὶ οὐ μεταλλάσσει φύσιν ἀνθρώπου, ἑτέρως πλασσομένη παρὰ

C τὴν φύσιν, οὐδὲ ἑκάστου κτήνους· ἀλλ' ἐν ἑκάστῃ ποιότητι ἡ αὐτὴ ποιότης γίνεται. Καὶ εἰ ὅλως σῶμα ἕτερον ἀνθ' ἑτέρου ἀπὸ σώματος οὐ γίνεται, πόσῳ γε μᾶλλον ψυχὴ ἀνθρώπου εἰς ἕτερον σῶμα οὐ μεταβήσεται; Καὶ ἵνα τί, φησὶ, μεταβάλλεται; ἀλλ' ἵνα εἴ ποτε ἐν ἀνθρώπῳ μὴ συνεῖσα τὴν τῆς ἀληθείας γνῶσιν, ἐν κυνὶ, ἢ ἐν ἵππῳ γενομένη, καὶ δαμασθεῖσα, καὶ συνεῖσα, ἀνακάμψῃ πάλιν εἰς ἀνθρώπου σῶμα, καὶ οὕτως γνοῦσα τὴν γνῶσιν ἀναληφθήσεται εἰς τὸν δίσκον τῆς σελήνης. Καὶ ἔστι θαυμαστὸν ἰδεῖν, ὅτι ἐν μὲν ἀν-

D θρώπῳ γενομένη, παρ' ᾧ παιδευτήρια, γραμματικοὶ, σοφισταί τε καὶ τεχνῶν ἀμύθητα πλήθη, καὶ λαλιὰ, καὶ ἀκοὴ, καὶ λογιότης, ἐν ἀγνωσίᾳ ὑπῆρχεν ἡ ψυχὴ, ἐν δὲ χοίρῳ γενομένη, μᾶλλον ἐπέγνω· ἵνα δείξῃ μᾶλλον τὴν αὐτοῦ ἐπαγγελίαν τῆς γνώσεως χοίρων οὖσαν, διὰ τὴν αὐτοῦ πλάνην καὶ ἀσέβειαν.

ΝϚ'. Περὶ δὲ τῆς τοῦ Ἀδὰμ πλάσεως ὁ αὐτὸς διηγούμενος ἕτερα ἀνθ' ἑτέρων τῇ πλάνῃ συνυφαίνει. Ὅτι, φησὶν, ὁ εἰπὼν, *Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν*, καὶ προστίθησι λέγων τὸ, *Δεῦτε, ποιήσωμεν*, ὅπερ οὐ γέγραπται, ἀλλὰ *Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν*. Ἐλέγχει δὲ τοῦτον ὁ ἅγιος Ἀπόστολος λέγων, καὶ αὐτὸς ὁ Κύριος ἐν τῷ Εὐαγ-

Digitized by Google

γελίῳ, ὅτε οἱ Φαρισαῖοι πρὸς αὐτὸν ἔφησαν, ὅτι *Οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μονώτατον*, καὶ, *Μωϋσῆς εἶπε διδόναι βιβλίον ἀποστασίου, ἐκβάλλειν τὴν γυναῖκα*· καὶ ὁ Κύριος πρὸς τοὺς Φαρισαίους τὸν ἔλεγχον ἐπιφέρων, ἔλεγε· *Μωϋσῆς κατὰ τὴν σκληροκαρδίαν ὑμῶν ἔγραψεν· ἀπαρχῆς δὲ οὐ γέγονεν οὕτως. Ἀλλ' ὁ ποιήσας ἄρσεν καὶ θῆλυ ἐποίησε. Καὶ εἶπεν· Ἀντὶ τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ κολληθήσεται τῇ γυναικὶ αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν.* Καὶ εὐθὺς ἐπιφέρει, λέγων· *Εἰ οὖν ὁ Θεὸς συνέζευξεν, ἄνθρωπος μὴ χωριζέτω*· ὁμολογῶν Θεὸν, τουτέστι τὸν ἴδιον αὐτοῦ Πατέρα, τὸν Ἀδὰμ πεποιηκέναι καὶ τὴν Εὔαν, καὶ τὸν γάμον τὸν σεμνὸν ἐξ αὐτοῦ κεκτίσθαι. Τῇ δὲ αὐτοῦ ἀκολουθίᾳ καὶ ὁ ἅγιος Ἀπόστολος κῆρυξ ὢν τῆς ἀληθείας λέγει· *Τὸ μυστήριον τοῦτο μέγα ἐστίν. Ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ τὴν Ἐκκλησίαν*· ἵνα ἀπὸ τοῦ ὁμοιώματος τοῦ ὑπὸ τοῦ Θεοῦ κεκτισμένου, Ἀδάμ τε καὶ τῆς Εὔας· ὅτι ὁ Θεὸς ἔκτισε, καὶ εἶπεν ὁ Ἀδάμ· *Τοῦτο ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῶν σαρκῶν μου*· καὶ, *Ἀντὶ τούτου καταλείψει ἄνθρωπος*· καὶ ὅτι *Ὠκοδόμησεν αὐτῷ τὴν πλευρὰν εἰς γυναῖκα*, καὶ οὐκέτι ἕτερον αὐτῷ φάσκει, ἀλλὰ μυστήριον μέγα. Καὶ εἰ μὲν ἐν ἀνθρώπῳ καὶ γυναικὶ τὴν πλάσιν, κατὰ δὲ τὴν ἀναγωγὴν δι' ἀλληγορίας φέρεται.

A et Dominus ipse in Evangelio illum redarguit. Qui cum Pharisæi ita loquerentur : *Non est bonum hominem esse solum* [2] ; et, *Moyses jussit dare libellum repudii, et ejicere uxorem*, sic istos refellit : *Moyses ad duritiem cordis vestri scripsit; ab initio autem non fuit sic. Sed qui fecit, masculum et feminam fecit. Et dixit : Propter hoc relinquet homo patrem et matrem suam, et adhærebit uxori suæ, et erunt duo in carnem unam* [3]. Quibus dictis statim infert : *Si igitur Deus conjunxit, homo non separet.* In quo Deum, hoc est Patrem suum, Adami et Evæ conditorem fuisse, atque honestarum nuptiarum auctorem esse confitetur. Huic consentaneum est quod veritatis præco testatur Apostolus : *Mysterium hoc magnum est. Ego autem dico in Christo et in Ecclesia* [4], ut ad Adami atque Evæ, qui a Deo procreati sunt, similitudinem pertineat. Cum enim Deus illos condidisset, Adamus dixit : *Hoc nunc os ex ossibus meis, et caro de carne mea. Propter hoc relinquet homo* [5], etc. Siquidem *ædificavit ei costam in mulierem* [6], nec diversum quiddam esse censet Apostolus, sed mysterium magnum nominat. Quod primo quidem ad viri et mulieris procreationem refert; deinde altiore quodam ac sublimiore sensu per allegoriam transfert.

Πῶς οὖν αὐτὸς βδελυκτὰ ἡγεῖται καὶ ἀλλότρια τῆς τοῦ Θεοῦ ἀληθείας, καὶ ὑπὸ ἄρχοντος τὰ ὑπὸ Θεοῦ κεκτίσθαι βλασφημῶν, καὶ παραφέρων τὴν διάνοιαν ἀπὸ τῆς ἀληθείας; Εἶτά φησιν· Ἐπειδὴ ἀπ' ἀρχῆς ἡ ψυχὴ ἀποσπασθεῖσα ἄνωθεν θλῖψιν ἐμποιεῖ τῇ ἄνω δυνάμει, διὰ τοῦτο καθάπαξ ἀποστέλλει, καὶ συλᾷ ἀπὸ τῶν ἀρχόντων τὸ λείψανον τὸ ἑαυτοῦ, ὅπερ ἐστὶν ἡ ψυχὴ, διὰ τουτωνὶ τῶν φωστήρων. Μεγάλαι ἡμῶν αἱ ἐλπίδες, καὶ μεγάλη ἡμῶν ἡ καραδοκία, ὅτι οὐκ ἰσχύει ὁ Θεὸς ὁ ἀγαθὸς, καὶ ζῶν, καὶ δυνατὸς σῶσαι, οὐ λέγω τὴν ἑαυτοῦ δύναμιν τὴν ἐξ αὐτοῦ ἐσπασμένην, ἀλλὰ τὰ ὑπ' αὐτοῦ γεγενημένα καὶ πεπλασμένα, ἐὰν μὴ δι' ἄλλου τινὸς τρόπου, καὶ λῃστείας κρυφῇ συλήσας τὴν ἀπ' αὐτοῦ ἀπεσπασμένην δύναμιν ἀπὸ τῶν ἐπουρανίων, ὡς ὁ ἀγύρτης οὗτος λέγει, οὐ δύναται ἡμᾶς σῶσαι.

Quanam igitur fronte Manichæus eadem illa detestanda et a Dei veritate aliena pronuntiat, et quæ a Deo condita sunt, nescio cui principi non sine summa in Deum contumelia tribuit, atque ab ipsa veritate transversos animos abducit? Quin et illud attexit: Quandoquidem avulsa ab initio anima superiori virtuti molestiam atque ægritudinem affert, propterea per emissarios quosdam, videlicet solem et lunam, suas a principibus reliquias, hoc est animam, extorquet. Egregias vero spes nostras, ac magnificam fiduciam, quando bonus ille Deus, et vivus, et præpotens satis virium non habet, non dico ad eam virtutem recuperandam, quæ a seipso distracta sit, sed ad ea servanda, quæ genuit ac finxit, nisi alia quadam ratione ac velut latrocinio tentaverit, ut nisi sevulsam illam virtutis suæ particulam clanculum a cœlestibus illis incolis eripiat, quemadmodum impostor ille nugatur, nullo modo servare nos possit.

669

ΝΖ'. Καὶ τί ἔτι κατατρίβομαι κατὰ λέξιν τῆς αὐτοῦ ἀτοπίας χρονοτριβούμενος; Ὡς καὶ βλασφημῶν οὐκ αἰσχύνεται ὁ τάλας τὸν λαλήσαντα ἐν τῷ νόμῳ καὶ ἐν τοῖς προφήταις ἄρχοντα λέγειν τοῦ σκότους. Μακάριαι ἡμῶν αἱ ἐλπίδες, ὅτι ἄρχοντι τοῦ σκότους ὁ Χριστὸς ἐλθὼν προσφέρειν ἠνάγκαζε. Καθαρίσας γὰρ τὸν λεπρὸν τὸν ἐν [1] τῷ νόμῳ γραφέντα ὑπ' αὐτοῦ λαλήσαντος, τὸ ἐν τῷ νόμῳ ἐπιτελεῖσθαι δῶρον, *Ἀπελθὼν προσένεγκε τὸ δῶρόν σου*, τῷ καθαρισθέντι ὑπ' αὐτοῦ λεπρῷ λέγων, *καθὼς προσέταξε Μωσῆς*. Δῶρον δὲ ἦν ἐπὶ τῆς λέπρας ὄρνις εἰς θυ-

ΞϚ'. Ἐπιλαμβάνεται πάλιν ἑτέρου ῥητοῦ, εἰς μέσον φέρων, καὶ μὴ νοῶν τὰ ἐν αὐτῷ ἐγκείμενα, ἑτέρως παρερμηνεύει τῆς σωτηριώδους διδασκαλίας τὴν δύναμιν, διὰ τὸ εἰρηκέναι τὸν Σωτῆρα, ὅτι *Ἔρχεται ὁ ἄρχων τοῦ κόσμου τούτου, καὶ ἐν ἐμοὶ οὐδὲν τῶν αὐτοῦ εὑρίσκει·* καὶ πάλιν παρὰ τῷ Ἀποστόλῳ, ὅτι *Ὁ Θεὸς τοῦ αἰῶνος τούτου ἐτύ-*

[1] II Tim. III, 8. [2] Joan. XIV, 30. [3] F. καὶ εὑρινεῖ.

Digitized by Google

φλωσε τὰ νοήματα τῶν ἀπίστων, πρὸς τὸ μὴ καταυγάσαι τὸν φωτισμὸν τοῦ Εὐαγγελίου τῆς δόξης. Ἴδωμεν τοίνυν, εἰ ἄρχοντα [1] τοῦ κόσμου τούτου περὶ οὗ ὁ Κύριος λέγει, βληθήσεται κάτω. Ἐὰν δὲ ἐγὼ ὑψωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν· τίνα λέγει ἄρχοντα τοῦ κόσμου τούτου; Καὶ εἰ μὲν τὸν διάβολον λέγει, πῶς ὁ Ἰωάννης ἐν τῷ Εὐαγγελίῳ περὶ τοῦ Σωτῆρος λέγει, ὅτι εἰς τὰ ἴδια ἦλθεν; Ὁρῶμεν γὰρ τὰς δύο λέξεις ταύτας ἀντιθέτους πρὸς ἀλλήλας. Ὁ Ἀπόστολος γάρ φησιν· Ὅλος ὁ κόσμος ἐν τῷ πονηρῷ κεῖται· καὶ, Ἐν τῷ κόσμῳ ἦν ὁ Σωτήρ. Πῶς ἄρα οἱ ἀμφότεροι χωρηθήσονται; Εἰ ὅλως ὁ κόσμος ἐν τῷ πονηρῷ κεῖται, ποῦ τόπος τῷ Σωτῆρι ἐν τῷ κόσμῳ ἐστὶν, εἶναι αὐτὸν ἐν τῷ κόσμῳ; Καὶ εἰ ἴδια τυγχάνει τοῦ Υἱοῦ τοῦ Θεοῦ τὰ τοῦ κόσμου, ποῖος ἄρχων κυριεύει τῶν τοῦ Θεοῦ ἰδίων; Εἰ δὲ οὐκ ἔστιν ἴδια τοῦ Υἱοῦ τοῦ Θεοῦ τὰ ἐν τῷ κόσμῳ, ποῖος ἄρχων τοῦ κόσμου συνεχώρει ἴδια εἶναι τοῦ Σωτῆρος τὰ ἐν τῷ κόσμῳ; Καὶ εἰ τοῦ Υἱοῦ τοῦ Θεοῦ τυγχάνει ὁ κόσμος, πῶς συνεχώρει ἄρχοντι τὸν ἴδιον κόσμον κατέχειν; Εἰσὶ δὲ πάντες οἱ λόγοι τῆς ἀληθείας [2] Γραφῆς ἐν σοφίᾳ εἰρημένοι, καθὼς αὐτὸς ὁ Κύριος λέγει· Ἦλθεν Ἰωάννης ἐν ὁδῷ δικαιοσύνης μὴ ἐσθίων, μήτε πίνων, καὶ λέγουσι· Δαιμόνιον ἔχει. Ἦλθεν ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγουσιν· Ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, φίλος τελωνῶν καὶ ἁμαρτωλῶν· καὶ ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς. Πῶς δὲ ἡ σοφία ἐδικαιώθη ἀπὸ τῶν τέκνων αὐτῆς; ἀλλὰ τῶν συνιόντων τὰ τῆς σοφίας ῥήματα, ὡς λέγει καὶ ἐν τῷ προφήτῃ· Τίς συνετὸς καὶ συνήσει ταῦτα· ὅτι εὐθεῖαι αἱ ὁδοὶ Κυρίου, καὶ ὁ λόγος σοφίας· καὶ γνώσεται ταῦτα; Ἀσεβεῖς δὲ ἀσθενήσουσιν ἐν αὐταῖς.

ΞΖ'. Ἠσθένησε γὰρ καὶ ἠσέβησεν ὡς ἀληθῶς μετὰ τῶν ἀσεβῶν ἐν τοῖς θείοις καὶ ἐπουρανίοις λόγοις. Ὁ Σωτὴρ γὰρ ἔλεγε πρὸ μικροῦ· Ἐθεώρουν τὸν Σατανᾶν ὡς ἀστραπὴν πεσόντα ἐκ τοῦ οὐρανοῦ· καὶ ὧδε πάλιν· Ὁ ἄρχων τοῦ κόσμου τούτου βληθήσεται κάτω. Καὶ εἰ περὶ τοῦ Σατανᾶ ἦν ὁ λόγος τοῦ ἤδη πεπτωκότος, τίς ἦν χρεία πάλιν βάλλεσθαι κάτω; Ἀλλὰ πάντως ἐρεῖς εἰς τὴν ἄβυσσον. Ποῦ οὖν ἔμελλεν ὑψοῦσθαι ὁ Κύριος; Εἰ μὲν γὰρ ἀπὸ τῆς ἀβύσσου ἔμελλεν ὑψοῦσθαι, τὸ ὅμοιον τῷ ὁμοίῳ παρεκτεινόμενον τὰ ἰσόρροπα τῆς φράσεως ἀπεργάζεται. Πότε δὲ ἐν τῇ γῇ ὑψώθη; Ἔλεγε γὰρ περὶ τοῦ ὑψώματος τοῦ σταυροῦ, καὶ περὶ τοῦ εἰς οὐρανὸν ἀνιέναι, ἵνα πάντας ἀνελκύσῃ πρὸς ἑαυτόν. Καὶ τίνι λόγῳ ἄνω τυγχάνων οὐ καθείλκυσεν, ἀλλ' ἐπὶ τῆς γῆς ἐλήλυθεν; Ἔδει γὰρ αὐτὸν ἐλθεῖν, καὶ τὸ εἶδος τῶν ἀνθρώπων εἰς ἑαυτὸν ἀναδέξασθαι ἵνα πρῶτον αὐτὸ τὸ σκεῦος τὸ ἅγιον, ὃ ἀπὸ Μαρίας εἴληφεν, ἀναπλάσας ἑαυτῷ ἅγιον σῶμα, Θεὸς ἄνωθεν Λόγος ἐλθὼν ἐκ κόλπων πατρῴων, ἵνα ἐν τῷ ἰδίῳ σώματι [ὑψῶσαι ἐν αὐτῷ] ὑψωθεὶς τοὺς ὁμοίους ἑλκύσῃ πρὸς ἑαυτόν. Τίς δέ ἐστιν ὁ ἄρχων τοῦ κόσμου τούτου; Ἀλλὰ ὡς

A *intuerentur lucem Evangelii gloriæ* [3]. Videamus igitur, num princeps ille mundi, de quo Dominus loquitur, in infima detrudetur? *Si enim*, inquit, *exaltatus fuero, omnes traham ad meipsum* [4]. Quem igitur mundi principem appellat? Si diabolum: cur Joannes in Evangelio de Salvatore dicit: *In propria venit* [5]? Videmus enim duas illas inter se sententias esse contrarias, cum et Apostolus dicit: *Totus mundus in maligno positus est* [6]: et alibi scriptum sit: *In mundo Salvator erat*. Fierine potest ambo ut illic simul resideant? Nam si *mundus in maligno totus est positus*, quis in eo Salvatori locus erit, ut **681** in mundo esse dicatur? Rursum si quæ in mundo sunt ad Filii Dei peculium pertinent, quis ille princeps Dei rebus dominatur? Quod si propria B Filii Dei illa ipsa non sunt, quisnam mundi princeps ea quæ in mundo sunt, propria Salvatoris esse patiatur? Contra vero, si mundus ad Filium Dei pertinet, cur ab illo principe mundum suum usurpari permisit? Enimvero expressæ omnes in Scriptura veritatis voces summa cum sapientia pronuntiatæ sunt, quo illud Domini pertinet: *Venit Joannes justitiæ viam tenens, non manducans neque bibens, et dicunt: Dæmonium habet. Venit Filius hominis manducans et bibens, et dicunt: Ecce homo vorax, et vini potator, amicus publicanorum et peccatorum; et justificata est sapientia a filiis suis* [7]. Quomodo illud intelligendum est, *sapientium a filiis esse justificatam*, nisi ab his qui sapientiæ voces intelligunt? Unde et apud prophetam dicit: C *Quis sapiens, et intelliget hæc: quoniam rectæ viæ Domini, et sermo sapientiæ: et cognoscet hæc? Impii vero infirmabuntur in illis* [8].

LXVII. Plane enim cum impiis in divinis ac cœlestibus oraculis imbecillis atque impius redditus esse memoratur. Nam Salvator paulo ante dixerat: *Videbam Satanam quasi fulgur de cœlo cadentem* [9]. Hoc vero loco: *Princeps mundi hujus ejicietur foras* [10]. Quod si de Satana jam lapso loqueretur, quid illum denuo præcipitari attinet? Ergo in abyssum dejiciendum fuisse dixeris. Cæterum ubinam exaltandus erat Dominus? Si ex abysso in sublime fuit attollendus, similis locus cum simili comparatus eamdem sententiæ vim efficit. Quandonam enim est D exaltatus in terra? Quare de crucis exaltatione, deque sua in cœlum conscensione loquebatur, ut ad se ipsum omnes attraheret. Quænam deinde ratio est, cur non in cœlo manens inde pertraxit, sed ad terram usque descendit? Oportebat nimirum venire ipsum, atque hominis figuram suscipere, ut in primis vas illud sanctum, quod de Maria Virgine sumpsit, sanctum videlicet sibi corpus effingens, ac Deus Verbum e cœlo, deque paterno sinu descendens, suum illud corpus attolleret, tum ubi esset ipse sublatus, sui ad sese similes attraheret.

[1] Cor. ἄρχον, vel τὸν ἄρχ. [2] F. ἁγίας. [3] II Cor. IV, 4. [4] Joan. XII, 32. [5] Joan. I, 11. [6] I Joan. V, 19. [7] Matth. XI, 18, 19. [8] Ose. XIV, 10. [9] Luc. X, 18. [10] Joan. XII, 31.

Digitized by Google

Sed quisnam est hujus ille mundi princeps? In primis cum ait: *Totus mundus in maligno positus est* [1-2], non cœlum, non terram, non solem, aut lunam intelligit, non stirpes, **682** mare, montes, aerem, nubes, ventos, sidera, volucres, rerum denique conditarum nullam; sed hominum mundus superbia mentis est, et fastus audaciæ, et elati animi in hominibus arrogantia. Igitur mundi princeps ille deorsum superbia sua cecidit. *Vos enim*, inquit, *gloriam ab invicem capitis* [3]. *Ego vero non quæro gloriam meam* [4]. Annon superbia excidit? Non princeps mundi confractus est, cum et Herodes mortuorum ac vivorum judicem Dominumque custodiret ac judicio subjiceret, cum præsideret Pilatus, cum satelles malam cæderet, Judas prodoret, Caiphas judicaret, Judæi sputis aspergerent, milites denique caput ejus colaphis tunderent, qui solo nutu cœlum terramque contorquere posset? Hæc igitur superbia, hæc audacia, hæc mundo addictorum hominum gloria, mundi ille princeps est, qui in terram prolapsus est. Etenim qui in hoc mundo honorum et dignitatum gradibus antecelluni, ita principatum obtinent, ut arrogantia, insolentia, gloria superbiaque sese nimium efferant, quæ quidem a Salvatore nostro abfuerunt omnia. *Linum enim fumigans non exstinguet, et calamum contritum non confringet* [5].

LXVIII. Sed, ut omittam cætera, quæ ad idem argumentum afferri bene multa possunt, Manichæus hoc insuper objicit, quod scriptum est: *Deus hujus sæculi excæcavit mentes infidelium, ut non intuerentur Evangelii lucem* [6]. Atqui si Deus mundi hujus Dominus est, quid Salvator pedem in alienam possessionem immittens faciebat? Si eam ipsam concupiverat, minime id bono justoque convenit. Sin idcirco venit, ut non propria, sed aliena servaret, jam hoc adulatoris alicujus proprium est, qui alieno principi subditos ad res novas ambitiose provocare studeat. Quod si eorum quæ ad sæculi hujus Deum pertinent, servandorum gratia venit, bene utique de illo meritus est, cujus rebus servandis operam adhibuerit. Ac si hujus ille sæculi Deus suos a Salvatore eripi libenti animo patitur, profecto bonus est, qui si servare minus ipse possit, de suorum tamen salute gaudeat. Atque ita commune quoddam erit bonitatis commercium, quod et salutem affert is qui potest, et qui res suas servare non potest, servari tamen ab altero **683-689** libenter videt, quas etiam in lucro numerat, cum ab eo qui præclare servare potest, salvas et incolumes acceperit. Præterea si eidem illi qui servare res ipsius cupiat, nequaquam adversatur, habebit ei qui servat gratiam; proindeque is primum illum servabit, ad quem qui servantur attinent, ut in eo liberando bonitatis suæ specimen præbeat. Non enim, puto, solos eripere tenues volet, præcipuo illo relicto, a

A λέγει, *Πᾶς ὁ κόσμος ἐν τῷ πονηρῷ κεῖται*, οὐκ οὐρανὸν λέγων, οὐ τὴν γῆν, οὐχ ἥλιον, οὐ σελήνην, οὐ φυτά, οὐ θάλασσαν, οὐκ ὄρη, οὐκ ἀέρα, οὐ νέφη, οὐκ ἄνεμον, οὐκ ἄστρα, οὐ πτηνά, οὐδέν τι τῶν ἐκτισμένων, μὴ γένοιτο! Ἀλλ' ὁ κόσμος τῶν ἀνθρώπων, ἡ ὑπερηφανία τῆς ἐννοίας, τὸ θράσος τοῦ τύφου, ἡ ἀλαζονεία τῆς τῶν ἀνθρώπων ἐπάρσεως, οὗτος ὁ ἄρχων τοῦ κόσμου τούτου ἐξέπεσε κάτω ὑπερηφανίᾳ. *Ὑμεῖς γάρ*, φησί, *δόξαν παρὰ ἀλλήλων λαμβάνετε· ἐγὼ δὲ οὐ ζητῶ τὴν ἐμαυτοῦ δόξαν.* Πῶς γὰρ οὐκ ἔπεσεν ἡ ὑπερηφανία; πῶς οὐκ ἐθραύσθη ὁ ἄρχων τοῦ κόσμου, Ἡρώδου μὲν φυλάττοντος καὶ κρίνοντος τὸν κριτὴν ζώντων καὶ νεκρῶν καὶ Κύριον, Πιλάτου δὲ προκαθεζομένου, ὑπηρέτου ῥαπίζοντος τὴν σιαγόνα, Ἰούδα παραδιδόντος, Καϊάφα B δικάζοντος, Ἰουδαίων καταπτυόντων, στρατιωτῶν κολαφιζόντων κεφαλὴν τοῦ δυναμένου νεύματι εἰλῆσαι οὐρανὸν καὶ γῆν; Αὕτη ἡ ὑπερηφανία, καὶ τὸ θράσος, καὶ ἡ δόξα τῶν ἀνθρώπων τοῦ κόσμου, οὗτος ἦν ὁ ἄρχων τοῦ κόσμου, ὁ πεσὼν χαμαί. Πάντες γὰρ οἱ τῶν ἀξιωμάτων ἐν τῷ κόσμῳ τούτῳ ἐν ὑπεροχῇ τυγχάνοντες τὴν ἀρχὴν ἔχουσι διὰ τῶν φρυαγμάτων, διὰ τοῦ θράσους, καὶ κύδους, καὶ ὑπερηφανίας, ὧν οὐδὲν ἐν τῷ Σωτῆρι εὑρηται. *Λίνον γὰρ τυφόμενον οὐ σβέσει, καὶ κάλαμον τεθραυσμένον οὐ κατεάξει.*

ΞΗ'. Καὶ πολλά μοί ἐστι περὶ τοῦτο λέγειν. Πάλιν δέ φησιν ὁ αὐτὸς Μάνης, ὅτι *Ὁ Θεὸς*, φησί, *τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων, τοῦ μὴ καταυγάσαι εἰς τὸν φωτισμὸν τοῦ Εὐαγγελίου.* Εἰ ἔνι ὁ Θεὸς τοῦ κόσμου τούτου, τί ἄρα ἐλθὼν ὁ Σωτὴρ ἐποίει εἰς τὰ ἀλλότρια; Καὶ εἰ μὲν τῶν ἀλλοτρίων ἐφίετο, οὐκ ἔστι τοῦτο ἀγαθοῦ, οὔτε δικαίου· εἰ δὲ ἕνεκεν τοῦ σῶσαι ἦλθεν οὐκ ἴδια, ἀλλ' ἀλλότρια, τοῦτο καὶ κόλακος τυγχάνει τινὸς βουλομένου προσεπαίρειν τοὺς τοῦ πέλας. Καὶ εἰ ὅλως τὰ τοῦ Θεοῦ τοῦ αἰῶνος τούτου ἦλθε σῶσαι, ἄρα αὐτῷ τῷ Θεῷ τοῦ κόσμου τὴν χάριν κατατίθεται, ἴδια αὐτοῦ σκεύη πειρώμενος σώζειν. Καὶ εἰ ὅλως συγκατατίθεται ὁ Θεὸς τοῦ αἰῶνος τούτου ἐπὶ τοῖς αὐτοῦ διὰ τοῦ Σωτῆρος σωζομένοις, ἄρα ἀγαθός ἐστιν, εἰ καὶ μὴ δύναται σώζειν, χαίρων ἐπὶ τῇ τῶν ἰδίων σωτηρίᾳ. Καὶ ἔσται λοιπὸν μία κοινωνία τῆς D ἀγαθότητος, ὅτι ὁ μὲν δυνάμενος σώζει, ὁ δὲ μὴ δυνάμενος τὰ ἴδια σώζειν, χαίρει ἐπὶ τοῖς σωζομένοις, κέρδος τὰ ἴδια ἡγούμενος παρὰ τοῦ καλῶς σώζοντος σωζόμενα ἔχων. Καὶ εἰ ὅλως οὐκ ἐναντιοῦται τῷ βουλομένῳ τὰ ἴδια σώζειν, καὶ χάριν ὁμολογήσει. Εἰ δὲ χάριν ὁμολογεῖ πρῶτον αὐτόν σώζει, οὗ οἱ σωζόμενοι, ἵνα δείξῃ ἐπ' αὐτὸν σωζόμενον τὴν αὐτοῦ ἀγαθότητα. Καὶ οὐ τοὺς μικροὺς μᾶλλον βούλεται σώζειν, καὶ ἐᾷν τὸν ἀναγκαῖον, ἐξ οὗπερ οἱ σωζόμενοι γεγόνασιν. Ἢ ἄλλως πάλιν, εἰ μὲν βούλεται αὐτὸν μὴ σώζειν, τοὺς δὲ ὑπ' αὐτοῦ σώζει, ἄρα οὐ τέλειον ἀπεργάζεται, οὐδὲ δύναται τὸ

[1-2] I Joan. v, 19. [3] ibid. 44. [4] Joan. viii, 50. [5] Isa. xlii, 3; Matth. xii, 20. [6] II Cor. iv, 4.

Digitized by Google

ἀγαθὸν ἐργάσασθαι ἐν τελειότητι· εἰ δὲ διὰ τὸ εἶναι αὐτὸν φύσεως μὴ σωζομένης, αὐτὸν μὲν ἀδυνάτως ἔχει σώζειν, τοὺς δὲ ὑπ' αὐτοῦ γεγενημένους σώζει, πολλῷ μᾶλλον οἱ ἐξ αὐτοῦ γεγενημένοι σαθρότεροι αὐτοῦ ὑπάρχουσι, καὶ ἀδυνάτως ἔχουσι πρὸς σωτηρίαν. Καὶ ἄλλως δὲ, εἰ μὲν, ἴδιά τινα μὴ ἔχων σώζειν, εἰς τὰ ἀλλότρια ἦλθεν ἐπιδείξεως χάριν, τὴν αὐτοῦ βοήθειαν δεῖξαι, πολλὴ ἡ ἀπορία, ἡ μὴ δυναμένη ἴδια σώζειν, καὶ εἰς τὰ ἀλλότρια ἐπιδημοῦσα, ὅπως ἐνδείξηται τὸ ἔργον, ὃ ἐν τοῖς ἰδίοις ἀδυνάτως ἔσχεν ἐπιδείξασθαι. Καὶ ἤδη διέπεσεν ὁ περὶ τοῦ Σωτῆρος καὶ τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου ὑπὸ τοῦ Μάνη εἰρημένος λόγος. Καὶ ἔστι τῷ ὄντι ὁ Θεὸς τοῦ αἰῶνος τούτου οὐ Θεὸς παρηλλαγμένος παρὰ τὸν ὄντα ἄλλως, οὐδὲ ἐνυπόστατος Θεὸς ἄλλος, μὴ γένοιτο! Θεὸς γὰρ ὁ πάντων Δεσπότης, ὁ τὸν κόσμον ποιήσας, εἷς ἐστι Θεὸς, ὁ *Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ*, καὶ οὐδέποτε διαλείπει.

A quo hi qui servantur propagati sunt. Deinde si cum alios liberet, liberare nihilominus nolit illum, imperfectum quiddam est, quod molitur, nec absolutum bonum præstare posse videtur. Jam vero si, quod ejusmodi naturæ non sit, quæ servari possit, salutem huic afferre nequeat, quam ab eo genitis impertitur, sane qui ab illo orti sunt longe deteriores esse debent, ut ne salutem quidem adipisci ipsi possint. Ad hæc si, cum nullam privatam possessionem habeat, quam vindicet, ad alienam accessit, ut seipsum et opem ostentaret suam, perplexum quiddam et implicatum efficitur, ut quæ virtus res suas servare nequeat, ad alienas se conferat, ut illud in iis præstet, quod in propriis exercere non potuit. Hoc igitur modo ruit omnis illa de Salvatore ac B sæculi hujus principe Manichæi sententia. Ac si quod res est fateri volumus, istius sæculi Deus non alius est, a vero Deo diversus, nec ulla substantia præditus alius. Siquidem Dominus omnium Deus, ac mundi conditor Deus unus est, *Pater Domini nostri Jesu Christi*[1], qui nunquam esse desinet.

Ξθ'. Περὶ οὗ δὲ ὁ Ἀπόστολος λέγει, ὃν ἠρέτισαν τὸν Θεὸν ἑαυτῶν εἶναι οἱ ἄπιστοι, οὐ μόνον λέγω ἕνα Θεὸν εἶναι τοῦ αἰῶνος τούτου, μὴ γένοιτο! ἀλλὰ καὶ πολλούς, οἷς ἑαυτοὺς ὑπέταξαν οἱ ἄπιστοι, καὶ ἐτυφλώθησαν τὴν διάνοιαν· ὡς καὶ ἐν ἄλλῳ τόπῳ λέγει· *Ὧν ὁ Θεὸς ἡ κοιλία, καὶ ἡ δόξα ἐν τῇ αἰσχύνῃ αὐτῶν*· καὶ ὁ Κύριος ἐν τῷ Εὐαγγελίῳ· *Οὐ δύνασθε δυσὶ κυρίοις δουλεύειν*, φησίν. Εἶτα μετὰ πολλὰ, ἵνα δείξῃ τίνες εἰσὶν οἱ δύο κύριοι, φησίν· *Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμμωνᾷ*. Ἄρα οὖν ὁ Θεὸς; Θεὸς, καὶ μαμμωνᾶς Θεὸς τοῦ κόσμου. Διὰ γὰρ τοῦ μαμμωνᾶ καὶ τῆς κοιλίας τῶν δύο τούτων ἡ πλείστη φύσις τῶν ἀνθρώπων τυφλώττει δελεαζομένη, οὐχ ὑπὸ Θεοῦ λαβοῦσα τὴν πρόφασιν, ἀλλὰ διὰ τῆς ἰδίας κακομηχανίας, ὡς ἕκαστος ὀρεγόμενος ἐπὶ τῇ ἀπιστίᾳ ἑαυτὸν παραδίδωσιν ὑποχείριον πάντων. Ὅθεν καὶ ὁ Ἀπόστολος λέγει· *Ῥίζα πάντων τῶν κακῶν ἐστιν ἡ φιλαργυρία*. Καὶ διὰ τοῦτο ἐπαρᾶται κακῇ προλήψει θεοποιίας λέγων· *Τὰ βρώματα τῇ κοιλίᾳ, καὶ ἡ κοιλία τοῖς βρώμασιν*. *Ὁ δὲ Θεὸς καὶ ταύτην καὶ ταῦτα καταργήσει*· ἐπαρώμενος γαστρὸς ἐπιθυμίαις. *Ὁ Θεὸς τοίνυν τοῦ αἰῶνος τούτου ἐτύφλωσε τὰ νοήματα τῶν ἀπίστων*· ὡς καὶ ἐν τῷ Εὐαγγελίῳ εὑρίσκεται ὁ γραμματεὺς πρῶτος καὶ δεύτερος λέγων· *Τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω;* Ὁ δὲ ἔφη· *Τίμα τὸν πατέρα καὶ τὴν μητέρα κατὰ τὸ γεγραμμένον*. Οὐ γὰρ ἦν ἀλλότρια τὰ τοῦ νόμου. Ὡσαύτως ὁ Κύριος διδάσκει ζωῆς κληρονομίας εἶναι τὴν παραφυλακὴν τοῦ νόμου. Εἶτά φησι· *Ταῦτα πάντα ἐποίησα ἐκ νεότητός μου*. Καὶ ἀκούσας ἐχάρη, ἵνα δείξῃ τὰς ἐντολὰς τοῦ νόμου οὐκ ἀλλοτρίας τῆς αὐτοῦ θεότητος ὑπαρχούσας. Διὰ γὰρ τοῦ εἰπεῖν, ὅτι ἐχάρη, συγκατάθεσιν ἐποιήσατο Παλαιᾶς Διαθήκης πρὸς Νέαν Διαθήκην. Ἀλλά φησι· *Τί ἔτι ὑστερῶ;* Καὶ φησὶ πρὸς αὐτόν· *Εἰ θέλεις τέλειος γενέσθαι, πώλησον τὰ ὑπάρχοντά σοι, καὶ δὸς*

LXIX. Quem vero commemorat Apostolus, utroque ab infidelibus adoptatum ascitumque narrat, non unum illum solumque sæculi hujus esse Deum dico, sed plures, quibus se infideles subjecerint, et animis obcæcati sint. Quemadmodum alio loco dicit: *Quorum Deus venter est, et gloria in confusione ipsorum*[2]. Item in Evangelio Dominus: *Non potestis duobus dominis servire*[3]. Deinde multis interjectis, ut quinam duo illi domini essent ostenderet: C *Non potestis*, inquit, *servire Deo et mammonæ*[4]. Quamobrem et Deus vere Deus est, et mammonas hujus mundi Deus. Nam amborum, hoc est mammonæ ac ventris, illecebra pellecta maxima pars mortalium excæcatur; cujus quidem culpam Deus minime sustinet, sed privata illorum improbitas, pro eo ac quisque cupiditate ductus per infidelitatem subjectum **690** se omnibus obnoxiumque tradiderit. Hinc illud Apostoli dictum: *Radix malorum omnium est avaritia*[5]. Hinc præsumptam illam ac depravatam falsorum deorum opinionem exsecretur his verbis: *Esca ventri et venter escis. Deus autem et hunc et illas destruet*[6]. Quibus verbis ventris cupiditates ille detestatus est. *Deus* itaque *sæculi hujus excæcavit mentes infidelium*[7]. Quo illud pertinet, D quod in Evangelio legimus, primum illum et alterum dixisse scribam: *Quid faciendo vitam æternam consequar? Honora*, inquit, *patrem et matrem, sicut scriptum est*[8]. Non enim aliena legis erant ab eo mandata; perindeque Dominus illius observatione vitæ cœlestis hæreditatem obtineri docuit. Subjecit ad hæc juvenis: *Hæc omnia servavi ab adolescentia mea*[9]. Quo audito Christus gavisus est, ut ostenderet a divinitate sua nequaquam præcepta legis abhorrere. Cum enim gavisus esse dicitur, Veteris Testamenti cum Novo consensionem ac concordiam astruxit. Instante vero adolescente et, *Quid adhuc*

[1] I Cor. I, 3. [2] Philipp. III, 19. [3] Matth. VI, 24. [4] ibid. [5] I Tim. VI, 10. [6] I Cor. VI, 13 [7] II Cor. IV, 4. [8] Matth. XIX, 16-19. [9] ibid. 20.

Digitized by Google

mihi deest? interrogante, Dominus respondit: *Si vis perfectus esse, vende quæ habes, et da pauperibus, et sume crucem tuam, et sequere me; et habebis thesaurum in cœlo. At ille tristis abiit; erat enim admodum dives*[1]. Sub hæc Dominus: *Facilius est*, inquit, *camelum per foramen acus ingredi, quam divitem in regnum cœlorum*[2].

Ideo enim ingredi nequeunt, quod a deo sæculi hujus obcæcati fuerint, et mammonam pro Deo habere instituerint, ac se denique sæculi deo sponte, hoc est avaritiæ, subjecerint. Ad quod illud Salvatoris spectat: *Attendite a fermento Pharisæorum, quod est hypocrisis*[3]. Alio vero loco, *quod est avaritia*. Cujus ut fructum opusque significaret, *Duces*, inquit, *cæci sunt. Cæcus autem cæcum si ducat, ambo in foveam cadent*[4]. Quod videlicet sua illos excæcarit avaritia, qui est hujus sæculi deus, neque ob eam cæcitatem in eorum cordibus evangelicus ille splendor illuxerit. Atque hæc ipsa pecuniæ cupiditas non modo Judam excæcavit, sed et Ananiæ necem attulit, et plerosque alios exstinxit. Hic est, inquam, hujus sæculi deus, quem pro Deo sibi adoptantes homines, cum ei honorando studuissent, Dominum contempserunt: quod his ipse verbis indicat: *Unum amplectetur, alterum contemnet.* **691** *Non potestis Deo servire et mammonæ*[5]. Videsne quam diserte perspicueque res tota declaretur? Nam nullus alter Deus est, nec in cœlo, nec in terra, nec ullis aliis in locis, præter unum Patrem, ex quo omnia; et unum Dominum nostrum Jesum Christum, per quem omnia; et unum Spiritum sanctum, in quo omnia; quæ est sempiterna Trinitas, et una divinitas, cui nec accedere quidpiam potest, nec decedere.

LXX. Sed jam ad alia transeamus, atque hujus bestiæ, et inimici, atque insecutoris laqueos discerpamus, o charissimi! adeo ut quæ ab illo affectata verborum novitate disputata sunt ad veritatis sermonem transferamus, in eorum gratiam, qui veritatis cognoscendæ desiderio tenentur, atque ab impia hæreseon omnium doctrina animum avertere volunt. Pergit igitur legem ac prophetas perstringens homo tam veritatis, quam Spiritus sancti, qui in lege ac prophetis locutus est, inimicus; atque adversus omnium conditorem Deum, qui in lege ac prophetis locutus est, eumdemque Domini nostri Jesu Christi Patrem, *ex quo omnis paternitas in cœlo et in terra nominatur*[6], laxata effrenatæ linguæ petulantia omnis illum cupiditatis auctorem, ac cædium, reliquorumque facinorum exstitisse docet; quippe qui et vestes Ægyptiis eripere jusserit[7], et cum sacrificia sibimet offerre, tum quæcunque alia legis præscripto mandantur. Quin et homicidam interficere, neque priori cæde contentos alteram, quasi ad priorem vindicandam, perpetrare. Tum vero cupiditates

A πτωχοῖς, καὶ λάβε τὸν σταυρόν σου· καὶ ἀκολούθει μοι· καὶ ἕξεις θησαυρὸν ἐν οὐρανῷ. Ὁ δὲ ἀπῆλθε λυπούμενος· ἦν γὰρ πλούσιος σφόδρα. Εἶτα ὁ Κύριος ἔφη· Εὐκοπώτερόν ἐστι κάμηλον διὰ τρυμαλιᾶς ῥαφίδος εἰσελθεῖν, ἢ πλούσιον ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.

Οὐ δύναται γὰρ εἰσελθεῖν, ὅτι ἐτυφλώθησαν ὑπὸ τοῦ θεοῦ τοῦ αἰῶνος, ἡγησάμενοι τὸν μαμμωνᾶν ἑαυτῶν Θεὸν, καὶ ἑαυτοὺς ὑποχειρίους πεποιηκότες τῷ θεῷ τοῦ αἰῶνος τούτου, τουτέστι τῇ φιλαργυρίᾳ· ὡς λέγει· *Προσέχετε ἀπὸ τῆς ζύμης τῆς Φαρισαίων, ἥτις ἐστὶν ὑπόκρισις*· καὶ ἐν ἄλλῳ τόπῳ· *ἥτις ἐστὶ φιλαργυρία.* Καὶ ἵνα δείξῃ ταύτης τὸ ἀποτέλεσμα καὶ τὸ ἔργον, λέγει· *Ὁδηγοί εἰσι τυφλοί. Τυφλὸς δὲ τυφλὸν ὁδηγῶν, ἀμφότεροι εἰς* B *βόθυνον ἐμπεσοῦνται.* Ἐπειδὴ γὰρ ἐτύφλωσεν αὐτοὺς ἡ φιλαργυρία, ὁ θεὸς τοῦ αἰῶνος τούτου, καὶ οὐ κατηύγασεν ὁ φωτισμὸς τοῦ Εὐαγγελίου ἐν ταῖς καρδίαις αὐτῶν, διὰ τὸ τετυφλῶσθαι περὶ τὴν φιλαργυρίαν. Αὕτη γὰρ τὸν Ἰούδαν ἐτύφλωσεν· αὕτη καὶ τοὺς περὶ Ἀνανίαν ἀπέκτεινεν· αὕτη πολλοὺς ἠφάνισεν. Οὗτός ἐστιν ὁ θεὸς τοῦ αἰῶνος τούτου· ὃν αἱρησάμενοι Θεὸν οἱ ἄνθρωποι ἐπελάβοντο τῆς πρὸς αὐτὸν τιμῆς, καὶ κατεφρόνησαν τοῦ Κυρίου, ὡς λέγει· *Τοῦ μὲν ἑνὸς ἀνθέξεται, τοῦ δὲ ἑτέρου καταφρονήσει. Οὐ δύνασθε Θεῷ δουλεύειν, καὶ μαμμωνᾷ.* Καὶ ὁρᾷς ῥητῶς καὶ σαφῶς τὸ πρᾶγμα ἑρμηνευόμενον; Οὐδεὶς γὰρ ἕνι ἕτερος Θεὸς, οὐκ ἐν οὐρανῷ, οὐκ ἐν τῇ γῇ, οὐκ ἐν πᾶσι χωρίοις, ἀλλὰ C εἷς Πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἓν Πνεῦμα τὸ ἅγιον, ἐν ᾧ τὰ πάντα· ἀεὶ οὖσα ἡ Τριὰς, μία ἡ θεότης, καὶ μηδέποτε προσθήκην λαμβάνουσα, οὔτε ἀφαίρεσιν ἐνδεχομένη.

Ο'. Ἴωμεν δὲ ἐφ' ἕτερα πάλιν, καὶ τὰ δίκτυα τούτου τοῦ θηρὸς καὶ ἐχθροῦ καὶ ἐκδικητοῦ διασπασώμεθα, ἀγαπητοὶ, ἐπὶ τὴν φράσιν τῆς ἀληθείας τὰ ὑπ' αὐτοῦ ξενολεκτούμενα φέροντες τοῖς βουλομένοις τὰ τῆς ἀληθείας καταμαθεῖν, καὶ ἀποτρέπεσθαι τὸν νοῦν ἀπὸ κακοδιδασκαλίας πάσης αἱρέσεως. Ἐπιλαμβάνεται γὰρ τοῦ νόμου πάλιν καὶ τῶν προφητῶν, ἐχθρὸς ὢν τῆς ἀληθείας καὶ τοῦ ἁγίου Πνεύματος, τοῦ ἐν νόμῳ καὶ ἐν προφήταις λελαληκότος. Καί φησι, χαλάσας γλῶσσαν, ὡς καὶ ἀεὶ, κατὰ τοῦ Θεοῦ τοῦ ποιήσαντος τὰ πάντα, λαλήσαντός τε ἐν νόμῳ καὶ ἐν D προφήταις, Πατρὸς ὄντος τοῦ Κυρίου ὑμῶν Ἰησοῦ Χριστοῦ, *ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται*· καί φησιν· Ἐξ αὐτοῦ ἐπιθυμία, καὶ ἐξ αὐτοῦ φόνοι, καὶ τὰ ἄλλα πάντα. Παρεκελεύετο γὰρ καὶ ἱμάτια ἁρπάξαι τῶν Αἰγυπτίων, θυσίας δὲ αὐτῷ προσφέρεσθαι, καὶ τὰ ἄλλα πάντα ὅσα παρέχει νόμος. Φονεύειν δὲ τὸν φονεύοντα, ὡς μηκέτι ἀρκεῖσθαι τῷ πρώτῳ φόνῳ, ἀλλὰ καὶ δεύτερον ἐργάζεσθαι, δῆθεν ἐκδικοῦντος αὐτοῦ τὸν πρῶτον φόνον, ἐμβάλλειν τε ἐπιθυμίας εἰς τὰς διανοίας τῶν ἀνθρώ-

[1] Matth. xix, 21, 22. [2] ibid. 24. [3] Luc. xii, 1. [4] Matth. xv, 14. [5] Matth. vi, 24. [6] Ephes. iii, 15. [7] Exod. xi, 2.

Digitized by Google

πων, καὶ διηγούμενος γυναικῶν[1] καὶ τῶν ἄλλων πραγμάτων. Ἐχεθύμως δὲ, φησὶν, ὀλίγα περὶ τοῦ Χριστοῦ προεφήτευσεν, ἵνα διὰ τῶν ὀλίγων πιστοποιήσῃ πιθανολογήσας. Καὶ ταῦτα ἦν τὰ ῥήματα τοῦ τολμηροῦ Μάνη, ἃ κατὰ τοῦ ἰδίου Δεσπότου ἀθυρογλώττως φθέγγεται. Κατανοήσας δέ τις ἴδοι μηδὲν ἕτερον ἐν τούτῳ φαινόμενον ἀλλ' ἢ φρενιτιῶντος ἔργα. Ὡς γὰρ ὁ τὴν φρενῖτιν ἔχων, μάχαιραν καθ' ἑαυτοῦ ὁπλίζεται, καὶ διὰ τὴν ἐπιληψίαν τὰς ἑαυτοῦ σάρκας τέμνων, νομίζει ἐχθροὺς ἀμύνασθαι, καὶ οὐκ οἶδεν· οὕτω καὶ οὗτος καθ' ἑαυτοῦ διοπλίζεται, μὴ νοῶν τὰς λέξεις, ἃς καθ' ἑαυτοῦ ἐφέλκεται. Εἰ γὰρ ἐξ αὐτοῦ ἡ ἐπιθυμία, καὶ ἐπιθυμίας ἐνεργεῖ, πῶς ἄνω καὶ κάτω κατὰ ἐπιθυμίας γράφει ὁ τὴν ἐπιθυμίαν ἐμβάλλων; ὁ λέγων· *Μὴ ἐπιθυμήσῃς τὰ τοῦ πλησίον, μηδὲ τὸν βοῦν αὐτοῦ, μηδὲ τὸ ὑποζύγιον αὐτοῦ, μηδὲ τὴν παιδίσκην αὐτοῦ, μηδὲ τὸν ἀγρὸν αὐτοῦ, μηδὲ τὴν γυναῖκα αὐτοῦ, μηδὲ ὅσα ἐστὶ τῷ πλησίον σου*· εἰ ἀναιρεῖ τὴν ἐπιθυμίαν, οὐκ αὐτὸς τῆς ἐπιθυμίας ἐστὶ χορηγός.

ΟΑ'. Πῶς οὖν, φησὶν, ἐνετείλατο σκυλεῦσαι τοὺς Αἰγυπτίους, ἐν τῷ ἐξιέναι αὐτοὺς ἐκ γῆς Αἰγύπτου; Ναί· δίκαιος γάρ ἐστι κριτὴς, ὡς καὶ ἤδη πολλάκις εἴρηκα περὶ τούτου. Καὶ ἵνα δείξῃ, ὅτι οὐκ αὐτὸς ἐνδεῖται θυσιῶν, φησὶν ἐν τῷ προφήτῃ· *Μὴ θυσίας προσηνέγκατέ μοι, οἶκος Ἰσραὴλ, τεσσαράκοντα ἔτη; λέγει Κύριος.* Τίνι οὖν ἦσαν αἱ προσφερόμεναι; Αὐτῷ μὲν κατὰ τὴν διάνοιαν τῶν προσφερόντων· αὐτὸς δὲ οὐχ ἕνεκεν τοῦ ἐνδεῖσθαι προστέταχεν, ἀλλ' ἵνα συνεθίσῃ ἀπὸ πολυθεΐας ἕνα Θεὸν ἐπιγινώσκειν. Ἐπειδὴ γὰρ ἑώρα θυσίας ἐπιτελουμένας τοῖς θεοῖς τῶν Αἰγυπτίων, ἵνα μὴ διὰ πολυθεΐαν τραπέντα αὐτῶν τὰ νοήματα καταλείψωσι τὸν μόνον ἕνα Θεόν. Ὅτε δὲ συναγήοχεν αὐτῶν τὴν διάνοιαν ἀπὸ πολυθεΐας διὰ πολλοῦ χρόνου, ἀποσυνεθίσας αὐτοὺς τῆς τοιαύτης ὑποθέσεως, ἄρχεται παρακόπτειν ἃ μὴ ἤθελε· καὶ ἔλεγεν· *Ἵνα τί μοι λίβανον ἐκ Σαβᾶ φέρετε, καὶ κινάμωμον ἐκ γῆς μακρόθεν; Μὴ φάγομαι κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι; Ταῦτα γὰρ οὐκ ἐξεζήτησα ἐκ τῶν χειρῶν ὑμῶν, ἀλλὰ ποιεῖν πρὸς τὸν πλησίον δικαιοσύνην, καὶ ἀλήθειαν ἕκαστον πρὸς τὸν ἀδελφὸν αὐτοῦ.* Καὶ ὁρᾷς, ὅτι, προϊόντων τῶν χρόνων, ἡ ὑπόστασις τῆς δυνάμεως τῶν θείων ἀποκαλύπτεται· ὡς αὐτὸς πάλιν λέγει τῷ Σαμουήλ· Χρῖσον τὸν Σαοὺλ εἰς βασιλέα· ὕστερον δὲ αὐτοὺς ἐλέγχει λέγων· *Ἐχρίσατε βασιλέα οὐ δι' ἐμοῦ, καὶ ἄρχοντας, καὶ ἐγὼ οὐκ ἐστειλάμην ὑμῖν.* Ἀλλ' ἐπειδὴ ἐζήτησαν τοῦτο αἱ διάνοιαι αὐτῶν, παραμυθούμενος ὁ Θεὸς Σαμουὴλ τὸν προφήτην ἔλεγεν· *Οὐ σὲ ἀπεδάλοντο, ἀλλ' ἐμὲ,* λέγει Κύριος. *Πλὴν χρῖσον αὐτοῖς τὸν Σαοὺλ, υἱὸν Κίς*· ὥσπερ παιδίοις μικροῖς προσφερόμενον τὸ Θεῖον, ἵνα βαστάσῃ τὴν ἀσθένειαν τῶν ἀσθενούντων, καὶ ἀναθωπεύσῃ τὸ βρέφος ἀπὸ τῆς αὐτοῦ ἀσθενείας. Εἶτα λέγει τὸ τελειότατον· *Θυσία τῷ Θεῷ πνεῦμα*

A hominum animis injicit, ac de mulieribus cæterisque ejus generis disputat. Callide vero, inquit, de Christo pauca prædixit, uti paucis illis quæsito sibi colore fidem faceret. Ilæ sunt temerarii hominis voces, quas in Dominum suum procaciter effudit. Quas si quis diligentius considerarit, nihil in his aliud præterquam phrenetici hominis facta apparere cognoscet. Ut enim phrenitide laborans, si gladium nactus fuerit, contra seipsum armatur, ac præ amentia suas ipse carnes concidens ulcisci se hostes existimat, et quid agat ignorat : sic iste in seipsum arma convertit, dum voces illas, quas contra se profert, non intelligit. Etenim si cupiditatis auctor ille Veteris Testamenti Deus est, ac quæ sunt cupiditatis propria molitur, cur ubique cupiditatem proscribit? qui quidem istud præceperit : *Non concupisces res proximi tui, neque bovem, neque jumentum, nec ancillam,* **692** *nec agrum, nec uxorem, nec alia quæ proximi tui sunt*[2]. Qui cupiditatem omnem amputat, non eam subministrare dicendus est.

LXXI. Cur igitur, Judæis ex Ægypto migrantibus, spoliare jubet Ægyptios[3]? Nimirum justus ille judex est, quemadmodum de illo sæpe dixi. Atque ut ostendat nihil se sacrificiis indigere, sic apud prophetam loquitur : *Num sacrificia obtulistis mihi, domus Israel, quadraginta annis? dicit Dominus*[4]. Cuinam igitur oblata illa sunt? Opinor illi, ut quidem qui offerebant putabant. At ipse, non quod iis egeret, sed ut a multiplicium deorum cultu ad unius illos Dei cognitionem translatos assuefaceret, fieri ista mandavit. Cum enim Ægyptiorum numina placari sacrificiis cerneret, ideo ista providit, ne ejusmodi deorum superstitione depravatis illorum animis, ab uno soloque Deo desciscerent. Posteaquam autem eorumdem mentes plurium ab deorum cultu revocatas longo intervallo confirmavit; tum demum ab hisce illos institutis desuescere volens cœpit ea, quæ minus sibi placebant, præcidere. Quare ita locutus est : *Quid mihi thus e Saba defertis, et cinnamomum e terra longinqua*[5]? *Nunquid manducabo carnes taurorum, aut sanguinem hircorum potabo*[6]? *Neque enim hæc requisivi ex manibus vestris, sed facere erga proximum suum justitiam, et veritatem unumquemque in fratrem suum*[7]. Animadvertis itaque quemadmodum progressu temporum divinæ virtutis sese velut firmamentum aperiat. Unde cum Samueli mandasset : Unge Saul in regem[8] : postea tamen Judæos increpat : *Untistis*, inquit, *regem non per me, et principes, et ego non præcepi vobis*[9]. Sed quoniam ex animorum suorum hoc libidine postularant, Deus Samuelem consolans, *Non te*, inquit, *rejecerunt, sed me*, dicit Dominus; *verumtamen unge illis Saul filium Cis*[10]. Qua in re perinde se Deus erga illos ac pueruios gerit, ut infirmorum imbecillitatem sustineat, ac sic tanquam

[1] Forte περὶ γυν. [2] Exod. xx, 17. [3] Exod. xi, 2. [4] Amos v, 25. [5] Jer. vi, 20. [6] Psal. xlix, 13. [7] Amos v, 25; Isa. i, 12 sqq. [8] I Reg. ix, 16. [9] Osc. viii, 4. [10] I Reg. viii, 7 sqq.

Digitized by Google

infantem in illa sua teneritudine permulceat. Postea vero, quod summum ac perfectissimum est proponit : *Sacrificium Deo spiritus contribulatus; cor contritum et humiliatum Deus non despiciet* [1]. Item : *Immolate Deo sacrificium laudis* [2] : et quæcunque alia de ea re possunt afferri.

A συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει· καὶ, Θύσατε τῷ Θεῷ θυσίαν αἰνέσεως· καὶ ὅσα ἔστι περὶ τούτου λέγειν.

LXXII. Deinde vel Manes ipse confitetur, Deum illum de Christo mentionem facere voluisse. Magnus enim revera ille fuit, qui in lege locutus est, qui futura ante prævidit ac prædixit. Nam si futura novit, **693** præscientiæ expers non fuit, eritque Deus, qui futurorum cognitione præditus est. Porro ideo illa scripsit, ut aliquando contingerent : quæ si contraria ipsi forent, sic de illis scribi voluisset, ut everteret ac destrueret, ne persuaderi nobis possent. Nunc cum ea commendet ipsa quæ in Christo perficienda erant, non dubium est, eumdem illum esse Spiritum qui in lege, ac prophetis, Evangelioque adeo sit locutus, quandoquidem una est omnium concordia. Quod a Moyse quoque declaratum est : *Prophetam*, ait, *e fratribus vestris suscitabit Dominus* [3]. Imo et Dominus ipse : *Moyses*, inquit, *de me scripsit* [4]. Qui quidem Moyses ita pergit : *Omnis anima quæ non audierit prophetam illum, exterminabitur* [5]. Item Dominus : *Si Moysis litteris non creditis, quomodo sermones meos audietis* [6]? Ita veritas omni ex parte splendida ac rugæ expers appareret.

ΟΒ'. Εἶτά φησιν ὁ αὐτὸς Μάνης· Ἠθέλησε περὶ Χριστοῦ λόγον ἐκθέσθαι. Ὁ λαλήσας γὰρ ἐν τῷ νόμῳ μέγας ἀληθῶς, ὁ ἐκθέμενος καὶ περὶ τῶν μελλόντων γινώσκων. Εἰ γὰρ οἶδε τὰ μέλλοντα, οὐκ ἄμοιρός ἐστι προγνώσεως, ἀλλὰ Θεός ἐστι τὰ μέλλοντα εἰδώς. Ἔγραψε δὲ αὐτὰ, ἵνα γένηται. Εἰ δὲ ἐναντία αὐτῷ ὑπῆρχεν, ἔγραφε μὲν περὶ αὐτῶν, ἔλυσε δὲ αὐτὰ, ἵνα μὴ αὐτοῖς πεισθῶμεν. Ὁπότε δὲ συνίστησι τὰ μέλλοντα εἰς Χριστὸν τελειοῦσθαι, αὐτὸ ἄρα ἐστὶ τὸ Πνεῦμα τὸ λαλῆσαν ἐν νόμῳ, καὶ ἐν προφήταις, καὶ ἐν Εὐαγγελίῳ· μία γάρ ἐστιν ἡ συμφωνία, ὡς διὰ Μωϋσέως λέγει· *Προφήτην ὑμῖν ἐκ τῶν ἀδελφῶν ὑμῶν ἐγερεῖ Κύριος*. Καὶ πάλιν ὁ Κύριος λέγει· *Μωϋσῆς περὶ ἐμοῦ ἔγραψεν*. Ὁ δὲ Μωϋσῆς φησι· *Πᾶσα ψυχὴ, ἥτις οὐκ ἀκούσεται τοῦ προφήτου ἐκείνου, ἐξολοθρευθήσεται*· καὶ πάλιν ὁ Κύριος· *Εἰ τοῖς Μωϋσέως γράμμασιν οὐ πιστεύετε, πῶς ἂν τοὺς ἐμοὺς λόγους ἀκούσετε;* Καὶ πανταχόθεν φαίνεται ἡ ἀλήθεια φωτεινή τις οὖσα, καὶ μὴ ἔχουσα ῥυτίδα.

B

LXXIII. Atenim Manichæus Testamentum legis mortis esse testamentum asserit, quod Apostolus dixerit : *Quod si testamentum mortis in litteris insculptum lapidibus, gloriosum fuit* [7]. Nec eo contenta Scriptura, illud insuper adjecit : *Lex justo non est posita, sed patricidis, et matricidis, et perjuris, et si quid aliud contrarium est sanæ doctrinæ* [8]. Cum igitur lex justo posita non sit, num sceleratus atque exlex dicendus est? Minime vero. Sed quoniam justus quæ lege præscripta sunt, facere antevertit, adversus hunc non est constituta lex, qui legem observavit; sed adversus eos decernitur, qui sceleris aliquid commiserint, ad eos judicandos, qui contra legem peccaverint. Atque hoc modo sese Testamentum Vetus habuit : quod et homicidam interfici, et adulterum perinde morte damnari, ac legis violatorem lapidibus obrui præceperat. Idem porro splendorem ac gloriam habuit, et quidem non mediocrem. Gloriam enim inter homines ob mutuas illorum injurias promeruit. Quod ignea in columna traditum, et informatum est, tubis vehemens quiddam horrendumque perstrepentibus; in tabernaculo testimonii, reliquaque omni gloria, quæ præcipua tum exstitit. Oportebat enim præire testamentum mortis, ut cum *peccatis essemus mortui, justitiæ viveremus* [9]. Qua ratione Christus *infirmitates nostras portavit* [10], morbosque suscepit : quæ omnia corpori suo imposita in cruce sustinuit, ut primum quæ ad mortem pertinent,

C

ΟΓ'. Θανάτου δὲ πάλιν ὁρίζεται τὴν Διαθήκην τοῦ νόμου, διὰ τὸ εἰρηκέναι τὸν Ἀπόστολον· *Εἰ δὲ διαθήκη τοῦ θανάτου ἐν γράμμασιν, ἐντετυπωμένη λίθοις, ἐγενήθη ἐν δόξῃ*. Καὶ οὐ μόνον τοῦτο εἶπεν ἡ θεία Γραφὴ, ἀλλ' ὅτι, *Ὁ νόμος δικαίῳ οὐ κεῖται, ἀλλὰ πατρολοίαις, καὶ μητρολοίαις, καὶ ἐπιόρκοις, καὶ εἴ τι ἀντίκειται τῇ ὑγιαινούσῃ διδασκαλίᾳ*. Ἐπεὶ οὖν ὁ νόμος δικαίῳ οὐ κεῖται, παράνομος ἄρά ἐστιν ὁ δίκαιος; Μὴ γένοιτο ! Ἀλλ' ἐπειδὴ προέλαβεν ὁ δίκαιος τὰ τοῦ νόμου τελέσαι, οὐκ ἔστι νόμος κατὰ δικαίου τοῦ πεποιηκότος τὸν νόμον· κεῖται δὲ κατὰ τῶν ἠνομηκότων, δικάζων τοὺς παρανομήσαντας. Οὕτως οὖν ἡ Διαθήκη. Ἔλεγε γὰρ τὸν φονέα φονεύεσθαι, καὶ τὸν μοιχὸν ἀποκτείνεσθαι, καὶ τὸν παρανομήσαντα λιθοβολεῖσθαι. Ἐγένετο δὲ ἐν δόξῃ. Μεγάλη γὰρ ἐγένετο ἡ ταύτης δόξα. Περιεκράτησε γὰρ τῆς δόξης τῶν ἀνθρώπων ἀπὸ τῆς πρὸς ἀλλήλους ἀδικίας, ἐν φωτὶ στύλου πῦρ τυπουμένη, ἐν σάλπιγξι φοβεραῖς ἠχούσαις μέγα, καὶ ἐν σκηνῇ τοῦ μαρτυρίου, καὶ ἐν μεγάλῃ τότε γενομένῃ δόξῃ. Ἔδει γὰρ προάγειν τὴν διαθήκην τοῦ θανάτου, ἵνα πρῶτον *θανόντες τῇ ἁμαρτίᾳ ζήσωμεν τῇ δικαιοσύνῃ*· ὡς Χριστὸς *τὰς ἀσθενείας ἡμῶν ἐβάστασε*, καὶ τὰς νόσους ἀνέλαβεν, ἐνέγκας πάντα ἐπὶ τῷ σώματι ἐν τῷ σταυρῷ, ἵνα πρῶτον τὰ τοῦ θανάτου, ἔπειτα τὸ τῆς ζωῆς ἐν αὐτῷ δι' ἡμᾶς πληρωθήσεται. Καὶ διὰ τοῦτο πρῶτον ἀποθνήσκει, ἵνα συστήσῃ τὴν τοῦ θανάτου διαθήκην· ἔπειτα ἐκ νεκρῶν ἐγήγερται, ἵνα ἀπὸ δόξης εἰς δόξαν, *καθάπερ ἀπὸ*

D

[1] Psal. L, 19. [2] Psal. XLIX, 14. [3] Deut. XVIII, 15. [4] Joan. V, 46. [5] Deut. XVIII, 19. [6] Joan. V, 47. [7] II Cor. III, 7. [8] I Tim. I, 9. [9] I Petr. II, 24. [10] Isa. LIII, 4

Digitized by Google

Κυρίου πνεύματος. Ἐν γὰρ τῷ σταυρῷ ἐθριάμβευσεν ἀρχὰς καὶ ἐξουσίας· ἐν τῷ θανάτῳ κατέκρινε τὴν ἁμαρτίαν· ἐν τῷ ταφῆναι ἔθαψε τὴν ἀνομίαν. ἐν τῷ γεύσασθαι θανάτου κατέκλασε τὸ κέντρον τοῦ θανάτου· ἐν τῷ κατελθεῖν εἰς τὸν ᾅδην ἐσκύλευσε τὸν ᾅδην, ἔλυσε τοὺς πεπεδημένους ἐν ἀνδρείᾳ, ἔλαβε τὸ τρόπαιον τοῦ σταυροῦ κατὰ τοῦ διαβόλου. Καὶ ὅρα πῶς ἡ δόξα αὕτη ἀπὸ Μωϋσέως ἄχρι τοῦ Κυρίου· πόσῳ γε μᾶλλον ἡ διαθήκη τῆς ζωῆς ἔσται ἐν δόξῃ, λίθου ἀποκεκυλισμένου, πετρῶν ῥηγνυμένων, μνημάτων ἀνοιχθέντων, ἀγγέλων ἐξαστραπτόντων, γυναικῶν εὐαγγελιζομένων, εἰρήνης διδομένης, Πνεύματος παρ' αὐτοῦ τοῖς ἀποστόλοις διδομένου, οὐρανῶν βασιλείας καταγγελλομένης, Εὐαγγελίου φωτίσαντος τὴν οἰκουμένην; *Ὁ καταβὰς αὐτὸς, καὶ ὁ ἀναβὰς ἐπάνω πάντων τῶν οὐρανῶν, καὶ καθεζόμενος ἐν δεξιᾷ τοῦ Πατρός.* Οὐκ ἦν θανατοποιὸς ἡ διαθήκη, ἀλλὰ κατὰ τοῦ θανάτου ἡ διαθήκη. Ἐν δόξῃ δὲ ἡ τοῦ θανάτου, ἵνα ἡ ὑπερβάλλουσα δόξα κατὰ τοῦ θανάτου γένηται.

tum vero quæ sunt vitæ propria in eadem nostra causa complerentur. Quam ob causam moritur primo, ut mortis testamentum commendaret. **694** Deinde a mortuis excitatus est, ut a gloria transiret ad gloriam, *tanquam a Domini spiritu* [1]. Nam in cruce principatus ac potestates velut in triumpho traduxit [2]. In morte vero peccatum damnavit, in sepultura iniquitatem sepeliit, in degustanda morte stimulum mortis infregit [3], in suo illo ad inferos descensu spolia detraxit inferis, vinctos fortitudine sua liberavit, adversus diabolum tropæum crucis accepit. Vide ut a Moyse ad Christum gloria perstiterit, quanto ergo majorem gloriam vitæ testamentum obtinebit, cum et lapis revolvitur, et saxa franguntur, et monimenta reserantur, et angeli fulguris instar emicant, et mulieres Evangelium prædicant, pax conceditur, Spiritus apostolis ab illo tribuitur, regnum cœleste denuntiatur, orbis terrarum Evangelio collustratur? Postremo, *Qui descendit, ipse est qui ascendit super omnes cœlos, et sedet ad dexteram Patris* [4]. Non fuit mortiferum testamentum, sed adversus mortem constitutum. Illud porro quod mortis dicitur, gloriam habuit, major ut adversus mortem gloria compararetur.

ΟΔ'. Εἶτα πάλιν λέγει ὁ αὐτὸς Μάνης· Οὐ δύναται ἑνὸς διδασκαλίου εἶναι Παλαιὰ καὶ Καινὴ Διαθήκη. Ἡ μὲν γὰρ παλαιοῦται ἡμέραν ἐξ ἡμέρας· ἡ δὲ *διακαινίζεται ἡμέραν καθ' ἡμέραν· πᾶν γὰρ τὸ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ γίνεται.* Ἀλλὰ ἐκείνη ἄλλου Θεοῦ καὶ ἄλλου διδασκάλου· καὶ αὕτη ἑτέρου Θεοῦ καὶ ἑτέρου διδασκάλου. Καὶ εἰ μὲν εἶχε δεῖξαι δύο Διαθήκας Παλαιάς, ἠδύνατο παρ' αὐτῷ πιθανὸν εἶναι τὸ λεγόμενον, ὡς δύο ὄντων τῶν τότε διαθεμένων· ὡσαύτως δὲ εἰ δύο Καινὰς Διαθήκας εἶχε δεῖξαι, ἦν εἰς τὴν διάνοιαν λαβεῖν τὸ προειρημένον· εἰ δὲ ἡ μὲν Παλαιὰ ἑνός, καὶ ἡ Καινὴ τοῦ ἄλλου, τοῦ δὲ καλοῦ Θεοῦ [εἰ] ἔστιν ἡ Καινὴ Διαθήκη, πονηροῦ δὲ ἡ Παλαιὰ, ἄρα εἰ μὴ εἶδεν ὁ ἀγαθὸς Θεὸς τὸν πονηρὸν διαθέμενον, οὐκ ᾔδει, ὅτι χρὴ διαθέσθαι διαθήκην. Καὶ ἔσται μᾶλλον παρ' αὐτοῦ λαμβάνων τὴν πρόφασιν τῆς διδασκαλίας, καὶ ἄπειρος ὢν ἐν τοῖς πράγμασιν. Εἰ γὰρ μὴ ἑώρακεν, οὐκ ἂν ἐμιμήσατο. Καὶ ἔδει μᾶλλον τὴν Παλαιὰν Διαθήκην εἶναι τοῦ ἀγαθοῦ, ἵνα κἂν ὁ πονηρὸς μιμηλὸς ἀκούσῃ ἥπερ ὁ ὢν ἀληθινὸς Θεός· λέγει γὰρ ὁ Κύριος ἐν τῷ Εὐαγγελίῳ· *Ὃ ἂν βλέπῃ ὁ Υἱὸς [πρὸς] τὸν Πατέρα ποιοῦντα, οὕτω καὶ αὐτὸς ὁμοίως ποιεῖ·* καὶ ἵνα μὴ ἥξει [1] τῷ συμβουλεύοντι, εἰς τὸ μὴ καυχᾶσθαι τὸν διάβολον, καὶ λέγειν διὰ τῆς συμβουλίας αὐτοῦ τι τὸν Σωτῆρα πεποιηκέναι· ὡς φησι πρὸς αὐτόν· *Εἰπὲ ἵνα οἱ λίθοι ἄρτοι γένωνται.* Ὁ δὲ οὐκ ἀνέχεται, ἵνα μὴ μαθὼν ὑπολήψῃ παρὰ τοῦ διαβόλου λαμβάνων τὴν συμβουλίαν. Καὶ ὁρᾷς, ὅτι τὰς δύο Διαθήκας ἑνὸς λέγει Θεοῦ; Φησὶ γὰρ ὁ Ἀπόστολος· *Ἡ πρώτη Διαθήκη ἐκ τοῦ ὄρους Σινᾶ ἐδόθη, εἰς δουλείαν γεννῶσα. Τὸ γὰρ ὄρος Σινᾶ ἐστιν ἐν τῇ Ἀραβίᾳ.* Εἰ γὰρ δύο εἰσὶ γυναῖκες, ἀλλὰ εἷς ὁ ἀνήρ· οὕτω εἰ καὶ δύο εἰσὶ Διαθῆκαι,

LXXIV. Sed objicit Manichæus: Non posse Vetus ac Novum Testamentum ab eodem esse magistro profectum, siquidem Vetus de die in diem inveteratur; alterum *vero in dies innovatur* [5]. *Quidquid enim inveteratur, ac senescit, interitui proximum est* [6]. Quare superest, ut illud alterius Dei ac magistri, hoc alterius esse dicatur. Verum si Vetera duo Testamenta demonstrare posset, probabile nonnihil videri posset, quod de duplici testatore disputat. Ita etiam si Nova duo Testamenta nobis ostenderet, utcunque quod narrat intelligi posset. Sed cum Vetus quidem alterius, Novum Testamentum alterius sit, hoc si bono Deo tribuere velimus, illud vero malo, consequens illud est, bonum Deum, nisi conditum a malo testamentum scivisset, a se quoque condendum ignoraturum fuisse. Quare doctrinæ suæ divulgandæ occasionem ab illo nactus, ac rerum gerendarum imperitus esse videbitur. Nisi enim fieri ab altero vidisset, nunquam esset imitatus. Ac bono Deo Testamentum Vetus affingi magis oportebat, ut malus alter potius æmulator appellaretur, quam verus germanusque Deus. Dominus enim in Evangelio dicit: **695** *Quidquid viderit Filius Patrem facientem, idem et ipse similiter facit* [7]. Tum insuper ne consulenti illi cessisse videretur, neve gloriari ac jactare diabolus posset, suo aliquid consilio a Salvatore gestum, cum ita suaderet ipsi: *Dic ut lapides panes fiant* [8], repudiavit penitus, ne didicisse aliquid a diabolo, ejusque consilio usus esse videretur. Quod autem Testamenta duo Dei esse unius affirmet, ex eo potes animadvertere. Sic enim Apostolus: *Prius Testamentum ex monte Sina datum est, quod ad servitutem generat. Sina enim mons*

[1] Leg. εἴξῃ. [2] II Cor. III, 18. [3] Coloss. II, 15. [4] I Cor. XV, 59. [5] Ephes. IV, 9. [6] II Cor. IV, 16. [7] Hebr. VIII, 13. [8] Joan. V, 19. [9] Matth. IV, 3.

Digitized by Google

est in Arabia [1]. Nam tametsi duæ sint uxores, unus tamen vir est. Ita licet duo Testamenta sint, unus duntaxat amborum conditor est Deus. Ob id non aut duo Nova, aut duo Vetera nominavit; sed unum Vetus, alterum Novum. Atque illud præterea: *Testamentum vero in mortuis firmum est. Quare neque primum sine sanguine factum est. Accepit enim Moyses sanguinem hircorum, eoque librum et populum aspersit:* ideoque et secundum Testamentum Domini morte sancitum est [2], cum ambo summa inter se consensione conspirent. Ut enim Vetere proditum est: *Non deficiet princeps e Juda, neque dux de femoribus ejus, donec veniat cui repositum est* [3]; ita Novum: *Deus erat in Christo mundum sibi reconcilians, nec imputans illis peccata* [4]. Plura de ea re dici possent, quæ brevitatis causa prætereo.

LXXV. Cæterum Manichæus cum aridis et effetis arboribus legem ac prophetas comparat, hac potissimum sententia fretus: *Lex et prophetæ usque ad Joannem* [5]; quo nihil afferri potest ineptius. Quis enim ignorat ubi id quod a prophetis nuntiabatur impletum est, desiisse prophetas? Qui si deinceps prodeuntem ex Maria Christum prædicantes venissent, nondum advenisse illum oporteret. Ejusmodi enim fere illud est: Quemadmodum rex in aliquam provinciam iturus metatores ante se ac nuntios præmittit; ac quo propinquior illius adventus est, eo plures ejus præcones, ac præcursores antecedunt. Postquam autem princeps urbem ingressus fuerit, quid amplius præconibus **696** opus est, aut veredariis, cæterisque regis adventus prænuntiis, cum jam ipse intra mœnia versetur? Eodem modo *lex et prophetæ ad Joannem usque* perstiterunt. Postquam autem Joannes in deserto prædicavit, et agnum illum esse Dei monstravit, *qui tollit peccata mundi* [6], nihil amplius prophetas mitti necesse est, qui nobis Christi ex Virgine ortum adventumque denuntient. Olim quidem necessarii illi fuerunt, qui eumdem illum advenire nuntiarent, ut adventus ejus hoc ipso fides astrueretur, quod ante significatus fuerat. Porro quemadmodum si quis pædagogum habeat, (recte enim hac similitudine utimur, cum Apostolus dicat: *Pædagogus noster fuit lex in Domini adventum* [7],) postquam adoleverit, et præceptorem habuerit, non omnino pædagogum velut inimicum respuit: ita et nos per legem ac prophetas ad præceptoris adventum usque perducti, ubi hunc nacti sumus, pædagogum cum ignominia non rejicimus, sed ei gratiam potius habemus, quod infantiam nostram per viam deducens ad perfectiores nos disciplinas promoverit. Item velut si quis in alto mari navigaturus, comparata majore navi, exiguo lembo vicinum littori salum, in quo major illa navis fluctuat, trajecerit, et ad eam minoris hujus beneficio pervenerit, ubi majorem attigerit

A ἀλλὰ εἷς ὁ Θεὸς, ὁ τὰς δύο θέμενος. Καὶ διὰ τοῦτο οὐ δύο κέκληκε Καινὰς, οὐδὲ δύο Παλαιὰς, ἀλλὰ μίαν Παλαιὰν, καὶ μίαν Καινήν. Καί φησι· *Διαθήκη δὲ ἐπὶ νεκροῖς βεβαία ἐστί. Διὸ καὶ ἡ πρώτη ἄνευ αἵματος οὐκ ἐγέρετο. Ἔλαβε γὰρ Μωϋσῆς τὸ αἷμα τῶν τράγων, καὶ ἐῤῥάντισεν αὐτὸ τὸ βιβλίον καὶ τὸν λαόν.* Διὰ τοῦτο καὶ ἡ δευτέρα ἐπὶ τῷ θανάτῳ τοῦ Σωτῆρος ἐδόθη Διαθήκη· ὁπότε μάλιστα αἱ ἀμφότεραι ἀλλήλαις συνᾴδουσιν, ἡ μὲν λέγουσα· *Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ὃ* [8] *ἀπόκειται.* Ἡ δὲ δευτέρα, ὅτι *Θεὸς ἦν ἐν Χριστῷ, κόσμον καταλλάσσων ἑαυτῷ, μὴ λογιζόμενος ἑαυτοῖς τὰ παραπτώματα.* Καὶ πολλὰ ἔστι περὶ τούτου λέγειν· διὰ δὲ τὴν συντομίαν ὑπερβήσομαι.

B

ΟΕ'. Δένδρεσι δὲ ἐξηραμμένοις καὶ γεγηρακόσιν ἀπεικάζει πάλιν νόμον καὶ προφήτας, ὅθεν ἀπὸ τοῦ ῥητοῦ οὗ εἴρηκεν· *Ὁ νόμος καὶ οἱ προφῆται ἕως Ἰωάννου.* Καὶ οὐδὲν τούτου ἠλιθιώτερον. Τίνι γὰρ οὐ σαφὲς ὑπάρχει, ὅτι, πληρωθέντος τοῦ ὑπὸ τῶν προφητῶν καταγγελλομένου, ἐτελέσθησαν οἱ προφῆται; Εἰ γὰρ ἔτι προφῆται ἦρχοντο καταγγέλλοντες Χριστὸν ἐρχόμενον ἀπὸ Μαρίας, οὕπω Χριστὸς ἐπεδήμησεν. Ἔοικε γὰρ ὑπόθεσις αὕτη τοιούτῳ τινὶ πράγματι· Ὡς βασιλεὺς, μέλλων ἀποδημεῖν εἰς χώραν, προπέμπει ἐνώπιον αὐτοῦ ἐφ' ἵππους [9] προετοιμαστὰς, προκαταγγέλτορας· καὶ ὅσον ἡ παρουσία φθάνει τοῦ βασιλέως, τοσούτῳ πλείους οἱ τῆς παρουσίας κήρυκες προλαμβάνοντες, καὶ ἐν ταῖς πόλεσι τὰ C τῆς παρουσίας διαγγέλλοντες. Ἐπὰν δὲ φθάσῃ ὁ βασιλεὺς εἰσελθεῖν εἰς τὴν πόλιν, τίς ἔτι χρεία κηρύκων; Τίς ἔτι χρεία ἐφ' ἵππων, ἢ τῶν ἄλλων τῶν προκαταγγελλόντων τὴν τοῦ βασιλέως παρουσίαν, ὁπότε αὐτὸς ὁ βασιλεὺς ἔνδον ὑπάρχει; Οὕτω καὶ *ὁ νόμος καὶ οἱ προφῆται ἄχρις Ἰωάννου.* [Ἰωάννου] δὲ κηρύξαντος φωνὴν ἐν τῇ ἐρήμῳ, καὶ δείξαντος, ὅτι οὗτός ἐστιν ὁ ἀμνὸς τοῦ Θεοῦ, *ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου*, οὐκέτι προφητῶν ἐστι χρεία, ὅπως ἔλθωσι, καὶ κηρύξωσιν ἡμῖν τὴν τοῦ Χριστοῦ ἀπὸ Παρθένου παρουσίαν. Χρεία δὲ τῶν προκαταγγειλάντων αὐτοῦ τὴν παρουσίαν πρὸς βεβαίωσιν τῆς αὐτοῦ παρουσίας, ὅτι προκατήγγελτο. Ὡς γὰρ εἴ τις παιδαγωγὸν ἔχοι (καθάπερ καὶ ὁ Ἀπόστολος λέγει, ὅτι *Παιδαγωγὸς ἡμῶν γέγονεν ὁ νόμος εἰς τὴν τοῦ Κυρίου παρουσίαν*), ἐπὰν δὲ φθάσῃ D ἡλικίας γενέσθαι, καὶ καταλάβοι τὸν διδάσκαλον, οὐ πάντως ἀποβάλλεται τὸν παιδαγωγὸν ὡς ἐχθρὸν ὑπάρχοντα· οὕτω καὶ ἡμεῖς καθωδηγήθημεν ἐν νόμῳ καὶ ἐν προφήταις ἕως τῆς παρουσίας τοῦ διδασκάλου. Εὑρόντες δὲ τὸν διδάσκαλον οὐκ ἀτιμάζομεν τὸν παιδαγωγὸν, ἀλλὰ καὶ χάριν αὐτῷ ὁμολογοῦμεν, ὅτι τὴν ἡμῶν νηπιότητα καθοδηγήσας εἰς τὰ ἐντελέστερα ἡμᾶς μαθήματα προεπέμψατο. Ἢ καθὼς ἐάν τις, μέλλων πλεῖν ἐν θαλάσσῃ, ἔχοι μεγάλην τὴν ναῦν, ἐν ἀκατίῳ δὲ μικρῷ ἐπέλθοι τὸ σάλος τὸ παρὰ

[1] Gal. IV, 24. [2] Hebr. IX, 17 19. [3] Gen. XLIX, 10. [4] II Cor. V, 19. [5] Luc. XVI, 16. [6] Joan. I, 29. [7] Gal. III, 24. [8] Cor. ὧ. [9] Leg. ἐφίππους.

Digitized by Google

τὴν ὀχθην τῆς θαλάσσης, καὶ διενέγκῃ τὸ ἀκάτιον εἰς τὴν μεγάλην ναῦν τὸν ἄνθρωπον, οὐ πάντως ὁ ἄνθρωπος βυθίζει τὸ ἀκάτιον, ἐπειδὴ εὗρε τὴν μεγάλην ναῦν, ἀλλὰ μετὰ τοῦ χάριν ἔχειν τῷ ἀκατίῳ, καταλαμβάνει τὸ μειζότερον τῆς αὐτοῦ σωτηρίας πλοῖον· ἢ καὶ ἐτέρως ἵνα εἴπωμεν, ὡς ἐάν τις ἐκβληθῇ ὑπὸ μητρὸς γεννησάσης, ληφθεὶς δὲ ὑπό τινος τοῦ τυχόντος, καὶ ἀνατραφείη χρόνῳ, εἰσύστερον ἀνδρωθέντος αὐτοῦ ἐπιγνῷ τὸν ἴδιον αὐτοῦ πατέρα τὸν κατὰ φύσιν, ἔχοι δὲ ὁ τοιοῦτος σύνεσιν, μὴ, ἐπειδὴ ἐπέγνω τὸν ἑαυτοῦ πατέρα, καὶ ἐπιλαμβάνεται τῆς ἰδίας κληρονομίας, παρὰ τοῦτο ἀτιμάζει τὸν ἀναθρέψαντα; οὐ πολλῷ μᾶλλον χάριν ἔσχε τῷ ἀναθρέψαντι, ὅτι οὐκ εἴασεν αὐτὸν εἰς θάνατον παραδοθῆναι; οὕτω καὶ ἡμεῖς χάριν ἔχομεν Θεῷ τῷ δεδωκότι νόμον καὶ προφήτας, καὶ χάριν ἔχομεν αὐτῷ καταξιώσαντι ἡμᾶς τῆς τοῦ Υἱοῦ αὐτοῦ Καινῆς Διαθήκης.

A non statim lembum in profundum deprimit, sed ita grandiori navigio salutem suam committit, ut exiguo illi lembo gratiam habendam putet. Addam et aliud exemplum. Sicut expositus a genitrice quispiam, si ab aliquo forte sublatus et educatus fuerit, posteaquam adoleverit ac naturalem suum parentem agnoverit, is, si prudentiæ aliquantulum habeat, num ubi parentem agnoverit et hæreditatem suam adierit, idcirco nutritium illum aspernabitur? aut non ei potius gratificabitur, quod ejus beneficio letum evaserit? Perinde igitur et nos Deo gratiam habemus, primum quod legem nobis ac prophetas dederit, tum etiam quod Novo nos Filii sui Testamento dignatus sit.

ΟΣ'. Φησὶ δὲ ὁ αὐτὸς Μάνης, εἶναι ἡμᾶς μορφὰς ἀρχόντων, καὶ ὑπὸ τῶν ἀρχόντων γεγονότας, αὐτοὺς δὲ εἰς κατάβρωμα καταβεβλημένους. Πολλὴ δὲ ἀνοσία [1] ἐν τοῖς τοιούτοις λόγοις. Ὁρῶμεν γὰρ οὐχ οὕτως τὰ πράγματα συμβαίνοντα. Πᾶν γὰρ ὁτιοῦν ἐπὶ τῆς γῆς, κἂν τε φαυλοτέρων καὶ ἀγριωτέρων θηρίων ὑπάρχοι, οὐ τῇ ἰδίᾳ μορφῇ ἐπέρχεται, ἀλλὰ ταῖς ἄλλαις. Ὡς, οἷον εἰπεῖν, λέοντες λέοντας οὐκ ἐσθίουσι διὰ τὸ ἴδιον ἐκτύπωμα καὶ ὁμόστοιχον· ἀλλὰ, λιμοῦ μεγάλου πιέζοντος ἐν τοῖς ὄρεσι τοὺς ὕῆρας, καὶ ἐπὶ πολλῷ χρόνῳ αὐτῶν μὴ εὑρισκόντων ἤτοι διὰ χιόνα, ἢ δι' ἑτέραν ἔνδειαν, ἀναστρέφουσιν ἐν τοῖς φωλεοῖς καὶ χηραμοῖς αὐτῶν λέοντες ἅμα σκύμνοις ὑπάρχοντες, καὶ ἅμα λεαίναις· καὶ οὐκ ἐπέρχεται θὴρ θηρίῳ, οὐ λύκος λύκῳ, εἰ μή τι ἂν εἰς μανίαν ἔλθοι τὸ ζῶον, καὶ λυσσῆσαν ἀγνοεῖ ὃ πράττει. Εἰ τοίνυν λύκος λύκον οὐκ ἐσθίει διὰ τὴν ὁμόστοιχον μορφήν, πῶς δύνανται οἱ ἄρχοντες ἡμᾶς ἐσθίειν, εἰ τῆς αὐτῆς ὑπάρχομεν, καὶ οὐ μᾶλλον θωπεύουσιν, ἵνα δόξωσιν τὰς ἰδίας αὐτῶν μορφὰς περιποιεῖσθαι; Καὶ πανταχόθεν ἐλέγχονται τοῦ ἀγύρτου οἱ λόγοι.

LXXVI. Idem Manichæus principum nos imagines esse, et a principibus productos affirmat, quibus ad pabulum simus expositi. Quod sane dictu **697** quam impium est. Longe enim aliter omnibus in rebus accidere cernimus. Et vero ex his omnibus quæ in terra sunt, licet pessimas ac crudelissimas quasque feras consideres, nulla est, quæ in sui similem sæviat, sed in alterius generis duntaxat. Exempli causa leonem leo, propter formæ ac naturæ similitudinem, non devorat; sed licet ingens fames in montibus feras illas urgeat, adeo ut propter nives, aut inopiam aliquam, prædæ nihil longo tempore inveniant, in lustris tamen ac latibulis suis cum catulis ac leænis commorantur; nec ulla omnino bestia in sui similem incurrit, velut lupus in lupum, nisi forte in rabiem concitata quid agat nesciat. Quare cum ne lupus quidem lupum devoret, ob figuræ cognationem, quomodo principes devorare nos possunt, quibus sumus formæ similitudine conjuncti? Cur non potius blandiuntur nobis, quo suas ipsorum effigies tueri complectique videantur? Sic impostoris illius undique confutatur oratio.

B C

OZ'. Εἶτα πάλιν ἀπὸ τοῦ Εὐαγγελίου ἐπιλαμβάνεται, ὅτι Οὐ πάντες χωροῦσι τὴν αὐτοῦ διδασκαλίαν, ἀλλ' οἷς δέδοται. Καὶ οὐκ ἦν ὁ λόγος περὶ διδασκαλίας ἐνταῦθα τῷ Σωτῆρι, ἀλλὰ περὶ εὐνούχων. Εἰ δὲ περὶ τῆς αὐτοῦ διδασκαλίας πληροῦται τὸ, *Οὐ πάντες χωροῦσιν*, ἐνταῦθα τῷ Σωτῆρι, ἄρα, ἐὰν οὐ χωρήσωσι, κατὰ τὴν ἰδίαν γνώμην οὐ χωροῦσιν. Ἐπαινετοὶ οὖν ἦτοι ψεκτοὶ οὗτοι ἐπὶ τὸ αὐτεξούσιον κληθήσονται· καὶ οὐκέτι κατὰ φύσιν ἔσται τὸ χώρημα· ἐπεὶ ἂν ὠφελήσειε τὴν αὐτῷ καταγγέλλων διδασκαλίαν; Ἐξέπεσε δὲ πανταχόθεν αὐτοῦ ὁ λόγος· οὔτε γὰρ διδασκαλίαν ὁ Σωτὴρ τὸν λόγον ἀπεφήνατο, ἀλλὰ δι' εὐνουχισμόν. Κἂν τε διδασκαλίαν εἴποι, οὐκέτι σταθήσεται τοῦ Μάνη λόγος. Φησὶ δὲ ὁ αὐτὸς Μάνης· Ἤδη [2] τοὺς ἡμετέρους. (36) *Καὶ γὰρ τὰ ἐμὰ πρόβατα γινώσκει με, καὶ γινώσκω τὰ ἐμὰ πρό-*

LXXVII. Sed illud ex Evangelio profert, non omnes doctrinam suam capere, sed quibus datum est [3]. Atqui nulla hic a Salvatore de doctrina mentio, sed de eunuchis duntaxat instituitur. Verum ut hoc demus, ad ipsius doctrinam dictum illud spectare: *Non omnes capiunt* [4]: igitur si non capiunt, ex propria animi sententia non capiunt. Quare laude aut vituperio digni ex voluntatis suæ libertate dicentur; neque ex natura capacitas illa petenda fuerit; alioqui quid prædicanda doctrina sua proficeret? Verum nihil omnino dicit, quandoquidem non ad doctrinam, sed ad spadones Salvatoris ille sermo pertinet. Ac tametsi de doctrina loqueretur, non tamen stare posset Manichæi ratio. Etenim Manichæus: Noverat, inquit, nostros. *Oves enim meæ cognoscunt me, et cognosco oves meas* [5]. Sed ubique

D

[1] For. ἄνοια. [2] C. ἤδει. [3] Matth. xix, 11. [4] ibid. [5] Joan. x, 14.

(36) *Φησὶ δὲ αὐτὸς Μάνης· Ἤδη* For. *ἤδειν τοὺς ἡμετέρους*, ut sequentia persuadent.

Digitized by Google

ἦν εὔλογον τὸ παρ' αὐτῶν τῶν ὁμολογητῶν λεγόμε- dicebatur a ratione non alienum. Hi erant **718**
νον. Ἦσαν δὲ οἱ τοῦτο λέγοντες, Μελήτιος, καὶ Πη- Meletius, et Peleus, aliique complures martyres,
λεὺς, καί τινες ἄλλοι πλείους τῶν μαρτύρων καὶ ὁμο- et confessores, quos divini honoris studio ac zelo
λογητῶν ἅμα αὐτοῖς. Ζῆλον τοίνυν τὸν ὑπὲρ Θεοῦ inflammatos, cum hæc dicerent, fuisse non dubium
ἀναδεδειγμένοι, δῆλον, ὅτι ἔπασχον ταῦτα λέγοντες. est. Auctores porro iidem erant, ut secundum per-
Ἔφασκον δὲ, εἰ ἄρα μετὰ τὸ παύσασθαι τὸν διωγμὸν secutionem, post justum aliquod temporis spatium,
μετὰ χρόνον ἱκανὸν δίδοσθαι τοῖς προειρημένοις με- pace constituta, pœnitentiæ illis locus indulgeretur,
τάνοιαν ἐν καιρῷ γενομένης εἰρήνης, ἐὰν ἐπ' ἀλη- si quidem vere illam et ex animo susciperent, atque
θείας μετανοήσωσι, καὶ καρπὸν τῆς μετανοίας αὐτῶν ejus fructus exhiberent: nec ita tamen, ut e clericis
ἐπιδείξωνται· οὐ μὴν ἵνα ἕκαστος δεξιωθῇ (53) ἐν τῷ D unusquisque pristinum in ordinem restitueretur,

[1] Cor. ἐπ' αὐτόν. [2] Cor. θυσίας.

(51) *Τοῦτο γὰρ ἔθος ἐπὶ τὸν ἐν τῇ Ἀλεξανδρείᾳ.* Sic in magno Nicæno concilio, can. 6: Τὰ ἀρχαῖα ἔθη κρατείτω τὰ ἐν Αἰγύπτῳ, καὶ Λιβύῃ, καὶ Πενταπόλει, ὥστε τὸν ἐν Ἀλεξανδρείᾳ ἐπίσκοπον πάντων τούτων ἔχειν τὴν ἐξουσίαν. Porro in iis provinciis recensendis, quæ Alexandriæ contribuuntur, animadvertendum est, distingui ab Epiphanio τὴν Μαρεώτην et τὴν Μαρεώτιδα. Ptolemæus lib. IV, Mareotidem et Marœotam ita discernit, ut Maræotis oppidum sit Libyæ Nomidis, haud procul ab Oasite, at ὁ Μαρεώτης provincia sit, sive Nomus ac præfectura ad Mariam, sive Mareotidem lacum, quæ in Ægypto censetur. Plinius vero Mareotas velut populum quemdam in Marcotide Libya collocat lib. V, cap. 6.

(52) *Παραπεσόντες οὖν καὶ θύσαντες.* Tametsi impetrandæ pœnitentiæ causa ad martyres idcirco confugisse videri possint, quod iidem illi episcopi forent, a quibus id obtineri debuit: nihilominus veterem ad ritum fortassis istud pertinet; quo lapsos ad martyres adiisse scimus, ut ab iis libellos ac litteras ad antistites peterent, quorum beneficio in integrum restituerentur. De quibus frequens est apud Cyprianum, Tertull. ac cæteros mentio.

(53) *Οὐ μὴν ἵνα ἕκαστος δεξιωθῇ.* Clerici post pœnitentiam publicam ad communionem laicam nonnunquam redacti. Alias honore ac dignitate salva, ab omni functione duntaxat et administratione sub-

Digitized by Google

sed ut post aliquod tempus ad Ecclesiam ac communionem admissus in reliqua populi multitudine, non inter reliquos censeretur. Eratque hæc, uti dixi, a veritatis amore profecta, et divini ardoris plenissima ratio.

III. Contra sanctissimus Petrus, utpote benignus ac misericors, et velut communis omnium parens, his illos verbis obsecrabat : Admittamus illos, quandoquidem peccati eos pœnitet, ac pœnitentiam illis constituamus, ut ad Ecclesiam assideant, neque aut ipsos, aut clericos aversemur (his enim verbis usum esse constanti fama didicimus), ne et pudore, et dilatione illa temporis, qui semel præ imbecillitate et ignavia a diabolo concussi ac labefactati sunt, penitus desciscant, nec remedium ullum adhibeant, quemadmodum sacræ Litteræ præcipiunt : Non perverti claudum, sed sanari potius. Quamobrem Petri quidem oratio ad clementiam humanitatemque spectabat, Meletii vero ac fautorum ejus veritatis, ac divini ardoris patrocinium susceperat. Cum ergo a se invicem diversa sentirent, ex eorum quæ utrinque pie ac religiose proferebantur occasione et specie schisma conflatum est. Etenim Petrus archiepiscopus cum animadverteret consilium suum humanitatis plenissimum Meletianis minime placuisse, quod ardentiore divini honoris studio flagrarent, medio in carcere pallium, quod lodicium dicitur, veli instar oppandens, proclamari a diacono jussit : Qui mecum sentiunt, huc ad me veniant; qui Meletii opinioni favent, ad Meletium. Quod cum ita factum esset, diviso in partes populo, episcoporum, monachorum et presbyterorum ac reliquorum ordinum major numerus sese ad Meletium adjunxit, pauci quidem episcoporum et aliorum Petrum archiepiscopum secuti sunt. Quo ex tempore preces ac sacrificia cæterasque omnes cæremonias separati a se invicem obierunt.

719 Post hæc Petrus martyrio affectus est, Alexandro successore relicto; hic enim post Petrum Alexandrinæ Ecclesiæ præpositus est. Meletius vero cum aliis plerisque relegatus, et ad Phænesia metalla damnatus est. Post illud tempus Meletius

ἰδίῳ κλήρῳ, ἀλλὰ μετὰ χρόνου διάστημα συνάγεσθαι ἐν τῇ Ἐκκλησίᾳ καὶ ἐν τῇ κοινωνίᾳ, ἐν τῷ τάγματι, καὶ οὐκ ἐν κλήροις. Καὶ ἦν φιλάληθες καὶ ζήλου πλῆρες τοῦτο.

Γ'. Ὁ δὲ ἁγιώτατος Πέτρος, εὔσπλαγχνος ὢν, καὶ ὡς πατὴρ πάντων ὑπάρχων, ἐδέετο καὶ καθικέτευε λέγων· Δεξώμεθα αὐτοὺς μετανοοῦντας, καὶ τάξωμεν αὐτοῖς μετάνοιαν εἰς τὸ παρακαθέζεσθαι τῇ Ἐκκλησίᾳ, καὶ μὴ ἀποστρέψωμεν αὐτοὺς, μήτε τὸν κλῆρον, ὡς ὁ εἰς ἡμᾶς ἐλθὼν λόγος περιέχει, μήποτε εἰς αἰσχύνην καὶ διὰ παρολκὴν τοῦ χρόνου οἱ ἅπαξ ὑπὸ ἀνανδρίας καὶ ἀσθενείας ὑπὸ διαβόλου ἐπισεισθέντες καὶ παρασαλευόμενοι τελείως ἐκτραπῶσι, καὶ μὴ ἰαθῶσιν· ὡς κατὰ τὸ γεγραμμένον· Μὴ ἐκτραπῆναι τὸ χωλὸν, ἰαθῆναι δὲ μᾶλλον. Καὶ ἦν μὲν τοῦ Πέτρου ὁ λόγος ὑπὲρ ἐλέους καὶ φιλανθρωπίας, καὶ τοῦ Μελητίου, καὶ τῶν ἅμα αὐτῷ, ὑπὲρ ἀληθείας καὶ ζήλου. Ἐντεῦθεν διὰ τοῦ προσώπου τῆς ἀπὸ ἀμφοτέρων δοκούσης εὐσεβοῦς ὑποθέσεως τὸ σχίσμα γεγένηται, τῶν μὲν τοῦτο φασκόντων, τῶν δὲ τοῦτο. Ὅτε γὰρ εἶδεν ὁ ἀρχιεπίσκοπος Πέτρος, ὅτι ἀντέστησαν τῇ βουλῇ τῆς αὐτοῦ φιλανθρωπίας οἱ περὶ τὸν Μελήτιον, ζήλῳ θεϊκῷ περισσοτέρως φερόμενοι, καταπέτασμα αὐτὸς ὁ Πέτρος ἐποίησε μέσον τῆς φυλακῆς, ἱμάτιον ἐκπετάσας, τουτέστι λωδίκιον, εἴτ' οὖν πάλλιον (54), καὶ κηρύξας διακόνου [1], ὅτι Οἵτινές εἰσι τῆς ἐμῆς γνώμης, παρελθέτωσαν πρὸς μέ· καὶ οἵτινες τῆς Μελητίου γνώμης τυγχάνουσι, πρὸς Μελήτιον. Καὶ διῃρέθη τὸ μὲν πλῆθος ἅμα Μελητίῳ, ἐπισκόπων τε, καὶ μοναχῶν, καὶ πρεσβυτέρων, καὶ ἄλλων ταγμάτων· ὀλίγοι δὲ παντελῶς ἅμα Πέτρῳ τῷ ἀρχιεπισκόπῳ, ἐπίσκοποί τε καὶ ἄλλοι ὀλίγοι. Καὶ λοιπὸν οὗτοι κατ' ἰδίαν ηὔχοντο, καὶ οὗτοι κατ' ἰδίαν, καὶ τὰς ἄλλας ἱερουργίας ὡσαύτως ἕκαστος ἰδίᾳ ἐπετέλει.

Γίνεται δὲ Πέτρον μαρτυρῆσαι (55), καὶ ἐτελειώθη ὁ μακάριος, διάδοχον καταλείψας Ἀλέξανδρον ἐν τῇ Ἀλεξανδρείᾳ. Αὐτὸς γὰρ διαδέχεται τὸν θρόνον μετὰ τὸν προειρημένον Πέτρον. Μελήτιος δὲ καὶ ἄλλοι πολλοὶ ἐξορισμῷ ὑπέπεσον, ὑπερορισθέντες ἐν τοῖς Φαι-

[1] For. διὰ διακ.

moti sunt. Ancyranum conc. can. 1, presbyteros sacrificatos, qui postea ad certamen redierint, jubet τῆς μὲν τιμῆς τῆς κατὰ καθέδραν μετέχειν, προσφέρειν δὲ αὐτοὺς, ἢ ὁμιλεῖν, ἢ ὅλως λειτουργεῖν τι τῶν ἱερατικῶν μὴ ἐξεῖναι. Quod idem can. sequenti de diaconis constituitur, cum eo, ut si quos episcopus humilitatis, pœnitentiæ, ac cæteris id genus officiis insignes animadverterit, cum eis mitius atque humanius possit agere. At Leo papa ep. 3, clericos ab hæreticis revertentes post pœnitentiam, sine ulla spe promotionis in eodem manere ordine decrevit, in quo fuerant. At olim clericis ægre indulta pœnitentia. Ideo in Arausicano 1, can. 4, nominatim cavetur : *Pœnitentiam desiderantibus etiam clericis non negandam.* Verum qui pœnitentiam aliquando publicam obiissent, ordinari nefas erat, conc. Tolet. 1, can. 2. Hinc Optatus Milevitanus lib. II : *Invenistis*, inquit, *pueros. De pœnitentia sauciastis, ne aliqui ordinari potuissent.* Ita vel pueri, qui coacti pœnitentiæ speciem adumbrarant, a sacris ordinibus rejecti. In Carth. v, can 11, decretum est ne presbyteris, vel diaconis gravioris culpæ convictis, ideoque deponendis, manus tanquam pœnitentibus, vel tanquam fidelibus laicis imponatur. Quo et Augustini locus ille pertinet lib. 1 *De bapt. contr. Donat.*, cap. 1 : *Nam sicut redeuntes, qui priusquam recederent baptizati sunt, non rebaptizantur : ita redeuntes qui priusquam recederent ordinati sunt, non utique rursus ordinantur, sed aut administrant, quod administrabant, si hoc Ecclesiæ utilitas postulat; aut si non administrant, sacramentum ordinationis suæ tamen gerunt, et ideo eis manus laicos non imponitur.*

(54) *Τουτέστι λωδίκιον, εἴτ' οὖν πάλλιον.* Pallium enim pro quavis veste, etiam stragula sumitur.

(55) *Γίνεται δὲ Πέτρον μαρτυρῆσαι.* De Petri successore dicemus ad sequentem hæresim, n. 11; nam et plurimum in ea narratione falsus est Epiphanius.

Digitized by Google

νησίοις μετάλλοις (56). Καὶ τότε λοιπὸν οἱ συρόμενοι ὄντες ὁμολογηταὶ ἅμα Μελητίῳ, καὶ αὐτὸς Μελήτιος ἐν τῇ εἱρκτῇ, κατὰ τὴν ὁδοιπορίαν, καθ' ἑκάστην χώραν καὶ καθ' ἕκαστον τόπον διερχόμενος καθίστα κληρικοὺς, ἐπισκόπους τε καὶ πρεσβυτέρους, καὶ διακόνους, καὶ ᾠκοδόμει ἐκκλησίας ἰδίας· καὶ οὔτε οὗτοι τούτοις ἐκοινώνουν, οὔτε ἐκεῖνοι τούτοις. Ἐπέγραφον δὲ ἕκαστος ἐν τῇ ἰδίᾳ ἐκκλησίᾳ, οἱ μὲν ἀπὸ τοῦ Πέτρου διαδεξάμενοι, ἔχοντες τὰς οὔσας ἀρχαίας ἐκκλησίας, ὅτι Ἐκκλησία καθολικὴ, οἱ δὲ ἀπὸ Μελητίου, Ἐκκλησία μαρτύρων. Ὅθεν καὶ ἐν Ἐλευθεροπόλει, καὶ ἐν Γάζῃ, καὶ ἐν Αἰλίᾳ παρελθὼν ὁ αὐτὸς Μελήτιος πολλοὺς οὕτως ἐχειροτόνησε. Καὶ γέγονεν αὐτὸν χρονοτριβῆσαι ἐν τοῖς προειρημένοις μετάλλοις. Ἀλλὰ μεταξὺ ἀπολύονται τῶν μετάλλων οἱ ὁμολογηταὶ, οἵ τε τοῦ μέρους Πέτρου (ἦσαν γὰρ ἔτι πολλοὶ), καὶ οἱ τοῦ Μελητίου. Οὔτε γὰρ ἐν τοῖς μετάλλοις ἀλλήλοις ἐκοινώνουν, ἢ συνηύχοντο. Γίνεται δὲ τὸν Μελήτιον ἔτι διατρίψαι ἐν κόσμῳ χρόνον, ὥστε συνακμάσαι καὶ Ἀλεξάνδρῳ τῷ τοῦ Πέτρου διαδόχῳ, τὰ φίλα τε ἔχειν· ἐμερίμνα τε τὰ περὶ τῆς Ἐκκλησίας καὶ πίστεως. Ἔφην γὰρ πολλάκις, ὅτι οὐδὲν εἶχε παρηλλαγμένον.

Δ'. Αὐτὸς γὰρ οὗτος ὁ Μελήτιος, ἐν Ἀλεξανδρείᾳ γενόμενος, κἀκεῖσε διατρίβων χρόνον, ἔχων ἰδίαν τὴν σύναξιν σὺν τοῖς ἰδίοις, τὸν Ἄρειον ἐφώρασεν ἀνενέγκας ἐπὶ τὸν Ἀλέξανδρον. Ὡς ἐνηχήθη δὲ τὸν Ἄρειον ἐν ταῖς αὐτοῦ ἐξηγήσεσιν ἔξω τοῦ προκειμένου τῆς πίστεως βεβηκότα· ἦν γὰρ οὗτος ἐν Βαυκάλῃ τῇ Ἐκκλησίᾳ οὕτω καλουμένῃ Ἀλεξανδρείας πρεσβύτερος. Καθ' ἑκάστην γὰρ εἰς πρεσβύτερός ἐστιν ἀποτεταγμένος· ἦσαν γὰρ πολλαὶ ἐκκλησίαι, νῦν δὲ πλείους, καὶ αὐτῷ ἡ Ἐκκλησία ἐγχεχείριστο· κἄν τε ἄλλος σὺν αὐτῷ ἦν· ὧν ἕνεκα γενόμενοι ἐν τῷ τόπῳ λέξομεν κατὰ λεπτότητα, ὅτε χρεία περὶ τούτου ἔσται. Ἐπεὶ οὖν ἐφώρασε τὸν Ἄρειον σπουδαίως Ἀλέξανδρος, συγκαλέσας ἐπισκόπους καὶ σύνοδον, ἐζήτει ἀξιῶν περὶ πίστεως, καὶ ἀπαιτῶν τὸν Ἄρειον περὶ τῆς ἐν αὐτῷ ἐγκισσηθείσης λύμης τῆς κακοδοξίας. Ὁ δὲ Ἄρειος οὐ μὴν ἠρνήσατο, ἀλλὰ καὶ μετὰ τετριμμένου προσώπου, ὡς εἶχεν, οὕτως ἀπεκρίνατο. Καὶ ἐξεοῖ μὲν Ἀλέξανδρος αὐτὸν τῆς Ἐκκλησίας· ἐξεοῦται δὲ ἅμα αὐτῷ πλῆθος πολὺ, οἱ ἀπ' αὐτοῦ κεχραμμένοι, παρθενευουσῶν καὶ ἄλλων κληρικῶν. Ὁ δὲ Ἄρειος, ἀποδράσας, ἐπὶ τὴν Παλαιστίνων στέλλεται τὴν πορείαν. Ἐν Νικομηδείᾳ δὲ ἀνελθὼν, κἀκεῖθεν γράψας ἐπιστολὰς Ἀλεξάνδρῳ, οὐχ ὑπερέβαινε τῆς αὐτοῦ κακοδοξίας τὴν μανιώδη διάνοιαν. Ἀλλὰ μεταξὺ ὀλίγου τοῦ χρόνου, τοῦ αὐτοῦ Ἀλεξάνδρου τοῦ ἁγίου ἐπισκόπου Ἀλεξανδρείας ἐπιμελησαμένου, καὶ κινήσαντος τὸν μακάριον Κωνσταντῖνον, συνεκρότησε σύνοδον ἐν τῇ Νικαίᾳ τῇ πόλει. Καὶ ἀναθεματίζεται μὲν ἡ Ἀρείου αἵρεσις, μετὰ τὸ ἀποθανεῖν αὐτόν. Τὸ πρῶτον μὲν γὰρ ἠρνεῖτο εἰς πρόσωπον τοῦ μακαρίου

A cum omnibus illis confessoribus, qui tracti abreptique cum eo fuerant, tam in carcere quam in itinere ac quamcunque regionem locumque peragraret, ibi clericos, episcopos, presbyteros et diaconos instituit, ac privatas ecclesias fundavit, cum interim nec hi cum illis, nec illi cum his commune aliquid haberent. Porro suam quisque ecclesiam diversis nominibus inscribebat : nam Petri successores, penes quos veteres erant Ecclesiæ, catholicæ Ecclesiæ titulum usurpabant; Meletiani Ecclesiam martyrum. Igitur Eleutheropolim, Gazam et Æliam profectus Meletius plerosque ad eum modum ordinavit. Acciditque ut ad metalla diutius detineretur. Sed ab iis tandem confessores liberati sunt, tam qui Petro favebant (adhuc enim compluB res erant), quam Meletiani. Qui quidem in metallis a mutua communione abstinebant, ac ne simul quidem orabant. Meletius vero diu postea superstes fuit : adeo ut cum Alexandro quoque Petri successore floruerit, cum eoque familiaritatem habuerit; præcipuam porro Ecclesiæ fideique curam gessit. Nam, ut sæpe dixi, nihil ab ea diversum aut alienum docuit.

IV. Quinetiam cum idem Alexandriæ Meletius esset, ibique privatos cum suis conventus habens aliquandiu mansisset, Arium a se deprehensum ad Alexandrum detulit, cum eum accepisset a rectæ fidei scopo in Scripturis apud populum interpretandis aberrare. Arius enim Baucalæ cujusdam apud Alexandriam Ecclesiæ presbyter erat. Nam C unicuique Ecclesiæ, quæ tum multæ erant, hodie vero plures sunt, suus attribuebatur presbyter : qua ratione procurandam Ecclesiam illam Arius susceperat, sive quis alius adjunctus ei fuerat, de quibus suo loco, cum id necesse erit, accuratius agemus. Deprehenso igitur Ario, Alexander indicto episcoporum concilio de fide diligenter inquisiit, et ab Ario pravæ ac perniciosæ illius opinionis, quam animo conceperat, rationem exegit. Hic Arius nihil tergiversari, aut dissimulare, **720** sed perfricta fronte, uti se res habebat, respondit. Quam ob rem Alexander eum ex Ecclesia deturbavit, et cum eo ingens virginum ac cæterorum clericorum, quos ille depravarat, vis ejicitur. Sub hæc Arius D fugiens in Palæstinam abiit. Inde Nicomediam profectus, ex ea urbe litteras ad Alexandrum dedit, in quibus ab insana mente ac furioso dogmate non recessit. Verum paulo post, Alexandri sanctissimi Alexandriæ episcopi studio et hortatu, beatæ memoriæ Constantinus synodum in urbe Nicæa congregat, ubi Arii dogma post ejus mortem damnatum est. Principio enim coram imperatore Constantino inficiatus fuerat, et cavillando ac simulando cum recta fide consentanea, jurejurando etiam interpo-

(56) Ἐν τοῖς Φαινησίοις μετάλλοις. Meminit in eadem persecutione declaranda Phænesiorum metallorum Eusebius VIII libro in Appendice, vel cap. 17: Τοῖς κατὰ Φαινῶ τῆς Παλαιστίνης χαλκοῦ μετάλλοις τοὺς πάντας παραδίδωσι. Quam horrenda hæc metalla fuerint, docet Athan. *Epist. ad solit.*, p. 658, ubi Eutychium hypodiaconum ab Arianis scribit ad metalla damnatum : Καὶ μέταλλον οὐχ ἁπλῶς, ἀλλ' εἰς τὸ τῆς Φαινῶ· ἔνθα καὶ φονεὺς καταδικαζόμενος ὀλίγας ἡμέρας μόγις δύναται ζῆσαι. Vide Ortelium.

Digitized by Google

sito, locutus fuerat. Cui imperator, Tu quidem, inquit, si vere juratus sis, jusjurandum tuum ratum esto, et innocens eris. Sin id ficte ac fraudulenter egeris, ille ipse, per quem jurasti, a te pœnas exigat : quod ipsum, ut postea dicemus, paulo post contigit. Arius vero cum de Eusebii Nicomediensis episcopi, qui eadem cum ipso sentiebat, factione esset, ab eo ad imperatorem perductus est, tanquam hæresim suam abjuraret ac damnaret. Ideoque imperator Eusebio mandat, ut Arium Constantinopoli ad communionem admitteret, sub Alexandro episcopo, qui ejusdem cum Alexandrino nominis Constantinopolitanam sedem tenebat.

V. Per idem tempus Alexandriæ beatæ memoriæ Alexander post Meletii, de quo dixi, confessoris obitum, adversus Ecclesiæ schisma vehementi quodam ardore succensus Meletianos, qui privatos conventus habebant, agitare ac vexare et vim adhibere cœperat, ne ab una eademque Ecclesia contumaciter desciscerent; illi contra detrectantes tumultuari ac perturbare omnia. Quare persequente eos, et urgente acrius Alexandro, nonnulli e sectæ primariis, ac pietate et virtute facile principes, ut iis incommodis mederentur, ad comitatum profecti sunt, ut imperatori supplicarent, ab eoque privatorum conventuum sine ullo impedimento facultatem obtinerent. Ex his præcipui erant Paphnutius quidam vir magnus et anachoreta, **721** cujus mater Christum olim confessa fuerat, sed et ipse aliqua ex parte eamdem confessionem obierat. Cum eo erat et Joannes illorum episcopus, vir et ipse cum primis venerabilis, necnon et Callinicus Pelusii episcopus, cum aliis quibusdam, qui hujus consilii participes fuerant. Qui cum ad imperatorem venissent, et adire vellent, pulsi ac rejecti sunt. Nam Palatini audito Meletianorum nomine, quid hoc sibi vellet ignorantes, adire principem minime permiserunt.

VI. Inter hæc Paphnutius, Joannes ac cæteri Constantinopoli et Nicomediæ longiorem moram trahentes, cum Eusebio Nicomediæ episcopo familiaritatem contrahunt, eique rem omnem aperiunt; noverant enim hunc apud imperatorem gratia et

βασιλέως Κωνσταντίνου, καὶ δι' ὅρκων προσεποιεῖτο εἰρωνείᾳ τὰ τῆς ὀρθοδοξίας ῥήματα· φήσαντος δὲ τοῦ βασιλέως πρὸς αὐτὸν, ὅτι Εἰ μὲν δικαιότατα ἀπόμνυσαι, πιστωθείη ὁ σὸς ὅρκος, καὶ ἀθῶος ἔσῃ· εἰ δὲ δολίως, καθ' οὗ ὤμοσας, ποιήσαι τὴν κατὰ σοῦ ἐκδικίαν· ὅπερ οὐκ εἰς μακρὰν αὐτῷ γέγονεν, ὡς ὕστερον ἐροῦμεν. Συμπράττων τοίνυν οὗτος ὁ Ἄρειος Εὐσεβίῳ τῷ ἐπισκόπῳ Νικομηδείας, τὰ αὐτὰ οὕτω [1] φρονοῦντι, προσηνέχθη τῷ αὐτῷ βασιλεῖ, ὡς δῆθεν ἀρνούμενος, καὶ ἀναθεματίζων τὴν αὐτοῦ αἵρεσιν. Ὅθεν κελεύει καὶ ἐπιτρέπει Εὐσεβίῳ τὸν αὐτὸν συνάξαι ἐν Κωνσταντινουπόλει ἐπὶ Ἀλεξάνδρου ἐπισκόπου ὁμωνύμου τοῦ ἐν Ἀλεξανδρείᾳ ἐπισκόπου, ὄντος δὲ ἐπισκόπου Κωνσταντινουπόλεως.

Ε'. Ἤδη δὲ ὁ μακαρίτης (57) Ἀλέξανδρος ὁ ἐν Ἀλεξανδρείᾳ μετὰ τὴν τελευτὴν Μελητίου τοῦ προειρημένου ὁμολογητοῦ, ζῆλον ἀνειληφὼς κατὰ τοῦ σχίσματος τῆς Ἐκκλησίας, πάντη τοὺς ἰδίᾳ συνάγοντας, ὑπὸ δὲ Μελητίου καταλειφθέντας, ἐδόκει ταράσσειν τε καὶ συνέχειν, βιάζεσθαί τε, ὅπως μὴ ἀφηνιάσωσι τῆς μιᾶς Ἐκκλησίας. Οἱ δὲ μὴ βουλόμενοι ἐτάραττον, καὶ ταραχὰς ἐνήργουν. Ἐκ τούτου πιεζόμενοι καὶ συνεχόμενοι ὑπὸ τοῦ μακαρίου Ἀλεξάνδρου, ἐπιχειροῦσί τινες ἐξ αὐτῶν ἀκρέμονες, καὶ τὰ πρωτεῖα ἀποφερόμενοι ἔν τε εὐσεβείᾳ καὶ ἐν βίῳ, καὶ στέλλονται ἐπὶ τὸ κομητᾶτον ἐντυχίας ἕνεκα, τοῦ ἐντυχεῖν, καὶ ἀνεθῆναι τοῦ συνάγειν ἰδίᾳ, καὶ μὴ κωλύεσθαι. Ἦν δὲ Παφνούτιός (58) τις μέγας ἀνὴρ ἀναχωρητὴς, καὶ αὐτὸς υἱὸς ὁμολογητρίας τυγχάνων, παραψάμενος καὶ αὐτὸς ποσῶς τῆς ὁμολογίας, Ἰωάννης τε ἐπίσκοπος τῶν αὐτῶν, ἀνὴρ καὶ αὐτὸς τιμιώτατος, Καλλίνικός τε ὁ ἐν Πηλουσίῳ ἐπίσκοπος, καὶ ἄλλοι τινὲς οἱ τοῦτο ποιησάμενοι· οἵτινες, ἀπελθόντες καὶ ἐντυχόντες τῷ βασιλεῖ ἀπετρέποντο, καὶ ἐξεβάλλοντο. Οἱ γὰρ ἐν τῷ παλατίῳ ἀκούσαντες Μελητιανῶν ὄνομα, καὶ ἀγνοοῦντες τί ἂν εἴη τὸ τοιοῦτον, οὐ συνεχώρουν αὐτοῖς ἐντυχεῖν τῷ βασιλεῖ.

Ϛ'. Καὶ ἐν τούτῳ συμβέβηκε χρονοτριβῆσαι τοὺς περὶ Παφνούτιον, καὶ Ἰωάννην, καὶ λοιποὺς ἐπὶ τὰ μέρη τῆς Κωνσταντινουπόλεως καὶ Νικομηδείας. Τότε δὲ φιλιοῦνται ἐπισκόπῳ Νικομηδείας τῷ Εὐσεβίῳ, καὶ ἀναφέρουσιν αὐτῷ τὰ κατὰ τὴν αὐτὴν ὑπό-

[1] F. τούτῳ, vel αὐτῷ.

(57) *Ἤδη δὲ ὁ μακαρίτης.* Ex eadem officina consequens historia prodiit; Meletiani videlicet cujuspiam nebulonis. In qua primum illud falsissimum est, superstite adhuc Alexandro Meletianos cum Arianis conspirasse; quod Alexandro demum mortuo contigisse docet Athanasius *Apol.* 2, p. 603. Nam Alexander nondum v mensibus post Nicænum concilium expletis moritur. Post ejus obitum cum Meletius per idem fere tempus excessisset, Meletiani ab Eusebio Nicomediensi sollicitati cum Arianorum factione coierunt. Quæ historica series Meletiani impostoris fabulam jugulat.

(58) *Ἦν δὲ Παφνούτιος.* Alius hic esse debet a magno illo Paphnutio Thebaidis episcopo, qui Nicææ synodo interfuit, quique et ipse confessor exstitit, Constantino imp. charissimus. Hic enim in conciliabulo Tyrio pro Athanasio adversus Arianos restitit. Fortasse vero Meletianus iste, qui hanc fabulam concinnavit, in Paphnutii nomine fucum posteris fecit, ut Paphnutium e Meletianorum grege quempiam cum altero illo confessore et insigni viro confuderit. Sane Paphnutios aliquot episcopos recenset Athanasius in *Apologia;* sed qui ipsius causæ faverint, unum vero monachum, qui insidiarum calumniarumque contra se ab Arianis et Meletianis excogitatarum particeps fuerit; cujus epistolam in *Apol.* 2 profert. Postremo Callinici Meletiani in eadem *Apol.* meminit, eumque cum Isione et Eudæmone subornatum ab Eusebianis scribit, ut falsorum criminum reum sese ad imper. deferrent.

Digitized by Google

θεσιν. Ἤδεισαν γὰρ αὐτὸν πρὸς τὸν βασιλέα Κωνσταντῖνον παῤῥησίαν ἔχειν, ἀξιοῦσί τε αὐτὸν δι' αὐτοῦ τῷ βασιλεῖ γνωρισθῆναι. Ὁ δὲ, μετὰ τὸ ὑποσχέσθαι αὐτοὺς ἀνοίσειν τῷ βασιλεῖ, καὶ ποιῆσαι αὐτοῖς τὸ πρᾶγμα τῆς δεήσεως, αἰτεῖται παρ' αὐτῶν τὸ αἴτημα τοῦτο, ὅπως δέξωνται Ἄρειον μετ' αὐτῶν εἰς κοινωνίαν, δῆθεν προσποιητῶς αὐτὸν καὶ εἰρωνείᾳ μετανοοῦντα. Οἱ δὲ ὑπισχνοῦνται αὐτόν [1]. Καὶ ἐντεῦθεν προσφέρει αὐτοὺς τῷ βασιλεῖ, καὶ τὰ κατ' αὐτοὺς Εὐσέβιος ἀναδιδάσκει· καὶ συγχωρεῖται τοῖς Μελητιανοῖς ἔκτοτε καθ' ἑαυτοὺς συνάγειν, καὶ μὴ ὑπό τινων ὀχλεῖσθαι. Ὡς εἴθε μᾶλλον οἱ αὐτοὶ οἱ τὴν ἀκροδικαιοσύνην τῆς ἀληθείας ἀναδεδεγμένοι Μελητιανοὶ μετὰ τῶν παραπεσόντων μετὰ μετάνοιαν ἐκοινώνησαν ἥπερ Ἀρείῳ καὶ τοῖς ἀπ' αὐτοῦ! Γέγονε γὰρ αὐτοῖς τοῦτο κατὰ τὴν παροιμίαν, ὅτι φεύγοντες τὸν καπνὸν εἰς πῦρ ἐνέπεσον. Οὔτε γὰρ Ἄρειος ἠδύνατο ἔχειν στάσιν καὶ παῤῥησίαν, μὴ διὰ τῆς τοιαύτης ὑποθέσεως, ἥτις γέγονεν αὐτοῖς καὶ εἰς δεῦρο κακὴ συνάφεια. Συνεμίγησαν γὰρ οἱ καθαρεύοντές ποτε καὶ ἀκροδίκαιοι τῇ πίστει Μελητιανοὶ μετὰ τῶν τοῦ Ἀρείου μαθητῶν· καὶ οἱ πλείους μὲν ἤδη ἐχράνθησαν τῇ τοῦ Ἀρείου κακοπιστίᾳ, ἀπὸ τῆς πίστεως ἐκτραπέντες ἐν τούτοις τοῖς χρόνοις· τινὲς δὲ, εἰ καὶ ἔμειναν ἔχοντες τὴν ἀληθινὴν πίστιν, ἔχουσι μὲν, οὐ μὴν δέ εἰσιν ἀπηλλαγμένοι τῆς βορβορώδους ῥυπαρίας διὰ τὴν πρὸς τὸν Ἄρειον καὶ Ἀρειανοὺς κοινωνίαν. Ἀπὸ δὲ τῆς προειρημένης ὑποθέσεως ἔσχεν ἡ πρὸς τούτους συνάφεια Μελητίου τε καὶ Ἀρειανῶν προφάσεις.

Ἀλλὰ μεταξὺ ὀλίγου χρόνου (καθὼς [2] ὑπεσχόμην εἰπεῖν τὴν ὑπόθεσιν ἐνταῦθα διηγήσομαι), ἀναγκαζομένου Ἀλεξάνδρου τοῦ τῆς Κωνσταντινουπόλεως ἐπισκόπου συνάξαι τὸν Ἄρειον, καὶ αὐτοῦ εὐχομένου καὶ στενάξαντος, καὶ κλίναντος τὰ γόνατα περὶ ὥραν ἐννάτην τῷ Σαββάτῳ ἐνώπιον τοῦ θυσιαστηρίου, τοῦ Εὐσεβίου λέγοντος, ὅτι Εἰ μὴ βουληθείης ἐκὼν τοῦτον αὐτὸν συνάξαι, ἄκοντός σου σὺν ἐμοὶ εἰσελεύσεται τῇ αὔριον ἡμέρᾳ· Κυριακὴ δὲ ἐπέφωσκεν· ὡς δὲ ἔφην, εὐξαμένου τοῦ Ἀλεξάνδρου, καὶ δεηθέντος τοῦ Κυρίου ἡμῶν ἢ αὐτὸν ἐπᾶραι, ἵνα μὴ συμμολυνθῇ τῷ Ἀρείῳ τῷ κατὰ τοῦ Κυρίου βλασφημήσαντι, ἢ ποιῆσαι παράδοξόν τι, ὡς εἴωθεν ἐν γενεᾷ καὶ γενεᾷ παραδοξοποιεῖν, οὐκ εἰς μακρὰν ἡ εὐχὴ τοῦ ἁγίου ἐπληροῦτο· κατὰ τὰς νύκτας εἰσελθὼν ὁ Ἄρειος εἰς θᾶκον πρὸς τὰς αὐτοῦ χρείας παρασκευασθῆναι, ἐλάκισε, καθάπερ καὶ Ἰούδας ποτέ· καὶ οὕτως τὸ τέλος αὐτοῦ γέγονεν ἐν τόπῳ δυσώδει τῆς ἀκαθαρσίας.

Ζ'. Μετὰ δὲ τοῦτον τὸν χρόνον λοιπὸν ἐκαττύετο περὶ [3] τῶν τούτου μαθητῶν τὰ κατὰ τὴν συσκευὴν τῆς Ἐκκλησίας. Ἐτελεύτα δὲ Ἀλέξανδρος ὁ Ἀλεξανδρείας μετὰ τὴν ἐν Νικαίᾳ σύνοδον. Οὐ παρῆν δὲ Ἀθανάσιος μετὰ τὸν θάνατον Ἀρείου. Διάκονος γὰρ ἦν κατ' ἐκεῖνο καιροῦ ὑπὸ Ἀλεξάνδρου, καὶ ἀπεστάλη ὑπ' αὐτοῦ εἰς τὸ κομητᾶτον. Ἀλεξάνδρου δὲ ἐντειλαμένου

auctoritate valere plurimum. Per hunc itaque conciliari se imperatori ac perduci postulant. Qui cum prolixe his omnia facturum se recepisset, ut et de illorum causa ad imperatorem referret, et id quod petebant impetraret, vicissim hoc ab illis postulat, ut Arium in communionem reciperent, qui fictam simulatamque pœnitentiam præ se tulerat. Quod ubi spopondissent, ad imperatorem eos adducit Eusebius, exponitque quid illis negotii sit; ac postremo Meletianis ab eo tempore permissum, privatim ut sine ulla cujusquam molestia convenire possent. Utinam Meletiani isti, qui exactissimam justitiæ ac veritatis rationem professi fuerant, cum iis qui lapsi erant post pœnitentiam communionem habere, quam cum Arianis maluissent! Contigit enim illis quod est in proverbio, ut qui fumum devitant, in ignem incidant. Neque enim consistere Arius, aut fiduciam ullam habere potuisset, nisi eam esset occasionem nactus, quæ pessimam inter illos ad hodiernum usque diem concordiam devinxit. Siquidem Meletiani sinceri quondam fideique tenacissimi cum Arianis commisti sunt; et plerique falsa Arii doctrina contaminati a recta fide hoc tempore degenerarunt; nonnulli vero etsi constanter in ea perseverarunt; ob illam tamen cum Ario Arianisque societatem in cœno illo ac sordibus hæserunt. Hæc fuit mutuæ inter Meletianos et Arianos conjunctionis occasio.

722 Cæterum brevi interjecto tempore (jam enim uti pollicitus sum narrationis seriem pertexam), cum Alexander Constantinopolitanus episcopus Arium ad communionem admittere coactus ad preces et suspiria confugisset, flexis circa horam nonam Sabbati ante altare genibus, quod Eusebius ita comminatus esset: Nisi sponte in communionem illum recipere volueris, crastino die, te etiam invito, mecum ingredietur. Instabat autem Dominicus dies; quare cum Alexander, ut diximus, orationi se dedisset, et a Domino supplex peteret, ut vel se ex hac vita tolleret, ne Arii, qui in Deum contumeliosus fuerat, contagione polluerentur; aut inusitatum quoddam prodigium ederet, cujusmodi certis temporibus efficere solet, paulo post sancti viri quod volebat impetravit oratio. Arius enim de nocte levandi ventris gratia ad cellam veniens crepuit quemadmodum Judas olim proditor, et in impuro illo ac fœtido loco finem vivendi fecit.

VII. Secundum hæc ab ejus discipulis fraudulenta illa contra Ecclesiam inita consilia sunt. Alexander vero Alexandriæ episcopus post Nicænam synodum obiit, absente post Arii mortem Athanasio, qui diaconus per illud tempus ordinatus ab Alexandro, ab eodem missus ad comitatum fuerat. Cumque moriens Alexander nullum alium

[1] F. αὐτῷ. [2] Deest γάρ. [3] Cor. παρά.

Digitized by Google

suffici sibi præter Athanasium mandasset, ut tam ipse, quam clerici, et universa adeo Ecclesia testificabatur, Meletiani Ægypti episcopi occasionem nacti (nam Alexandria nunquam ut aliæ civitates duos episcopos habuit), cum Alexandrinus episcopus abesset, Theonam quemdam substituunt. Quo quidem post tertium mensem mortuo, paulo post Athanasius advenit. Tum undique coacto orthodoxorum concilio in Alexandrina sede constituitur; eique postliminio dignitas in illa redditur, qui et dignus erat, et tam Dei voluntate, quam beati Alexandri suffragio et mandato designatus.

A μηδένα κατασταθῆναι εἰ μὴ Ἀθανάσιον, ὡς αὐτός τε καὶ οἱ τοῦ κανόνος ἐμαρτύρουν, καὶ πᾶσα ἡ Ἐκκλησία, λαβόμενοι καιρὸν οἱ κατὰ Μελήτιον (59) ἐπίσκοπον τῆς Αἰγύπτου, ἐπισκόπου μὴ παρόντος τῆς Ἀλεξανδρείας (οὐ γάρ ποτε ἡ Ἀλεξάνδρεια δύο ἐπισκόπους ἔσχεν, ὡς αἱ ἄλλαι πόλεις)· καθιστῶσι τοίνυν ἀντὶ Ἀλεξάνδρου Θεωνᾶν τινα ὀνόματι, ὃς μῆνας τρεῖς ποιήσας ἐτελεύτα. Καὶ παρεγένετο Ἀθανάσιος μετ' οὐ πολὺ μετὰ τὴν τελευτὴν Θεωνᾶ. Καὶ ἐκ πανταχόθεν συνεκροτήθη ὀρθοδόξων σύνοδος. Καὶ οὕτως κατάστασις γέγονεν αὐτοῦ, καὶ ἀπεδόθη αὐτῷ ὁ θρόνος τῷ ἀξίῳ, καὶ ᾧ ἦν ἡτοιμασμένος κατὰ τὴν Θεοῦ βούλησιν, καὶ κατὰ τὴν μακαρίου Ἀλεξάνδρου μαρτυρίαν τε καὶ ἐντολήν.

Post hæc Athanasius ob illud Meletianorum ab Ecclesia catholica divortium exerceri afflictarique cœpit. Igitur hortari ille ac supplicare, detrectantes **723** urgere ac cogere. Solebat autem vicinas Ecclesias, easque præsertim quæ ad Mareotidem lacum sitæ sunt, invisere. Forte igitur congregatis Meletianis, diaconus quidem ex Athanasii comitatu cum quibusdam de populo, ut fama est, irrumpens candelam (vas illud quoddam) confregit, unde jurgium ac pugna conflata. Hinc adversus Athanasium occultæ molitiones fraudesque concitatæ, accusantibus Meletianis, et calumniantibus, ac conficta quædam objicientibus, Arianis vero allaborantibus et consilia communicantibus, propter insitam in orthodoxam fidem invidiam. Ergo illi rem ad imperatorem Constantinum deferunt: cujus totius factionis administer ac satelles Nicomediensis Eusebius fuit, ac noxæ illius omnis artifex, quæ Ecclesiæ pariter et Athanasio papæ ab illis est conscita. Accusatores itaque imperatorem adeuntes vas quoddam ut usum divinorum mysteriorum fractum objiciebant, quod candelam, ut diximus, appellavere nonnulli. Quin et de aliis quoque criminibus accusarunt, et in primis Arsenium quemdam Mareotidis presbyterum ab eo pulsatum, cujus manum ab Athanasii fautore populo, sive ipsomet potius Athanasio, præcisam, quam etiam ad comitatum intra arculam detatam ostentabant.

B Ἐντεῦθεν ἄρχεται Ἀθανάσιος βιοφορεῖσθαί τε καὶ λυπεῖσθαι διὰ τὸν μερισμὸν τῆς Ἐκκλησίας, τῶν τε Μελητιανῶν καὶ τῆς καθολικῆς Ἐκκλησίας. Ἐπειθε, παρεκάλει, καὶ οὐκ ἠνείχοντο· ἠνάγκαζεν, ἐβιάζετο. Ἐπισκεπτόμενος δὲ πλλάκις ἐγίνετο τὰς σύνεγγυς Ἐκκλησίας, μάλιστα τὰς κατὰ τὸν Μαραιώτην. Καὶ ποτὲ Μελητιανῶν συναγόντων γέγονεν ἐκ τοῦ πλήθους τοῦ μετὰ Ἀθανάσιον [1] διάκονόν τινα ἐπεισελθόντα, μετὰ καί τινων τῶν ἀπὸ τοῦ λαοῦ κατεάξαι κανδῆλαν (60), ὡς ἔχει ὁ λόγος, καὶ μάχην γενέσθαι. Ἐντεῦθεν ἡ κατὰ Ἀθανασίου συσκευὴ γέγονε, τῶν Μελητιανῶν κατηγορησάντων καὶ συκοφαντησάντων αὐτὸν, ἕτερα ἀνθ' ἑτέρων, Ἀρειανῶν δὲ συνεσκευασμένων, καὶ συνεπιδόντων ἑαυτοὺς, διὰ τὸν πρὸς τὴν ἁγίαν Θεοῦ πίστιν καὶ ὀρθοδοξίαν φθόνον. Καὶ ἀνακοινοῦνται τῷ βασιλεῖ Κωνσταντίνῳ. Εὐσέβιος δὲ ἦν ὁ προειρημένος τῆς Νικομηδείας ὁ ὑπουργὸς τοῦ παντὸς αὐτῶν συστήματος, καὶ συσκευαστὴς τῆς κατὰ τὴν Ἐκκλησίαν τε καὶ τὸν πάπαν Ἀθανάσιον βλάβης. Οἱ κατήγοροι οὖν προσῆλθον τῷ βασιλεῖ, σκεῦός τι μυστηρίων λέγοντες εἶναι, ὅπερ κανδῆλαν τινὲς ἔφασαν, ἣν προεῖπον. Ἄλλα τέ τινα κατηγόρουν φάσκοντες πρεσβύτερόν τινα τοῦ Μαραιώτου Ἀρσένιον τετυπτῆσθαι, τούτου δὲ τὴν χεῖρα μαχαίρᾳ ὑπὸ τῶν τοῦ Ἀθανασίου λαῶν, εἴτουν αὐτοῦ Ἀθανασίου, τετμῆσθαι. Ἐπεφέροντο γὰρ καὶ χεῖρα ἐν τῷ κομητάτῳ, καὶ ἐπεδείκνυον, ἥτις ἦν ἐν γλωσσοκόμῳ.

VIII. Iis auditis, imperator vehementer excanduit, cum divino quodam zelo majorem in modum flagraret, nec illos calumniatores esse nosset, aut eo livore ferri, quem Arianos adversus sinceram fidem suscepisse diximus. Igitur Tyri in Phœnice convocari synodum jubet, eique judicio præesse cum aliis nonnullis Cæsariensem Eusebium, qui omnes in Arianorum inanissimum dogma propensiores erant. Cum his ex catholica Ægypti Ecclesia, et Athanasio subjecta, episcopi quidam advocati sunt, primarii quidem ac præstantes viri, atque egregia

C

Η'. Ταῦτα ὁ βασιλεὺς ἀκούσας, αἴρεται μὲν θυμῷ· εἶχε γὰρ ζῆλον θεῖκὸν ὁ μακαρίτης· οὐ μὴν ᾔδει, D ὅτι συκοφάνται ἦσαν, δι' ὃν προεῖπον ζῆλον τῶν Ἀρειανῶν κατὰ τῆς ὀρθοδοξίας. Κελεύει δὲ συγκροτηθῆναι σύνοδον κατὰ τὴν Φοινίκην ἐν Τύρῳ τῇ πόλει. Ἐκέλευσε δὲ δικάζειν Εὐσέβιον τὸν Καισαρείας, καὶ ἄλλους τινάς. Ἦσαν δὲ προσκεκλημένοι [2] οὗτοι ποσῶς μᾶλλον τῇ τῶν Ἀρειανῶν χυδαιολογίᾳ· καὶ ἐκλήθησαν ἐπίσκοποι τῆς Αἰγύπτου τῆς καθολικῆς, καὶ ὑπὸ Ἀθανάσιον ἀκρέμονές τινες ἄνδρες καὶ μείζους, καὶ ἐν Θεῷ ἔχοντες διαφανῆ τὸν βίον· ἐν οἷς ἦν ὁ μακα-

[1] Cor. Ἀθανασίου. [2] Cor. προσκεκλιμένοι.

(59) *Οἱ κατὰ Μελήτιον.* Meletianos episcopos intellige, non Meletium, qui jam e vivis excesserat. De hujus historiæ mendacio ad sequentem hæresin dicitur.

(60) *Κατεάξαι κανδῆλαν.* Quænam ea vox sit nondum comperi. Certum est ποτήριον μυστικὸν fuisse. Vide Athan. ipsum in *Apol.*, Theodoretum, et alios.

Digitized by Google

ρίτης Ποτάμων ὁ μέγας, ὁ τῆς Ἡρακλείας ἐπίσκοπος καὶ ὁμολογητής· ἀλλὰ καὶ οἱ τῶν Μελητιανῶν, μάλιστα οἱ τοῦ Ἀθανασίου κατηγοροῦντες. Ζηλωτὴς δὲ ὧν ὑπὲρ ἀληθείας καὶ ὀρθοδοξίας ὁ προειρημένος Ποτάμων ὁ μακαρίτης, ἐλευθεροστομῶν, ὃς οὐδέποτε εἶληφε πρόσωπόν τινος· τὸν ὀφθαλμὸν γὰρ ἐν τῷ διωγμῷ διὰ τὴν ἀλήθειαν ἐτυφλώθη· ἐωρακὼς τὸν Εὐσέβιον καθεζόμενον καὶ δικάζοντα, καὶ Ἀθανάσιον ἑστῶτα, καταπονηθεὶς τῇ λυπῃ, καὶ δακρύσας, οἷα γίνεται παρὰ τοῖς ἀληθέσιν, ἀπετείνατο φωνῇ μεγάλῃ Εὐσεβίῳ λέγων· Σὺ καθέζῃ, Εὐσέβιε, καὶ Ἀθανάσιος ἀθῶος ὢν παρὰ σοῦ κρίνεται; Τίς ἐνέγκοι τὰ τοιαῦτα; Λέγε δέ μοι σὺ, οὐ σὺν ἐμοὶ ἦσθα ἐν τῇ φυλακῇ ἐπὶ τοῦ διωγμοῦ; Κἀγὼ μὲν ὀφθαλμὸν ἀπεβαλόμην ὑπὲρ ἀληθείας· σὺ δὲ οὔτε φαίνῃ λελωβημένον τι ἔχων ἐν τῷ σώματι, οὔτε ἐμαρτύρησας· ἀλλὰ ἑστηκας ζῶν μηδὲν ἠκρωτηριασμένος. Πῶς ἀνεχώρησας ἀπὸ τῆς φυλακῆς, εἰ μὴ ὅτι ὑπέσχου τοῖς τὴν ἀνάγκην τοῦ διωγμοῦ ἡμῖν ἐπενέγκασι τὸ ἀθέμιτον πρᾶξαι, ἢ ἔπραξας; Ταῦτα ἀκούσας Εὐσέβιος, αἴρεται μὲν εἰς ἀγανάκτησιν, καὶ ἀναστὰς διέλυσε τὸ δικαστήριον, λέγων, ὅτι Εἰ ἐνταῦθα ἤλθετε, καὶ πρὸς ἡμᾶς τὰ τοιαῦτα ἀντιλέγετε, ἆρα οὖν ἀληθεύουσιν οἱ κατήγοροι ὑμῶν. Εἰ γὰρ ὧδε τυραννεῖτε, πολλῷ μᾶλλον ἐν τῇ ὑμῶν πατρίδι.

A vitæ sanctitate et religione præditi, inter quos felicis memoriæ magnus ille Potamo fuit Heracleæ episcopus et confessor. Aderant et Meletiani Athanasii præsertim accusatores. At beatus Potamo veritatis ac rectæ fidei ardore æstuans, vir summa loquendi libertate, qui nullis unquam personæ rationem habuerat, et pro veritatis confessione alterum in persecutione oculum amiserat, is Eusebium sedentem et judicantem, stantem **724** vero Athanasium conspicatus dolore confectus, et illacrymans, cujusmodi sinceris mentibus usuvenire solet, magna voce adversus Eusebium invectus est. Et, Tene, inquit, Eusebi, sedere et innocentem Athanasium a te judicari? Quis ista sustinere possit? Dic, sodes, nonne mecum persecutionis tem- B pore in custodia fuisti? Atque ego quidem oculum pro veritate perdidi; tu nulla corporis parte mutilatus es, neque martyrium subiisti, sed vivus integerque consistis. Quanam ratione e custodia evolasti, nisi quod persecutoribus nostris nefarium facinus admissurum te esse recepisti, vel etiam admisisti? Hæc Eusebius audiens magnopere doluit, et repente surgens concilium dimisit, itaque locutus est: Si huc accedentes tantopere nobis contradicere audetis, verum est profecto quod vestri accusatores objiciunt. Nam cum hoc in loco tyrannidem quamdam exercetis, multo id magis in patria vestra facitis.

Θ'. Εἶτα ἐπεχείρησεν Εὐσέβιος καὶ οἱ μετ' αὐτοῦ· καὶ ἀποστέλλουσι δύο τινὰς τῶν ἀπὸ Παννονίων ἐπισκόπων τὰ Ἀρείου φρονοῦντας, Οὐρσάκιόν τε καὶ Οὐάλεντα, εἰς τε τὴν Ἀλεξάνδρειαν καὶ Μαραιώτην, ἔνθα ἔλεγον γεγενῆσθαι τὰ προειρημένα τοῦ σκεύους καὶ τῶν ἄλλων πραγμάτων τῆς μάχης. Οἱ δὲ ἀπελθόντες οὐκ ἐκεῖνα ἀνήνεγκαν ὅσα ἦν ἀληθῆ, ἀλλ' ἕτερα ἀνθ' ἑτέρων παραχωρήσαντες, ἐψεύσαντο· καὶ ἐσυκοφάντησαν τὸν μακαρίτην πάπαν Ἀθανάσιον. Κἀκεῖνα δὲ ὡς ἀληθῆ ὄντα πλασάμενοι ἐγγράφως ἐνέγκαντες ἀνέφερον ἐπὶ τὴν σύνοδον τὸν περὶ Εὐσέβιον καὶ τοὺς [1] ἄλλους ὡς εἰσύστερον ἔδειξαν μετανοοῦντες Οὐρσάκιος καὶ Οὐάλης, μετὰ λιβέλλων προσελθόντες τῷ μακαρίτῃ Ἰουλίῳ τῷ ἐπισκόπῳ Ῥώμης, ὑπεραπολογούμενοι τοῦ αὐτῶν σφάλματος· ὅτι Ἐσυκοφαντήσαμεν τὸν πάπαν Ἀθανάσιον· ἀλλὰ δέξαι ἡμᾶς εἰς D κοινωνίαν καὶ εἰς μετάνοιαν. Καὶ πρὸς αὐτὸν δὲ τὸν Ἀθανάσιον ταῖς αὐτῶν ἐχρήσαντο ἐγγράφοις διὰ μετανοίας συστάσεσιν. Ὁρῶντος δὲ τοῦ πάπα Ἀθανασίου ὄντος ἐν τῇ Τύρῳ βαρεῖαν τὴν τότε συσκευὴν ἐκ πανταχόθεν, πρινὴ εἰσελθεῖν εἰς τὸ δικαστήριον, ἢ εἰς πρόσωπον τὰ συκοφαντούμενα ἐξ ἀντικαταστάσεως γένηται, νύκτωρ ἀναχωρήσας, ἀνέρχεται πρὸς Κωνσταντῖνον εἰς τὸ κομητᾶτον, καὶ προσφέρει αὐτῷ τὰ κατ' αὐτὸν ἀναδιδάσκων. Ὁ δὲ, ἔτι λύπῃ φερόμενος, καὶ νομίζων μή πη ἄρα ἀληθεύουσιν οἱ κατηγορήσαντες, ψεύδεται δὲ ὁ ἀπολογούμενος, ἔτι ἐχαλέπαινε. Χαλεπαίνοντος δὲ αὐτοῦ, ὁ πάπας Ἀθανάσιος λόγον βαρὺν τῷ βασιλεῖ ἐπετείνετο, ὡς ὅτι Δικάσει Κύριος ἀναμέσον ἐμοῦ καὶ σοῦ, ὁποῖα καὶ αὐτὸς συμ-

IX. His hoc modo transactis, aliud quiddam Eusebius cum suis aggreditur. Nam duos quosdam Pannoniæ episcopos Arii asseclas, Ursatium et Valentem Alexandriam et in Mareotidem mittunt, ubi superiores omnes illas turbas, jurgiaque ea violatum, et alia id genus accidisse memorabant. Illi legatione sua functi rem non sincere uti se habuerat, sed falsa quædam et conficta detulerunt; multa adversus beatum papam Athanasium subdole et calumniose commenti, quæ quidem pro veris et compertis in acta referentes in synodum ad Eusebium et alios deferunt. Id quod Ursatii et Valentis confessione postea declaratum est, cum pœnitentia ducti Julio Romano pontifici libellos obtulerunt, quibus errorem suum deprecabantur. Calumniam, inquiebant, contra papam Athanasium struximus; tu vero ad communionem et pœnitentiam nos admitte. Imo et apud ipsum Athanasium eadem in scripto supplicatione usi sunt. Inter hæc Athanasius cum apud Tyrum gravem ac vehementem hanc conspirationem esse cerneret, priusquam in judicium prodiret, aut omnes istæ calumniæ coram sibi, et ex adverso objicerentur, de nocte discedens in comitatum ad Constantinum properat, deque tota re certiorem illum facit. Imperator adhuc dolore **725** commotus, ac vera esse suspicatus, quæ accusatores proposuerant, mentiri vero accusatum Athanasium, nihil de iracundia remittebat. Quod videns Athanasius acri illum oratione perstrinxit: De te, inquit, ac me judicabit Domi-

[1] F. τῶν.

Digitized by Google

nus, quod et ipse mediocritatis meæ calumniatoribus assentiaris. Deinde datis a synodo ad imperatorem litteris in exsilium relegatur Athanasius. Absens quippe depositus est, cum ad cætera recens illa principis accessisset offensio. Duodecim itaque vel tredecim annis in Italia mansit.

X. Sub hæc, ut frequenti hominum rumore divulgatum est, Arsenius ille, qui pridem a calumniatoribus inter mortuos numerabatur, cuique amputata manus dicebatur, in Arabia repertus est. Is enim Athanasio, cum in exsilio adhuc esset, seipsum prodidit. Quem ille clam, ut accepimus, arcessitum, mox ut advenit, coram Constante et Constantio Constantini filiis, qui tum forte convenerant, vivum, et ambas manus habentem produxit. Quo facto penes accusatores non modo calumniæ, sed etiam ob circumlatam illam mortui manum violatæ sepulcrorum religionis crimen resedit; ac deinceps ingens risus ex tali tantaque fabula, et admiratio consecuta. Neque satis conveniebat, quid de accusatoribus, aut reo ipso, deque cæteris omnibus dicendum videretur. Quæ si singillatim narrare voluero, longiorem orationem instituam. Post Constantini obitum, Athanasius qui summa in omnium auctoritate et gratia, ac non modo Romæ, sed et Italiæ totius, imo et imperatoris ejusque liberorum Constantis ac Constantini approbatione florebat, ab his duobus imperatoribus post mortem parentis in Ægyptum remittitur, assentiente Constantio, qui tum Antiochiæ versabatur. Cujus rei seriem ex trium imperatorum datis ad Alexandrinos, et Athanasium ipsum litteris didicimus. Ita ille sedi suæ restitutus est, post **726** Gregorium, quem exsulanti Athanasio Ariani suffecerant.

φωνεῖς τοῖς συκοφαντοῦσι τὴν ἡμετέραν μετριότητα. Ἐντεῦθεν συμβαίνει αὐτὸν ἐξορίᾳ ὑποπεσεῖν ἀπό τε τῶν γραφέντων ἀπὸ τῆς συνόδου τῷ βασιλεῖ. Ἀπόντος γὰρ αὐτοῦ καθαίρεσιν ποιοῦνται αὐτοῦ, καὶ ἐξ ὧν ὁ βασιλεὺς παροξυνθεὶς πρὸς αὐτὸν ἐλυπεῖτο. Καὶ μένει ἐν τοῖς μέρεσι τῆς Ἰταλίας (61) ἐπὶ ἔτεσι πλείω δώδεκα ἢ δεκατέσσαρα.

Ι'. Πολὺς δὲ μετέπειτα ᾄδεται λόγος, ὡς Ἀρσένιος ὁ πάλαι ἐν τεθνεῶσι παρὰ συκοφαντῶν καταγελλόμενος, καὶ τὴν χεῖρα τετμῆσθαι λεγόμενος, εὕρηται ἐν τοῖς μέρεσι τῆς Ἀραβίας. Καὶ ὡς ἀνήγγειλεν ἑαυτὸν δῆλως ὁ Ἀρσένιος τῷ πάπᾳ Ἀθανασίῳ ὄντι ἐν τῇ ἐξορίᾳ, καὶ τοῦ πάπα Ἀθανασίου λεληθότως αὐτὸν μεταστειλαμένου, ὡς ἡ εἰς ἡμᾶς ἐλθοῦσα φήμη περιέχει, καὶ αὐτοῦ Ἀρσενίου πρὸς τὸν αὐτὸν μακαρίτην Ἀθανάσιον γενομένου, ὁμοῦ τε ἐπὶ τοῖς περὶ Κώνσταν καὶ Κωνστάντιον τοῖς υἱοῖς Κωνσταντίνου γενομένοις ἅμα, ὁ μὲν Ἀθανάσιος τὸν Ἀρσένιον ἐδείκνυε ζῶντά τε, καὶ δύο χεῖρας ἔχοντα. Συκοφαντίας τε λοιπὸν οἱ κατήγοροι αἴτιοι οὐ μόνον εὑρίσκοντο, ἀλλὰ καὶ τυμβωρυχίας διὰ τὴν ποτε περιφερομένην νεκρὰν χεῖρα. Ἐντεῦθεν τὸ μὲν πᾶν γελοῖον ἦν, καὶ ἔκπληξις τοῦ τοιούτου καὶ τοσούτου δραματουργήματος καὶ ἀπορίας [1], τὸ τίς ἂν εἴτοι περί τε τῶν κατηγορησάντων, περί τε τοῦ κατηγορουμένου, περί τε τῶν ἄλλων πάντων, ὧν κατὰ μέρος εἰπεῖν πολὺν ἀναλώσω χρόνον. Τελευτήσαντος δὲ Κωνσταντίνου, τοῦ πάπα Ἀθανασίου ἐν πολλῇ παῤῥησίᾳ καὶ εὐδοκιμήσει, καὶ δεξιώσει Ῥώμης τε καὶ πάσης Ἰταλίας, καὶ πρὸς αὐτὸν τὸν βασιλέα, καὶ τοὺς αὐτοῦ παῖδας Κωνστάντιον καὶ Κώνσταν [2], ἀποστέλλεται ἐκ τῶν δύο βασιλέων μετὰ τὴν τοῦ μεγάλου Κωνσταντίνου τελευτήν, Κωνσαντίου ὄντος ἐπὶ τῆς Ἀντιοχείας, καὶ συνευδοκοῦντος ἰδίων [3] τε καὶ ἐγγράφων ἐπιστολῶν· παρὰ τῶν τριῶν βασιλέων ἐγνωμεν γραφεισῶν τοῖς Ἀλεξανδρεῦσι καὶ αὐτῷ τῷ πάπᾳ Ἀθανασίῳ· καὶ καθέζεται πάλιν εἰς τὸν θρόνον μετὰ τὸν διαδεξάμενον αὐτὸν ὑπὸ τῶν Ἀρειανῶν πεμφθέντα Γρηγόριον, ὅτε ἦν ἐν τῇ ἐξορίᾳ Ἀθανάσιος.

XI. Sed rursum novæ illi turbæ ac calumniæ a Stephano ejusque asseclis apud Constantium conflatæ, quibus denuo de sede sua pulsus est. Iterumque Leontius eunuchus illum cum suis alia machinatione perculit, per quam ejectus, ac deinde restitutus est; nam cum Georgius a Constantino missus esset, Athanasius fuga se subducens aliquandiu delituit, donec Georgius interfectus est: quo tempore Julianus imperabat, qui post Constantii obitum ad gentilium superstitionem desciverat. Etenim Alexandrini Georgium vetere in illum odio concepto, occisum concremarunt, ejusque cineres in ventos sparserunt. Postea Juliano in Perside mortuo, Jovianus felicis memoriæ successit. Qui honorificentissimis, fideique plenissimis

ΙΑ'. Πάλιν δὲ συνεσκευάσθη πρὸς Κωνστάντιον ἀπὸ τῶν περὶ Στέφανον, καὶ ἐξεώσθη· καὶ μετέπειτα πάλιν συνεσκευάσθη ἀπὸ τῶν περὶ Λεόντιον τὸν ἀπόκοπον, καὶ τοὺς ἅμα αὐτοῖς. Ἔνθεν ἐγίνετο τοὐτὸν ἐκβάλλεσθαι, καὶ πάλιν εἰσφέρεσθαι. Γεώργιος γὰρ ὑπὸ Κωνσταντίου ἀποστέλλεται, καὶ ὑποχωρεῖ Ἀθανάσιος, κρυβεὶς χρόνον τινά, ἕως ὅτε ὁ Γεώργιος ἀνῃρέθη· ἐν ᾧ χρόνῳ ἐβασίλευσεν Ἰουλιανὸς, καὶ εἰς Ἑλληνισμὸν ἐτράπη μετὰ τὴν τελευτὴν Κωνσταντίου· Ἀλεξανδρέων γὰρ μῆνιν τηρησάντων τῷ Γεωργίῳ, τοῦτον ἀπέκτειναν, καὶ καύσαντες, καὶ τέφραν ποιήσαντες, εἰς ἀνέμους ἐσκόρπισαν. Ἀποθανόντος δὲ τοῦ Ἰουλιανοῦ ἐν τῇ Περσίδι, καὶ διαδεξαμένου τὸ βασίλειον Ἰοβιανοῦ τοῦ μακαρίτου, μετὰ πολλῆς τιμῆς, καὶ ἀξιοπίστων γραμμάτων γράψαν-

[1] F. ἀπορία. [2] Ε. Κωνσταντῖνον Κωνστάντιον, καὶ Κώνσταν; sed hæc corrupta. [3] F. ὡς ἐξ ἰδ.

(61) *Καὶ μένει ἐν τοῖς μέρεσι τῆς Ἰταλίας.* Neque illud verum est, tot annos in Gallis hæsisse; non enim amplius quam annos II, menses IV, exsulavit, ut testatur Theodoretus. Vide *Ann. Eccles.* an. 338. Reliqua narrationis hujus, quæ in sequenti numero haud sincera sunt, Historiis ecclesiasticis et *Annalibus* Baronianis luce clariora sunt. Quæ tu illinc repetes. Sub Constantino imperatore ante relegationem Athanasii, Arsenii drama contigit, non post illius obitum.

Digitized by Google

τος τῷ ἐπισκόπῳ Ἀθανασίῳ, καὶ μεταστειλαμένου, περιπτυξαμένου τε αὐτὸν, καὶ ἀποστείλαντος εἰς τὸν ἴδιον θρόνον, πάλιν ἀπολαβούσης τῆς ἁγίας Ἐκκλησίας τὸν ἐπίσκοπον, καὶ πρὸς ὀλίγον παρακληθείσης, τελευτήσαντος τοῦ Ἰοβιανοῦ, ἐν τοῖς αὐτοῖς πάλιν ὁ μακάριος Ἀθανάσιος διωγμοῖς, καὶ φήμαις, καὶ ταραχαῖς ἐφέρετο. Οὐ μὴν ἀπὸ τῆς Ἐκκλησίας καὶ τοῦ θρόνου μετεκινήθη· Ἀλεξανδρέων δὲ πρεσβευσαμένων ὑπὲρ αὐτοῦ, καὶ πάσης τῆς πόλεως ἀξιωσάσης, μετὰ [1] τὸν Λούκιον, καὶ τὸν νῦν Ἀρειανὸν κατασταθῆναι ἐπὶ ξένης, τάχα δὲ [2] Ἀντιοχείᾳ, καὶ πολλάκις παρακαλέσαντα τὸν βασιλέα Οὐάλεντα ἀποσταλῆναι εἰς τὸν τῆς Ἀλεξανδρείας θρόνον, καὶ αὐτοῦ διὰ τὴν τῶν λαῶν ταραχὴν μὴ βουληθέντος αὐτὸν ἐξεῶσαι. Ἵππερας γ' οὖν, ὅτε ἐτελεύτα ὁ πάπας Ἀθανάσιος, ἀπεστάλη Λούκιος, πολλὰ κακὰ ἐνδειξάμενος τῇ τε Ἐκκλησίᾳ, τῇ τε πόλει, τοῖς λαοῖς, τοῖς ἐπισκόποις, τοῖς κληρικοῖς τοῖς ὑπὸ Ἀθανασίου οὖσι, καὶ αὐτὸν ἐν ἑκάστῃ Ἐκκλησίᾳ διαδεξαμένοις [3], καὶ Πέτρῳ τῷ μετὰ Ἀθανάσιον κατασταθέντι διαδόχῳ αὐτοῦ ἐν Ἀλεξανδρείᾳ.

Ταῦτα ἕως τῆς δεῦρο πέπρακται, τῶν μὲν ἐξορισθέντων ἐπισκόπων τε καὶ πρεσβυτέρων καὶ διακόνων, ἄλλων δὲ κεφαλικὴν τιμωρίαν ὑποστάντων ἐπὶ τῆς Ἀλεξανδρείας, ἑτέρων δὲ θηριομαχησάντων, παρθενευουσῶν δὲ ἀποκτανθεισῶν, καὶ πολλῶν ἄλλων ἀπολομένων. Ἐν τούτοις ἔτι δεῦρο φέρεται ἡ Ἐκκλησία τοῦ Θεοῦ, ἀπὸ τῆς προειρημένης ὑποθέσεως τῶν Μελετιανῶν καὶ τῶν Ἀρειανῶν, τῶν διὰ τοιούτων τρόπων ἐσχηκότων τὴν στάσιν, καὶ τοῦ ἐνισχῦσαι τὸ αὐτὸ σύστημα τῆς κακοδοξίας, φημὶ δὲ Ἀρειανῶν. Ἐν δὲ τῷ κατὰ Ἀρείου ἐλέγχῳ κατὰ λεπτὸν περὶ πάντων διηγησόμεθα. Ὑπερβήσομαι δὲ καὶ ταύτην τὴν ὑπόθεσιν· ἐπὶ δὲ αὐτὴν τὴν τῶν Ἀρειανῶν αἵρεσιν παρελεύσομαι, Θεὸν ἐπικαλούμενος βοηθὸν τῷ φοβερῷ τούτῳ καὶ πολυκεφάλῳ ἑρπετῷ πρὸς μάχην πελάζειν παρερχόμενος.

A litteris ad Athanasium scriptis, ad sese illum evocans, post humanissimos complexus ad sedem suam dimisit. Ita sancta Ecclesia, episcopo suo recepto, nonnihil solatii habuit. Verum mortuo Joviano, iisdem rursum Athanasius periculis, ac rumoribus et turbis conflictari cœpit. Quanquam de Ecclesia ac sede sua minime dejectus est. Nam Alexandrinorum civitas universa publicam pro illo legationem ac supplicationem decrevit; cum interim Lucius ex Ariana factione, qui hodieque sedet, peregrina in regione ac, nisi fallor, Antiochiæ creatus episcopus, multum apud imperatorem Valentem instaret, ut Alexandrinam ad sedem mitteretur, imperator vero popularem seditionem veritus expellere noluisset. Tandem vero post B Athanasii mortem submissus est Lucius, qui Ecclesiam, civitatem, plebem, episcopos ac clericos Athanasii fautores, et qui in singulis Ecclesiis communionem cum illo retinebant, necnon et Petrum ipsum Athanasii successorem innumeris malis affecit.

Hæc sunt, quæ ad hodiernum usque tempus Alexandriæ sunt gesta; ubi episcopi, presbyteri et diaconi partim relegati, partim capitali supplicio multati, **727** partim ad bestias damnati; virgines porro sacræ cum plerisque aliis interfectæ. Quæ quidem calamitates etiamnum Ecclesiam Dei exercent, ex ea quam exposui Meletianorum et Arianorum coitione concitatæ. Qui quidem Ariani hac ratione stabiliti, impii dogmatis factionem corroborarunt. Sed hæc omnia in proxima adversus Arium disputatione accuratius erunt explicanda, ad quam, præsenti narratione prætermissa, sermonem conferam, implorata prius ope Dei, quam cum horribili illo ac multicipiti serpente in certamen descendam.

ΚΑΤΑ ΤΩΝ ΑΡΕΙΟΜΑΝΙΤΩΝ,

Αἵρεσις τεσσαρακοστὴ ἑνάτη, ἢ καὶ ἑξηκοστὴ ἑνάτη.

Α'. Τούτους τοὺς περὶ τὸν Μελέτιον καὶ τοῦ ἁγίου Πέτρου Ἀλεξανδρείας ἐπισκόπου χρόνους καθεξῆς διαδέχεται Ἄρειος καὶ οἱ ἀπ' αὐτοῦ Ἀρειανοί, ἐν χρόνοις ἀκμάσας Ἀλεξάνδρου τοῦ ἁγίου ἐπισκόπου, τοῦ διαδόχου Πέτρου, τοῦ καθελόντος τὸν αὐτὸν Ἄρειον διὰ πολλῆς κινήσεως καὶ μεγάλης συνόδου. Ἀπεκίνησε γὰρ αὐτὸν, καὶ ἐξέβαλε τῆς Ἐκκλησίας τε καὶ τῆς πόλεως, ὡς μέγα κακὸν φοιτῆσαν τῷ βίῳ. Φασὶ δὲ αὐτὸν Λίβυν τῷ γένει, ἐν Ἀλεξανδρείᾳ δὲ πρεσβύτερον γεγονότα, ὃς προΐστατο τῆς Ἐκκλησίας τῆς Βαυκάλεως οὕτω καλουμένης. Ὅσαι γὰρ ἐκκλησίαι τῆς καθολικῆς (62') Ἐκκλησίας ἐν Ἀλεξανδρείᾳ ὑπὸ ἕνα ἀρχιεπίσκοπον οὖσαι, καὶ κατ' ἰδίαν ταύταις ἐπιτεταγμένοι εἰσὶ πρεσβύτεροι διὰ τὰς ἐκκλησιαστικὰς χρείας τῶν οἰκητόρων, πλησίων ἑκά-

CONTRA ARIOMANITAS,

Quæ est hæresis XLIX, sive LXIX.

I. Post superiora illa Meletii ac Petri Alexandrini episcopi tempora Arius Arianique proxime consequuntur. Ille sub Alexandro Petri successore floruit; a quo non sine magna commotione ingentique coacta synodo profligatus est. Alexander D enim illum ejecit, atque ex Ecclesia et urbe, velut ingens quoddam malum, quod ad humani generis perniciem grassabatur, exterminavit. Ferunt illum ex Libya oriundum Alexandriæ presbyterum esse factum, qui tum Baucalensis cujusdam Ecclesiæ præfecturam gerebat. Etenim quotquot Alexandriæ catholicæ communionis ecclesiæ sunt, uni archiepiscopo subjectæ, suus cuique præpositus est presbyter, qui ecclesiastica munera iis administret, qui circa ecclesias illas habitant, eorumque con-

[1] F. τό. [2] F. ἐν. [3] Cor. δεξαμένοις.

(62') *Ὅσαι γὰρ ἐκκλησίαι τῆς καθολικῆς.* Vide in *Appendice Dissertationum* quæ ad hunc locum de chorepiscoporum institutione adnotavit Petavius, cum prolixiora sint ut inter notas locum habeant. EDIT.

Digitized by Google

venticula vici, sive lauræ ab Alexandrinis vulgo nominantur. Vixit autem Arius sub imperatore Constantino Constantii senioris filio, qui Valeriani imperatoris filius fuit, qui et ipsi cum Diocletiano, et Maximiano, ac cæteris imperarunt. Nemo est vero qui nesciat Constantinum illum, Constantii, Constantis et Crispi patrem, in Christiana religione ac majorum fide, hoc **728** est apostolica et prophetica, plane admirabilem et divinum fuisse: quæ fides ante Arium integra hactenus et incorrupta permanserat; primus ille Christianum populum a se mutuo disjunxit.

II. Hunc igitur Arium Alexandri presbyterum Satanæ spiritus invadens impulit, ut (quemadmodum scriptum est) pulverem adversus Ecclesiam excitaret, ex eoque haud mediocre incendium erumperet, quod universum propemodum Romanorum imperium, ac præsertim orientales illius partes corriperet: adeo ut etiam hoc tempore sinceram fidem, et Ecclesiam oppugnare hæresis illa non desinat. Per illud vero tempus presbyter Arius habebatur, ac multi in unaquaque ecclesia collegæ illius erant presbyteri. Sane complures Alexandriæ ecclesiæ sunt, præter eam, quæ nuper exstructa Cæsaria dicitur. Quæ olim Adrianum,

στης ἐκκλησίας αὐτῶν, καὶ ἀμφόδων ἤτοι λαβῶν[1] (63), ἐπιχωρίως καλουμένων ὑπὸ τῶν τὴν Ἀλεξανδρέων κατοικούντων πόλιν. Ἐγένετο δὲ οὗτος ὁ Ἄρειος ἐν χρόνοις Κωνσταντίνου τοῦ μεγάλου καὶ μακαρίτου βασιλέως, υἱοῦ Κωνσταντίου γέροντος, γενομένου υἱοῦ Οὐαλεριανοῦ (64) βασιλέως, καὶ αὐτῶν συμβασιλευσάντων Διοκλητιανῷ, καὶ Μαξιμιανῷ, καὶ τοῖς ἄλλοις. Πάντες δὲ τὸν Κωνσταντῖνον τὸν πατέρα τῶν περὶ Κωνστάντιον, καὶ Κώνσταν, καὶ Κρίσπον, ἴσασιν ἐκθειαζόμενον ἐν Χριστιανισμῷ καὶ πίστει τῇ τῶν πατέρων, ἀποστολικῇ τε καὶ προφητικῇ ἐν ταῖς Ἐκκλησίαις, ἕως αὐτοῦ τοῦ Ἀρείου μὴ νοθευθείσῃ. Συμβέβηκε δὲ τοῦτον ἀποσχίσαι πλῆθος.

Β'. Τὸν δὲ Ἄρειον τοῦτον πρεσβύτερον ὄντα Ἀλεξάνδρου τοῦ προειρημένου ὑπεισῆλθε πνεῦμα Σατᾶν, καὶ ἐπέσεισεν αὐτὸν, κατὰ τὸ γεγραμμένον, κατὰ τῆς Ἐκκλησίας κονιορτὸν ἐγεῖραι, καὶ ἐξαφθῆναι ἐξ αὐτοῦ πῦρ οὐ τὸ τυχὸν, ὃ κατεῖληφε πᾶσαν τὴν Ῥωμανίαν σχεδὸν, μάλιστα τῆς ἀνατολῆς τὰ μέρη, ὡς ἔτι καὶ δεῦρο πολεμοῦσα ἡ αὐτοῦ αἵρεσις τὴν ἀληθινὴν πίστιν, καὶ τὴν Ἐκκλησίαν οὐ διέλιπε. Κατὰ δὲ τὸν καιρὸν ἐκεῖνον ἐδόκει πρεσβύτερος εἶναι ὁ Ἄρειος, καὶ γεγόνασι πολλοὶ αὐτοῦ συμπρεσβύτεροι καθ' ἑκάστην ἐκκλησίαν. Εἰσὶ τοίνυν πλείους τὸν ἀριθμὸν ἐν τῇ Ἀλεξανδρείᾳ σὺν τῇ νῦν κτισθείσῃ (65) τῇ Καισαρείᾳ καλουμένῃ. Ὁ πρότερον Ἀνδριανὸν[2]

[1] F. λαυρῶν. [2] Reg. Ἀνδρειανόν.

ΙΓ'. Ἄρειος τοίνυν οὗτος ἐνεπνεύσθη ὑπὸ διαβολικῆς ἐνεργείας, καὶ ἀθυρογλώττως ἀναισχυντὶ φερόμενος, ἐπῆρεν αὐτοῦ τὴν γλῶτταν κατὰ τοῦ ἰδίου Δεσπότου, ἐξ ἀρχῆς δῆθεν τὴν παρὰ τῷ Σολομῶνι ἐν ταῖς αὐτοῦ Παροιμίαις λέξεσιν ἑρμηνεῦσαι βουλόμενος, τὸ, *Ὁ Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με. Ἐν ἀρχῇ πρὸ τοῦ τὴν γῆν ποιῆσαι, καὶ πρὸ τοῦ τὰς ἀβύσσους ποιῆσαι, πρὸ τοῦ προελθεῖν τὰς πηγὰς τῶν ὑδάτων, πρὸ τοῦ ὄρη ἑδρασθῆναι, πρὸ δὲ πάντων βουνῶν γεννᾷ με.* Ἔνθεν αὐτῷ ἡ εἰσαγωγὴ τῆς πλάνης γεγένηται. Καὶ οὐκ ἠδέσθη, καὶ οἱ αὐτοῦ μαθηταὶ, κτίσμα ἀποκαλεῖν τὸν τὰ πάντα κτίσαντα, τὸν ἐκ Πατρὸς ἀχρόνως καὶ ἀνάρχως γεγεννημένον Λόγον. Λοιπὸν δὲ ἀπὸ τοῦ ἑνὸς τούτου λόγου εἰς πολλὰς καὶ κακὰς τρίβους ἐλάσας τὴν ἑαυτοῦ κακότροπον γνώμην, καὶ οἱ ἀπ' αὐτοῦ διάδοχοι μυρία, καὶ ἐπέκεινα εἰς τὸν Υἱὸν τοῦ Θεοῦ καὶ εἰς τὸ ἅγιον Πνεῦμα βλασφημῆσαι ἐπεχείρησαν. Παρέλυσαν δὲ, ὡς εἰπεῖν, τὸ στῖφος καὶ τὴν ὁμόνοιαν τῆς ἁγίας καὶ ὀρθοδόξου πίστεως καὶ Ἐκκλησίας, οὐ διὰ τῆς αὐτῶν δυνάμεως ἢ σοφίας· ὀλίγοι γὰρ οἱ προσκληθέντες [1] ἠπατημένοι, πολλοὶ δὲ οἱ ὑποκρίσει ὑπεισδύνοντες. Πολλοὶ δὲ καὶ κατὰ βίαν μὴ ἔχοντες οὕτως κοινωνοὶ τοῖς αὐτοῖς τυγχάνουσιν. Οὐδεὶς δὲ τούτων πρόξενος, ἀλλὰ πρῶτον μὲν δοκιμασία πιστῶν, βασιλέων δὲ ὑπερασπισμὸς, ἀρχὴ μὲν Κωνστάντιος ὁ βασιλεὺς, τὰ μὲν ἄλλα πάντα πρᾶος καὶ ἀγαθὸς, ὡς υἱὸς τοῦ μεγάλου καὶ τελείου Κωνσταντίνου τοῦ θεοσεβοῦς, καὶ πίστιν ὀρθὴν ἀληθινῶς πεφυλακότος, καὶ αὐτοῦ δὲ τοῦ Κωνσταντίου (87) θεοσεβοῦς ὄντος, καὶ ἀγαθοῦ κατὰ πολλοὺς τρόπους· ἐν τούτῳ δὲ μόνον, ἐν τῷ μὴ κατὰ τὴν πίστιν τοῦ πατρὸς αὐτὸν ὠδευκέναι, ἐσφάλη, οὐκ ἀφ' ἑαυτοῦ αἰτίας, ἀλλὰ ἀπὸ τῶν μελλόντων δοῦναι λόγον εἰς ἡμέραν κρίσεως τῶν δοκήσει ἐπισκόπων λεγομένων, παραφθειράντων δὲ τὴν Θεοῦ ἀληθινὴν πίστιν· οἵτινες ἔχουσι δοῦναι λόγον καὶ ὑπὲρ τῆς πίστεως, καὶ ὑπὲρ τῶν διωγμῶν τῆς Ἐκκλησίας, καὶ τοσούτων κακῶν, καὶ φόνων τῶν ἐν ταῖς Ἐκκλησίαις ἕνεκεν αὐτῶν γεγενημένων, καὶ τῶν λαῶν τῶν ἐν ὑπαίθρῳ ἔτι δεῦρο τοσούτων μυριάδων θλίψιν ὑπομενουσῶν, καὶ ὑπὲρ αὐτοῦ τοῦ μακαρίτου Κωνσταντίου τοῦ ὑπ' αὐτῶν πεπλανημένου, καὶ ἀγνοήσαντος τὴν πίστιν τῆς ὀρθοδοξίας, καὶ ὑπείξαντος αὐτοῖς ὡς ἱερεῦσι κατὰ ἄγνοιαν, ἀγνοήσαντος τὴν ἐν αὐτοῖς πλάνην τῆς τυφλώσεως καὶ κακοπιστίας γενομένης ἐκ διαβόλου παρασκευῆς.

eademque ignorantia ad illorum se utpote sacerdotum illorum, ac cæcitas, depravataque fides, et ex diaboli

ΙΓ'. Δεύτερον ἔτι ἐνίσχυσε (88) τὸ τούτων ἑρπετῶδες ἐργαστήριον δι' Εὐσεβίου τοῦ ὑπεισδύντος, καὶ παραφθείραντος τὴν ἀκοὴν πάλιν Οὐάλεντος τοῦ θεοσεβοῦς βασιλέως, καὶ εὐλαβεστάτου, καὶ θεοφι-

XII. Redeo jam ad Arium, qui pessimi dæmonis afflatu pari linguæ immoderatione et impudentia os suum adversus Dominum efferre non dubitavit. Cum imprimis videlicet Salomonis illam in Proverbiis sententiam interpretari vellet: *Dominus creavit me principium viarum suarum; ante sæcula fundavit me, in initio antequam terram faceret, et antequam crearet abyssos; antequam prodirent fontes aquarum, antequam montes firmarentur, ante omnes colles genuit me*[2]. Hinc erroris sui introducendi occasionem nactus est. Nec illum ejusve discipulos puduit Verbum illud, quod omnia creavit, quod a Patre sine tempore initioque genitum est, creaturam dicere. Qua ex una voce deinceps in multa ac prava errorum diverticula conscleratam mentem immittens, nec ipse modo, sed ejus et doctrinæ sectatores infinitas in Dei Filium ac Spiritum sanctum contumelias conjicere non dubitarunt. Porro iidem illi sanctæ et orthodoxæ fidei, atque Ecclesiæ confertum veluti globum concordiamque solverunt, non ulla quidem ipsorum vi aut sapientia : pauci enim ab iis inducti, ac circumventi sunt; sed plerique, aut per simulationem obrepentes, aut vi coacti, cum longe aliud in animo foverent, socios se illis **737** adjunxerunt. Neque vero id aliunde conciliatum est, nisi quod ad fidelium probationem id a Deo permissum est. Accessit et imperatorum favor, cujus initium a Constantio imperatore profectum est. Qui cum cæteris in rebus perhumanus ac bonus esset, utpote magni illius, et in omni virtutis genere perfecti, religiosique Constantini filius, qui sinceram ex animo fidem constanter retinuit; sed et Constantius ipse pius alioquin, ac multis probitatis ornamentis præditus, hac una re aberravit, quod non impressa a parente fidei vestigia secutus est. Quod ipsum tamen non illius culpa factum, sed nonnullorum fraude, qui in die judicii rationem reddituri sunt; qui specie ac nomine tenus episcopi sinceram Dei fidem labefactarunt; a quibus procul dubio non ipsius modo fidei reddenda ratio est, sed insectationum Ecclesiæ omnium, ac tantarum calamitatum, et cædium, quæ in Ecclesias illorum causa derivatæ sunt; necnon et infinitorum hominum millium, quæ in hodiernum usque diem variis ærumnis extra urbes ac tecta conflictantur; postremo et beati quoque Constantii in errorem ab illis inducti, qui rectæ fidei regulam ignoravit, auctoritatem accommodavit, quod ipsum error profecta consilio lateret.

XIII. Accessit et alia causa, quæ huic serpentum officinæ plurimum adjecit virium, Eusebius scilicet, qui callide se insinuans, Valentis aures pii ac religiosi imperatoris, ac divini numinis aman-

[1] F. προσκλιθέντες. [2] Prov. VIII, 22 seqq.

(87) *Καὶ αὐτοῦ δὲ τοῦ Κωνσταντίου.* Simile huic, ac longe etiam honorificentius et uberius ejusdem imperatoris elogium exstat apud Nazianzenum in priore στηλιτευτικῷ : quod oratorio more, ac dicendi impetu, et calore profusum magis quam ex rei veritate profectum videtur.

(88) *Δεύτερον ἔτι ἐνίσχυσε.* Non ab Eusebio, sed ab Eudoxio, qui Constantinopolitanam sedem occuparat, baptizatus est Valens. Quare pro Εὐσεβίου, lege, Εὐδοξίου.

Digitized by Google

tissimi corrupit. Qui quod ab illo baptismo sit initiatus, ea causa videlicet fuit, cur hæc factio stabilis ac firma consisteret. Nam alioqui jamdudum vel a mulierculis ac puerulis, ne adultos commemorem, qui rectæ fidei ac religionis exactissima scientia præditi sunt, ab iis, inquam, qui vel tenuissima veritatis notitia perfusi sunt, primis temporibus confutati fugatique essent, tanquam et in Dominum contumeliosi, et alteri quidam illius interfectores, ac Domini nostri Jesu Christi perfectæ divinitatis eversores : id quod imperatoris favore ac patrocinio susceperunt, ut eorum omnium malorum auctores essent, quæ et hactenus exstiterunt, et hodieque per illos Alexandriæ, Nicomediæ, in Mesopotamia ac Palæstina concitantur, ubique præsente ac protegente principe.

A λοῦς. Ἐπειδὴ γὰρ παρ' αὐτοῦ τὸ λουτρὸν ἐκομίσατο, διὰ τοιαύτης ὑποθέσεως ἠδυνήθησαν οὗτοι στῆναι. Ἐπεὶ ἂν ἐκπαλαι καὶ ὑπὸ γυναικῶν καὶ παιδαρίων, οὐ λέγω περὶ τῶν ἐντελεστέρων, τῶν τὴν πᾶσαν ἀκρίβειαν τῆς θεοσεβείας καὶ πίστεως τῆς ὀρθῆς ἐπιγινωσκόντων, ἀλλὰ καὶ ὑπὸ τῶν τι ἀπὸ μέρους, κἂν τὸ τυχὸν τῆς ἀληθείας ἐπισταμένων· καὶ ἐλεγχόμενοι ἀπὸ τῶν παλαιῶν, ἐδιώκοντο, ὡς βλάσφημοι Δεσπότου, καὶ δεύτεροι κυριοκτόνοι τινὲς, καὶ ἀθετηταὶ τῆς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ ἐνθέου τελειότητος, διὰ τῆς τοῦ βασιλέως προστασίας· ὅπερ ἐστὶν ὑπερασπισμὸς αὐτῶν, εἰς τὸ ἐπιχειρεῖν πάντα τὰ κακὰ ὅσα γέγονε, καὶ ἔτι δι' αὐτῶν γίνεται ἐν Ἀλεξανδρείᾳ, καὶ ἐν Νικομηδείᾳ, ἐν Μεσοποταμίᾳ, ἐν Παλαιστίνῃ, [ἡ] τοῦ αὐτῶν παρόντος βασιλέως προστασία [7].

B

738 XIV. Quamobrem ex hac una voce, quæ in Proverbiis Salomonis legitur : *Dominus creavit me initium viarum suarum in opera sua* [1], cætera ab illis excogitantur, quæ utcunque ad illorum orationem accommodari possunt, et eamdem habere vim, ac consentanea esse videntur, cum tamen neque sermo ipse, nec reliqua verba de divinitate Filii Dei mentionem ullam ejusmodi faciant. Addunt et alia quædam his similia loca, velut quod ab Apostolo scriptum est : *Accipite pontificem confessionis vestræ, fidelem ei qui fecit ipsum* [2]; itera ex Joannis Evangelio : *Hic est de quo dixi vobis : Qui post me venit, ante me factus est* [3]; et in Actis apostolorum : *Notum vobis sit, omnis domus Israel, quod hunc Jesum quem vos crucifixistis, et Dominum et Christum Jesum Deus fecit* [4]. Ac si qua sunt generis ejusdem alia. Quæ omnia ad cautionem, et observationem, et propulsandos hostes in promptu esse debent. Hostes enim revera insidiatoresque sunt. Ac nescio an ad ipsos eorumque similes Scripturæ locus illo conveniat : *Exsurgat Deus, et dissipentur inimici ejus* [5], cum interim domestici esse videantur. Verum nullus est domestico hoste deterior : *Inimici enim hominis omnes domestici ejus* [6]. Quod ipsum fortassis et in istis locum habet.

ΙΔ'. Ἐκ ταύτης οὖν τῆς λέξεως τῆς ἐν τῷ παροιμιαστῇ γεγραμμένης, ὅτι *Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ*, λοιπὸν τὰ πάντα αὐτοῖς ἐπινοεῖται, ὅσα τε δύναται σύμφωνα τῷ λόγῳ εἶναι, καὶ ἰσορρόπει, καὶ δύναται συνᾴδειν, οὔτε αὐτοῦ τοῦ λόγου, οὔτε τῶν ἄλλων ῥημάτων περὶ τῆς θεότητος τοῦ Υἱοῦ τοῦ Θεοῦ τοιοῦτόν τι φασκόντων. Ἀλλὰ λοιπὸν ὅσα ἐστὶ τούτοις ὅμοια, τὸ ἐν τῷ Ἀποστόλῳ γεγραμμένον, τὸ, *Δέξασθε τὸν ἀρχιερέα τῆς ὁμολογίας ὑμῶν πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν*· καὶ ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ γεγραμμένον, ὅτι *Οὗτός ἐστι περὶ οὗ εἶπον ὑμῖν, ὅτι ὁ ὀπίσω μου ἐρχόμενος ἔμπροσθέν μου γέγονε*· καὶ τὸ ἐν ταῖς Πράξεσι γεγραμμένον, ὅτι *Γνωστὸν ὑμῖν ἔστω πᾶς οἶκος Ἰσραὴλ, ὅτι τοῦτον τὸν Ἰησοῦν, ὃν ἐσταυρώσατε, καὶ Κύριον καὶ Χριστὸν αὐτὸν ὁ Θεὸς ἐποίησε*. Καὶ ἄλλα τούτοις ὅμοια.

C

XV. Nam rabidorum canum more tanquam in inimicos insiliunt. Ita vero jactare et interrogare solent : Quid dicis de Dei Filio? Hæc nimirum illorum artificia sunt, quibus virus suum simpliciorum animis instillant. Quanquam quid ad hæc adjici potest, postquam Dei Filius appellatus est? O homines apud semetipsos sapientes, et opinione sua ac specie tenus eruditi! Quid est quod ad nomen Jesu possit accedere, nisi legitimus Patris Filius, ab eoque productus dicatur, nec ulla ratione diversus? Sed subinde cum risu ac ludibrio sic invadunt: Quomodo a Deo esse potest? Quod si quispiam sciscitetur sitne Filius necne, verbo quidem Filium esse confitentur, reipsa vero ac sententia

[8] Ὅπου γὰρ εἰς παρατήρησιν εἰς ἐχθρῶν ἄμυναν. Ἐχθροὶ γάρ εἰσιν ὡς ἀληθῶς καὶ ἐπίβουλοι. Τάχα γὰρ περὶ αὐτῶν γέγραπται, καὶ τῶν αὐτοῖς ὁμοίων, ὅτι *Ἀναστήτω ὁ Θεὸς, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ*. Δοκοῦσι δὲ καὶ οἰκειακοὶ εἶναι. Οὐδεὶς δὲ χείρων οἰκειακῶν ἐχθρῶν. *Ἐχθροὶ γὰρ τοῦ ἀνθρώπου ἅπαντες οἱ ἄνδρες τοῦ οἴκου αὐτοῦ*. Καὶ τοῦτο τάχα καὶ περὶ τούτων πληροῦται.

D

ΙΕ'. Ἀναπηδῶσι γὰρ ὡς λυσσητῆρες κύνες εἰς ἐχθρῶν ἄμυναν. Καί φασι· Πῶς λέγεις περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ; Ταῦτα γὰρ αὐτῶν ἐστι τὰ τεχνάσματα τῆς εἰσαγωγῆς τοῦ δηλητηρίου αὐτῶν πρὸς τοὺς ἀφελεῖς. Καὶ τί ἔνι μετὰ ταῦτα, μετὰ τὸ λέγειν Υἱὸν Θεοῦ; Ὦ συνετοὶ ἐν ἑαυτοῖς, καὶ ἐπιγνώμονες ἐνώπιον αὐτῶν, καὶ ἐπιστήμονες δοκοῦντες εἶναι! Τί ἔτι προσθείη τις τῷ ὀνόματι Ἰησοῦ, εἰ μή τι Υἱὸν γνήσιον λέγοι ἐκ Πατρὸς ὄντα, καὶ οὐκ ἠλλοιωμένον; Εἶτα εὐθὺς χλευαστικῶς ἀναπηδῶσι, λέγοντες· Πῶς δύναται εἶναι ἐκ Θεοῦ; Ἐρωτώμενοι δὲ, ὅτι Οὐκ ἔστιν Υἱός; τὸ μὲν Υἱὸς ὀνόματι ὁμολογοῦσι, τῇ δὲ δυνάμει καὶ διανοίᾳ ἀρνοῦνται, νόθον αὐτὸν παντάπασι βουλόμενοι λέγειν, καὶ οὐκ ἀληθινόν. Εἰ γὰρ, φασὶν, ἐκ Θεοῦ ἐστι, καὶ

[1] Prov. VIII, 22. [2] Hebr. III, 2. [3] Joan I, 27. [4] Act. II, 36. [5] Psal. LXVII, 2. [6] Matth. X, 36.
[7] Cor. προστασίᾳ. [8] Locus defectus aliquot verbis.

Digitized by Google

ἐγέννησεν ἐξ αὐτοῦ ὁ Θεὸς, ὡς εἰπεῖν, ἐξ ἰδίας ὑποστάσεως φύσει, ἢ ἐκ τῆς ἰδίας οὐσίας, οὐκοῦν ὠγκώθη, ἢ τομὴν ἐδέξατο, ἢ ἐν τῷ γεννᾷν ἐπλατύνθη, ἢ συνεστάλη, ἢ τι τῶν κατὰ τὰ πάθη τὰ σωματικὰ ὑπέστη. Καὶ τὸ πᾶν εἰσι χλευαζόμενοι, τὰ ἑαυτῶν εἰς τὸν Θεὸν ἀναλογοῦντες, καὶ ἀφ' ἑαυτῶν εἰκάσαι τὸν Θεὸν βουλόμενοι. Ἐν γὰρ Θεῷ οὐδὲν ἕνι τῶν τοιούτων· πνεῦμα γὰρ ὁ Θεὸς, καὶ ἀφ' ἑαυτοῦ ἐγέννησε τὸν Μονογενῆ ἀῤῥήτως, καὶ ἀκαταλήπτως, καὶ ἀχράντως. Πῶς οὖν, φησὶν, εἰ ἐκ τῆς οὐσίας αὐτοῦ ἐστιν, οὐκ οἶδε τὴν ἡμέραν, ὡς λέγει, καὶ τὴν ὥραν; *Περὶ δὲ τῆς ἡμέρας ἐκείνης ἢ τῆς ὥρας οὐδεὶς οἶδεν, οὔτε οἱ ἄγγελοι, οὔτε ὁ Υἱὸς, εἰ μὴ ὁ Πατὴρ μόνος.* Πῶς δὲ εἰς σάρκα ἦλθεν, εἰ ἔστιν ἐκ τοῦ Πατρός; πῶς δὲ ἐδύνατο ἡ ἀχώρητος ἐκείνη φύσις σάρκα ἐνδύσασθαι, εἰ ἦν ἐκ τοῦ Πατρὸς κατὰ φύσιν;

A negant, eumque spurium omnino, nec germanum affirmare student. Nam si, inquiunt, a Deo est, eumque Deus ex sese genuit, hoc est propria ex hypostasi, aut essentia, vel tumore distentus est, vel sectus, vel in generando dilatatus, aut contractus est, aut aliquam earum affectionum, quæ corporis propriæ sunt, sustinuisse dicendus est. Sed ridiculi plane sunt, dum naturam suam **739** ac conditionem in Deum transferunt, eumque ex seipsis fingere et adumbrare conantur. Nihil enim inest istarum rerum Deo : qui quidem Spiritus est, et unigenitum Filium arcana quadam ratione genuerit, quæ nec explicari verbis possit, nec cogitatione comprehendi, et ab omni labe ac macula remotissima sit. Verum instant : et Si ex ipsius, B inquiunt, essentia prodierit, quomodo judicii diem et horam, ut ipse testatur, ignorat? *De die*, inquit, *illo et hora nemo novit, neque angeli, neque Filius, nisi solus Pater* [1]. Ad hæc si ex Patre est, quomodo descendit ad carnem? aut quæ nulla re capi continerique natura potest, carnem induit, si naturaliter a Patre processit?

ΙϚ'. Καὶ οὐκ οἴδασι πῶς εἰς ἑαυτῶν αἰσχύνην τοὺς λογισμοὺς τούτους ἐπισυνάγουσιν. Εἰ γὰρ, διὰ τὸ ἠλοιῶσθαι αὐτὸν παρὰ τὴν τοῦ Πατρὸς οὐσίαν, ἐνεδύσατο σάρκα, καὶ ἐν αὐτῇ πέπονθε, καὶ ἐσταυρώθη· δειξάτωσαν ἡμῖν, τί τῶν ἄλλων πνευματικῶν κτισμάτων, καίτοιγε ὄντων, ἐνεδύσατο σάρκα. Οὐ γὰρ δύνανται μὴ οὐχ ὁμολογεῖν τὸν Υἱὸν ὑπὲρ πάντα. Κἂν τε κτίσμα αὐτὸν λέγοιεν, ὁμολογοῦσιν αὐτὸν ὑπὲρ ὅλα τὰ κτίσματα αὐτοῦ. Ἀλλὰ καὶ ὡς χαριζόμενοι C αὐτῷ, βούλονται αὐτὸν θεραπεύειν λόγῳ, ὥσπερ χειρὶ μιᾷ μὲν παίοντες, τῇ δὲ ἄλλῃ ἀλείφοντες. Τοῦτο γὰρ θέλουσιν ὥσπερ ἐξ ἰδίας προαιρέσεως αὐτῷ προσχαρίσασθαι. Καὶ λέγουσι· Κτίσμα μὲν λέγομεν, ἀλλ' οὐχ ὡς ἓν τῶν κτισμάτων, καὶ ποίημα, καὶ οὐχ ὡς ἓν τῶν ποιημάτων, καὶ γέννημα, καὶ οὐχ ὡς ἓν τῶν γεννημάτων· ἵνα ἐν τῷ εἰπεῖν, οὐχ ὡς ἓν τῶν γεννημάτων, ἀποστερήσωσιν αὐτὸν τῆς κατὰ φύσιν γεννήσεως· καὶ ἐν τῷ εἰπεῖν, οὐχ ὡς ἓν τῶν κτισμάτων, ἵνα ἀληθινὸν κτίσμα αὐτὸν ἀποφάνωσιν. Οἷον γὰρ ἐὰν ᾖ κτίσμα, κτίσμα ὑπάρχει· κἂν τε μυριανταπλάσιον ἐπάνω εἴη ὄνομα ἔχον, τὸ αὐτό ἐστι τοῖς πᾶσι κτίσμασιν ἐξισαζόμενον. Οὐ γὰρ ὅτι ἥλιος φαιδρότερος τῶν ἄλλων ἐστὶ, δύναται μὴ εἶναι κτίσμα, ὥσπερ καὶ ὁ λίθος· οὐδὲ ὅτι ἡ σελήνη ὑπερπαίει τὰ ἄστρα, D παρὰ τοῦτο οὐκ ἔστι τῶν κτισμάτων. *Ἰδοὺ γὰρ τὰ σύμπαντα δοῦλα σά.* Ὅσα γάρ ἐστιν, ἐξ αὐτοῦ ἐστιν ἐκτισμένα καὶ δοῦλα· ὁ δὲ Μονογενὴς ἀλήθειά ἐστι, καὶ ὁ λόγος αὐτοῦ ἀληθινὸς ὑπάρχει, ὡς ἔφη· *Ἐὰν ὑμεῖς μείνητε ἐν τῷ λόγῳ τῷ ἐμῷ, ἀληθῶς μαθηταί μού ἐστε, καὶ γνώσεσθε τὴν ἀλήθειαν, καὶ ἡ ἀλήθεια ἐλευθερώσει ὑμᾶς.* Εἰ δὲ ὁ λόγος αὐτοῦ ἀλήθεια ὑπάρχει, καὶ ἐλευθεροῖ τοὺς ἐλευθερουμένους, πόσῳ γε μᾶλλον αὐτὸς ἐλεύθερος ὑπάρχει, ἀλήθεια ὤν, καὶ ἐλευθερῶν τοὺς αὐτῷ πειθομένους ὄντας δούλους; διὰ τὸ σύμπαντα δοῦλα εἶναι αὐτοῦ, καὶ τοῦ Πατρὸς αὐτοῦ, καὶ τοῦ ἁγίου Πνεύματος αὐτοῦ.

XVI. Nec illud intelligunt, quanta sua cum infamia istiusmodi cogitationes suscipiant. Nam si propterea quod a Patris essentia diversus est, carnem induisse dicitur, in eaque passus et cruci suffixus, velim illud nobis ostendant, quænam ex spiritalibus creaturis alia (esse enim quasdam non dubium est) carnem sumpserit. Neque enim inficiari possunt Filium dignitate reliquis omnibus antecellere. Ac tametsi creaturam illum esse dicant, nihilominus omnibus ipsum creaturis ejus anteponunt; atque ita velut gratificandi causa verbis tenus demereri ac conciliare student : perinde ac qui altera manu verberant, altera inungunt. Quippe illud ipsum suapte sponte velut beneficii loco tribuunt, atque ita dictitant : nos creaturam quidem illum esse dicimus, sed non cæterarum creaturarum instar; item opificium esse credimus, sed non cujusmodi cætera opificia sunt; fetum insuper, non ut fetus alii sunt, ut cum cæterorum quæ gignuntur non instar esse dixerint, naturalem ei generationem detrahant; et cum minime alicujus ex creaturis similem asseruerint, veram illum creaturam esse definiant. Nam cujusquemodi creatura aliqua sit, creatura tamen est; ac licet infinitis partibus præstantius nomen obtineat, cum reliquis nihilominus creaturis adæquari necesse est. Nam neque sol, quod reliqua splendore superet, idcirco creatura non esse potest, perinde ac lapis; neque quod luna stellis splendidior sit, ob id a creaturarum rerum numerò secernitur : *Ecce enim* (ait Scriptura) *omnia serviunt tibi* [2] : quod quæcunque demum exsistunt, ab eo creata sint, eique serviunt; unigenitus vero Filius veritas est, ac verum Verbum : id quod ipse testatur. *Si*, inquit, *manseritis in verbo meo, vere discipuli mei eritis*, **740** *et cognoscetis veritatem, et veritas liberabit vos* [3]. Cum enim Dei Verbum veritas sit, eisque, qui in libertatem asseruntur, illam ipsam libertatem tribuat, quanto

[1] Marc. XIII, 32. [2] Psal. CXVIII, 91. [3] Joan. VIII, 31.

Digitized by Google

magis erit ipse liber, utpote qui sit veritas, cosque in libertatem ex servitute vindicet, qui sibi ipsi morem gerant? Quoniam omnia tam ipsi quam ejus Patri, Spiritui sancto serviunt.

XVII. Sed illud objiciunt : Quomodo se infudit in carnem, si ex Patris essentia processit? Dicant et ipsi cur angeli, qui ipsius servi sunt, carnem minime susceperint? cur nec archangeli, nec cœlestes exercitus, nec reliqui omnes spiritus? Quid quod et ii eum inferiorem esse Filio Spiritum affirmant, et alterius creaturam, nempe Verbi? Cur non igitur carnem Spiritus induit, cum ex Arii sententia multo magis sit illius quam Filii persona mutabilis? Verumeniuvero quod ille sapientia Patris esset, suamet ipsius perfectione imbecillitatem nostram suscipere voluit, ut hujus mundi salus illius beneficio compararetur. At illi bona in mala commutantes, ingratos sese præbent, tanti beneficii immemores, atque in Dominum suum contumeliosi penitus et injurii. Eodem modo et in cæteris ita de eo sentiunt, ut divinam in eo dignitatem imminuant. Quinam, inquiunt, esuriit, si ex Patris essentia prodiit? De Deo quippe scriptum est : *Non esuriet, neque sitiet; neque est investigatio sapientiæ illius* [1]. Hic autem et esuriit, et sitivit. Fatigari deinde ex itinere, aut sedere quomodo potuit cum scriptum sit : *Deus non laborabit* [2]? Cur vero ipse dixit : *Qui misit me Pater major me est* [3]? Alius est enim qui mittit, alius qui mittitur. Nec obscurum est Patrem non esse Filium, neque Filium esse Patrem. Non enim assentiri Sabellio possumus, qui Filium Patrem quasi unum eumdemque constituit. Alioqui non diceret : Alius est, qui misit me. Et : *Vado ad Deum meum, et Deum vestrum; Patrem meum et Patrem vestrum* [4]. Neque vero ex divina essentia naturaliter geniti sunt discipuli. Et iis tamen dixit : *Patrem vestrum.*

Verum qui ista jactitant intolerabili quodam furore et amentia feruntur. Etenim si solo nomine dicitur, nec natura Filius est, quantumvis dignitate superet, nihil ab reliquarum creaturarum conditione distat. Nam et rex licet 741 præfectis, ac militum magistris antecellat, non ideo non ejusdem est cujus cæteri conditionis, aut non eadem cum illis servitute contingitur, tanquam ex eadem creatione derivatus, et mortalis non secus ac qui sibi subjecti sunt. Similiter ex eo quod sol aut luna sideribus præstant reliquis, non idcirco obnoxia esse elementa desinunt, et unius conditoris et artificis, Patris, ac Filii et Spiritus sancti, moderatione subjecta. Neque quod angeli rebus omnibus aspectabilibus, adeoque creatis omnibus ordine ac dignitate præstantiores sunt, utpote qui sub aspectum cadere nequeant, et primum cultus erga divinum numen, et obsequii locum ac dignitatem obtineant; quem assidue hymnis ac laudibus celebrant; e quo et immortales non natura sunt, sed gratia conditi ab eo qui immortalis est, et in sese

IZ'. Εἶτα πάλιν λέγουσι· Πῶς ἐνεδήμησεν εἰς σάρκα, εἰ ἦν ἐκ τῆς τοῦ Πατρὸς οὐσίας; Εἰπωσι τοίνυν ἡμῖν, πῶς ἄγγελοι σάρκα οὐκ ἔλαβον, ὄντες δοῦλοι αὐτοῦ; πῶς ἀρχάγγελοι; πῶς στρατιαί; πῶς τὰ ἄλλα πάντα τὰ πνευματικά; Ἀλλὰ καὶ ὑποδεέστερόν φασιν εἶναι οἱ τοιοῦτοι τὸ Πνεῦμα, καὶ κτίσμα κτίσματος, ὡς αὐτοῦ τοῦ Λόγου. Πῶς οὖν τὸ Πνεῦμα οὐκ ἔλαβε σάρκα, δυνάμενον ἔχειν πρόσωπον τρεπτὸν ὑπὲρ τὸν Υἱὸν, κατὰ τὸν αὐτοῦ λόγον; Ἀλλ' ἐπειδὴ σοφία ἦν τοῦ Πατρὸς, ηὐδόκησε δι' ἑαυτοῦ τῆς τελειότητος τὸ ἡμέτερον ἀσθενὲς ἀναλαβεῖν, ἵνα δι' ἑαυτοῦ πᾶσα σωτηρία τῷ κόσμῳ γένηται. Τὰ δὲ ἀγαθὰ εἰς κακὰ μετατρέποντος ἀχαριστοῦσιν, ἀχάριστοι, καὶ ἀγνώμονες, καὶ Δεσπότου ἰδίου ὑβρισταὶ, καὶ βλάσφημοι. Τὰ δὲ ἄλλα λοιπὸν ὅσα λέγοντες, ἠλαττωμένως φρονοῦσι. Πῶς δὲ ἐπείνασεν, εἰ ἦν τῆς τοῦ Πατρὸς οὐσίας; Περὶ γὰρ τοῦ Θεοῦ γέγραπται· *Οὐ πεινάσει, οὐδὲ διψήσει· οὔτε ἔστιν ἐξεύρεσις τῆς φρονήσεως αὐτοῦ.* Οὗτος δὲ καὶ ἐπείνασε, καὶ ἐδίψησε. Πῶς κέκμηκεν ἐκ τῆς ὁδοιπορίας, καὶ ἐκάθισε, καὶ ὅτι *ὁ Θεὸς οὐ κοπιάσει*; Πῶς δὲ, φησὶν, εἶπεν, *Ὁ ἀποστείλας με Πατήρ μου μείζων μού ἐστιν*; Ἄλλος γὰρ ὁ ἀποστέλλων, ἄλλος δὲ ὁ ἀποστελλόμενος. Καὶ δῆλον, ὅτι ὁ Πατὴρ οὐκ ἔστιν ὁ Υἱὸς, καὶ ὁ Υἱὸς οὐκ ἔστιν ὁ Πατήρ. Οὐ γὰρ κατὰ τὸν Σαβέλλιον ἡμεῖς λέγομεν, τὸν λέγοντα υἱοπάτορα εἶναι [5]. Εἰ μὴ γὰρ εἶπεν, ὅτι Ἄλλος ἐστὶν ὁ ἀποστείλας με· καὶ, *Ἀπέρχομαι πρὸς τὸν Θεόν μου καὶ Θεὸν ὑμῶν, πρὸς τὸν Πατέρα μου καὶ Πατέρα ὑμῶν*, εἶπε. Καὶ οὐκ ἐκ τῆς τοῦ Θεοῦ οὐσίας οἱ μαθηταὶ κατὰ φύσιν ἐγεννήθησαν. Καὶ ἔλεγεν αὐτοῖς, *Πατέρα ὑμῶν.*

Πολλὴ δὲ φρενοβλάβεια τῶν τὰ τοιαῦτα λεγόντων. Εἰ γὰρ ὀνόματι μόνον καλεῖται, καὶ οὐκ ἔστι κατὰ φύσιν, οὐδὲν διαφέρει τῶν ἄλλων πάντων κτισμάτων, κἂν τε ἐν ὑπεροχῇ ἀξιώματος ὑπάρχει. Οὐ γὰρ ὅτι ὁ βασιλεὺς ὑπερέχει τῶν ἐπάρχων καὶ στρατηλατῶν, οὐ παρὰ τοῦτο οὐκ ἔστιν ὁμοιοπαθὴς τῶν ἄλλων, καὶ σύνδουλος τῆς αὐτῆς κτίσεως, θνητός τις ὢν, ὥσπερ καὶ οἱ ὑπ' αὐτοῦ ἀρχόμενοι. Καὶ οὐχ ὅτι ὁ ἥλιος ὑπερέχει τῶν ἄλλων ἄστρων, καὶ ἡ σελήνη ἐν μέρει, οὐ παρὰ τοῦτο οὐκ εἰσὶν ὑποτεταγμένα στοιχεῖα, καὶ τῇ τοῦ ἑνὸς διατάξει δημιουργοῦ τε καὶ κτίστου, Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος, ὑπείκοντα. Καὶ οὐχ ὅτι ἄγγελοι ὑπάρχουσι (89) τῶν ὁρατῶν, καὶ ἐν τάξει τῶν ἄλλων, μείζους πάντων εἰσὶν, οἷα δὴ ἀόρατοι κτισθέντες, καὶ τὸ πρῶτον γέρας τῆς τοῦ Θεοῦ θεραπείας ἀποκαρπούμενοι ἐν ὕμνοις διηνεκέσι· καὶ ἀθάνατοι κατὰ χάριν ὑπ' αὐτοῦ κτισθέντες, καὶ οὐ κατὰ φύσιν, ἀθάνατοί τε, φύσιν ἐξ αὐτοῦ τοῦ ἀθανάτου καὶ ὄντος ἐν ἑαυτῷ ζωὴ καὶ ἀθανασία καταξιωθέντες γενέσθαι, οὐ παρὰ τοῦτο οὐκ εἰσὶ φόβῳ καὶ τρόμῳ, καὶ ὑπὸ ἀπολογίαν, καὶ ἐξέτασιν, καὶ

[1] Isa. XL, 28. [2] ibid. [3] Joan. XIV, 28. [4] Joan. XX, 17. [5] Vitiosus hic locus.

(89) *Καὶ οὐχ ὅτι ἄγγελοι ὑπάρχουσι.* Scrib. ὑπερέχουσι.

Digitized by Google

κέλευσιν, καὶ προσταγὴν τῆς ἁγίας θεότητος δεδουλωμένοι.

ΙΗ'. Ἔνθεν γάρ ἐστι τὸ ζητούμενον τῆς ἀληθείας ἀκρίβασμα, τὸν Υἱὸν μὲν λέγειν, λέγειν δὲ καὶ ἔχειν οὐχ ἁπλῶς ὄνομά τι, ἀλλὰ Υἱὸν κατὰ φύσιν Υἱόν. Καὶ ἐν ἡμῖν γὰρ πολλοὶ καλοῦνται υἱοί, μὴ ὄντες ἡμῶν υἱοὶ κατὰ φύσιν. Οἱ δὲ ἀληθινοὶ υἱοὶ οἱ γνήσιοι καλοῦνται, οἱ κατὰ φύσιν ὑφ' ἡμῶν γεγεννημένοι. Καὶ εἰ μὲν οὖν Υἱὸς μόνον ἐκαλεῖτο, ὡς καὶ πάντες ἐκλήθησαν υἱοὶ Θεοῦ· ἄρα οὐδὲν διαλλάττει τῶν ἄλλων. Καὶ πῶς ὡς Θεὸς προσκυνεῖται; Ἔδει οὖν καὶ τὰ ἄλλα πάντα, ἐφ' οὓς τὸ ὄνομα τῆς υἱοθεσίας ἐπικέκληται, κατ' αὐτὸν προσκυνεῖσθαι, ἐπειδὴ υἱοὶ Θεοῦ προσαγορεύονται. Ἀλλὰ ἡ ἀλήθεια οὐκ ἔχει οὕτως, ἀλλ' οἶδεν ἀεὶ ἕνα μονογενῆ Υἱὸν Θεοῦ· ᾧ *πάντα λατρεύει καὶ προσκυνεῖ, καὶ πᾶν γόνυ κάμψει ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός*. Ἀλλ' οὔτε τὸ ἅγιον Πνεῦμα ἐξισοῦται τοῖς ἄλλοις πνεύμασιν· ἐπειδὴ ἓν ἐστι τὸ Πνεῦμα τοῦ Θεοῦ, Πνεῦμα ἐκ Πατρὸς ἐκπορευόμενον, καὶ τοῦ Υἱοῦ λαμβάνον. Οὗτοι δὲ βούλονται αὐτὸ εἶναι κτίσμα κτίσματος. Φασὶ γάρ, ὅτι πάντα δι' αὐτοῦ γέγονε, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν· ἄρα, φασὶ, καὶ τὸ Πνεῦμα ἐκ τῶν ποιημάτων ὑπάρχει· ἐπειδὴ *πάντα δι' αὐτοῦ γέγονε*. Καὶ ἀγνοοῦσιν οἱ μάτην ἑαυτῶν τὴν ψυχὴν ἀπολέσαντες, ὅτι ἄλλα ἐστὶ τὰ κτίσματα, καὶ ἄλλα τὰ κτιστὰ [1], Πατὴρ, καὶ Υἱὸς, καὶ ἅγιον Πνεῦμα, εἷς Θεὸς Τριὰς ἐν ἀληθείᾳ, καὶ μονὰς ἐν ἑνότητι. Διὰ τοῦτο γὰρ, ὅτι εἷς Θεὸς, ὅτι οὐ δύο Πατέρες, οὔτε δύο Υἱοὶ, οὔτε δύο Πνεύματα ἅγια· καὶ ἐπειδὴ οὐκ ἀλλότριος ὁ Υἱὸς τοῦ Πατρὸς, ἀλλ' ἐξ αὐτοῦ γεγεννημένος, καὶ οὐκ ἀλλότριον τὸ Πνεῦμα τὸ ἅγιον· ἀλλ' ὁ μὲν Υἱὸς μονογενὴς γεγεννημένος ἀνάρχως, ἀχρόνως, τὸ δὲ ἅγιον Πνεῦμα, ὡς οἶδεν αὐτὸς ὁ Πατὴρ καὶ ὁ Μονογενὴς, οὔτε γεννητὸν, οὔτε κτιστὸν, οὔτε ἀλλότριον Πατρὸς καὶ Υἱοῦ, ἀλλ' ἐκ Πατρὸς ἐκπορευόμενον, καὶ τοῦ Υἱοῦ λαμβάνον. *Τὸ Πνεῦμά μου γάρ*, φησὶν, *ἐφέστηκεν ἐν μέσῳ ὑμῶν*· καὶ, *Ἔχρισε τὸν Χριστὸν ἐν Πνεύματι ἁγίῳ*. Εἰ αὐτὸς ὁ Μονογενὴς χρίεται ἐν Πνεύματι, τίς ἐγκαλέσει τῇ ἁγίᾳ Τριάδι;

A vita ipsa est et immortalitas, immortalitate donati: non tamen propterea non metu ac tremore ita continentur ut, exigendæ a se rationi ac divinæ majestatis inquisitioni imperioque subjecti sint.

XVIII. Hinc igitur accurata illa, de qua quæstio est, veritatis repetenda ratio, ut cum Filium dicimus, non nudum penes illum residere vocabulum existimemus, sed esse natura Filium. Quippe ex usu quoque nostro plerosque filios nominamus, qui natura nequaquam filii nostri sint. At veri filii germani dicuntur, qui naturali a nobis generatione prodeunt. Quod si Filius duntaxat ea ratione Verbum nominatur, qua cæteri omnes filii Dei vocati sunt, nihil igitur ab aliis discrepabit. Quare cur tanquam Deus adoratur? Nam et illi quoque B omnes, ad quos nomen illud adoptionis convenit, adorandi illius opinione fuerant, cum Dei filii nuncupentur. Atqui longe aliter sese veritas habet, quæ singularem et unigenitum Dei Filium perpetuo cognovit, cui serviunt, quem adorant omnia, cui *omne genu flectetur cœlestium, terrestrium et infernorum, et omnis lingua confitebitur, quoniam Dominus Jesus Christus in gloria est Dei Patris* [2]. Neque vero Spiritus sanctus cum reliquis spiritibus adæquandus est, cum unus sit Dei Spiritus a Patre procedens [3], et de Filio accipiens [4]. At isti creaturæ hunc esse creaturam asserunt. Sic enim objiciunt: Cum omnia per ipsum facta sint, et sine ipso factum sit nihil [5]; ergo etiam Spiritus inter ejus opera numerandus est, **742** quoniam *per ipsum* C *facta sunt omnia*. Sed miseri homines, qui temere animas suas perdunt, illud ignorant: aliud esse creaturas, aliud Creatorem ipsum, Patrem, Filium et Spiritum sanctum unum Deum, qui revera Trinitas est, et in singularitate unitas. Quippe unus Deus est, non duo Patres, neque Filii duo, vel duo Spiritus sancti. Nec a Patre alienus est Filius; sed ab ipso genitus, nec alienus item Spiritus sanctus: ex quibus Filius unigenitus sine ullo initio vel tempore genitus; Spiritus autem sanctus eo modo quem Pater et Unigenitus cognoscunt, neque genitus neque creatus a Patre et Filio: sed a Patre procedens et de Filio accipiens. *Spiritus enim meus*, inquit, *stat in medio vestri* [6]; et: *Unxit Christum in Spiritu sancto* [7]. Si Unigenitus ipse Spiritu sancto inunctus dicitur, quis sanctissimam Trinitatem audebit incessere?

ΙΘ'. Εἶτα πάλιν φησὶν ὁ μανιώδης Ἄρειος· Πῶς εἶπεν ὁ Κύριος· *Τί με λέγεις ἀγαθόν; Εἷς ἐστιν ἀγαθὸς ὁ Θεός*; ὡς αὐτοῦ ἀρνουμένου τὴν ἀγαθότητα. Καὶ τίς ἄλλος οὕτως ἀγαθὸς ὡς ὁ Μονογενής; ὃς ἔδωκεν ἑαυτὸν ἀντίλυτρον τῶν ἡμετέρων ψυχῶν. Καὶ οὐκ οἴδασι Θεοῦ τὴν δύναμιν καὶ τὴν ἀγαθότητα, οὔτε τὴν οἰκονομίαν τῆς τοῦ Θεοῦ σοφίας, ψυχικοὶ ὄντες καὶ σαρκικοὶ, ἀνακρινόμενοι ἀπὸ ἁγίου Πνεύματος, κοῦφοι ὄντες ἀπ' αὐτοῦ, μὴ ἔχοντες τὴν τοῦ ἁγίου Πνεύματος δωρεάν. τὴν συφίζουσαν πάντα ἄνθρωπον. Πά-

D XIX. Pergit vero furiosus atque amens Arius, et cur, inquit, Dominus dixit: *Quid me dicis bonum? Unus est bonus Deus* [8]? quasi bonitatem a se his verbis abjudicet. Quanquam quis alius bonitate cum unigenito Dei Filio comparandus est, qui semetipsum redimendis animabus nostris pretium obtulit? Usque eo divinam vim et bonitatem ignorant; nec illius sapientiæ providentiam et administrationem intelligunt, animales homines, et in carnem altius immersi, qui a Spiritu sancto diju-

[1] Nisi mendum est, κτιστά pro κτίζοντα posuit. [2] Philipp. II, 10. [3] Joan. XV, 26. [4] Joan. XVI, 14, 15. [5] Joan. I, 3. [6] Agg. II, 6. [7] Act. X, 38. [8] Luc. XVIII, 19.

Digitized by Google

dicati, illiusque inanes et vacui, ejusdem munere ac beneficio carent, quo mortales omnes eruditi sapientes evadunt. Præterea cum filii, inquiunt, Zebedæi interventu matris suæ ab illo postulassent, ut in ipsius regno alter ad dexteram considerret, alter ad sinistram, ita illis respondit : *Nescitis quid petatis. Potestis bibere calicem, quem bibiturus sum?* Respondentibus illis : *Possumus;* subjecit : *Calicem quidem meum bibetis : sedere autem ad dexteram meam et sinistram non est meum dare vobis, sed quibus paratum est a Patre meo* [1]. Ad hæc Apostolus scribit : *Deus suscitavit illum a mortuis* [2]; tanquam suscitante aliquo opus fuerit. Quin etiam *apparuit illi angelus Domini confortans ipsum* [3]. Nam in agonia constitutus sudavit, et sudor ejus velut grumi sanguinis decidit; ut Lucæ Evangelio proditum est, cum in secessu paulo antequam Judæis traderetur oraret. **743** Sed et in cruce dicebat, inquiunt : *Eli, Eli, lama Sabacthani.* Hoc est : *Deus meus, Deus meus, utquid me dereliquisti* [4]? Vides, aiunt, quemadmodum alterius opem desideret? Quod vero ad illa verba pertinet : *Ego in Patre et Pater in me est* [5]; itemque : *Duo unum sumus, ut et ipsi unum sint* [6]; ita, inquiunt, unum se esse dicit, ut non ad naturam, sed ad voluntatum concordiam sit unitas illa referenda. Neque hoc errore contenti, negant insuper humana illum anima præditum fuisse. Quod certo consilio ita præstruunt, ut veram ex Maria Virgine carnem, reliquaque quæ sunt hominis propria, illum accepisse fateantur, si unam animam excipias : nimirum ut, cum famem, aut sitim, aut labores, itinera, sudorem, somnum, indignationem audieris ac dixeris, propter humanam quam assumpserat naturam opus illis habuisse, statim objicere possint, per sese hæc præstare carnem, nisi anima prædita sit, non posse. Et quidem vere hoc ab illis dicitur. Quid est igitur, inquiunt, aliud, quam quod his omnibus illius divinitas indigebat? Ut, cum indigere divinitatem ipsius dixerint, velut peregrinum eumdem pronuntient, et a Patris essentia ac natura prorsus alienum. Ego vero ita omnino statuo : postquam pauca illa perperam ab his excogitata, et intellecta testimonia refutata eversaque fuerint, cum veritas omnis manifeste prædicata, atque in orthodoxa fide et religione corroborata fuerit, apud prudentes et sapientes viros divinaque mente præditos nullo negotio convincendos esse, quantumvis, arcessitos undique sententias in medium asserant. Siquidem vim habent, explicabuntur.

XX. Exordiar igitur ab illo Salomonis dicto, quam amarissimam dogmatis sui radicem serere posse sibi persuaserunt : *Dominus creavit me initium viarum suarum in opera sua* [7]. Quem locum nusquam Scriptura repetendo confirmavit, aut apostolorum quisquam commemoravit, ut ad Christum accommodaret. Quamobrem de Filio Dei

A λιν δὲ αἰτοῦνται αὐτὸν, φησὶν, οἱ υἱοὶ Ζεβεδαίου διὰ τῆς αὐτῶν μητρὸς τὸ ἐν τῇ βασιλείᾳ αὐτοῦ ἕνα καθίσαι ἐκ δεξιῶν καὶ ἕνα ἐξ εὐωνύμων. Καὶ ἔφη αὐτοῖς· *Οὐκ οἴδατε τί αἰτεῖσθε. Δύνασθε πιεῖν τὸ ποτήριον ὃ μέλλω πίνειν;* Αὐτῶν δὲ φησάντων, Ναί· ἔφη πρὸς αὐτούς· *Τὸ μὲν ποτήριόν μου πίεσθε, τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἀριστερῶν, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται παρὰ τοῦ Πατρός.* Εἶτά φησιν ὁ Ἀπόστολος· *Ὁ Θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν·* ὡς αὐτοῦ χρείαν ἔχοντος τοῦ ἐγείραντος αὐτόν· καὶ ὅτι, φησὶν, *ἐφάνη ἄγγελος Κυρίου ἐνισχύων αὐτόν·* ὅτι ἐν ἀγωνίᾳ γέγονε καὶ ἵδρωσε, καὶ ὁ ἱδρὼς αὐτοῦ γέγονεν αὐτῷ ὡς θρόμβοι αἵματος, ἐν τῷ κατὰ Λουκᾶν Εὐαγγελίῳ, ὅτε ἀπελθὼν ηὔχετο μέλλων παραδίδοσθαι. Καὶ πάλιν ἐν τῷ σταυρῷ, φησὶν, ἔλεγεν· *Ἠλί, Ἠλί, λαμμᾶ σαβαχθανί;* τουτέστι· *Θεέ μοι, Θεέ μου, ἵνα τί με ἐγκατέλιπες;* Καὶ ὁρᾷς, φησὶν, ὡς ἐπιδέεται βοηθείας; ἀλλὰ περὶ τοῦ λέγειν, *Ἐγὼ ἐν τῷ Πατρί, καὶ ὁ Πατὴρ ἐν ἐμοί·* καὶ ὅτι *Οἱ δύο ἕν ἐσμεν, ἵνα καὶ αὐτοὶ ἕν ὦσιν·* ὥστε οὖν τὸ ἓν εἶναι πάντως οὐ κατὰ φύσιν λέγει, ἀλλὰ κατ' ὁμόνοιαν. Οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ἀρνοῦνται ψυχὴν αὐτὸν ἀνθρωπείαν εἰληφέναι, αὐτὸ τοῦτο προκατασκευάζοντες. Σάρκα γὰρ ὁμολογοῦσιν ἀληθινὴν ἀπὸ Μαρίας αὐτὸν ἐσχηκότα, καὶ πάντα ὅσα ἐστὶν ἐν τῷ ἀνθρώπῳ χωρὶς ψυχῆς· ἵνα, ὅταν ἀκούσῃς περὶ πείνης, ἢ δίψης, ἢ καμάτου, ἢ ὁδοιπορίας, ἢ ἱδρῶτος, ἢ ὕπνου, ἢ ἐμβριμήσεως, καὶ εἴπῃς, ὅτι διὰ τὴν ἐναν-

B θρώπησιν τούτων ἐπεδέετο, λέξωσί σοι ὕστερον, ὅτι σὰρξ καθ' ἑαυτὴν ταῦτα οὐκ ἐνεργεῖ, ἐὰν μὴ ἔχῃ τὴν ψυχήν. Καὶ γὰρ τῷ μὲν ὄντι οὕτως ἐστί. Τί οὖν ἐστι, φησὶν, ἀλλά τι ἡ θεότης αὐτοῦ ἐπεδέετο; ἵνα, ὅτε εἴπωσι τὴν θεότητα αὐτοῦ ἐπιδεομένην, ξένον ἀποφάνωσιν αὐτὸν, καὶ ἀλλότριον τῆς τοῦ Πατρὸς οὐσίας τε καὶ φύσεως ἀληθινῆς. Νομίζω δὲ τῷ σύνεσιν κεκτημένῳ ἀπὸ μιᾶς, ἢ δύο μαρτυριῶν, ἢ πέντε τῶν κακῶς παρ' αὐτοῖς ἐπινενοημένων καὶ ἐλεγχομένων, καὶ ἀνατρεπομένων, τῆς πάσης ἀληθείας κηρυττομένης, καὶ σαφῶς ἐν τῇ πίστει τῆς ὀρθοδοξίας βεβαιουμένης, ἐλεγχθήσονται παρὰ τοῖς προειρημένοις, νοῦν θεῖκὸν κεκτημένοις, κἂν τε μετὰ ταύτας τὰς ἐπιλύσεις ἐπινενοημένας λέξεις μυρίας ἄλλας ἐνέγκωσιν.

D Ἀπὸ γὰρ τῶν ὀλίγων αἱ πλεῖσται λυθήσονται, τὴν ἴσην δύναμιν φέρουσαι.

Κ'. Καὶ ἄρξομαι πρῶτον τοῦ λέγειν, ὅθεν διέλαθον κακῶς φυτεύειν τὴν τῆς πικρίας αὐτῶν ῥίζαν τοῦ λόγου, τοῦ ὑπὸ Σολομῶντος εἰρημένου, τὸ, *Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ.* Καὶ οὐ πάντως που ἐβεβαίωσε Γραφὴ, οὐδὲ ἐμνήσθη τις τῶν ἀποστόλων τῆς λέξεως ταύτης, ἵνα παραγάγῃ αὐτὴν εἰς ὄνομα Χριστοῦ. Ὥστε οὖν οὐ πάντως περὶ τοῦ Υἱοῦ

[1] Matth. xx, 22. [2] Rom. x, 9. [3] Luc. xxii, 43 sqq. [4] Marc. xv, 34. [5] Joan. xiv, 10. [6] Joan. xvii, 23. [7] Prov. viii, 12.

Digitized by Google

τοῦ Θεοῦ λέγει, κἂν τε εἴπῃ, ὅτι *Ἐγὼ ἡ σοφία κατεσκήνωσα βουλὴν καὶ γνῶσιν, καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην.* Πόσαι γάρ εἰσι καταχρηστικῶς λεγόμεναι Θεοῦ σοφίαι; Μία δὲ ὁ Μονογενής, οὐχὶ καταχρηστικῶς λεγόμενος, ἀλλ' ἐν ἀληθείᾳ. Τὰ πάντα γὰρ Θεοῦ σοφία· καὶ ὅσα ἐστὶν ἀπὸ τοῦ Θεοῦ, σοφία ἐστίν· ἄλλη δὲ ἰδιάζουσα, καὶ ὑπὲρ πάντα οὖσα, τουτέστιν ὁ Μονογενής, ὁ μὴ καταχρηστικῶς ὢν σοφία, ἀλλ' ἀληθείᾳ, ὁ σὺν Πατρὶ ἀεὶ ὤν, ὁ δύναμις ὢν Θεοῦ καὶ σοφία, κατὰ τὸ γεγραμμένον· Ἡμῖν δὲ Χριστὸς δύναμις Θεοῦ, καὶ Θεοῦ σοφία. *Ἔστι δὲ σοφία πέρητος ἐξουθενημένη·* καὶ, *Ἐπειδὴ ἐν τῇ σοφίᾳ τοῦ Θεοῦ οὐκ ἔγνω ὁ κόσμος τὸν Θεὸν, ηὐδόκησε διὰ τῆς μωρίας τοῦ Εὐαγγελίου σῶσαι τοὺς πιστεύοντας·* καὶ, *Ἐμώρανεν ὁ Θεὸς τὴν σοφίαν τοῦ κόσμου τούτου·* καὶ, *Ἔδωκεν ὁ Θεὸς καρδίαν τῷ Σολομῶντι, ὡς τὸ χύμα τῆς θαλάσσης· καὶ ἐσοφίσατο ὑπὲρ τοὺς υἱοὺς Ἐνάκ·* καὶ, *Ἔδωκεν ὁ Θεὸς τῷ Βεσελεὴλ σοφίαν· καὶ ἐνέπλησεν ὁ Θεὸς σοφίας τῶν*[1] *Οὐρί.* Καὶ πολλὰ ἔστι περὶ σοφίας λέγειν. Καὶ, *Ποῖός ἐστι τόπος ἐρευνήσεως, καὶ ἡ σοφία πόθεν εὑρέθη;*

A nullo modo loquitur, quamvis ista subjiciat : *Ego sapientia habitavi in consilio, et scientiam, et intelligentiam advocavi*[2]. Quam enim multæ quodam vocis abusu Dei sapientiæ nominantur? Sed una est præ omnibus, qui Unigenitus appellatur, quæque hoc nomen reipsa, non **744** vocis abusione, sibi vindicat. Etenim omnia, quæ ad Deum pertinent, sapientia sunt quæque ab illo proficiscuntur; sed alia tamen est proprie dicta omniumque suprema, Dei videlicet unigenitus Filius, qui non accommodatione vocis, sed ex rei veritate sapientia dicitur : qui est cum Patre perpetuo, utpote Dei virtus, et sapientia. Quemadmodum scriptum est : Nobis autem Christus Dei virtus et Dei sapientia[3]. Item : *Sapientia vero pauperis est contempta*[4]; *Quoniam in sapientia Dei non cognovit mundus Deum; placuit per stultitiam Evangelii salvos facere credentes*[5]; et : *Stultam fecit Deus sapientiam mundi hujus*[6]. Item : *Dedit Deus cor Salomoni, tanquam latitudinem maris. Et sapientior erat filiis Enac*[7]. Item : *Dedit Deus Beseleeli sapientiam; implevit Deus sapientia filium Uri*[8]. Plura de sapientia commemorari possunt, cujusmodi illud est : *Quis est locus prudentiæ? et sapientia unde inventa est*[9]?

B

C

Κἂν τε οὖν αὕτη ἡ ἀδομένη σοφία λέγῃ· *Ἐγὼ ἡ σοφία κατεσκήνωσα βουλὴν καὶ γνῶσιν· ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Δι' ἐμοῦ βασιλεῖς βασιλεύουσι, καὶ δι' ἐμοῦ μεγιστᾶνες μεγαλύνονται, καὶ δυνάσται γράφουσι δικαιοσύνην, καὶ τύραννοι κρατοῦσι γῆς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, καὶ οἱ ἐμὲ ζητοῦντες εὑρήσουσί με. Πλοῦτος καὶ δόξα ἐμοὶ ὑπάρχει, καὶ κτῆσις πολλῶν, καὶ δικαιοσύνη· ἐν ὁδῷ δικαιοσύνης περιπατῶ, καὶ ἀναμέσον ὁδῶν δικαιώματος ἀναστρέφομαι, ἵνα μερίσω τοῖς ἀγαπῶσί με ὕπαρξιν, καὶ τοὺς θησαυροὺς αὐτῶν ἐμπλήσω ἀγαθῶν. Ἐὰν ἀναγγείλω ὑμῖν τὰ καθ' ἡμέραν γινόμενα, μνημονεύσω τὰ ἐξ αἰῶνος ἀριθμῆσαι. Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ· πρὸ τοῦ αἰῶνος ἐθεμελίωσέ με ἐν ἀρχῇ, πρὸ τοῦ τὴν γῆν ποιῆσαι, καὶ πρὸ τοῦ τὰς ἀβύσσους ποιῆσαι, πρὸ τοῦ προελθεῖν πηγὰς τῶν ὑδάτων, καὶ πρὸ τοῦ ὄρη ἑδρασθῆναι, πρὸ δὲ πάντων βουνῶν γεννᾷ με,* καὶ τὰ ἑξῆς· δῆλον, ὅτι, βουλομένων τινῶν ἀντιλέγειν τῇ λέξει, ἀνθυποφορᾷ χρῶνται οἱ δι' ἐναντίας διὰ τὸ ὄνομα τῆς σοφίας, καὶ τῆς ἀκολουθίας τοῦ λόγου τοῦ λέγοντος· *Κύριος ἔκτισέ με·* καὶ τῷ εἰπεῖν· *Ἐγὼ ἡ σοφία κατεσκήνωσα βουλήν.* Ὅτι ἰδοὺ ἡ σοφία ἀπαρχῆς ἑαυτὴν ὀνομάσασα, καὶ προβαίνουσα καθ' ἑξῆς ἑαυτὴν σημαίνει λέγουσα· *Κύριος ἔκτισέ με.* Ἰδοὺ γὰρ λέγει ἄνω· *Ἐγὼ ἡ σοφία·* καὶ κάτω λέγει· *Ἐὰν ἀναγγείλω ὑμῖν τὰ καθ' ἡμέραν γινόμενα, μνημονεύσω τὰ ἐξ αἰῶνος ἀριθμῆσαι.* Καὶ τί φησι· *Κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ;*

Cum igitur hæc ipse quæ celebratur sapientia dicat[10] : *Ego sapientia habito in consilio, et scientia, et intelligentiam advocavi. Per me reges regnant : per me magnates amplitudinem consequuntur, et dynastæ justa describunt, et principes terræ dominantur. Ego diligentes me diligo, et qui me quærent, invenient me. Divitiæ et gloria mihi suppetunt, et possessio multa, et justitia; in via justitiæ ambulo, et in medio viarum justitiæ versor, ut dividam diligentibus me substantiam, et thesauros illorum repleam bonis. Si nuntiavero vobis quæ quotidie fiunt, commemorabo quæ a sæculo sunt, ut numerem. Dominus creavit me initium viarum suarum, in opera sua. Ante sæculum fundavit me initio, antequam terram faceret, et antequam crearet abyssos. Antequam prodirent fontes aquarum, et antequam montes firmarentur, ante omnes colles genuit me,* etc. Cum hæc igitur sapientiæ tribuantur, manifestum est, cum adversus allatum hunc locum aliquid objicitur, occurrere statim adversarios tam nomine ipso sapientiæ, quam sermonis consequentia fretos : *Dominus creavit me;* tum quod additum sit : *Ego sapientia habito in consilio.* Ecce, inquiunt, sapientia, quæ semetipsam initio nominavit, deinceps progressa se ipsam significat, dicens : *Dominus creavit me.* Nam et ante dixit : *Ego sapientia;* et paulo post : *Si nuntiavero vobis quæ quotidie fiunt, commemoravero quæ a sæculo* **745** *sunt, ut enumerem.* Cur igitur dicit : *Dominus creavit me initium viarum suarum?*

D

ΚΑ'. Ἔφημεν δὲ, ὅτι πολλαί τινες αἱ καταχρηστικῶς κατὰ καιρὸν ἐκ Θεοῦ δοθεῖσαι σοφίαι· ὅτι

XXI. Sed nos antea monuimus multa esse sapientiæ genera, quæ identidem a Deo tribuuntur,

[1] Leg. τόν. [2] Prov. VIII, 12. [3] 1 Cor. I, 24. [4] Eccle. IX, 16. [5] 1 Cor. I, 21. [6] ibid. 20. [7] III Reg. IV, 29. [8] Exod. XXXV, 30. [9] Job XXVIII 12. [10] Prov. VIII, 12 sqq.

Digitized by Google

quibus hæc appellatio abusione quadam convenit: quippe Deus omnia sapientia perficit. Sed unica tamen ac singularis est illa Patris sapientia, ac subsistens Dei Verbum. Neque vero illo sapientiæ vocabulo constringor, ut ad Dei Filium referri putem oportere. Non enim id aut a Salomone significatum, aut ab apostolo aliquo declaratum, aut in Evangelio est expressum. Quod si de Dei Filio utcunque accipiendum videtur, non est tamen eadem vocabuli vis, neque ex simplici verborum sono de eo judicandum est. Nam cum totus ille liber ex proverbiis contextus sit, quidquid autem per proverbium effertur, aliud verbis præ se ferat, aliud sensu ipso per allegoriam significet; si fuerit illa, quam isti putant, Salomonis mens, et ad Dei Filium referre nonnulli audeant: primum de divinitate ipsius intelligere omnino nefas est; deinde, si forte, ad assumptam ab eo hominis naturam convenire poterit. Quandoquidem: *Sapientia ipsa sibi domum exstruxit*[1]. Quod si ita est, ab humana natura dictum existimari salva pietate potest, quæ de divinitate sua loquatur: *Dominus creavit me*, hoc est, ædificavit me in utero Mariæ, *initium viarum suarum, in opera ipsius*. Initium quippe viarum, et adventus in hunc mundum Christi, corpus ejus est ex Maria sumptum, ad justitiæ et salutis opus ascitum. Verum facile mente captus aliquis, et gravi illo tanquam vulnere sauciatus, quique in Dei Filium animi quodam odio feratur, ulterius prosiliendi ex eo ansam arripiet, quod sequitur: *Si nuntiavero vobis quæ quotidie fiunt, commemoravero quæ a sæculo sunt, ut enumerem.* Vides, inquiunt, quod dixit, *a sæculo*. Atqui illa carnis assumptio nonnisi post duas et sexaginta generationes Matthæo teste[2] contigit. Qui possunt igitur quæ ab initio, atque ab æterno fuerunt, ab illo commemorari?

XXII. Verum cæci homines, ac tota via veritatis aberrantes, hanc esse Scripturæ consuetudinem ignorant, ut quæcunque docere velit, non ab antiquissimis temporibus repetat, aut ab ipso capite, ut ita dicam, arcessat, sed ab iis, quæ proxima sunt, ut quod antea exstiterit postremum **748** appellet. Atque ea causa est cur dixerit: *Si nuntiavero vobis quæ quotidie fiunt;* deinde, *commemorabo quæ a sæculo sunt:* qua etiam Moysi primum Deus ardentem ignem ostendit[3]; pauloque post in medio rubi incendio visum illud oblatum est. Tum angelus ei subinde locutus est; ac postea Dominus ex rubo similiter affatus est. At ipse non ea subinde quæ videbantur alloquens requirit; sed de his quæ ab initio fuerant, interrogat. *Veni*, inquit, *et mittam te ad filios Israel, et dices ad eos: Deus patrum vestrorum misit me, Deus Abraham, Deus Isaac, et Deus Jacob*[4]. Ubi Abrahamum nominavit, qui Moysem quinque aut sex generationibus antecessit. Cum autem *Deum patrum*, dixit, quod antiquum erat indicavit. At Moyses singulari quadam prudentia Dei

A πάντα ὁ Θεὸς ἐν σοφίᾳ ἐπιτελεῖ. Μία δέ ἐστιν ἡ οὖσα σοφία τοῦ Πατρὸς, καὶ ἐνυπόστατος Θεὸς Λόγος. Αὐτὸ γὰρ τὸ ῥῆμα οὐ πάντως ἀναγκάζει με περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ λέγειν. Οὐ γὰρ ἐδήλωσεν, οὐδέ τις τῶν ἀποστόλων ἐμνημόνευσεν, ἀλλ' οὔτε τὸ Εὐαγγέλιον. Εἰ δὲ ἄρα περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ τοῦτο ἐλαμβάνετο, οὐκ ἔστι ταυτὸν τὸ ῥῆμα, οὔτε πρὸς εὐθεῖαν κρίσιν κείμενον. Ὅλη γὰρ ἡ βίβλος παροιμίαι εἰσί· πᾶν δὲ τὸ παροιμιαζόμενον οὐ ταυτόν ἐστι τῇ δυνάμει, ἀλλὰ ἄλλῃ μὲν ῥήσει διηγεῖται, ἄλλῃ δὲ δυνάμει ἀλληγορεῖται. Εἰ τοίνυν τοῦτο λέγει, καὶ τολμῶσί τινες ἐπὶ τὸν Υἱὸν τοῦ Θεοῦ τοῦτο φέρειν, μὴ γένοιτο! ἐπὶ τῇ θεότητι αὐτοῦ τοῦτο οὐ φέρεται τὸ ῥῆμα. Εἰ δὲ, δύναται ἐν τῇ ἐνσάρκῳ αὐτοῦ πληροῦσθαι παρουσίᾳ. Ἐπειδὴ γάρ· *Αὐτὴ*
B *ἡ σοφία ᾠκοδόμησεν ἑαυτῇ τὸν οἶκον·* καὶ εἰ ἄρα ἀπὸ προσώπου τῆς αὐτοῦ ἐνανθρωπήσεως εὐσεβῶς λεχθείη, ὡς ἡ ἔνσαρκος αὐτοῦ παρουσία περὶ τῆς αὐτοῦ θεότητος φάσκει, τὸ, *Κύριος ἔκτισέ με*, τουτέστιν, ᾠκοδόμησέ με ἐν γαστρὶ Μαρίας, *ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ*. Ἀρχὴν γὰρ ὁδῶν τῆς καθόδου Χριστοῦ εἰς τὸν κόσμον τὸ σῶμα ἐκ Μαρίας τὸ ληφθὲν ἐν τῷ ἔργῳ αὐτοῦ τῆς δικαιοσύνης καὶ σωτηρίας. Ἀλλὰ πάντως προπηδήσειεν ὁ τὴν καρδίαν βεβλαμμένος, καὶ τὴν δεινὴν ταύτην πληγὴν πεπληγμένος, περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ ἔχων τὴν ἔχθραν ἐν τῇ διανοίᾳ· ὅτι, φησὶν, εἶπεν· *Ἐὰν*
C *ἀναγγείλω ὑμῖν τὰ καθ' ἡμέραν γινόμενα, μνημονεύσω τὰ ἐξ αἰῶνος* [*καὶ*] *ἀριθμῆσαι.* Καὶ ὁρᾷς, ὅτι *ἐξ αἰῶνος* λέγει· ἡ δὲ ἔνσαρκος Θεοῦ παρουσία μετὰ ἑξήκοντα δύο γενεὰς (90) κατὰ τὸν Ματθαῖον ἦλθε· πῶς οὖν δύναται τὰ ἐξ ἀρχῆς αἰῶνος τοῦτο λέγεσθαι; πῶς οὖν δύναται τὰ ἐξ ἀρχῆς αἰῶνος τοῦτο λέγεσθαι; ἐπειδὴ μετὰ δύο καὶ ἑξήκοντα γενεὰς ἡ σάρκωσις τοῦ Λόγου ἐγένετο κατὰ τὸν Ματθαῖον.

ΚΒ'. Καὶ οὐκ οἴδασιν οἱ τὴν πᾶσαν ὁδὸν τῆς ἀληθείας πεπλανημένοι, ὅτι ἀεὶ ἡ θεία Γραφὴ πάντα ὅσα βούλεται διδάσκειν ἄρχεται διηγεῖσθαι, οὐκ εὐθὺς εἰς τὸ ἀρχαῖζον, καὶ, ὡς εἰπεῖν, εἰς τὸ κεφάλαιον ἐπιβάλλεται, ἀλλ' ἀπὸ τῶν ἐγγυτάτων ἄρχεται, ἵνα τὸ προὸν ἔσχατον σημαίνῃ. Διὰ τοῦτο γὰρ καὶ εἶπεν· *Ἐὰν ἀναγγείλω ὑμῖν τὰ καθ' ἡμέραν γινόμενα,* ἀπὸ τούτων δὲ, *Μνημονεύσω*[5] *καὶ τὰ ἐξ αἰῶνος·* ὡς καὶ τῷ Μωϋσεῖ ἐσήμανεν ὁ Θεὸς πρῶτον τὸ πῦρ
D καιόμενον, καὶ ἐν πυρὶ βάτου γέγονεν ἡ ὀπτασία τὸ ἔναγχος. Ἄγγελος δὲ αὐτῷ λελάληκεν εὐθέως· μετέπειτα δὲ Κύριος ἀπὸ τῆς βάτου. Ὁ δὲ πρὸς αὐτὸν εὐθὺς οὐ τὰ ὁρώμενα ζητεῖ, ἀλλὰ τὰ ἀπαρχῆς ἐρωτᾷ. Δεῦρο γὰρ, φησὶν, *ἀποστείλω σε πρὸς τοὺς υἱοὺς Ἰσραὴλ, καὶ ἐρεῖς πρὸς αὐτοὺς, ὅτι Ὁ Θεὸς τῶν πατέρων ἡμῶν ἀπέσταλκέ με, ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακὼβ,* πρὸ γενεῶν τοῦ Μωϋσέως πέντε ἢ ἓξ ὀνομάσας τοὺς περὶ Ἀβραάμ. Καὶ ἐπειδὴ εἶπε *Θεὸν τῶν πατέρων*, τὸ ἀρχαῖον ἀπεφήνατο. Ὁ δὲ Μωϋσῆς, συνέσει ἐκ Θεοῦ κεχαριτωμένος, ἠρώτα οὐ ταῦτα, ἀλλὰ καὶ τὸ ἔτι

[1] Prov. IX, 1. [2] Matth. I, 1 sqq. [3] Exod. III, 2 sqq. [4] ibid. 13 sqq. [5] Cor. μνημονεύσω.

(90) *Μετὰ ἑξήκοντα δύο γενεάς.* Ab Adamo ad Abrahamum γενεαί sunt XX; ab Abrahamo ad Christum XLII, hoc est ter quatuordecim.

Digitized by Google

ἀνώτατον, ὅτι *Ἐὰν ἀπέλθω πρὸς αὐτούς, καὶ εἴπωσι πρός μέ· Τί αὐτῷ ὄνομα; τί ἐρῶ πρὸς αὐτούς;* Ὁ δὲ λοιπὸν ἀποκαλύπτει· *Ἐγώ εἰμι ὁ ὤν.* Καὶ τὰ μὲν πρῶτα ἀπὸ τῶν ἐγγυτάτων ἤρξατο, εἰς ἔσχατον δὲ τὸ ἀνώτατον ἐδήλου. Ἀλλὰ καὶ ὁ Λουκᾶς ἄρχεται ἀπὸ τῶν κάτω καὶ ἐγγυτάτω, ὅτι *Ἦν αὐτὸς ὁ Ἰησοῦς ἀρχόμενος ὡς ἐτῶν τριάκοντα, ὢν υἱός, ὡς ἐνομίζετο, τοῦ Ἰωσὴφ, τοῦ Ἡλὶ, τοῦ Ματθὰτ, τοῦ Νάθαν, τοῦ Δαβὶδ, τοῦ Ἰούδα, τοῦ Ἰακὼβ, τοῦ Ἀβραὰμ, τοῦ Ναχὼρ, τοῦ Νῶε, τοῦ Λάμεχ, τοῦ Ἐνὼχ, τοῦ Σὴθ, τοῦ Ἀδὰμ, τοῦ Θεοῦ.* Καὶ ὁρᾷς, πῶς τὴν ἔνσαρκον παρουσίαν πρῶτον ἔδειξεν, ἔπειτα τὸ ἔσχατον. Διὸ καὶ Ματθαῖος κατὰ τὴν ἔνσαρκον γενεαλογίαν, βουλόμενος καταγαγεῖν τὴν Χριστοῦ παρουσίαν εἰς τὴν τῶν ἀνθρώπων διάνοιαν, οὐκ εὐθὺς εἶπεν, ὅτι *Γένεσις Ἰησοῦ Χριστοῦ υἱοῦ Ἀβραὰμ,* ἀλλὰ *υἱοῦ Δαβὶδ* πρῶτον, εἶτα *υἱοῦ Ἀβραὰμ,* ἵνα τὸ πρόσφατον ὁρώμενον, καὶ τὸ ἐγγιστα συγκροτούμενον, καὶ τὸ ἔτι ἀνώτερον ὑποδεικνύον [1], τὸ ἔτι ὑπὲρ πᾶσαν κτίσιν σημάνῃ ἀναφαίρετον.

A beneficio præditus, nihil de his scisciatus est, sed quod vetustissimum est quæsivit. *Si,* inquit, *vadam ad illos, et dixerint mihi: Quod est ei nomen? quid illis respondebo?* Tandem ergo Deus seipsum illi patefaciens, *Ego,* inquit, *sum qui sum.* Ubi primum ab iis quæ proxima erant incepisse, tum postremo quod summum et ultimum erat declarasse cernimus. Eodem modo Lucas ab infimis ac citimis orditur. *Ipse Jesus,* inquit, *erat incipiens quasi annorum triginta, filius, ut putabatur, Joseph, qui fuit Eli, qui fuit Mathan, qui fuit Nathan, qui fuit David, qui fuit Judæ, qui fuit Jacob, qui fuit Abraham, qui fuit Nachor, qui fuit Noe, qui fuit Lamec, qui fuit Enoch, qui fuit Seth, qui fuit Adam, qui fuit Dei* [2]. In quibus animadvertis primum susceptæ carnis B mentionem esse factam : deinde quod postremum erat injectum. Quam ob causam Matthæus quoque adventum cum carne Christi ad hominum notitiam perducere, ac corporis prosapiam pertexere volens, non sic exorsus est : *Generatio Jesu Christi, filii Abraham* [3], sed primum *filii David,* postea *filii Abraham,* ut quod recens est conspectum, ac quod proximum est confirmatum, quodque superius adhuc est indicans, illud una significet, quod creatas res omnes superat, auferrique non potest.

ΚΓ'. Διὸ καὶ ὁ Ἰωάννης ἐλθὼν ὁ μακάριος, καὶ εὑρὼν τοὺς ἀνθρώπους ἠσχολημένους περὶ τὴν κάτω Χριστοῦ παρουσίαν, καὶ τῶν μὲν Ἐβιωναίων πλανηθέντων διὰ τὴν ἔνσαρκον Χριστοῦ γενεαλογίαν ἀπὸ Ἀβραὰμ καταγομένην, καὶ Λουκᾶ [a] ἀναγομένην ἄχρι τοῦ Ἀδὰμ, εὑρὼν δὲ τοὺς Κηρινθιανοὺς καὶ Μηρινθιανοὺς ἐκ παρατριβῆς αὐτὸν λέγοντας εἶναι C ψιλὸν ἄνθρωπον, καὶ τοὺς Ναζωραίους, καὶ ἄλλας πολλὰς αἱρέσεις, ὡς κατόπιν ἐλθὼν (τέταρτος γὰρ οὗτος εὐαγγελίζεται), ἄρχεται ἀνακαλεῖσθαι, ὡς εἰπεῖν, τοὺς πλανηθέντας, καὶ ἠσχολημένους περὶ τὴν κάτω Χριστοῦ παρουσίαν, καὶ λέγειν αὐτοῖς, ὡς κατόπιν βαίνων, καὶ ὁρῶν τινας εἰς τραχείας ὁδοὺς κεκλικότας, καὶ ἀφέντας τὴν εὐθεῖαν καὶ ἀληθινὴν, ὡς εἰπεῖν· Ποῖ φέρεσθε; ποῖ βαδίζετε; Οἱ τὴν τραχεῖαν ὁδὸν καὶ σκανδαλώδη, καὶ εἰς χάσμα φέρουσαν βαδίζοντες, ἀνακάμψατε. Οὐκ ἔστιν οὕτως· οὐκ ἔστιν ἀπὸ Μαρίας μόνον ὁ Θεὸς Λόγος, ὁ ἐκ Πατρὸς ἄνωθεν γεγεννημένος· οὐκ ἔστιν ἀπὸ τῶν χρόνων Ἰωσὴφ τοῦ ταύτης ὁρμαστοῦ [b] (91)· οὐκ ἔστιν ἀπὸ τῶν χρόνων Σαλαθιὴλ, καὶ Ζοροβάβελ, καὶ Δαβὶδ, καὶ Ἀβραὰμ, καὶ Ἰακὼβ, καὶ Νῶε, καὶ Ἀδάμ· ἀλλὰ *Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος.* Τὸ δὲ ἦν, καὶ ἦν, καὶ ἦν, οὐχ ὑποδέχεται τοῦ [c] μὴ εἶναι ποτε.

XXIII. Quocirca beatus Joannes post alios veniens, cum homines in infima Christi natura totos occupari cerneret, atque Ebionæos ob corpoream Christi genealogiam ab Abrahamo deductam, et a Luca ad Adamum usque sursum provectam in errorem abductos videret : imo et Cerinthianos ac Merinthianos ex **747** utriusque sexus copulatione merum hominem natum illum asserere; idemque et Nazaræos, et nonnullas alias hæreses sentire; tanquam postremus omnium (quartus enim hic Evangelium scribere aggressus est) aberrantes illos, et in humanam Christi generationem plus quam par esset intentos revocare instituit, perindeque ac si nonnullos per devia ac salebrosa divagari, vera ac recta via derelicta, pone ambulans cerneret, ea quodammodo est allocutus. Quo tenditis? quove iter habetis? Vos qui asperum et lubricum iter tenetis, quod in voraginem et præcipitium desinit, pedem reflectite. Non ita ut putatis sese res habet; neque ex sola Maria Dei Verbum editum est, quod ab æterno Pater genuit, neque ab Josephi Virginis sponsi, aut D Salathiel, Zorubabel, David, Abraham, Jacob, Noe, et Adam temporibus duntaxat exstitit; sed, *In principio erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum* [4]. Atque hæc particula *erat* ter repetita non patitur, ut illum quandoque non fuisse suspicemur.

Καὶ ὁρᾷς πῶς εὐθὺς τὰ ἐγγυτάτω πρῶτον σημαίνει· ὡς Ματθαῖος μὲν τὴν ὁδὸν ἔδειξε διὰ τῆς γενεαλογίας, καὶ οὐδὲ αὐτὸς ἠκρίβωσεν, ἀλλ' ἐπειδὴ ἄνωθεν ἔφερε καίτοιγε τὴν γενεαλογίαν· πῶς τε ὁ

Animadvertis igitur quæ proxima sunt priore loco fuisse significata. Sic Matthæus contexenda Christi genealogia viam quodammodo monstravit; neque accurate tamen ista tractavit, cum genealo-

[1] F. ὑποδεικνύων. [2] F. ὑπὸ Λουκᾶ. [3] De hac voce ὁρμαστοῦ viderint eruditi. [4] F. τό. [5] Luc. III, 23 sqq. [6] Matth. I, 1. [7] Joan. I, 1.

(91) *Τοῦ ταύτης ὁρμαστοῦ.* Leg. videtur ἁρμοστοῦ. Nisi forte γλωσσημάτως quoddam vocabulum sit. Quippe hær. 78, num. 13, ὁρμασθῆναι eadem significatione dixit, et num. 16, Theclæ ὁρμαστὸν, hoc est *sponsum* appellat.

Digitized by Google

D ὁμολογεῖν· δότωσαν γὰρ ἡμῖν τούτου τὴν χρῆσιν, καὶ τὴν τῶν λογισμῶν ἀπόδοσιν. Πάντα γὰρ ἐκεῖνα καταχρηστικῶς εἴρηται, οὐδὲν εἰς τὴν θεότητα τοῦ Υἱοῦ ἐνσκήπτοντα, οὔτε ἐλλιπῆ ποιούμενα πρὸς τὸν Πατέρα τῆς αὐτοῦ οὐσιότητος. Κἂν τε θύρα λεχθείη, ἐπειδὴ δι' αὐτοῦ εἰσερχόμεθα· κἂν τε ὁδὸς, ἐπειδὴ δι' αὐτοῦ βαδίζομεν, κἂν τε στύλος, ἐπειδὴ αὐτός ἐστιν ἑδραίωμα τῆς ἀληθείας· κἂν τε νεφέλη, ἐπειδὴ ἐσκέπασε τοὺς υἱοὺς Ἰσραὴλ· κἂν τε στύλος διὰ τὸ φωτεινὸν τοῦ πυρὸς, ὃ ἐφώτισεν ἐν τῇ ἐρήμῳ· κἂν τε μάννα, ἐπειδὴ ἠρνήσαντο αὐτὸν ἄρτον ἐπουράνιον· κἂν τε ἄρτος, ἐπειδὴ δι' αὐτοῦ ἰσχυροποιούμεθα· κἂν

[1] Gen. III, 1 sqq. [2] Joan. XV, 26. [3] Joan. XVI, 14, 15. [4] Joan. I, 16. [5] Psal. XXXII, 6. [6] Joan. X, 9. [7] Joan. XIV, 6. [8] Exod. XIII, 21, 22. [9] Exod. XIV, 19. [10] Exod. XVI, 15. [11] Pro ἵνα leg. καί.

Digitized by Google

τε ἄγγελος, ἐπειδὴ μεγάλης βουλῆς ἄγγελος. Ὁμώνυμον γάρ ἐστι τὸ τοῦ ἀγγέλου ὄνομα. Ἐδέξατο γὰρ ἡ Ῥαὰβ τοὺς ἀγγέλους· καὶ οὐκ ἦσαν ἄγγελοι οἱ ἀπεσταλμένοι, ἀλλ' ἢ οἱ ἀναγγέλαντες περὶ τοῦ τόπου. Οὕτω καὶ ὁ Μονογενής, ἐπειδὴ ἀνήγγειλε τὸ θέλημα τοῦ Πατρὸς τοῖς ἀνθρώποις, μεγάλης βουλῆς ἄγγελος, ἐν τῷ κόσμῳ ἀναγγέλλων τὴν μεγάλην βουλήν. Καὶ λίθος, οὐκ ἀναίσθητος ὁ λίθος, ἀλλὰ καταχρηστικῶς, διὰ τὸ πρόσκομμα γεγονέναι Ἰουδαίοις, ἡμῖν δὲ θεμέλιον σωτηρίας. Καὶ ἀκρογωνιαῖος λίθος, διὰ τὸ ἐπισφίγξαι Παλαιὰν καὶ Νέαν Διαθήκην, περιτομήν τε καὶ ἀκροβυστίαν εἰς μίαν ἕνωσιν. Ἀμνὸς δὲ, διὰ τὸ ἄκακον, καὶ τὸ δι' αὐτοῦ τὴν ἁμαρτίαν ἀπὸ τῶν ἀνθρώπων ἠφανίσθαι, ἐν τῷ αὐτὸν τῷ Πατρὶ προσενηνέχθαι πρόβατον εἰς σφαγήν· ἐπειδὴ ἦλθεν ὑπὲρ ἡμῶν παθεῖν ὁ ἀπαθής, ἵνα ἡμεῖς σωθῶμεν. Καὶ εἴ τί ἐστιν ἕτερον ταῖς αὐταῖς χρήσεσι συμβαλλόμενον εἰς σωτηρίαν υἱῶν τῶν ἀνθρώπων, καταχρηστικῶς ἀπὸ τῆς θείας Γραφῆς εἰς αὐτὸν ἀναφέρεται.

A nos confirmat ac roborat [1]; sive angelus, quoniam magni consilii angelus est [2]. Est enim angeli vox homonyma. Quippe Rahab angelos excepisse dicitur [3]. Neque tamen angeli erant qui missi fuerunt; sed nuntii, qui de regionis natura certi aliquid retulerunt. Qua eadem ratione Dei Filius pro eo quod Patris voluntatem nuntiavit hominibus, magni consilii Angelus dicitur, qui magnum illud consilium mundo significavit. Jam cum lapis dicitur [4], non sensus expers lapis aliquis intelligendus est, sed per catachresin usurpatur, eo quod Judæis offensioni fuerit: nobis vero fundamentum salutis. Angularis vero lapis [5], idcirco quod Vetus ac Novum Testamentum, circumcisionem ac præputium in unum consociarit ac devinxerit. Agnus [6] item propter innocentiam: tum quod hominum scelus per ipsum **759** penitus exstinctum fuerit, cum ovis instar jugulatus ac Patri oblatus est; quandoquidem ut pro nobis pateretur, is qui nihil pati poterat advenit, ut nos salvi esse possemus. Ac si quid aliud est quod eodem usu ad salutem hominum accommodari possit, per catachresin in sacris Litteris ad illum transfertur.

ΛϚ'. Τί οὖν τὸ κτίσμα ὠφελήσειεν; ἢ ποίαν χρῆσιν ποιεῖται πρὸς τὴν ἡμῶν σωτηρίαν, καὶ πρὸς τὴν τοῦ Θεοῦ Λόγου ἔνσαρκον δοξολογίαν καὶ τελείαν θεότητα; Τί ὠφελεῖ ἡμᾶς τὸ λέγειν αὐτὸν κτίσμα; Τί κτίσμα ταῖς κτίσεσιν ἐργάζεται; τί κτίσμα ὠφελεῖ τὰς κτίσεις; Πῶς δὲ ἔκτισεν ὁ Θεὸς Θεὸν εἰς προσκύνησιν διδοὺς, ὁπότε λέγει· *Μὴ ποιήσῃς σεαυτῷ πᾶν ὁμοίωμα μήτε ἐπὶ γῆς, μήτε ἐν οὐρανῷ, καὶ μὴ προσκυνήσεις αὐτῷ*; Πῶς οὖν ἔκτισεν ἑαυτῷ Υἱὸν, καὶ ἐπέταξε προσκυνεῖσθαι; μάλιστα τοῦ Ἀποστόλου λέγοντος· *Καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα, καὶ ἐμωράνθησαν*. Μωρὸν γὰρ τὸ κτίσιν θεολογεῖν, ἀθετεῖν δὲ πρώτην ἐντολὴν τὴν λέγουσαν· *Κύριον τὸν Θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις*. Διὸ ἡ ἁγία τοῦ Θεοῦ Ἐκκλησία οὐ κτίσμα προσκυνεῖ, ἀλλὰ Υἱὸν γεννητὸν, Πατέρα ἐν Υἱῷ, Υἱὸν ἐν Πατρὶ, σὺν ἁγίῳ Πνεύματι. Ἀλλὰ ναὶ, φησίν. Ἐὰν γὰρ μὴ εἴπω, ὅτι κτίσμα, φησὶν, ἐλάττωσιν προσφέρω τῷ Πατρί. Τὸ γὰρ κτιστὸν οὐκ ἐλαττοῖ τὸν κτίσαντα. Τὸ δὲ γεγεννημένον ἐκ φύσεως, ἢ συστολὴν ἐργάζεται, ἢ πλατυσμὸν, ἢ μείωσιν, ἢ τομὴν, ἢ τι τῶν τοιούτων παθῶν προσάπτει τῷ γεγεννηκότι. Πολλὴ δὲ μωρία τῶν τοιαῦτα λογιζομένων, ὡς ἀφ' ἑαυτῶν τὸ Θεῖον εἰκάζειν, καὶ τὰ εἰς αὐτοὺς πάθη τῷ Θεῷ προσάπτειν βουλομένων, τοῦ Θεοῦ ἀπαθοῦς ὄντος παντελῶς, καὶ ἐν τῷ γεννᾷν, καὶ ἐν τῷ κτίζειν. Ὡς γὰρ ἡμεῖς πάσχομεν γεννῶντες, ἐπειδὴ κτιστοί ἐσμεν, οὕτω καὶ κάμνομεν κτίζοντες. Καὶ εἰ πάσχει ὁ Πατὴρ γεννῶν, ἄρα καὶ κτίζων κάμνει. Πῶς δὲ περὶ Θεοῦ πάθος ἔστιν εἰπεῖν, καὶ τὸ κάμνειν, εἴπερ κάμνει; Ἀλλ' οὐ κάμνει, μὴ γένοιτο! *Οὐ κοπιάσει γάρ*, φησὶν ἡ Γραφή. Πνεῦμα οὖν ὁ Θεὸς, καὶ Πνεῦμα ἀνάρχως καὶ ἀχρόνως τὸν Υἱὸν ἐγέννησεν,

XXXVI. Ecquid ergo prodesse nobis creatura posset? aut quid ad salutem hominum conferret, vel ad divini Verbi incarnati gloriam, divinitatemque perfectam? Quid, inquam, nobis profuerit, si creaturam illum dixerimus? Quid est quod creatum aliquid creaturis prodesse, aut utilitatis afferre possit? Ad hæc quomodo Deus Deum creavit, et adorandum proposuit, cum ipsemet dixerit: *Non facies tibi similitudinem ullam, neque in terra, neque in cœlo; neque adorabis illam* [7]? Quomodo igitur sibi Filium creavit, adorarique jussit? Præsertim cum Apostolus dicat: *Et servierunt creaturæ potius quam Creatori, et stulti facti sunt* [8]. Stultum enim est creaturæ divinitatem tribuere, ac primum legis violare mandatum: *Dominum Deum tuum adorabis, et illi soli servies* [9]. Propterea sancta Dei Ecclesia creaturam non adorat, sed Filium genitum, Patrem in Filio, Filium in Patre, cum Spiritu sancto. Imo vero, inquiunt, nisi enim creaturam illum esse dixero, Patris majestatem imminuo. Etenim quod creatum dicitur, Creatorem non minuit. Quod autem ex natura genitum est, contractionem quamdam, aut collatationem, aut diminutionem, aut sectionem, aut ejusmodi affectionem aliquam ei affert a quo genitum est. Sed eorum qui ita cogitant summa plane stultitia est, qui de divino numine conjecturam ex seipsis capiunt, affectionesque suas in Deum transfundere conantur, cum tamen tam in generando, quam in creando ab omni affectione sit immunis. Nam quod ad nos attinet, uti gignendo patimur, eo quod creati sumus, ita et creando ac moliendo fatigamur. Quare si generando Pater nonnihil patitur, etiam creando fatigatur. Quinam

[1] Joan. VI, 35. [2] Isa. IX, 5. [3] Jos. II, 1 sqq. [4] I Cor. X, 4. [5] Isa. XXVIII, 16; Ephes. II, 20. [6] Joan. I, 36. [7] Exod XX, 4. [8] Rom. I, 25. [9] Deut. VI, 13; Matth. 4, 10.

Digitized by Google

vero Deo tribui ulla ejusmodi potest affectio sive defatigatio? Absit vero ut fatigari credamus! *Non enim laborabit*, inquit Scriptura [1]. Denique cum initio aut tempore genuit Filium, Deum de Deo, genitum non creatum.

Θεὸν ἐκ Θεοῦ, φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ κτισθέντα.

Deus sit Spiritus, perinde et Spiritum sine ulla lumen de lumine, Deum verum de Deo vero, ge-

760 XXXVII. Ab hac Scripturæ sententia ad alias transeundum modo nobis est, quas perperam accipientes usurpare ac decantare solent, quas quidem initio commemoravimus. Ac primum Apostoli dictum illud temere protulerunt, et interpretatione sua depravant: *Suscipite pontificem vestrum, qui fidelis est ei qui fecit seipsum* [2]. Sed primum Epistolam illam, quæ ad Hebræos scripta est, repudiant, et ab apostolicis scriptis rejiciunt. Ex qua tamen illam, uti dixi, sententiam pro privato suo animi morbo male ad institutum suum transferunt; et ex his verbis, *qui fidelis est ei qui fecit seipsum*, creaturam esse Filium astruunt. Verum interrogare illos prudentior aliquis poterit, et ita urgere, ut quid respondeant nihil habeant; hoc enim quæri potest: Quandonam pontificis nomen illud Dominus noster assumpserit. Non enim ante susceptam carnem istiusmodi nomina sortitus est, ut lapis vocaretur, et ovis ad occisionem oblata [3]; item: homo, et Filius hominis, aquila, agnus, et id genus alia, quæ post incarnationem eidem attributa sunt. Qua ratione pontifex quoque dictus est, ob elogium illud, quod de ipso in lege prædicatur: *Prophetam ex fratribus vestris suscitabit Dominus Deus vobis* [4]. Quare prophetam, et pontificem, et ex ipsis suscitatum post illam in terris habitationem, Scriptura manifeste declarat. Ex quo certissime illud potest intelligi: quemadmodum invicta Dei virtus ac præscientia, ut os omne præcludat adversus veritatem insurgens, cum admirabili quadam luce prædixerit ac firmaverit omnia. Sic igitur illo loco in sequentibus legitur: *Omnis pontifex ex hominibus assumptus, pro hominibus constituitur, ut offerat dona et sacrificia pro peccatis; qui possit compati. Necessitatem enim habet et pro suis delictis offerre. Qui autem peccatum non habet, seipsum obtulit Patri* [5]. Ubi hæc verba, *ex hominibus*, ad incarnationem pertinent; hæc autem, *non ex hominibus*, et, *non habens necessitatem*, divinitatem indicant, ut et illa, *quamvis esset Filius*. Hæc autem, *didicit ex his quæ passus est*, ad assumptam carnem referenda sunt.

AZ'. Παρελεύσομαι δὲ καὶ τοῦτο τὸ ῥητόν· ἐφ' ἕτερα δὲ πάλιν ἑαυτοὺς ἐπιδῶμεν τῶν ὑπ' αὐτῶν ἐν κακαῖς ὑπονοίαις λεγομένων τε καὶ ᾀδομένων, ἄνω δέ μοι προτεταγμένων. Καὶ γὰρ πάλιν χυδαίως φασὶ τοῦτο τὸ ῥητὸν παρερμηνεύοντες, τὸ, *Δέξασθε τὸν ἀρχιερέα ὑμῶν πιστὸν ὄντα τῷ ποιήσαντι αὐτόν*. Καὶ πρῶτον μὲν τὴν Ἐπιστολὴν ταύτην, τὴν πρὸς Ἑβραίους φημὶ, ἀπωθοῦνται, φύσει αὐτὴν ἀναιροῦντες ἀπὸ τοῦ Ἀποστόλου, καὶ λέγοντες μὴ εἶναι τοῦ αὐτοῦ. Τὸ δὲ ῥητὸν διὰ τὴν ἰδίαν νόσον εἰς ἑαυτοὺς, ὡς προεῖπον, κακῶς ἐκδέχονται, δῆθεν ἀπὸ τοῦ εἰρημένου, ὅτι *πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν*, τὸ κτίσμα παρεισφέροντες. Ἐρωτήσειε δ' ἂν τις αὐτοῖς σύνεσιν κεκτημένος, καὶ ἀπορήσουσι, μὴ ἔχοντες τί ἀποκριθήσονται ὅτι Τὸν ἀρχιερέα πότε προσελάβετο ὁ Κύριος ἡμῶν ὄνομα αὐτῷ καλεῖσθαι. Οὐδαμοῦ γὰρ πρὸ τῆς ἐνσάρκου αὐτοῦ παρουσίας ταῦτα ἔσχε τὰ ὀνόματα, τὸ λίθον καλεῖσθαι, τὸ πρόβατον εἰς σφαγὴν φέρεσθαι, τὸ ἄνθρωπον καὶ Υἱὸν ἀνθρώπου, τὸ ἀετὸς, καὶ ἀρνίον, καὶ τὰ ἄλλα πάντα, ὅσαπερ εἰς αὐτὸν κατὰ τὴν ἔνσαρκον παρουσίαν ἀναφέρεται, ὡς καὶ ἀρχιερέα αὐτὸν κεκλεῖσθαι δι' ἣν ὁ νόμος ἐκήρυττε περὶ αὐτοῦ ὑπόθεσιν, ὅτι *Προφήτην ἐκ τῶν ἀδελφῶν ὑμῶν ἐγερεῖ Κύριος ὁ Θεὸς ὑμῖν*. Ἆρα γοῦν τὸν προφήτην, καὶ ἀρχιερέα, καὶ τὸ ἐξ αὐτῶν, μετὰ τὴν ἐνταῦθα κατακωχὴν ἑρμηνεύει σαφῶς ὁ λόγος· ὡς καὶ ἀραρότως ἔστιν ἰδεῖν, πῶς πάλιν ἡ ἀνίκητος τοῦ Θεοῦ δύναμις καὶ προγνωστία, εἰς τὸ φράξαι πᾶν στόμα ἐπεγειρόμενον κατὰ τῆς ἀληθείας, πάντα μετὰ θαυμαστῆς φωταγωγίας προεθέσπισε, καὶ ἠσφαλίσατο. Φάσκει γὰρ οὕτως ἐν τῇ αὐτῇ ἀκολουθίᾳ· ὅτι *Πᾶς ἀρχιερεὺς ἐξ ἀνθρώπων λαμβανόμενος ὑπὲρ ἀνθρώπων καθίσταται, εἰς τὸ προσφέρειν δῶρά τε καὶ θυσίας, δυνάμενος μετριοπαθεῖν. Ἀνάγκην γὰρ ἔχει καὶ περὶ τῶν ἰδίων ἁμαρτιῶν. Ὁ δὲ μὴ ἔχων ἁμαρτίαν ἑαυτὸν προσήνεγκε τῷ Πατρί*. Καὶ τὸ μὲν *ἐκ τῶν ἀνθρώπων* διὰ τὴν ἐνδημίαν· τὸ δὲ *οὐκ ἐξ ἀνθρώπων*, τὸ *μὴ ἔχων ἀνάγκην* διὰ τὴν θεότητα· καὶ περὶ τῆς αὐτοῦ θεότητός φησι· *καίπερ ὢν Υἱός*. Περὶ δὲ τῆς ἐνσάρκου αὐτοῦ παρουσίας, *Ἔμαθεν ἐξ ὧν ἔπαθε*, φησί.

XXXVIII. Vides ut omnia quæ Christo conveniunt, plana sint et perspicua, neque quidquam in his sit impeditum aut perplexum. Nam hæc ipsa verba, *pontificem, qui fidelis est ei, qui fecit ipsum*, **761** nihil ad corporis formationem, aut incarnationem, aut vero creationem spectant; sed dignitatem illam, ac cœleste munus indicant, quod illi assumpta jam carne collatum est. Quo etiam et locus iste referendus est: *Dedit ei nomen, quod est super omne nomen* [6]. Hoc enim non antea in divi-

ΑΗ'. Καὶ ὁρᾷς, ὅτι πάντα τοῦ Χριστοῦ λεῖα, καὶ οὐδὲν ἐν αὐτοῖς στραγγαλιῶδες. Τὸ γὰρ, *ἀρχιερέα πιστὸν ὄντα τῷ ποιήσαντι αὐτὸν*, οὐδὲ τὴν αὐτὴν πλάσιν ἐνταῦθα διηγεῖται τοῦ σώματος, οὐδὲ τῆς αὐτοῦ ἐνανθρωπήσεως, οὐ περὶ κτίσεως ὅλως φάσκει, ἀλλὰ μετὰ τὴν ἐνδημίαν τοῦ ἀξιώματος τὸ χάρισμα· ὡς καὶ τὸ εἰρημένον· *Ἔδωκεν αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα*. Καὶ οὐ πρώην τοῦτο ἐπληροῦτο ἐν τῇ θεότητι, ἀλλὰ τῇ νῦν παρουσίᾳ· ἐπειδήπερ ἡ αὐτοῦ ἐνανθρώπησις ἡ ἐκ Μαρίας ἔλαβεν ὄνομα τὸ

[1] Isa. xl, 28. [2] Hebr. iii, 1, 2. [3] Isa. liii, 7. [4] Deut. xviii, 15. [5] Hebr. v, 1 sqq. [6] Philipp. ii, 9.

Digitized by Google

ὑπὲρ πᾶν ὄνομα, σὺν τῷ Θεῷ Λόγῳ καλεῖσθαι Υἱὸν Θεοῦ. Καὶ διὰ τοῦτο καὶ δι' αὐτοῦ τοῦ Ἀποστόλου ἐνταῦθα πάλιν εἴρηκε· *Τὸν δὲ βραχύ τι παρ' ἀλλήλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου δόξῃ καὶ τιμῇ ἐστεφανωμένον* ἵνα ὁ δεσπότης ἀγγέλων καὶ ποιητὴς παρ' ἀγγέλους ἠλαττωμένος φανείη ὁ φρικτὸς καὶ φοβερὸς τοῖς ἀγγέλοις, καὶ ἐξ οὐκ ὄντων αὐτοὺς κτίσας σὺν τῷ Πατρὶ καὶ σὺν τῷ ἁγίῳ Πνεύματι ἠλαττωμένος λέγοιτο· καὶ φανείη σαφῶς, ὅτι οὐ περὶ θεότητος ἐνταῦθα φάσκει, ἀλλὰ περὶ τῆς αὐτοῦ σαρκός. Πάθημα γὰρ θανάτου οὐ πρὸ σαρκὸς εἰς τὸν Λόγον ἀναλογεῖται, ἀλλὰ μετὰ τὴν ἐνσαρκον παρουσίαν τοῦ αὐτοῦ ἀπαθοῦς ὄντος καὶ παθητοῦ· ἀπαθοῦς μὲν ὄντος ἐν τῇ θεότητι, πάσχοντος δὲ ἐν τῇ ἀνθρωπήσει· ὡς καὶ τὰ ἀμφότερα ἑνὶ πληροῦται τὸ[1] Υἱὸς ἀνθρώπου ἐν ταυτῷ, καὶ Υἱὸς Θεοῦ ἐν ταυτῷ. Ὁμοῦ γὰρ Χριστὸς ἐν τοῖς ἀμφοτέροις ὁ Υἱὸς καλεῖται.

A nitate, sed in incarnatione perfectum est, cum scilicet humana ipsius natura, quam ex Maria sumpsit, nomen est ejusmodi consecuta, quod omnia nomina dignitate superaret, ut cum divino Verbo conjuncta, Dei Filius appellaretur. Quam ob causam per eumdem Apostolum hoc loco dixit : *Hunc autem paulo minus ab angelis minoratum videmus Jesum ob passionem mortis gloria et honore coronatum* [2]. Quo scilicet angelorum Dominus et conditor, angelis minor factus esse videretur, ille, inquam, ipse angelis metuendus ac terribilis, quos de nihilo cum Patre et Spiritu sancto creavit, minor diceretur, certoque constaret, non de ejus divinitate mentionem hoc loco fieri, sed de carne duntaxat. Mortis enim passio non priusquam carnem indnisset, Verbo Dei ratione quadam accommodatur, sed post ejusdem incarnationem : qui una et passionis expers est, et obnoxius passioni : expers quidem, quod ad divinitatem attinet; obnoxius vero, si hominis naturam consideres. Quod utrumque in uno completur, ut et Filius hominis in eodem, et Dei Filius in eodem exsistat. Christus enim utriusque Dei Filius vocatur.

B

Λθ'. Τί οὖν ἐποίησεν αὐτόν ; Οἱ φιλονεικοῦντες μάθωσιν ἀπὸ τῶν προειρημένων πάντων, ὅτι οὐδὲν εἰς τὴν θεότητα ἐν τῷ ῥητῷ τούτῳ ἀναλογεῖται, ἀλλὰ εἰς τὴν ἐνσαρκον παρουσίαν. Καὶ οὐδὲ ὡς περὶ ποιήσεως ἢ κτίσματος, ἀλλ' ὡς περὶ ἀξιώματος μετὰ τὴν παρουσίαν, τὸ *ἐποίησεν*. Αὐτὸν ἐρωτήσας γάρ τις τινα βασιλέα περὶ τοῦ ἰδίου υἱοῦ, ὅτι Τί σοι πέφυκεν οὗτος ; καὶ ἀκούσει παρ' αὐτοῦ, ὅτι Υἱός μού ἐστι. Γνήσιος οὖν σοι ὑπάρχει, ἢ νόθος ; Ὁ δέ φησι· Γνήσιος ἐξ ἐμοῦ ὑπάρχει. Τί οὖν αὐτὸν ἐποίησας ; Βασιλέα αὐτὸν ἐποίησα. Δῆλον μηδὲν παρηλλαγμένον τῆς τοῦ πατρὸς αὐτοῦ ἀξίας. Καὶ οὐχὶ πάντως διὰ τὸ εἰρηκέναι, Ἐποίησα αὐτὸν βασιλέα, παρὰ τοῦτο Ἔκτισα αὐτὸν, λέγει ὁ βασιλεύς· οὐ γὰρ τὴν γέννησιν ἠρνήσατο, ἣν ὡμολόγησε γεγεννηκέναι, ἐν τῷ εἰπεῖν, Ἐποίησα· ἀλλ' ἐκείνην μὲν σαφῶς ἀπεφήνατο, τὸ δὲ, ἐποίησα, περὶ ἀξίας ἐδήλωσεν. Οὕτω καὶ ὁ Υἱὸς Υἱὸς τοῦ Πατρὸς ἀναμφιβόλως τοῖς ζωὴν ἐθέλουσι πιστεύεται τε καὶ προσκυνεῖται· τὸ δὲ ἀρχιερέα γενέσθαι, διότι ἐν τῷ σώματι αὐτοῦ τῷ Πατρὶ ἑαυτὸν προσήνεγκεν ὑπὲρ τῆς ἀνθρωπότητος, αὐτὸς ἱερεὺς, αὐτὸς ἱερεῖον, ἑαυτὸν μὲν προσήνεγκεν ὑπὲρ πάσης τῆς κτίσεως ἀρχιερατεύων· ἀναβὰς δὲ πνευματικῶς καὶ ἐνδόξως, ἐν αὐτῷ τῷ σώματι ἐκάθισεν ἐν δεξιᾷ τοῦ Πατρὸς, γεγονὼς ἀρχιερεὺς εἰς τὸ διηνεκὲς, καὶ διεληλυθὼς τοὺς οὐρανοὺς ἐφ' ἅπαξ, ὡς μαρτυρεῖ περὶ αὐτοῦ ἐν ταῖς καθεξῆς λέξεσιν ὁ αὐτὸς ἅγιος Ἀπόστολος. Καὶ ἐξέπεσε πάλιν τούτων ἡ προφασιστικὴ διαλογὴ τῆς θείας Γραφῆς, ζωτικῆς οὔσης, καὶ μηδὲν ἐχούσης εἰς πρόσκομμα πιστοῖς, ἢ εἰς ἐλάττωμα βλασφημίας πρὸς τὸν Λόγον.

XXXIX. Quidnam igitur est quod ipsum fecisse dicitur? Discant arguti ac contentiosi homines ex iis quæ hactenus dicta sunt, nihil hoc in loco esse quod ad divinitatem pertineat, sed ad incarnationem omnia referri. Ita tamen, ut de creatione et effectione nulla sit mentio; sed de ea dignitate, quam suscepta carne consecutus est, cæ voces accipiendæ sint, *fecit ipsum*. Sic enim sese res habet, ut si quis ab rege de filio suo percontetur : Quanam iste tibi sanguinis cognatione conjunctus est? tum ille respondeat : Filius meus est; pergat deinde, et germanusne sit an spurius roget : Rex autem : Germanus, et a me genitus, subjiciat. Quid igitur illum fecisti? Regem, inquit, feci. Ex quo manifesto sequitur, minime hunc esse dignitatis paternæ dissimilem. Nec eo quod rex dicat : Regem illum feci, eumdem se creasse confitetur. Non enim generationem inficiatur, cum eum se genuisse dicat hoc ipso, quod fecisse se narrat, **762** sed cum illam aperte profiteatur, faciendi nihilominus verbum ad dignitatem retulit. Similiter et Filius Patris quidem Filius sine ulla dubitatione ab illis creditur et adoratur qui vitam obtinere cupiunt : pontifex vero idcirco fuisse, quod in suo corpore pro humano genere Patri semetipsum obtulerit; idem et sacerdos simul, et hostia pro omni creatura pontificatus officio fungens seipsum obtulit, tum spiritali quodam modo, et ingenti cum gloria subvectus, cum eodem illo corpore ad Patris dexteram consedit, constitutus in æternum pontifex [3], ac cœlestes orbes semel permensus, ut idem Apostolus in sequentibus declarat. Unde tota hæc illorum ad calumniam captationemque composita de Scripturis disputatio corruit : quæ quidem Scripturæ cum vitæ impertiendæ vim habent, tum nihil continent, ad quod fideles offendant; aut quod ad ullam Verbi contumeliam, ejusque dignitatis imminutionem accommodari jure possit.

C

D

Μ'. Εἶτα μέμνηται πάλιν ἑτέρου ῥητοῦ, ὡς Ἰωάν-

XL. Alium præterea locum Arius commemorat.

[1] F. τῷ. [2] Hebr. II, 9. [3] Hebr. VI, 20.

Digitized by Google

in quo Joannes, cum in deserto staret, et accedentem illum videret, dixisse fertur : *Hic est quem dixi vobis : Quoniam venit post me vir, qui ante me factus est, quia prior me erat* [1]. Primum igitur voces ipsas, tanquam crapula et ebrietate correpti, quod ad sensum attinet, immutant. Et quomodo, inquiunt, de incarnatione dictum illud accipi potest, cum ante Joannem in Mariæ utero genitus non fuerit? Nam, ut evangelista narrat : *Sexto mense missus est angelus Gabriel in civitatem Galilææ ad virginem desponsatam viro, cui nomen Joseph. Et ingressus ad eam dixit : Ave, gratia plena, Dominus tecum* [2], etc. Cumque Virgo ob eam salutationem turbata foret, subjecit : *Ecce concipies in utero filium, et vocabis nomen ejus Jesum. Et ecce cognata tua Elisabeth concepit filium in senectute sua, et hic mensis sextus est illi quæ vocatur sterilis.* Animadvertis ut sex ante mensibus, quam Mariæ nuntiaret istud angelus, Joannes exstiterit. Quinam igitur hæc verba, *ante me factus est*, in illius incarnatione impleri potuerunt? Quis est e rudioribus ac simplicibus, quique satis firmo ac corroborato ingenio non fuerint, qui non audita illa sententia perturbetur? Etenim necessariis ac sinceris, et ad vitam conciliandam idoneis Scripturæ verbis utitur; quæ **763** profecto iis ipsis, qui mala sponte sibi ipsis arcessunt, majus quoddam detrimentum consciscunt : tum alioqui omnes illæ sententiæ Spiritus sancti luce collustrentur. Nam quid est in illo de quo agimus loco ad cautionem prætermissum? *Ecce enim*, inquit, *hic est*, ut aspectabilem illum esse significet, et intuentibus commonstret : *Quem dixi vobis : Quoniam post me venit.* Quis ille venit præterquam vir?

Sed nemo intelligentia aliqua præditus nudum hominem esse Dominum existimet, nisi forte superiores illæ hæreses, quas antea proposuimus, Cerinthi videlicet, Merinthi et Ebionis. Cæterum præterquam quod vir est idque consulto ad securitatem ostenditur, una etiam et Dominum esse non dubitant qui vere fideles sunt. Quod ipsum Joannis quoque testimonio constat : *Quod audivimus*, inquit, *ab initio* [3] : ut eum declaret qui ab initio exstitit, Dei Verbum scilicet quod videri non potest : quodque sacris in Litteris et prophetis nuntiatum audivimus, et in cœlo sublimem ad gloriam provectum. Quare ita loquitur : *Quod initio audivimus, et oculis vidimus.* Ut cum audisse se dicit, Deum ab initio fuisse fateatur; cum autem vidisse narrat, hominem significet, de quo Joannes Baptista loquebatur, cum diceret, *venit post me vir.* Illud vero, *et manus nostræ contrectaverunt*, eum usum habet, ut cum ab initio Deus fuerit, eumdem etiam conspectabilem hominem ex Maria genitum fuisse demonstret, indeque a mortuis surrexisse perfectum, adeo ut sanctum illud vas, quod acceperat, hoc est perfectam hominis naturam, non abjecerit, sed cum illius latus clavorumque cicatrices

A νης ἐστὼς ἐν τῇ ἐρήμῳ καὶ θεασάμενος αὐτὸν ἐρχόμενον, ἔλεγεν· *Οὗτός ἐστιν, ὃν εἶπον ὑμῖν, ὅτι Ὀπίσω μου ἔρχεται ἀνὴρ, ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτός μου ἦν.* Καὶ πρῶτον μὲν αὐτὰς τὰς λέξεις ὡς καρηβαροῦντες ἀλλάσσουσι τῇ διανοίᾳ, καὶ λέγουσι· Πῶς τοῦτο πληροῦται ἐν τῇ ἐνσάρκῳ παρουσίᾳ, ὅτι οὐκ ἦν πρὸ Ἰωάννου ἐν γαστρὶ Μαρίας συνειλημμένος; Ἀλλὰ, φησὶν, ὡς ὁ εὐαγγελιστής· *Ἐν δὲ τῷ ἕκτῳ μηνὶ ἀπεστάλη ὁ ἄγγελος Γαβριὴλ εἰς πόλιν τῆς Γαλιλαίας, πρὸς παρθένον μεμνηστευμένην ἀνδρὶ, ᾧ ὄνομα Ἰωσήφ. Καὶ εἰσελθὼν πρὸς αὐτὴν ἔφη· Χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ*, καὶ τὰ λοιπὰ τῆς ἀκολουθίας. Ὡς οὖν ἡ Παρθένος ἐπὶ τῷ ἀσπασμῷ ἐταράσσετο, ἔφη πρὸς αὐτήν· *Ἰδοὺ συλλήψῃ ἐν γαστρὶ, καὶ* B *τέξῃ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. Καὶ ἰδοὺ ἡ συγγενής σου Ἐλισάβετ συνειληφυῖα υἱὸν ἐν γήρᾳ αὐτῆς, καὶ οὗτος μὴν ἕκτος ἐστὶν αὐτῇ τῇ καλουμένῃ στείρᾳ.* Καὶ ὁρᾷς, φησὶν, ὅτι πρὸ ἓξ μηνῶν τοῦ εὐαγγελισθῆναι Μαρίαν, ἤδη προϋπῆρχεν ὁ Ἰωάννης. Πῶς οὖν τὸ, *πρὸ ἐμοῦ ἐγένετο*, ἐν τῇ ἐνσάρκῳ παρουσίᾳ Χριστοῦ πληρωθήσεται; Τίς δὲ τῶν ἀκεραίων μὴ καὶ ἐν διανοίᾳ ἐναργῶς ἐδραιωμένων, ἀκούσας τὸ ῥητὸν, οὐ ταραχθήσεται; Λέγει γάρ· Τὰ ἀναγκαῖα, καὶ ἀκέραια, καὶ ζωτικὰ τὰ τῆς θείας Γραφῆς τοῖς τὰ πονηρὰ ἑαυτοῖς ἐπισπωμένοις μᾶλλον βλαβλερώτερα φαίνεται, τῶν ῥητῶν πάντη ἐν Πνεύματι ἁγίῳ κατηυγασμένων. Τί γὰρ παραλέλειπται τῷ ῥητῷ πρὸς ἀσφάλειαν; *Ἰδοὺ γὰρ*, λέγει, ὅτι *οὗτός ἐστι*, τὸ ὁρατὸν C σημαίνων, καὶ ὑποδεικνύων τοῖς ὁρῶσιν, *ὃν εἶπον ὑμῖν, ὅτι ὀπίσω μου ἔρχεται.* Καὶ τίς ἔρχεται ἀλλ' ἢ ἀνήρ;

Οὐδεὶς δὲ τῶν σύνεσιν κεκτημένων ἄνδρα ψιλὸν νομίσειε τὸν Κύριον ἡμῶν, ἀλλὰ αἱ ἄνω αἱρέσεις αἱ ἤδη σημανθεῖσαι, οἱ περὶ Κήρινθον, καὶ Μήρινθον, καὶ Ἐβίωνα. Ἀλλὰ μετὰ τοῦ ἀνὴρ, πάντως ὅτι ἠσφαλισμένως, καὶ Κύριον αὐτὸν ἴσασιν οἱ ἀληθινοὶ πιστοὶ, ὡς καὶ Ἰωάννης μαρτυρεῖ· *Ὃ ἀκηκόαμεν ἀπαρχῆς*· ἵνα εἴπῃ τὸν ἀπαρχῆς ὄντα, τὸν ἀόρατον Θεὸν Λόγον, ὃν ἠκούσαμεν ἐν θείαις Γραφαῖς ἐν προφήταις καταγγελλόμενον, ἐν οὐρανῷ ἐξυπνούμενον. Καὶ διὰ τοῦτο *ὃ ἦν ἀρχῆ ἠκούσαμεν, καὶ ἐθεασάμεθα τοῖς ὀφθαλμοῖς*, ἵνα ἄνω τὸ ἀκηκοέναι Θεὸν D ὁμολογήσῃ ἐξ ὑπαρχῆς· τὸ δὲ ἑωρακέναι ἄνθρωπον σημάνῃ, ὃν καὶ ὁ Βαπτιστὴς Ἰωάννης ἔφη, ὅτι *Ὀπίσω μου ἔρχεται ἀνὴρ.* Καὶ τὸ, *Αἱ χεῖρες ἡμῶν ἐψηλάφησαν*, ἵνα Θεὸν ἄνωθεν σημάνῃ, καὶ ἄνθρωπον ὁρατὸν ὑποδείξῃ ἀπὸ Μαρίας γεγεννημένον, καὶ ἐκ νεκρῶν ἀναστάντα τέλειον, μὴ ἀποβαλλόμενον τὸ ἅγιον σκεῦος, ὃ εἴληφε, καὶ τὴν τελείαν αὐτοῦ ἐνανθρώπησιν, ἀλλὰ διὰ τοῦ ἐψηλαφηκέναι τὴν πλευρὰν, τόν τε τύπον τῶν ἥλων, τὰ τρία ὁμολογήσῃ ἀπαρασαλεύτως. Οὕτω μοι καὶ ἐνταῦθα νόει, τὸ, ὅτι *Οὗτός ἐστιν ὃν εἶπον ὑμῖν, ὅτι ὀπίσω μου ἔρχεται ἀνὴρ*, ἵνα τὴν ἔνσαρκον σημάνῃ παρουσίαν. Ὅτι *Πρῶτός μου ἦν*, ἵνα τὴν θεότητα ὑποδείξῃ, *ὅτι πρὸ ἐμοῦ*

[1] Joan. I, 27. [2] Luc. I, 26 sqq. [3] I Joan. I, 1.

Digitized by Google

ἐγένετο· ἐν τῷ κόσμῳ γὰρ ἦν, φησὶ τὸ ἅγιον Εὐαγγέλιον, καὶ ὁ κόσμος δι' αὐτοῦ ἐγένετο, καὶ ὁ κόσμος αὐτὸν οὐκ ἔγνω.

A ac vestigia contrectasset, tria illa sine ulla hæsitatione confessus est. Sic igitur quod a Joanne Baptista dicitur : *Hic est quem dixi vobis : Quoniam venit post me vir*, incarnationem declarat. Hæc autem, *prior me erat*, ejus divinitatem significant, *quoniam ante me factus est*. Quippe ut in Evangelio scriptum est : *In mundo erat, et mundus per ipsum factus est, et mundus eum non cognovit*[3].

ΜΑ'. Εἰ δὲ ἐν κόσμῳ ἦν (95) πρὸ τοῦ Ἰωάννην γεννηθῆναι καὶ συλληφθῆναι, πρὸ αὐτοῦ γέγονεν ἐν κόσμῳ, οὐ περὶ κτίσεως, οὐ περὶ ποιήσεως σημαίνων, ἀλλὰ κατὰ τὴν χρῆσιν, ἣν ὁμωνύμως εἰώθασιν οἱ ἄνθρωποι λέγειν· Ἐγενόμην ἐν Ἱεροσολύμοις, ἐγενόμην ἐν Βαβυλῶνι, ἐγενόμην ἐν Αἰθιοπίᾳ[1], ἐγενόμην ἐν Ἀλεξανδρείᾳ· οὐ κτίσιν σημαίνων ἐνταῦθα, ἀλλὰ ἐπίβασίν τε καὶ παρουσίαν. Τὸ γὰρ, Ἐγενόμην ἐν Βαβυλῶνι ἢ ἐν ἑτέρῳ τόπῳ, ὅτι Ἦλθον. *Πρὸ ἐμοῦ* οὖν *ἐγένετο*, ἵνα δείξῃ ἐπὶ τῆς γῆς τὴν τοῦ Λόγου ἀεὶ ἐπίβασιν· καὶ τὸ, *Πρῶτός μου ἦν*, ἵνα δείξῃ τὴν θεότητα ἀεὶ οὖσαν· τὸ δὲ, *ὀπίσω μου ἐρχόμενον*, ἵνα δείξῃ τὴν σύλληψιν μετὰ τὸν Ἰωάννην. Καὶ διὰ τοῦτο, *Ἐγὼ φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ*, ἑτοιμαστικὴ φωνὴ τῆς τῶν ἀνθρώπων ἀκοῆς. Πρῶτον γὰρ ἀδιάρθρωτον εἰώθασιν οἱ φωνοῦντες ἀποδιδόναι φωνὴν ἠχήεσσαν, ἀπομήκοθεν καλοῦντες τοὺς τι ἔχοντας παρ' αὐτοῦ ἀκούειν· καὶ ἐπὰν ἐκεῖνοι τῆς φωνῆς ἀκούσωσι μόνης, καὶ δώσωσι τὸν νοῦν τοῦ ἀκούειν, καὶ ἑτοιμάσωσι τὴν ἀκοὴν, τότε ὁ τὴν ἠχήεσσαν φωνὴν ἀποδοὺς λοιπὸν διαστέλλει τὸν λόγον, ὅπερ ἐβουλήθη εἰπεῖν. Οὕτω καὶ Ἰωάννης φωνὴ ἐγένετο ἑτοιμάζουσα τὴν ἀκοὴν τῶν ἀνθρώπων. Οὐ γὰρ ἦν αὐτὸς ὁ Λόγος, ἀλλὰ μετ' αὐτὸν ἦλθεν ὁ Λόγος, δι' ὃν ἡ ἑτοιμαστικὴ φωνὴ γέγονε. Καὶ διὰ τοῦτο λέγει· *Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ· ἑτοιμάσατε τὰς ὁδοὺς Κυρίου*. Ἡ γὰρ φωνὴ ἑτοιμάζει, ὁ δὲ Κύριος ἐκβαίνει ταῖς ἡτοιμασμέναις. Καὶ ἡ φωνὴ λαλεῖ τὴν ἀκοήν[2]. Ὅταν δὲ ἡ ἀκοὴ σχολάσῃ, τότε ὁ λόγος ἐν τῇ ἀκοῇ καταβάλλεται τῶν δεχομένων. Οὐδαμοῦ τοίνυν ἐπιλήψεται Ἄρειος, καὶ οἱ ἀπ' αὐτοῦ τῆς τοῦ Θεοῦ ἀληθείας ἀεὶ καταυγαζούσης καρδίας πιστῶν, εἰς τὸ μὴ ἐκτραπῆναι ἀπὸ τῆς ἐν τῷ Λόγῳ Υἱῷ Θεοῦ ἐν ἀληθείᾳ ἀκτίστῳ καὶ ἀγεννήτῳ σωτηρίας.

XLI. Quod si in mundo erat, antequam nasceretur aut gigneretur Joannes, ante illum in mundo exstitit : quod de creatione aut effectione intelligi non debet, sed ad communem loquendi rationem accommodatum est, qua vulgo sic loquuntur : Fui Jerosolymis, fui Babylone, fui in Æthiopia, fui Alexandriæ : ubi non creatio ulla, vel productio, **764** sed accessio et adventus exprimitur. Nam B istud : Fui Babylone, vel alio loco, idem valet atque, Eo perveni. Quamobrem et illud : *Ante me factus est*, ideo dictum est, ut Verbi ad terram accessionem demonstret. Item illud : *Prior me erat*, divinitatem, quæ semper exsistit, ostendit; hæc vero, *qui post me venit*, post Joannem esse genitum. Propterea, *Ego vox*, inquit, *clamantis in deserto*[4], hoc est, vox ad præparandas hominum aures emissa. Qui enim clamant, ut eminus eos evocent quibus significare aliquid cupiunt, sonoram quamdam initio vocem, nec articulatam proferunt : cumque illi sola exaudita voce ad audiendum mentem adhibuerint, atque aurem admoverint, tum vociferator ille quod dicere constituerat distinctius eloquitur. Ita ergo Joannes vox quædam fuit præparandis hominum auribus. Non enim Sermo ipse fuit, sed post C illum Sermo tandem advenit, cujus gratia præparatrix illa vox antecesserat. Unde etiam ita loquitur : *Vox clamantis in deserto : Parate vias Domini*[5]. Quippe vox præparat, Dominus autem præparatas jam vias ingreditur. Itemque vox aures ad audientiam componit : quæ ubi vacuas se præbuerint, tum sermo audientium auribus immittitur. Nihil est igitur quod Arius ejusque fautores arripiant ex hoc loco, cum divina veritas fidelium animos perpetuo collustret, ne ab ea salute deflectant, quæ per Verbum Dei Filium revera increatum ac genitum obtinetur.

ΜΒ'. Προκοπτόντων δὲ πάλιν ἡμῶν, καὶ ἐπὶ τὰς ἑξῆς βαινόντων, οὐδὲν παραλείψομεν τῶν ἄνω προ-

XLII. Jam vero progredientes porro, et ad ea quæ sequuntur deinceps transeuntes, nihil eorum

[1] F. Ἀντιοχείᾳ. [2] F. εἰς τὴν ἀκ. [3] Joan. I, 10. [4] Matth. III, 3. [5] ibid.

(95) *Εἰ δὲ ἐν κόσμῳ ἦν*. Nova quadam ratione Joannis illa verba declarat : *Ὃς ἔμπροσθέν μου γέγονε, Qui ante me factus est*, ut interpres noster reddidit, quasi γέγονεν idem significet ac *fuisse*, sive profectum aut alicubi versatum esse. Quo sensu prius Joanne Dei Filius exstitit, propterea quod sæpius, vel antequam humanam carnem indueret, veteribus patriarchis apparuit. Tertull. II, *contra Marc.*, cap. 27: *Nam et profitemur Christum semper egisse in Dei Patris nomine, ipsum ab initio conversatum, ipsum congressum cum patriarchis et prophetis*, et cætera, quæ caute, uti dixi, legenda sunt; ut et Justini locus ille, ex quo Tertullianus ista sumpsit. Idem porro, sed longe prudentius, docet Augustinus *contra Adiman.*, cap. 9 : *Quia ipse Filius*, inquit, *qui est Verbum Dei, non solum novissimis temporibus, cum in carne apparere dignatus est, sed etiam prius* D *a constitutione mundi, cui voluit de Patre annuntiavit, sive loquendo, sive apparendo, vel per angelicam aliquam potestatem, vel per quamlibet creaturam*, etc. Sed eam quæstionem uberius exponit lib. II, *De Trinit.* Redeo ad Epiphanium, qui ἐγένετο (sic enim legit, pro γέγονεν) idem esse putat atque *accessit* et *advenit*. Quod mihi quidem non probat. Ac si Græci vocabuli vim consideres, γέγονε idem esse potest, ac *productus*, vel *genitus est* : quod Dei Filio convenit; nam ante Joannem genitus est; aut certe idem est, atque exstitit. At noster interpres alio sensu, *factus est*, vertit. Quasi id velit Joannes : *Ante me factus est*, id est majori quadam in excellentia ac dignitate constitutus. Potest et ad divinam prædestinationem, ac προορισμόν revocari : de qua Paulus Rom. I, com. 4.

Digitized by Google

prætermittemus quæ ad dissolvendum initio proposuimus, sed consequentia ordine pertexemus. Ex alio itaque loco opinionis suæ comprobandæ argumentum eliciunt : ex eo, inquam, quod Petrus in Actis apostolorum dixisse legitur : *Manifestum sit vobis, omnis domus Israel, quoniam hunc Jesum, quem crucifixistis, et Dominum, et Christum ipsum Deus fecit* [1]. Quibus in verbis observandum illud monent, quod *fecit* scribatur, nec ad ipsam sententiam attendunt, quæ seipsam declarat. *Hunc*, inquit, *Jesum*, ut assumptam a Domino naturam hominis demonstret. Nam ex his verbis : *Hunc Jesum quem crucifixistis*, perspicuum est de carne illa esse sermonem, quam isti crucifixerant. Propterea Dominus in Evangelio : *Nunc autem*, ait, *quæritis me interficere hominem, qui veritatem locutus sum vobis, quam audivi a Patre meo* [2]. 765 Neque tamen ab humana illa natura divinitatem abstraxit. Siquidem hæc ab illa imminente passione separata non fuit, nec in ipsa demum passione eadem est a Verbo illa derelicta. Sed neque Verbum passionis omnis expers antea passum est, quamvis in carne patiente resideret. Etenim una et eadem appellatio tam Dei, quam hominis, naturæ vere et proprie convenit, ac tam suscepta hominis a Verbo natura, quam Dominus in assumpta carne subsistens Christus dicitur. Verum passus in carne ad eum modum dicitur, quo Petrus locutus est : *Christo passo pro nobis in carne* [3], quo immunem ab omni patiendi conditione Divinitatem significet. Item : *Mortuus in carne, vivificatus autem spiritu* [4]. Ergo, *hunc Jesum, quem crucifixistis*, ideo dixit, ne a passionis et creationis experte Verbo relicta humana natura videatur, sed cum eodem conjuncta. Ob id Dominum Christumque fecit Deus id quod ex Maria genitum erat, et cum divinitate copulatum. Non enim Maria Deus exstitit : unde verbum illud, *fecit*, mox addidit.

Sed et angelus Gabriel interroganti Mariæ : *Quomodo fiet istud, quoniam virum non cognosco?* respondit : *Spiritus Domini superveniet in te, et virtus Altissimi obumbrabit te. Ideoque quod gignetur sanctum, vocabitur Dei Filius* [5]. Jam cum dixit, *quod gignetur*, extra omnem controversiam de Dei Verbo significavit, haud dubie Filium esse, qui nec creatione nec effectione productus fuerit. De suscepta autem e Maria hominis natura cum additamento illo, *quod gignetur*, illud accipi debet, *Christum et Dominum fecit*, perinde atque in aliis locis manifeste impleta omnia sunt, nec difficultatis quidquam continent. Ita, inquam, quod hoc loco dicitur, in incarnatione perfectum est. Quare nihil est quod hi qui vitæ suæ curam gerunt, abripi se in errorem ullo modo patiantur. Denique vivum Verbum a vivo Patre processit, Filius Patris, non ab eo creatus. Porro omnia in incarnatione per-

A τεταγμένων εἰς ἐπίλυσιν, ἀλλὰ αὖθις πάλιν ἐπιλη-
ψόμεθα τῆς ἀκολουθίας. Προφασίζονται γὰρ πάλιν
ἑτέραν πρόφασιν τὴν ὑπὸ τοῦ ἁγίου Πέτρου ἐν ταῖς
Πράξεσιν εἰρημένην· ὅτι *Φανερὸν ἔστω ὑμῖν, πᾶς*
οἶκος Ἰσραὴλ, ὅτι τοῦτον τὸν Ἰησοῦν ὃν ἐσταυ-
ρώσατε, καὶ Κύριον καὶ Χριστὸν αὐτὸν ὁ Θεὸς
ἐποίησε. Καὶ λέγουσι πάλιν, ὅτι τὸ ἐνταῦθα *ἐποίησε*
γέγραπται. Καὶ οὐχ ὁρῶσι τὸ ῥητὸν (αὐτὸς γὰρ
ἑαυτῷ τὸ ῥητὸν μηνύει). *Τοῦτον* γὰρ *τὸν Ἰησοῦν*,
ἵνα σημάνῃ τὴν ἀνανθρώπησιν Κυρίου. Ἀπὸ τοῦ γάρ,
Τοῦτον τὸν Ἰησοῦν, ὃν ἐσταυρώσατε, φανερόν τί
ἐστιν ὅτι ἣν ἐσταύρωσαν σάρκα. Σάρκα γὰρ ἐσταύ-
ρωσαν. Καὶ διὰ τοῦτο ὁ Κύριος ἐν τῷ Εὐαγγελίῳ·
Νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι ἄνθρωπον, ὃς τὴν
ἀλήθειαν ὑμῖν ἐλάλησα, ἣν ἤκουσα παρὰ τοῦ
B *Πατρός μου*· ἀλλ' οὐ τῆς ἀνανθρωπήσεως διορίζων
τὴν θεότητα. Οὔτε γὰρ ἐκτὸς τῆς ἀνανθρωπήσεως
ὑπῆρχεν ἡ θεότης, ὁπηνίκα ἔμελλε πάσχειν, οὔτε ἐν
τῷ πάσχειν ἐγκαταλείφθη ὑπὸ τοῦ Λόγου ἡ ἔνσαρκος
παρουσία. Ἀλλ' οὔτε ὁ ἀπαθὴς Λόγος πέπονθε τὸ
πρότερον ἐν σαρκὶ ὢν τῇ πασχούσῃ. Ἀληθὲς γάρ
ἐστιν ἐπ' ἀμφοτέρων τὸ ἓν ὄνομα, ἔν τε τῇ θεότητι
καὶ ἐν τῇ ἀνθρωπήσει. Χριστὸς γὰρ ἡ ἀνανθρώπησις
αὐτοῦ τοῦ Λόγου, καὶ Χριστὸς Κύριος ἐν αὐτῇ τῇ
ἐνσάρκῳ παρουσίᾳ. Ἀλλὰ τὸ μὲν παθεῖν ἐν σαρκὶ,
καθὼς εἶπε Πέτρος, ὅτι *Χριστοῦ παθόντος ὑπὲρ*
ἡμῶν σαρκὶ, ἵνα δείξῃ τὴν ἀπάθειαν τῆς θεότητος·
καὶ πάλιν· *Ἀποθανὼν ἐν σαρκὶ, ζωογονηθεὶς δὲ*
τῷ Πνεύματι. Τοῦτο [6] οὖν *τὸν Ἰησοῦν ὃν ἐσταυ-*
C *ρώσατε*, ἵνα μὴ παραλειφθῇ ἡ ἁγία ἔνσαρκος οἰκο-
νομία ἀπὸ τοῦ ἀπαθοῦς καὶ ἀκτίστου Λόγου, ἀλλὰ
συνενωθῇ ἄνω τῷ ἀκτίστῳ Λόγῳ. Διὰ τοῦτο καὶ Κύ-
ριον καὶ Χριστὸν ὁ Θεὸς ἐποίησε τὸ ἐκ Μαρίας συλ-
ληφθὲν, τὸ ἐν θεότητι συνενωθέν· οὐ γὰρ ἡ Μαρία
Θεὸς κατὰ φύσιν. Διὰ τοῦτο ἐξῆς τὸ *ἐποίησεν* ἐπι-
φέρει.

Ὡς καὶ ὁ ἄγγελος Γαβριὴλ φησιν, ἐρωτησάσης αὐ-
τῆς, ὅτι *Πῶς ἔσται τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω*;
φησί· *Πνεῦμα Κυρίου ἐπελεύσεται ἐπὶ σὲ, καὶ*
δύναμις Ὑψίστου ἐπισκιάσει σοι. Διὸ καὶ τὸ γεν-
νώμενον ἅγιον κληθήσεται Υἱὸς Θεοῦ. Ὅταν δὲ
εἴπῃ, *καὶ τὸ γεννώμενον*, ἔδειξεν ἀκαταζητήτως περὶ
D Θεοῦ Λόγου, ὅτι Υἱός ἐστιν ἀναμφιβόλως, οὐ κτισθεὶς,
οὐ ποιηθείς. Περὶ [7] δὲ ἀπὸ Μαρίας τῆς ἐνσάρκου
οἰκονομίας, μετὰ προσθήκης, *καὶ τὸ γεννώμενον*,
τὸν Χριστὸν καὶ Κύριον ἐποίησεν· ὡς ἐπὶ ταῖς
ἄλλαις ῥήσεσι πάντα σαφῶς ἐπληρώθη, καὶ οὐδὲν
καμάτου περιέχουσιν. Οὕτω καὶ ἐνταῦθα ἐν τῇ ἐν-
σάρκῳ παρουσίᾳ πεπλήρωται· καὶ οὐδεμία ἐστὶ
παρεκτροπὴ τοῖς τῆς ἰδίας ζωῆς ἐπιμελουμένοις.
Ζῶν γὰρ ὁ Λόγος ἀπὸ ζῶντος Πατρὸς, Υἱὸς τοῦ Πα-
τρὸς, καὶ οὐ κτιστός. Πάντα δὲ ἐν τῇ ἐνσάρκῳ πα-
ρουσίᾳ πεπλήρωται, ἵνα μήτε φάντασμα νομισθείη,
μήτε ὁμοούσιος ἡ σὰρξ τῇ ἄνω θεότητι, ἀλλὰ συν-

[1] Act. II, 36. [2] Joan. VIII, 19. [3] I Petr. IV, 1. [4] I Petr. III, 18. [5] Luc. I, 34 sqq. [6] Leg. forte τοῦτον. [7] Intricatus hic locus.

Digitized by Google

ηνωμένη ἡ ἐνανθρώπησις αὐτοῦ εἰς μίαν ἀπάθειαν, μάλιστα μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν. *Οὐκέτι γὰρ ἀποθνήσκει*, φησὶ, *θάνατος αὐτοῦ οὐκέτι κυριεύει.* Ἔστι γὰρ εἷς Κύριος, εἷς Χριστὸς, εἷς βασιλεὺς, ἐν δεξιᾷ Πατρὸς καθήμενος, τὸ σωματικὸν καὶ πνευματικὸν, μία ἕνωσις, μία θεότης πνευματικὴ, τὰ ἀμφότερα φωτεινὰ καὶ ἔνδοξα. Ἔτι δὲ ὑπερβήσομαι τὸ ῥηθὲν ἱκανῶς ἑρμηνευόμενον νομίζων, καὶ ἐπὶ τὰ ἕτερα τῆς[1] αὐτῶν εἰς ἀνατροπὴν τῶν ἀκουόντων ἐπινενοημένα τοῦ λέγειν ἐπιλάβοιμι.

A

fecta sunt, ne aut inanis quædam species, aut divinitati consubstantialis caro crederetur, sed in unam passionis expertem naturæ conditionem consociata natura hominis intelligeretur : id quod præcipue post resurrectionem contigit. *Non enim amplius moritur*, inquit; *mors illi ultra non dominabitur* [2]. Est enim unus Dominus, unus Christus, **768** unus rex ad dexteram Patris considens, unum quiddam spiritale pariter et corporeum, singularis unitas, una spiritalis divinitas, splendoris ambo glorizeque plenissimæ. Verum de hoc loco hactenus; abunde enim a nobis explicatum arbitror. Nunc ad alia veniendum, quæ ad audientium perniciem ab illis excogitata sunt.

ΜΓ'. Φασὶ γὰρ πάλιν (96)· Εἰ ἔστιν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, πῶς οὐκ οἶδε τὴν ὥραν καὶ τὴν ἡμέραν, ἀλλὰ ἰδίῳ λόγῳ ὁμολογεῖ τοῖς μαθηταῖς μὴ εἰδέναι ἃ ὁ Πατὴρ ἐπίσταται, φήσας, ὅτι *Περὶ τῆς ἡμέρας ἐκείνης καὶ τῆς ὥρας οὐδεὶς οἶδεν, οὔτε οἱ ἄγγελοι ἐν οὐρανῷ, οὔτε ὁ Υἱὸς, εἰ μὴ ὁ Πατὴρ μόνος*; Εἰ τοίνυν, φασὶν, ὁ Πατὴρ οἶδε, καὶ αὐτὸς οὐκ οἶδε, πῶς δύναται ἡ αὐτὴ θεότης Πατρὸς καὶ Υἱοῦ ὑπάρχειν, ὁπότε ἃ οἶδεν ὁ Πατὴρ, ὁ Υἱὸς ἀγνοεῖ; Ὅσα δὲ μυστικῶς, καὶ ἐν τῇ ἐνθέῳ αὐτοῦ σοφίᾳ πρὸς ἀσφάλειαν γνώσεως ἀληθεστάτης, ὁ Μονογενὴς διδάσκων ὑφηγεῖτο, οὗτοι ἀγνοοῦντες τὰ ἀνθρωποπαθῆ, πάντα εἰς ἑαυτῶν βλάβην, ὥσπερ δεινὰ ἑρπετὰ, καὶ εἰς ἑαυτῶν λύμην τὰ ὑπὸ τοῦ πανούργου θηρευτοῦ δεδελεασμένα ἁφαρπάζουσιν, οὐκ εἰδότες, ὅτι τὸ ψεῦδος οὐδαμοῦ σταθήσεται, ἡ δὲ ἀλήθεια πάντη τοὺς ἰδίους αὐτῆς υἱοὺς διορθοῦται, καὶ ἐξελέγχει τὸ ψεῦδος. Εἶπω γὰρ ὑμῖν[3] οἱ τὴν κακὴν ὑπόνοιαν περὶ τοῦ Χριστοῦ κεκτημένοι ἀπ' ἀρχῆς· Τί μεῖζόν ἐστι κατὰ φύσιν καὶ πρὸς τὴν εἴδησιν, ὁ Θεὸς ὁ πάντων δεσπότης, καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἢ ἡ ἡμέρα ὑπὸ Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος ἀγομένη τε, καὶ γινομένη, καὶ ἡ ὥρα ἐκείνη; Πάντως δὲ ἐρωτώμενοι ἀναγκασθήσονται ἀπ' αὐτῆς τῆς ἀληθείας τὸν Πατέρα μεῖζονα λέγειν, ὡς καὶ ἔστιν. Εἰ τοίνυν φάσκει ὁ Υἱὸς λέγων· *Οὐδεὶς οἶδε τὸν Πατέρα εἰ μὴ ὁ Υἱὸς, καὶ οὐδεὶς οἶδε τὸν Υἱὸν, εἰ μὴ ὁ Πατήρ*· ὁ τὸ μεῖζον γινώσκων, τουτέστι τὸν Πατέρα, πῶς τὸ ἧσσον ἀγνοεῖ; Ἀλλὰ ἔστι θεῖα τὰ ῥήματα Πνεύματι ἁγίῳ λεγόμενα, ἄγνωστα δὲ τοῖς μὴ εἰληφόσι Πνεύματος ἁγίου δωρεὰν καὶ χάριν. Τοιοῦτοι γὰρ ὄντες οἱ προειρημένοι, ἄστατον ἔχουσι καὶ τὸ φρόνημα, ἠλίθιόν τε τὴν διάνοιαν, εἰς ἐπιβλαβεῖς καὶ εἰς ἧσσονας παρεκτροπὰς ὀλισθαίνουσαν.

B

C

D

XLIII. Hoc enim objiciunt : Si ex essentia Patris est, quomodo horam ac diem ignorat, seque quod Pater novit nescire discipulis suis fatetur? *De die illa*, inquit, *et hora nemo novit, neque angeli in cælo, neque Filius, nisi solus Pater* [4]. Si igitur Pater novit quod ignorat ipse, qui potest Patris ac Filii eadem esse divinitas, cum Filius quæ Patri cognita sunt nesciat? Verum quæ mystice, ac pro divina sua sapientia ad certissimæ scientiæ firmitatem ac munimentum Dei Filius docendo proposuit, quæque ad humanam conditionem accommodata sunt, ignari isti suam ad pestem ac perniciem trahunt; tanquam serpentes quidam exitiabiles, atque ab callido captatore esca quadam et illecebra pellecti; nec illud sentiunt, hanc esse mendacii naturam, ut consistere nuspiam possit; contra veritatem non eos solum, quos tanquam filios habet, moderari ac regere, sed et mendacium omne convincere. Hoc enim petere a vobis libet, o miseri, qui de Christo Domino tam male ab ipso principio sentitis : Ecquid ad naturæ dignitatem aut cognitionem majus esse videatur, Deusne Dominus omnium, ac Pater Domini nostri Jesu Christi, an dies illa vel hora, quæ a Patre, Filio et Spiritu sancto producitur atque efficitur? Necesse est omnino vel ipsa veritate cogente respondeant, multo, ut revera est, majorem esse Patrem. Itaque cum hoc Filius asserat : *Nemo novit Patrem, nisi Filius; et nemo novit Filium nisi Pater* [5]; qui quod majus est, Patrem videlicet, novit, quod minus est, ignorare qui potest? Sed ejusmodi sunt divini illi sermones, ut cum ex sancti Spiritus afflatu prolati sint, minime ab illis percipiantur, qui Spiritus sancti donum gratiamque non acceperint. Cujusmodi cum hæretici illi sint, instabili et inconstanti ingenio, ac stolida mente præditi sunt, quæ in perniciosissimorum atque infimorum errorum diverticula labatur.

ΜΔ'. Προϋπαντήσεται γὰρ αὐτοῖς τὸ ὑπ' αὐτοῦ τοῦ Κυρίου εἰρημένον· ὅτι *Γίνεσθε ἕτοιμοι. Αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι, καὶ αἱ λαμπάδες ὑμῶν ἐν ταῖς χερσὶν ὑμῶν. Καὶ ἔσεσθε ὡς καλοὶ δοῦλοι, προσδοκῶντες τὸν ἴδιον δεσπότην.*

XLIV. Nam occurrere illorum conatibus potest, quod a Domino pronuntiatur : *Estote parati* [6]. **767** *Sint lumbi vestri præcincti, et lucernæ vestræ in manibus vestris. Et eritis tanquam boni servi, exspectantes dominum suum* [7]. *Ut enim fur de nocte,*

[1] Pro τῆς forte ὑπ'. Vel τοῖς αὐτοῖς. [2] F. εἴπωσιν, et ἡμῖν. [3] Rom. VI, 9. [4] Matth. XXIV, 36; Marc. XIII, 32. [5] Matth. XI, 27. [6] Matth. XXIV, 44. [7] Luc. XII, 35.

(96) *Φασὶ γὰρ πάλιν.* De hoc Marci testimonio disserit Athanasius orat. 4 *adversus Arianos*; August. lib. 1 *De Trinit.*, cap. 12; Hilar. IX *De Trin.*, et alii complures.

Digitized by Google

sic advenit dies illa[1]. Cui et sanctus Apostolus astipulatur : *Non estis*, inquit, *tenebrarum filii, sed diei ; ne dies tanquam fur vos apprehendat*[2]. Quare cum diei filii tenebris non obducantur, sed parati sint, quoniam qua die nesciunt, et quæ hora non exspectant, dominus ipsorum advenit ; nihil, opinor, a servis suis, ac diei filiis is, qui istorum omnium causa illis est, splendidissima sua persona ac divinitate discrepabit. Ac scilicet, perinde ut diei illius ignari imparatique, nescius et imprudens occupabitur, hac ipsa re mancus ac defectus. Quis adeo furiosus est ac vecors, ut ejusmodi quædam de Christo cogitet, nimirum ejusdem illum conditionis esse, cujus homines sunt ejus dominatui ac disciplinæ subjecti ; aut ut deteriores illi qui imparati ignarique sunt ? Est illud sane quam stolidum ac ridiculum. Quamobrem cum hæc ita se habere nequeant, et oratio ipsa cum usu comparata repugnare videatur, excogitanda nobis aliqua ratio est, ut utrisque sine ulla contradictione salvis, a veritate non excidamus. Mentiri quippe Dominus non potest, aut ad vitam nostram instituendam frustra aliquid præcipere. Quocirca cognoscit Pater diem illum, cognoscit et Filius, cognoscit et Spiritus sanctus. Nec est quidquam in Patre a Filio diversum, aut in Filio a Spiritu sancto discrepans ; quemadmodum in unaquaque superiorum hæreseon refutanda, ubi id necesse fuit, certissimis rationibus ostendimus, sacrosanctam videlicet Trinitatem una divinitate constare, neque quidquam diversum in sese variumque continere ; sed ipsam omnino perfectionem esse, in qua tria perfecta sint, quibus unius et singularis gloriæ prædicatio ac singularis dominatio tribuatur.

XLV. Dices : Cur igitur hoc ille dicit ? Jam quidem alias nobis illa disputata quæstio est, sed nihil modo prohibet, quominus eadem illa repetamus hoc loco. Atque eosdem illos verissimos sermones usurpare neque me pigebit[3], et lectoribus ad cautionem utile, atque ad refellendos adversarios cumprimis opportunum videtur. Sic igitur sese res habet. Triplicem in illo loco Christus ordinem proposuit : Patrem, seipsum ac cœlestes angelos. Ex quibus Patri quidem **768** illius diei notitiam detulit. Neque hanc solum indicavit, sed et alia omnia, quæ in Patris ac Filii potestate sine ulla controversia perpetuo fuerunt, quæque ab illis producta ac perfecta sunt. Novit itaque Pater diem illam ; novit, inquam, et produxit, ac judicavit, prout in Joannis Evangelio Dominus narrat : *Pater*, inquit, *neminem judicabit, sed omne judicium dedit Filio*[4]. Hoc enim ipso quod judicium dedit, judicasse putandus est. Ergo cum judicaverit, novit quando sit illa dies ventura. Nam *qui non credit in Filium, jam judicatus est*[5]. Non quod judicium jam præterierit, sed quod quæ tunc futura sunt modo declarentur : cujusmodi quiddam in præsenti

A Ὡς γὰρ λῃστὴς ἐν νυκτὶ, οὕτως παραγίνεται ἡ ἡμέρα. Καὶ ὁ ἅγιος Ἀπόστολός φησιν· Οὐκ ἐστὲ σκότους τέκνα, ἀλλὰ ἡμέρας, ἵνα ἡ ἡμέρα ὑμᾶς μὴ ὡς κλέπτης καταλάβῃ. Εἰ τοίνυν οἱ υἱοὶ τῆς ἡμέρας οὐχ ὑπὸ σκότους καλύπτονται, ἀλλὰ ἕτοιμοι γίνονται, ὅτι ᾗ οὐκ οἴδασιν ἡμέρᾳ, καὶ ᾗ οὐ προσδοκῶσιν ὥρᾳ, ὁ δεσπότης αὐτῶν παραγίνεται· ἆρα οὐ διαλλάξει παρὰ τοὺς αὐτοῦ δούλους καὶ υἱοὺς τῆς ἡμέρας διὰ τὴν αὐτοῦ φωτεινὴν ὑπόστασίν τε καὶ θεότητα, αὐτὸς αἴτιος αὐτοῖς τούτων τυγχάνων. Ἢ ὅτι, ὡς οἱ ἀγνοοῦντες τὴν ἡμέραν, καὶ μὴ ἑτοιμασθέντες, καταληφθήσεται ἀγνοῶν, καὶ ὑπ' ἐλαττώσει τυγχάνων. Τίς δὲ μεμηνὼς ταῦτα περὶ Κυρίου λογίσοιτο, ὅτι αὐτὸς ἔσται, ὡς οἱ ὑπ' αὐτοῦ δεσποζόμενοι ἄνθρωποι, καὶ μεμαθητευμένοι, ἢ ὡς οἱ χείρους B διὰ τὴν αὐτῶν ἀνετοιμασίαν καὶ ἄγνοιαν; Καὶ τὸ ὅλον ἐστὶν ἠλίθιον. Εἰ τοίνυν ταῦτα οὐ δύναται πληροῦσθαι, ὁ δὲ λόγος παρεκτεινόμενος ἀντίθετος τῇ χρήσει εὑρεθήσεται· ἆρα ζητητέον ἐστὶ, τίνα τὸν λόγον εὕρωμεν, ἵνα, ἀναντιθέτως τῶν ἀμφοτέρων σωζομένων, μὴ ἐκτραπῶμεν τῆς ἀληθείας. Ἀδύνατον γὰρ τὸν Κύριον ψεύδεσθαι, καὶ ἀδύνατον αὐτὸν μάτην τὰς ἐξηγήσεις εἰς ἡμετέραν ζωὴν ποιεῖσθαι. Γινώσκει τοίνυν ὁ Πατὴρ, γινώσκει ὁ Υἱὸς, γινώσκει τὸ ἅγιον Πνεῦμα. Οὐδὲν γὰρ ἐν Πατρὶ διηλλαγμένον παρὰ τὸν Υἱὸν, οὐδὲ ἐν Υἱῷ παρηλλαγμένον παρὰ τὸ Πνεῦμα, ὡς ἐν ἑκάστῃ τῶν προειρημένων αἱρέσεων ἐν χρείᾳ καταστάντες ἀπεδείξαμεν, ἐξ ἀληθινῶν συστάσεων τὴν Τριάδα εἶναι μίαν θεότητα, καὶ μηδὲν ἔχειν ἐν ἑαυτῇ παρηλλαγμένον, ἀλλὰ τὸ πᾶν τε- C λειότης, τρία τέλεια, μία δοξολογία, καὶ μία κυριότης.

ΜΕ'. Ἀλλ' ἐρεῖς μοι· Τίνι τοίνυν τῷ λόγῳ εἰρηκε τοῦτο; Καὶ ἤδη μὲν ἄλλῃ μοι περὶ τοῦ λόγου τούτου πέφρασται· οὐδὲν δὲ κωλύσει τοῖς αὐτοῖς προσθεῖναι. Καὶ τὰ αὐτὰ ἀληθινὰ ῥήματα λέγειν ἐμοὶ μὲν οὐκ ὀκνηρὸν, τοῖς δὲ ἐντυγχάνουσιν ἀσφαλὲς ἔσται, τοῖς δὲ ἐναντίοις εἰς ἔλεγχον. Ἡ γὰρ ὑπόθεσις τοῦτον ἔχει τὸν τρόπον. Τρία γὰρ τάγματα ἐν ταυτῷ ὑπεισήνεγκεν ἐν μέσῳ, Πατέρα, καὶ ἑαυτὸν, καὶ πάντας ἀγγέλους ἐν οὐρανῷ. Καὶ τῷ μὲν Πατρὶ ἀπέδωκε τὸ εἰδέναι, οὐ μόνον εἰδησιν ὑποδεικνύων καὶ γνῶσιν, ἀλλὰ καὶ τὰ ἀεὶ παρὰ Πατρὶ καὶ παρὰ Υἱῷ ἀναμφι- D βόλως κεκρατημένα τε καὶ γεγεννημένα, καὶ εἰργασμένα. Καὶ ὁ μὲν Πατὴρ οἶδε τὴν ἡμέραν· οἶδεν αὐτὴν καὶ εἰργάσατο, καὶ πέπραχε, καὶ ἔκρινεν, ὡς ἔφη ἐν τῷ κατὰ Ἰωάννην Εὐαγγελίῳ· ὅτι *Ὁ Πατὴρ οὐδένα κρινεῖ, ἀλλὰ τὴν πᾶσαν κρίσιν δέδωκε τῷ Υἱῷ.* Ἐν γὰρ τῷ δεδωκέναι, κέκρικεν. Κρίνας τοίνυν ἔγνω, γνοὺς οἶδε πότε ἔρχεται. *Ὁ γὰρ μὴ πιστεύων εἰς τὸν Υἱὸν ἤδη κέκριται*, οὐ τῆς κρίσεως παρελθούσης, ἀλλὰ τῶν τότε μελλόντων ἔσεσθαι ἤδη ἀποδεικνυμένων, ὡς καὶ ἐπὶ τύπῳ τὸ τοιοῦτον πληροῦται. Οἶδε[6] γὰρ ἡ Γραφὴ εἶδησιν καὶ εἶδησιν, ὡς καὶ πολλάκις εἰς τὸ συνεκτικὸν κατερχόμενοι ἀπὸ ὁμοιω-

[1] 1 Thess. v, 2. [2] ibid. 4. [3] Philipp. III, 1. [4] Joan. v, 22. [5] Joan. III, 18. [6] Deest nonnihil

Digitized by Google

μάτων καὶ παραδειγμάτων τῶν ἤδη πεπραγματευμένων τὴν σαφήνειαν καὶ τὴν φράσιν ἑκάστης ὑποθέσεως, παριστῶντες οὐ διελείψαμεν.

negotio cernitur. Quippe Scriptura non unum scientiæ genus complectitur. Cæterum quod hactenus sæpe ac constanter fecimus, ut ad rei, qua de agitur, illustrationem et explicationem similitudines quasdam et exempla proponeremus ex præteritis rebus ac gestis, a quibus ad argumentum ipsum et caput disputationis perveniremus, idem in præsentia faciendum judico.

ΜΖ'. Ἀάδωμεν τοίνυν ἐξυπαρχῆς αὖθις, καὶ περὶ τούτων εἴπωμεν. Τί φατε, ὦ οὗτοι; Ἤδει Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ καὶ πρὸ τῆς παρακοῆς καὶ παραβάσεως, ἢ οὐκ ἤδει; Καὶ οὐ δύνασθε ἀντειπεῖν τῇ ἀληθείᾳ. Ἐὰν γὰρ μὴ θελήσητε ὀρθοποδῆσαι πρὸς τὸν τοιοῦτον νοῦν, ἐλεγχθήσεσθε. Ἦσαν γὰρ, φησὶ, γυμνοὶ, καὶ οὐκ ἠσχύνοντο· γυμνῶν δὲ αὐτῶν ὄντων, καὶ οὐ τυφλωττόντων· οὔτε γὰρ τοῦτο ἀρνήσασθαι δύνασθε, μὴ βλέποντας αὐτοὺς ὁμολογῆσαι· Εἶδε γὰρ, φησὶν, Εὔα τὸ ξύλον, ὅτι καλὸν εἰς βρῶσιν, καὶ ὡραῖον τοῦ καταφαγεῖν. Ἆρα γοῦν ἤδει, καὶ ἤδεισαν. Εἰδότες δὲ, καὶ ὁρῶντες, ἀλλήλους ἐπεγίνωσκον. Ἦν μετὰ πολὺν[1] χρόνον, φησὶν ἡ Γραφὴ, καὶ ἔγνω Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ. Ἀλλὰ τὴν μὲν πρώτην εἴδησιν καὶ βλέψιν περὶ εἰδήσεως δι' ὁράσεως συνιστσμένης λέγει καὶ διὰ ἐννοίας· περὶ δὲ τῆς δευτέρας γνώσεως, περὶ εἰδήσεως καὶ χρήσεως ἀπαγγέλλει· ὡς καί που Δαβὶδ γηράσας, ὡς λέγει ἡ θεία Γραφή· Καὶ ἐγήρασε Δαβὶδ, καὶ οὐκ ἐθερμαίνετο. Καὶ εἶπον αὐτῷ οἱ παῖδες αὐτοῦ· Ζητηθήτω τῷ βασιλεῖ παρθένος. Καὶ εὑρέθη Ἀβισὰκ ἡ Συναμῖτις. Καί φησιν· Ἐθαλπεν αὐτὸν, καὶ συνεκοιμᾶτο αὐτῷ. Καὶ οὐκ ἔγνω αὐτὴν Δαβίδ. Τὴν σύσσωμον καὶ σύμπλευρον πῶς οὐκ ἤδει; Ἀλλ' ἐνταῦθα εἴδησιν οὐ τὴν δι' εὐνοίας[2] διηγεῖται, ἀλλὰ τὴν διὰ χρήσεως. Καὶ γὰρ καὶ ἐπὶ τοῦ Ἰακώβ· ὅτι μὲν γὰρ ἑπτὰ ἔτη ἐτύγχανε ποιμαίνων μετὰ Ῥαχὴλ καὶ Λίας, καὶ ἤδει αὐτάς· ὅτε δὲ περὶ τῆς συναφείας τῆς τοῦ σεμνοῦ αὐτῶν γάμου διηγεῖται, φησὶν· Ἔγνω Λίαν τὴν γυναῖκα αὐτοῦ. Ὅτι ἡ μὲν πρώτη εἴδησις δι' ἐννοίας ἦν καὶ δι' ὁράσεως, ἡ δὲ δευτέρα γνῶσις καὶ εἴδησις περὶ χρήσεως καὶ ἐνεργείας. Οὕτω καὶ ἐν τῇ θείᾳ Γραφῇ· Ἔγνω Κύριος τοὺς ὄντας αὐτοῦ. Οὐχ ὡς ἀγνοοῦντας[3] τοὺς μὴ ὄντας, ἀλλὰ τὸ ἐναργὲς τῆς τοῦ Κυρίου ἀντιλήψεως σημαίνει· καὶ, Ἀπόστητε ἀπ' ἐμοῦ, οἱ ἐργάται τῆς ἀνομίας, οὔπω ἔγνων ὑμᾶς. Ἆρα οὐκ ἤδει αὐτοὺς κατὰ εἴδησιν; Ἀλλ' ἐπειδὴ οὐκ ἦσαν ἄξιοι αὐτοῦ, τὸ πρακτικὸν ἀπ' αὐτῶν ἀναιρεῖ. Καὶ ἐν ἄλλῳ τόπῳ· Ὑμᾶς ἔγνων ἐκ πάντων ἐθνῶν. Ἆρα γὰρ τὰ ἔθνη πάντα, καὶ ὁ ἀριθμὸς πάσης ἀνθρωποτητος ἀπὸ τῆς αὐτοῦ γνώσεως παραλέλειπται; Καὶ οὐχὶ μᾶλλον αἱ τρίχες ἑκάστης κεφαλῆς ἀνθρώπου, τῶν τε αὐτῷ δουλευόντων καὶ τῶν αὐτῷ ἀπειθούντων οὐ γινώσκονται; Καὶ ὁδοὺς γὰρ τὰς ἐκ δεξιῶν οἶδεν ὁ Θεός. Ἆρα γὰρ ἀγνοεῖ τὰς ἐξ ἀριστερῶν; Καὶ πόσα ἐστὶ τοιαῦτα εἰπεῖν περὶ εἰδήσεως καὶ εἰδήσεως;

XLVI. Quare altius repetito principio, ad eum modum cum illis agamus. Quid tandem dicitis? Num Adamus uxorem Evam vel ante peccatum ac violatam legem noverat, necne? Non potestis veritati repugnare. Nisi enim in hujus rei intelligentia recta progredi velitis, facillime convincemini. *Erant*, inquit Scriptura [4], *nudi, nec pudore afficiebantur*. Atqui tum nudi erant, neque tamen cæci : quod quidem inficiari non potestis, aut non videndi facultate præditos asserere. *Vidit enim*, inquit, *Eva lignum, quoniam bonum est ad comedendum, et pulchrum visu* [5]. Proindeque et Adamus illam noverat, et utrique se mutuo cognoscebant ac videbant, et tamen longo postea tempore, ut Scriptura narrat, *cognovit Adam Evam conjugem suam* [6]. Sed nimirum prior illa cognitio ac visio de ea notitia, quæ videndi sensu et intelligentia constat, accipitur. At secunda præter notitiam usum quoque complectitur. Quemadmodum Davidi ætate jam affecta contigit, ut scriptum est : *Et senuit David, et non calefiebat. Et dixerunt ei servi sui : Quæratur regi virgo. Et inventa est Abisac Sunamitis.* Et ait : *Calefaciebat ipsum, et dormiebat cum illo. Et non cognovit eam David* [7]. Quæro quæ ad ejus corpus ac latus accubabat, num eam ignorare David potuit? Verum hoc in loco **769** non de ea cognitione loquitur, quæ sola animi comprehensione constat, sed quæ ad usum refertur. Nam et idem de Jacob usurpatur : qui septem annos cum Rachele et Lia pecora paverat, easque probe cognoverat. Nihilominus cum de honestis illorum nuptiis Scriptura loquitur, *Cognovit*, inquit, *Liam uxorem suam* [8]. Quod videlicet prima cognitio ad intelligentiam et videndi sensum, posterior ad usum actionemque referatur. Eodem modo et in sacris Litteris legimus : *Cognovit Dominus qui sunt ejus* [9]. Non quod eos ignoret, qui sui non sunt, sed divinæ cognitionis ac perfectionis vis et efficacitas exprimitur. Item illud : *Discedite a me, operarii iniquitatis : nescio vos* [10]. Num illos, quod ad cognitionem attinet, nesciebat? Sed nimirum, quod ipso digni non erant, cognitionis illius efficientiam eo verbo sustulit. Ad hæc in alio loco : *Vos*, inquit, *novi ex omnibus gentibus* [11]. Itane vero? Nationes omnes ac totius humani generis multitudo illius cognitioni subtrahetur? Annon e contrario vel capilli, qui in cujusque hominis capite sunt [12], tam eorum qui ipsi serviunt, quam qui imperium detrectant, ab eodem illo noscuntur? Item : *Vias quæ a dextris sunt novit Deus* [13]. Num sinistras ignorat? Quam multa id genus de cognitionum discrimine commemorari possunt?

[1] F. τοίνυν. [2] Cor. ἐννοίας. [3] Cor. ἀγνοοῦντος. [4] Gen. II, 25. [5] Gen. III, 6 [6] Gen. IV, 1. [7] III Reg. I, 2 sqq. [8] Gen. XXIX, 31. [9] II Tim. II, 19. [10] Luc. XIII, 27. [11] Deut. XIV, 2. [12] Matth. X, 30; Luc. XII, 7. [13] Prov. IV, 27.

Digitized by Google

XLVII. Quamobrem hoc ipsum unigenitus Dei Filius voluit. Nam cum Pater Filio judicium commiserit [1], vicissim hic judicii illius cognitionem Patri detulit : *Nemo*, inquit, *novit diem, nisi Pater* [2]. Quod duobus modis explicari potest. Primum quod quando ventura sit intelligat ; cum ex illius nutu ac voluntate hora illa ac dies adveniat. Secundo ideo nosse dicitur, quod Filio suo jam omnem illam judicii functionem tradiderit. Nec minus huic ipsi Dei Filio, utpote Deo, nec ulla re a Patre diverso, eadem est tribuenda cognitio. Quare et diem illam novit, et eamdem producit, ac perficit, et judicium administrat, nec absque illo prorsus adveniet. Neque tamen, quod ad effectionem pertinet, eam nosse dicitur, quia nondum judicium instituit. Nam et impii adhuc impietatem exercent, et injusti B aliena per vim usurpant ; et stupratores, adulteri, ac simulacrorum cultores flagitia sua perpetrant, et diabolus molitur aliquid ; et hæreses insurgunt ; et errorum falsitas quamplurima machinatur, donec scilicet diem illum Filius Dei proferat, et unicuique quod justum est **770** attribuat ; tum demum, illam nosse dicetur, hoc est vi sua, ac potestate facere. Ergo illud in Patre duobus modis impletur ; in Filio vero scientia et cognitione tenus ; nec is tamen ignorat ; sed nondum actione ipsa perfecit ; nondum enim judicavit. Angelis porro duobus modis hæc cognitio detrahitur : quod neque quando futura sit intelligant, nec actione ipsa cognoscant, hoc est nihil adhuc effecerint. Quippe C nondum mandatum illis est, ut exeant, et impios velut lolium in fasciculos colligant, et igni ad comburendum præparent [3]. Animadvertitis, opinor, o charissimi, Deique servi, eos omnes, qui sponte sua animique proposito sibi perniciem arcessunt, frustra veritati bellum inferre, cum unusquisque magno suo malo, diversa ratione inferiorem quamdam conditionem ac sortem Dei Filio per summam contumeliam conatur ascribere.

XLVIII. Verum cum hactenus de illo Scripturæ loco satis multa dixerimus, cætera, quæ ab illis afferuntur, divino freti præsidio, cujusmodi sint videamus. Etenim generosi illi ac nimium audaces, tametsi non eadem cum Manichæis, atque aliis quam plurimis hæresibus sentiant, sed veram in Christo carnem retineant, hoc ipsum tamen non plene atque integre, sed cum defectu aliquo profitentur. Nam Salvatorem nostrum vera quidem D carne præditum fuisse concedunt. Sed cum in Evangelio audiunt [4], eumdem ex itinere fatigatum fuisse ; necnon et famem sitimque pertulisse, dormisse ac surrexisse, hæc omnia colligentes ad ejus divinitatem referunt : quam quidem argumentis ejusmodi freti alienam a natura Patris affirmare conantur. Cum enim Pater non laboret, neque sitiat, nec esuriat, ut Scriptura sacra loquitur : *Non laborabit, neque sitiet, nec esuriet nec est investigatio prudentiæ ejus* [5] ; eadem illa vero in Filio perfecta cernantur, a Patris, inquiunt, essentia et natura sit alienus oportet. Atque hæc quidem omnia ante incarnationem mi-

MZ'. Οὕτω καὶ ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ. Ἐπειδὴ γὰρ ὁ Πατὴρ τὴν κρίσιν δέδωκε τῷ Υἱῷ, τὴν τῆς γνώσεως καὶ κρίσεως γνῶσιν ἀπέδωκεν ἤδη τῷ Πατρί· ὅτι *Οὐδεὶς οἶδε τὴν ἡμέραν, εἰ μὴ ὁ Πατήρ*· κατὰ δύο τρόπους, ὅτι οἶδε, πότε ἔρχεται· καὶ γὰρ ἐπὶ τῇ αὐτοῦ ἐξουσίᾳ ἡ ἡμέρα καὶ ὥρα ἔρχεται. Καὶ οἶδεν αὐτήν· ἤδη γὰρ πέπρακται αὐτῷ παραδεδομένη ἡ κρίσις τῷ Μονογενεῖ. Οὕτω καὶ ἐν τῷ μονογενεῖ Υἱῷ τοῦ Θεοῦ, Θεῷ ὄντι, καὶ μηδὲν ἀπὸ Πατρὸς παρηλλαγμένῳ, ἡ αὐτὴ εἴδησις. Αὐτὸς γὰρ οἶδεν αὐτήν, καὶ αὐτὸς ἄγει αὐτήν, καὶ φέρει, καὶ τελεῖ, καὶ κρίνει· καὶ ἄνευ αὐτοῦ οὐκ ἔρχεται. Οὔπω δὲ ἔγνω αὐτὴν κατὰ πρᾶξιν, τουτέστιν οὔπω ἔκρινεν. Ἔτι γὰρ ἀσεβεῖς ἀσεβοῦσι, καὶ ἄδικοι πλεονεκτοῦσι· καὶ πόρνοι, καὶ μοιχοὶ, καὶ εἰδωλολάτραι ἀνομοῦσι· καὶ ὁ διάβολος ἐνεργεῖ, καὶ αἱρέσεις ἐπανίστανται· καὶ ἡ πλάνη ἐργάζεται, ἕως ἐνέγκῃ αὐτὴν τὴν ἡμέραν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, καὶ τὸ δίκαιον ἑκάστῳ ἀπονείμῃ. Καὶ γνώσεται αὐτὴν, τουτέστι πράξει αὐτὴν δυνάμει. Καὶ ἐν μὲν Πατρὶ κατὰ δύο τρόπους πεπλήρωται· ἐν δὲ τῷ Υἱῷ κατὰ εἴδησίν ἐστι, καὶ οὐκ ἀγνοεῖται· κατὰ δὲ πρᾶξιν οὔπω ἐτελέσθη· ἐπειδὴ οὔπω κέκρικεν. Ἀπὸ δὲ τῶν ἁγίων ἀγγέλων κατὰ δύο τρόπους παραλέλυται, καὶ ἐν τῷ μηδέπω [6] κατὰ πρᾶξιν ἐγνωκέναι αὐτοὺς, τουτέστιν ἐπιτελέσαι. Οὔπω γὰρ προσετάχθησαν ἐξελθεῖν, καὶ συναγαγεῖν τοὺς ἀσεβεῖς, ὡς τὰ ζιζάνια, δεσμὰς, καὶ ἑτοιμάσαι εἰς τὸ πῦρ κατακαῆναι. Καὶ ὁρᾶτε, ὦ ἀγαπητοὶ καὶ τοῦ Θεοῦ δοῦλοι, ὅτι μάτην ἕκαστος τῶν κατά τινα πρόληψιν ἑαυτοῖς τὰ δεινὰ ἐπισπωμένων ἐστρατεύσατο, διαφόρως ἕκαστος καθ' ἑαυτοῦ εἰς τὸν Υἱὸν τοῦ Θεοῦ τὰ ἧσσονα καὶ ἠλαττωμένα βλασφημεῖν ἐπιχειροῦντες.

MH'. Ἀλλὰ καὶ ταύτης ἱκανῶς τὴν φράσιν πεποιημένοι, ἐπ' ἄλλας πάλιν αὐτῶν λέξεις δῶμεν τὸν νοῦν, σὺν τῇ τοῦ Θεοῦ δυνάμει. Οἱ γὰρ γεννάδαι καὶ εἰς πάντα εὔτολμοι, καίτοι γε ὁμολογοῦντες οὐχὶ κατὰ τοὺς Μανιχαίους, οὐδὲ κατὰ ἄλλας πολλὰς αἱρέσεις, ἀλλὰ κἂν τὸ κατὰ σάρκα ἀληθὲς κατέχοντες, καὶ αὐτὸ δὲ ἐλλιπῶς, καὶ οὐ πληρέστατα. Ὁμολογοῦσι γὰρ τὸν Σωτῆρα σάρκα ἀληθινῶς ἐσχηκέναι. Ἀκούοντες δὲ ἀπ' αὐτοῦ τοῦ Εὐαγγελίου, ὅτι κέκμηκεν ἐκ τῆς ὁδοιπορίας, καὶ ἐπείνησε, καὶ ἐδίψησε, καὶ ἐκοιμήθη, καὶ ἀνέστη, ταῦτα πάντα συνάξαντες, εἰς τὴν θεότητα ἀναφέρουσι τὴν αὐτοῦ, βουλόμενοι τὴν θεότητα αὐτοῦ ὡς ἐκ τῶν τοιούτων ὑποθέσεων ἀπαλλοτριοῦν τῆς τοῦ Πατρὸς οὐσίας. Ὅτι εἰ ἔστι, φησὶν, ἐκ τοῦ Πατρὸς, τοῦ Πατρὸς μὴ κοπιῶντος, μηδὲ διψῶντος, μήτε πεινῶντος, καθὼς ἡ θεία Γραφὴ λέγει· *Οὐ κοπιάσει, οὐδὲ πεινάσει, οὐδὲ διψήσει, οὔτε ὑπνώσει, οὐδὲ ἔστιν ἐξεύρεσις τῆς φρονήσεως αὐτοῦ*· τούτων δὲ οὕτως εἰς τὸν Υἱὸν τελειωθέντων, ἀλλότριος ἄρα, φασὶν, ὑπάρχει τῆς τοῦ Πατρὸς οὐσίας τε καὶ φύσεως. Καὶ ὅτι μὲν ταῦτα εἰς τὸν Μα-

[1] Joan. v, 22. [2] Marc. xiii, 32. [3] Matth. xiii, 30. [4] Joan. iv, 6. [5] Isa. xl, 28. [6] Deest aliquid.

Digitized by Google

νογενῆ οὐκ ἐπληροῦτο πρὸ τῆς ἐνσάρκου παρουσίας, αὐτοὶ ὁμολογήσουσιν· ὅταν δὲ ὁμολογήσωσιν ἀναγκαζόμενοι, ἔλθωσι δὲ εἰς τὰ ἐν τῇ ἐνσάρκῳ αὐτοῦ παρουσίᾳ τετελειωμένα, καὶ ἀκούσωσι, διότερ ἔλαβε σῶμα, διὰ τοῦτο ταῦτα εὐλόγως ἐπιτελεῖν, ἐνδιδοὺς ὥσπερ ἡνίοχος τῷ ἅρματι εἰς τὰς εὐλόγους χρείας, ὅτι κατὰ ἀλήθειαν σάρκα ἐνεδύσατο, καὶ οὐ κατὰ δόκησιν· τότε φάσκουσι μὴ ἐκ σαρκὸς εἶναι ταῦτα μόνης. A

nime convenisse Filio, vel ipsi fateantur. Cui cum etiam inviti assenserint, et ad ea pervenerint quæ suscepta jam carne in eo perfecta dicuntur; audierint vero propter susceptum ab illo corpus, hæc merito ac justissimis de causis necessarios ad vitæ usus ab illo permissa, quemadmodum auriga moderari currum solet; quandoquidem non sola specie, sed revera carnem 771 induit; hæc cum illis objiciuntur, negant ex sola carne proficisci illa potuisse.

ΜΘ'. Καὶ γὰρ τῷ μὲν ὄντι καθ' ἑαυτὴν οὔτε διψήσει, οὔτε κοπιάσει· οὐκ ἴσασι δὲ οἱ τὴν ὁδὸν καταλελοιπότες, καὶ ἐπὶ τὰς ἐναντίας τρίβους ἐκτραπέντες, ὅτι οὐ μόνον σάρκα ὁ Υἱὸς τοῦ Θεοῦ ἔλαβεν ἐλθών, ἀλλὰ καὶ ψυχὴν, καὶ νοῦν, καὶ πάντα εἴ τί ἐστιν ἀνθρώπους, χωρὶς ἁμαρτίας, οὐκ ἀπὸ σπέρματος ἀνδρὸς, ἀλλὰ ἀπὸ Μαρίας τῆς ἁγίας παρθένου, διὰ Πνεύματος ἁγίου. Οὐ βούλονται [1] καταδέξασθαι ψυχὴν αὐτὸν εἰληφέναι διὰ τὸν τοιοῦτον πρὸς αὐτοὺς ἔλεγχον, ὅπερ ἐστὶν εὐχερέστερον ἁπάντων πρὸς ἀντίθεσιν τῆς αὐτῶν ματαιολογίας. Αὐτὸς γὰρ ὁμολογεῖ ἀληθὴς Θεὸς λέγων περὶ αὐτοῦ, ὅτι *Ἐγώ εἰμι ἡ ἀλήθεια*· ὅτι *Ἡ ψυχή μου τετάραχται*· καὶ, *Περίλυπός ἐστιν ἡ ψυχή μου*· καὶ, *Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ λαβεῖν αὐτήν*· καὶ ἵνα δείξῃ ἑαυτὸν Θεὸν μὲν εἶναι ἔχοντα τὴν ἐξουσίαν· ἀνθρώπου γὰρ οὐκ ἔστιν οὗτος ὁ λόγος. Οὐδεὶς γὰρ ἔχει ἐξουσίαν τοῦ θεῖναι τὴν ψυχὴν αὐτοῦ, καὶ λαβεῖν αὐτήν. Ὅταν δὲ περὶ ψυχῆς διηγεῖται, δείκνυσιν ἑαυτὸν ἀληθινῶς ἐνανθρωπήσαντα, καὶ μὴ δοκήσει· καὶ πάλιν· *Ἐγώ εἰμι ὁ Ποιμὴν ὁ καλὸς, ὁ τιθεὶς τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν προβάτων*. Καὶ ἵνα δείξῃ ἀληθινὰ ταῦτα ὄντα, ἐπὶ τοῦ σταυροῦ ἔλεγε τῷ Πατρί· *Εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου*. Καὶ, *Ἐλθόντων*, φησὶ, *τῶν στρατιωτῶν, εὗρον αὐτὸν ἤδη ἐκπεπνευκότα*· καὶ πάλιν, *Καὶ κράξας φωνῇ μεγάλῃ εἶπεν· Ἠλὶ, Ἠλὶ, λαμὰ σαβαχθανί; τουτέστι, Θεέ μου, Θεέ μου, ἵνα τί με ἐγκατέλιπες;* ὡς ἤδη καὶ ταύτην τὴν δύναμιν τοῦ λόγου ἐφράσαμεν. *Καὶ ἐξέπνευσε*, φησὶ τὸ Εὐαγγέλιον. Τὸ δὲ, *ἐξέπνευσε*, καὶ, *εἰς χεῖράς σου*, καὶ τὸ, *ἡ ψυχή μου τετάραχται*, καὶ τὰ ἄλλα πάντα τῆς ἀληθείας λεγούσης, τίς ἠλίθιος εἴη πεισθῆναι μὲν τοιούτῳ ἐργαστηρίῳ ἀνθρώπων μυωπαζόντων, καὶ ὀνειροπολουμένων, καὶ καταλεῖψαι αὐτὰς τὰς τοῦ Θεοῦ Λόγου εὐλόγους ῥήσεις τῆς ἀληθείας; B C D

XLIX. Et vero per seipsam sola caro neque sitire, neque fatigari poterit; sed hoc isti, qui relicta via contrarias ad semitas deflexerunt, ignorare videntur, Dei Filium non modo carnem, sed et animam, et mentem, atque omnia denique quæ sunt hominis propria, suscepisse, præter peccatum; neque hoc e virili semine, sed ex Virgine Maria, per Spiritum sanctum. At isti negant animam illum assumpsisse, quo illius argumenti vim effugiant, quod ad illorum inanem comprimendam loquacitatem cæteris omnibus promptius est ac facilius. De seipso quippe verus ipse testificatus est Deus, qui veritatem se esse dixit, hoc ipsum quod dicimus, his verbis: *Anima mea turbata est*[2]; et: *Tristis est anima mea*[3]; et: *Potestatem habeo ponendi animam meam, et sumendi eam*[4]; ut et seipsum Deum esse monstraret, penes quem istiusmodi sit potestas Usurpari enim hæc ab homine non possunt: quia nemo est, qui ponendæ animæ suæ, iterumque sumendæ facultatem habeat. At cum de anima loquitur, hominem se revera, non sola opinione factum ostendit. Item: *Ego sum Pastor bonus, qui animam suam ponit pro ovibus suis*[5]. Atque ut hæc veritati esse consentanea declararet, in cruce suspensus ita Patrem alloquitur: *In manus tuas commendo spiritum meum*[7]. *Et cum venissent*, inquit, *milites, invenerunt jam illum exspirasse*[8]. Ad hæc: *Et exclamans*, inquit, *voce magna dixit: Eli, Eli, lama sabacthani. Hoc est, Deus meus, Deus meus, quare me dereliquisti*[9]? Cujus quidem orationis vim jam ante declaravimus. *Et exspiravit*, inquit Evangelium[10]. Quæ cum ita sint, et ejusmodi voces, *exspiravit*, et *in manus tuas*, etc., et *anima mea turbata est*, ac cæteras id genus ipsa veritas usurpet, quis adeo stultus est, huic ut cæcutienti, ac somniantium hominum ergastulo fidem adhibere velit, ac veritatis voces ipsas a divino Verbo pronuntiatas, rationique consentaneas relinquere?

Ν'. Ἀλλὰ λοιπὸν λεξιθηροῦντες τὰ καλῶς καὶ ὀρθῶς εἰρημένα ἀπὸ ἑκάστης Γραφῆς, δίκην πειρατῶν ἀνδρῶν σώματα ὑγιῆ ἀκρωτηριαζόντων, μαρτυρίᾳ τινὶ κέχρηνται, ᾗ τροπικώτερον πολλάκις ἡ Γραφὴ κεχρημένη διηγεῖται. Καὶ τὸ μὲν τροπικῶς εἰρημένον ἀλήθεια φέρειν εἴωθε [2]· τὸ δὲ ἀληθὲς καὶ ἀπαρεμφάτως (97) κεκηρυγμένον εἰς ἕτερον πρόσωπον

L. Pergunt in aucupandis vocibus, quæ recte ac præclare in unoquoque Scripturæ libro conceptæ sunt. In quo piratas imitantur, qui sana corpora mutilant. Ita illi testimonio quodam abutuntur ac loquendi consuetudine, quam tropice sæpius usurpare Scriptura consuevit. Et quidem quod ad eum modum tropice dictum est, tanquam vere proprie-

[1] F. δέ. [2] F. ἀληθείᾳ φερ. εἰώθασι. [3] Joan. XII, 27. [4] Matth. XXVI, 38. [5] Joan. X, 18. [6] ibid. 11. [7] Luc. XXIII, 46. [8] Joan. XIX, 33. [9] Matth. XXVII, 46. [10] Marc. XV, 37.

(97) *Τὸ δὲ ἀληθὲς, καὶ ἀπαρεμφάτως*. Leg. ἀληθῶς. Porro ἀπαρεμφάτως idem est ac simplici, non allegorico sensu, sed proprie, et sine alterius rei significatione.

Digitized by Google

que dictum **772** afferre solent. Quod autem vere, et simpliciter pronuntiatum est, aliam ad personam per allegoriam trahunt. Hic enim accurrunt statim, et ex Isaia sententiam ejusmodi proferunt, in qua sic Pater loquens introducitur : *Ecce intelliget puer meus dilectus, in quo mihi placui, quem diligit anima mea* [1]. Quæ quidem ex Patris persona dicuntur, nec de ea re dubitandum est. Quid igitur? Num etiam Pater animam suscepit? Respondentibus nobis, minime id quidem. Ecquid igitur, inquiunt, aliud est, nisi quod tropice ista dicuntur? Perinde itaque et a Filio tropice sunt illa dicta. Ita ex hujus occasione loci magnum se contra veritatem argumentum nactos arbitrantur : quod ipsis tamen nequaquam dabimus. Quippe veritas fuci ac lenocinii omnis expers per seipsam stat; neque aut superari potest, aut exquisitum quemdam ornatum desiderat. Videamus porro quæ sit amborum vis ac potestas. Nam si Pater ad corpus descenderit, et carnem induerit, atque ejusmodi sermonem usurparit, revera etiam animam habuit. Sin carnem haud susceperit, et nihilominus hoc dixerit : *Anima mea*, etc., tropice de Deo ista prædicari putandum est, ut germanitatem, quæ inter se ac Filium intercedebat, ea ratione firmaret. Ad Filium autem eadem illa convenire nequeunt. Quippe Pater minime carnem accepit, quam Filius induit; ille non est factus homo : Filius homo factus est. Ac simili plane ratione quiddam alio loco Patri tribuitur. Nam ut hic ita loquitur : *Dilexit illum anima mea*; sic alibi : *Inveni David filium Jesse, virum secundum cor meum* [2]. Item : *Cor meum longe abest ab illis* [3]. Quare si propterea quod tropice dictum est, *quem dilexit anima mea*, id de anima verum esse confitemur, consequens est, ut eodem modo quod de corde dicitur, tropice dictum videatur. Neque potest ab homine prudente ea de re vel levissime dubitari. Ergo si de anima tropice Pater loquitur, de corde, quod minime suscepit, neque enim carnem assumpsit, necesse est ejusmodi omnia per tropum quemdam ad Patrem accommodari. Non idem tamen et de Filio sentiendum est, qui quidem carnem cum omni humanarum partium dispositione suscepit.

A ἀλληγοροῦσιν. Εὐθὺς γὰρ ἀναπηδῶσιν ἀπὸ τοῦ ἁγίου Ἡσαΐου φέροντες ῥῆσιν, ὅτι ἐκ προσώπου τοῦ Πατρὸς εἴρηται, ὅτι *Ἰδοὺ συνήσει ὁ παῖς μου ὁ ἀγαπητός, ἐφ' ὃν εὐδόκησα, ὃν ἠγάπησεν ἡ ψυχή μου.* Ὡς τοῦ Πατρὸς εἶναι ταύτην τὴν λέξιν· καὶ γὰρ ἀληθές. Πῶς οὖν καὶ ὁ Πατὴρ, φησὶ, ψυχὴν εἴληφεν; Ἐὰν δὲ εἴπωμεν, ὅτι μὴ γένοιτο! Τί οὖν, φησὶν, ἀλλ' ὅτι τροπικώτερον εἴρηται; Ἆρα οὖν, φασὶ, καὶ τὸ ἀπὸ τοῦ Υἱοῦ εἰρημένον τροπικώτερον εἴρηται. Καὶ νομίζουσιν ἐν τούτῳ κατὰ τῆς ἀληθείας εὑρίσκειν θηρᾶσθαι πρόφασιν· ὅπερ αὐτοῖς οὐ βοηθήσεται. Ἀκαλλώπιστος γὰρ οὖσα ἡ ἀλήθεια, καθ' ἑαυτὴν ἕστηκε, μήτε ἡττωμένη, μήτε καλλωπισμοῦ ἐπιδεομένη. Ἴδωμεν γὰρ τῶν ἀμφοτέρων τὴν δύναμιν. Εἰ μὲν γὰρ ὁ Πατὴρ ἦλθεν εἰς σῶμα, καὶ σάρκα ἐνεδύσατο, καὶ εἴρηκε τὸν λόγον τοῦτον, ἀληθινῶς ψυχὴν ἔσχεν· εἰ δὲ σάρκα ὁ Πατὴρ οὐκ ἐνεδύσατο, εἴρηκε δὲ, ὅτι *Ἡ ψυχή μου*, τροπικῶς τοῦτο περὶ τὸν Θεὸν ᾄδεται, ἵνα ἐνασφαλίσηται τὸ γνήσιον, καὶ δείξῃ τὴν πρὸς τὸν Υἱὸν γνησιότητα. Ἀλλ' οὐκέτι περὶ τὸν Υἱὸν τὰ αὐτὰ ἐστιν ἐν τούτῳ λέγειν. Ὁ μὲν γὰρ Πατὴρ οὐκ ἔλαβε σάρκα· ὁ δὲ Υἱὸς ἐνεδύσατο σάρκα. Ὁ Πατὴρ ἄνθρωπος οὐ γέγονεν· ὁ δὲ Υἱὸς γέγονεν ἄνθρωπος. Τὸ ὅμοιον γὰρ ἐπὶ τῷ Πατρὶ ῥητέον. Ὡς γὰρ ἐνταῦθα λέγει· *Ἠγάπησεν αὐτὸν ἡ ψυχή μου*· οὕτως λέγει· *Εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσσαὶ, ἄνδρα κατὰ τὴν καρδίαν μου*· καὶ, *Ἡ καρδία μου πόῤῥω ἀπέχει ἀπ' αὐτῶν.* Εἰ τοίνυν, διὰ τὸ τροπικώτερον εἰρῆσθαι, ὅτι *Ἠγάπησεν ἡ ψυχή μου*, δεχόμεθα τὸ περὶ ψυχῆς, ἆρα γοῦν καὶ τὸ περὶ καρδίας τροπικώτερον εἴρηται. Καὶ δῆλον, ὅτι καὶ παντὶ τῷ σύνεσιν κεκτημένῳ σαφὲς εἴη. Εἰ τοίνυν τροπικῶς λέγει περὶ ψυχῆς ὁ Πατὴρ, καὶ περὶ καρδίας, ἧς οὐκ ἔλαβεν· οὐ γὰρ ἐφόρεσε σάρκα· τροπικώτερον εἰς τὸν Πατέρα τὰ τοιαῦτα ἀναλογεῖται. Οὐκέτι δὲ ταυτὸν περὶ τὸν Υἱὸν ἡγητέον· ὁ Υἱὸς γὰρ ἔλαβε σάρκα, καὶ πᾶσαν τὴν ἀνθρωπείαν θέσιν.

B

C

LI. Nam qui de Filio tropice quiddam ejusmodi affirmare audeat, tametsi in una duntaxat aliqua parte istud usurpari velit, nihilominus hoc illi ipse contrarium **773** esse animadvertet, quod de tota divinæ personæ incarnatione constituerit : quod nimirum vere hominis naturam assumpserit. Etenim ut illud demus, quod de anima Filii scriptum est ad allegoriam spectare, ac tropice illud omne interpretandum esse, superest ut idem quoque de corde suspicemur. Atque eo tandem res recidat, nihil ut veritate, opinione autem omnia constare videantur. Itaque de carne quæ dicuntur, per tropum usurpare dicentur, si quid vitilitigatori huic Ario credimus. Unde neque cor, neque jecur, neque carnes, neque intestina, neque ossa, nec ullam denique istiusmodi partem divinum Verbum

ΝΑ'. Ἔσται γὰρ τοῦτο ἐναντίον τῷ ἐπὶ Υἱοῦ τροπικώτερον λέγοντι περὶ τῆς ἐκ προσώπου ἐνανθρωπήσεως, κἂν ἔν τινι μέρει λόγου γενομένης ὑποθέσεως διὰ τοῦ ἀληθινῶς ἐνανθρωπῆσαι. Εἰ γὰρ ἀλληγορεῖται τὸ περὶ ψυχῆς Υἱοῦ, καὶ τροπικώτερον περὶ αὐτῆς ὑπολητέον, ἆρα καὶ περὶ καρδίας τὰ τοιαῦτα λελέχθω· καὶ δώσομεν λοιπὸν τὰ πάντα δόκησιν εἶναι, καὶ οὐκ ἀλήθειαν. Τροπικῶς εἴρηται καὶ περὶ σαρκὸς, κατὰ τὸν φιλονείκου Ἀρείου λόγον. Καὶ οὐκέτι καρδίαν ἔσχεν ἑλὼν ὁ Λόγος, οὔτε ἧπαρ, οὔτε σάρκα, οὔτε ἔγκατα, οὔτε ὀστέα, οὔτε τι τῶν τοιούτων· ἀλλὰ πάντα λοιπὸν ἀλληγορεῖται, καὶ τροπικώτερον λέγεται· ἢ ὅτι ὅλως φυρτὸν ἔλαβε σῶμα, μηδὲν τῶν ἐντοσθίων ἔχον. Πῶς οὖν ἤσθιε, καὶ ἔπινεν; Ἀλλὰ ἄπαγε! Εἰ δὲ ὁ Πατὴρ λέγει καρδίαν καὶ ψυχὴν, δύναται δὲ εἰς αὐτὸν ἀλληγορεῖσθαι, καὶ τροπικῶς

D

[1] Isa. XLII, 1. [2] I Reg. XIII, 14. [3] Isa. XXIX, 13.

Digitized by Google

λέγεσθαι, καὶ εἰς τὸν Υἱὸν τροπικῶς, διὰ τὸ ἀρνεῖσθαι αὐτὸν εἰληφέναι ψυχήν. Εἰς δὲ τὸ περὶ καρδίας πιεζόμενοι, οὐ δύνανται ἀρνήσασθαι, διὰ τὸ ὁμολογεῖσθαι παρ' αὐτῶν πᾶσαν τὴν θέσιν τοῦ σώματος τοῦ Κυρίου εἰληφέναι, ἀπὸ τοῦ καρδίαν καὶ καρδίαν, τὴν μὲν ἀληθινῶς ὁμολογουμένην, τὴν δὲ ἀλληγορουμένην. Οὕτω καὶ περὶ ψυχῆς ὁ λόγος ἀληθὴς ὑπάρχει, καὶ οὐκ ἀλληγορεῖται, οὔτε τροπικῶς λέγεται. Οὔσης δὲ τῆς τοῦ Χριστοῦ ἐνανθρωπήσεως ἐν παντὶ τελειουμένης σώματι, καὶ ψυχῇ, καὶ νῷ, καὶ καρδίᾳ, καὶ εἰς πάντα ὅσα ἐστὶν ἄνθρωπος χωρὶς ἁμαρτίας· γέγονε δὲ αὐτῷ τὰ ἀνθρώπινα εὐλόγως πράττεσθαι, καὶ ἐν θεότητι τελείως ἐν σωτηρίᾳ ἐπιτελεῖσθαι, οὐκέτι ἡ αὐτοῦ θεότης ἀδοξήσει παρὰ τὴν τοῦ Πατρὸς τελειότητα· ἀλλὰ διὰ τὴν ἔνσαρκον ἐνανθρώπησιν, καὶ τὸ διψῆσαι, καὶ τὸ πεινῆσαι, καὶ τὸ πιεῖν, καὶ ἐσθίειν, καὶ τὸ ὑπνοῦν, καὶ ἀδημονεῖν πληρωθήσεται, ἀπαθοῦς οὔσης τῆς αὐτοῦ θεότητος. Καὶ διέπεσεν αὐτῶν πάλιν ὁ περὶ τούτου λόγος· ἐπειδὴ ἦλθεν εἰς σάρκα Θεὸς ὤν.

A illa in incarnatione susceperit, sed ad allegoriam et tropum universa traducenda sunt, aut confusum quoddam corpus induerit oportet, quod intestinis penitus careat. Quod si ita est, vesci aut bibere quomodo potuit? Apage tam absurda. Jam vero cum Pater cor et animam sibi tribuat, idque allegorice, ac per tropum de ipso interpretari possimus; ac de Filio quoque, quod ad animam attinet, quam ab illo susceptam Ariani negant, utcunque etiam tropice dictum videri possit: certe cum cor illis opponitur, negare omnino non possunt, eo quod totam humani corporis dispositionem assumptam a Domino fuisse ultro ipsi confitentur. Proindeque quemadmodum cor duobus modis accipi non negant, proprie scilicet ac vere, et allegorice, ita et de anima judicare convenit, ut ea vere Filio, non allegorice, neque tropice tribuatur. Quocirca cum suscepta hominis a Christo natura suis omnibus numeris absoluto corpore constet, necnon et anima, mente, corde cæterisque quæ homini insunt, præter peccatum; cumque humanæ functiones, pro eo ac rationi consentaneum erat, una cum perfecta divinitate ad salutis administrationem ab illo obitæ præstitæque fuerint, jam illud explicari commode potest, quemadmodum illius divinitas non sit, quod ad dignitatem attinet, perfectione Patris inferior; ob eamque quam usurpavit carnis humanæ conditionem præclare id esse perfectum intelligemus, quod et sitim, et famem tulisse, et bibisse, et comedisse, et somnum cepisse, et tristitia ac mœrore contractus fuisse legitur, cum interim ejus divinitas ab omni ejusmodi affectione esset immunis. Ita nullus hac in parte illorum opinioni locus est, quoniam quidem Deus ad carnem descendit.

B

NB'. Λεγόντων αὐτῶν [1], ὅτι Εἰ ἦν ἐκ τοῦ Πατρὸς, πῶς εἰς σάρκα ἦλθε; Φήσειεν ἄν τις πρὸς αὐτούς· Περὶ τῶν ἀγγέλων τί φατε; Παντὶ τοῦτο δῆλόν ἐστιν, ὅτι ὁμολογοῦσι τοὺς ἀγγέλους ὑπὸ τοῦ Υἱοῦ γεγονέναι. Καὶ γὰρ καὶ περὶ τοῦ Πνεύματος βλασφημοῦσι, καὶ τολμῶσι λέγειν κεκτίσθαι ὑπὸ τοῦ Υἱοῦ· ὅπερ ἐστὶν ἄκτιστον, *ἐκ Πατρὸς ἐκπορευόμενον, καὶ τοῦ Υἱοῦ λαμβάνον*. Εἰ οὖν εἰς τὸ Πνεῦμα τὸ ἅγιον τολμῶσι τοῦτο λέγειν, πόσῳ γε μᾶλλον περὶ τῶν ἀγγέλων οὐ δυνήσονται ἀρνήσασθαι, ὅτι ἐκ τοῦ Μονογενοῦς ἐσχήκασι τὸ εἶναι ἐκτισμένοι γεγονότες; Εἰ τοίνυν οἱ ὑπ' αὐτοῦ γεγονότες ἄγγελοι μὲν πνευματικοὶ γεγονότες, πλὴν κτίσματα αὐτοῦ ὄντες, καὶ ὑποβεβηκότες πολὺ ἀπείρως τῆς αὐτοῦ οὐσίας, ὡς ἔργον αὐτοῦ ὄντες, ὅμως σάρκα μὴ εἰληφότες, τί ἐροῦμεν; Ἆρα μείζους εἰσὶ τοῦ Υἱοῦ ὑπ' αὐτοῦ κτισθέντες, ἢ καὶ τὸ Πνεῦμα τὸ ἅγιον; Διὰ τί μὴ εἰς σάρκα ἦλθε, καὶ σάρκα ἐφόρεσε, καὶ ἐνηνθρώπησεν, ἢ τὸ Πνεῦμα τὸ ἅγιον τοῦ Θεοῦ, ἢ τις τῶν ἀγγέλων; Οὐ γὰρ πάντως διὰ τὸ ἠλαττῶσθαι τὸν Υἱὸν παρὰ τὸν Πατέρα, τούτου ἕνεκα σάρκα ἐνεδύσατο· ἐπεὶ ἂν ὤφειλον καὶ οἱ ἄγγελοι πάντως σάρκα ἐνδύσασθαι, ἢ καὶ τὸ Πνεῦμα. Ἀλλ' ἐπειδὴ ἡ σοφία ὢν τοῦ Πατρὸς, καὶ δύναμις, καὶ Λόγος, αὐτὸς τὰ πάντα ἐδημιούργησε σὺν Πατρὶ καὶ ἁγίῳ Πνεύματι, ἵνα δείξῃ, ὅτι τὸ αἴτιον τῆς τοῦ Ἀδὰμ παραβάσεως οὐκ ἀπὸ τοῦ πεπλακέναι, οὐδὲ ἀπὸ τοῦ πτοιηκέναι τὸ ἁμαρτὲς ἢ τὸ τῆς παρακοῆς ἔσχεν, ἀλλ' ἀπὸ ἰδίας προαιρέσεως, ἵνα τὴν δικαίαν κρίσιν εἰς τέλος διεξαγάγοι, ὡς εἶπεν ὁ Ἡσαΐας· *Κά-*

LII. Quod autem hoc ab Arianis objicitur: Si ex Patre erat, quinam ad carnem descendit? Ita illis e contrario potest occurri: De angelis quid tandem existimatis? Nemini **774** quippe dubium est angelos a Filio ex illorum esse sententia productos. Præsertim cum de Spiritu sancto per summam in ipsum contumeliam dicere audeant, a Filio hunc esse procreatum: qui tamen creationis omnis expers, *a Patre procedit* [2] *et a Filio accipit* [3]. Sed si de Spiritu sancto ejusmodi quiddam pronuntiare non dubitant, quanto minus idem de angelis negare poterunt; nec dubitare, cum creati illi sint, quin a Filio ut essent acceperint? Itaque cum producti ab eodem angeli qui tametsi spiritus sint, illius tamen creaturæ sunt, et ab ejus naturæ præstantia infinitis partibus absunt, utpote cum illius opus sint; sed cum angeli carnem non susceperint, quid tandem putabimus? Estne ut Filio excellentiores illos arbitremur, a quo creati sunt? An idem quoque nobis de Spiritu sancto persuadebimus? Cur, inquam, neque hic, nec angelorum ullus ad carnem descendit, nec eam gestavit aut naturam hominis assumpsit? Enimvero non ideo quod Patre minor sit Filius, propterea carnem induit. Alioqui tam angeli, quam Spiritus sanctus carne quoque vestiri debuerant. Sed quoniam idem ipse, qui est sapientia Patris, et virtus, ac Verbum, omnia cum Patre et Spiritu sancto condidit, ut hoc videlicet demonstraret, peccati illius, quod ab Adamo com-

C

D

[1] F. λεγόντων δὲ αὐτῶν. [2] Joan. xv, 26. [3] Joan. xvi, 14, 15.

Digitized by Google

missum est, originem in ipsius formationem rejici non debere; neque ex productione sua, delictum illud contumaciamque traxisse, sed ex propriæ voluntatis arbitrio, quo justum judicium ad exitum perduceret, quemadmodum Isaias loquitur: *Calamum contritum non confringet, et linum fumigans non extinguet, donec educat judicium in victoriam, et in nomine ipsius gentes sperabunt* [1]. Cui et illud Davidis congruit: *Et vincas cum judicaris* [2]. Quippe idcirco judicatus est, ut vicissim juste judicans eorum qui contradicturi sunt ora præcludat. Nemo enim justo ipsius judicio repugnare poterit. Nam ita sibi corpus imposuit, ut integrum impollutumque servarit.

A Λαμον συντετριμμένον οὐ κατεάξει, καὶ λίνον τυφόμενον οὐ σβέσει, ἕως ἐξαγάγοι τὴν κρίσιν εἰς νῖκος, καὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσι· καθάπερ καὶ Δαβὶδ περὶ αὐτοῦ εἴρηκε τὸ, Καὶ νικήσεις ἐν τῷ κρίνεσθαί σε. Ἐκρίθη γὰρ, ἵνα κρίνων δικαίως φράξῃ τὰ στόματα τῶν μελλόντων ἀντιλέγειν. Οὐ γὰρ δυνήσεταί τις ἀντιλέγειν τῇ αὐτοῦ δικαίᾳ κρίσει. Ἐφόρεσε γὰρ τὸ σῶμα ἄχραντον αὐτὸ συντηρήσας.

Neque enim quod initio in Adamo peccatum exstitit, id ab Opifice ipso, qui ab omni culpa primi nostri parentis alienus est, in Christi corpus derivatum est, ut propterea delictum aliquod commiserit; sed libertatem eidem indulsit, adeo ut peccati sibi quisque causa sit. Dei itaque Verbum culpæ omnis expers, quod cum Patre et Spiritu sancto hominem **775** creavit, immortale, impollutum, sponte sua, et arcano quodam sapientiæ mysterio naturam hominis assumpsit, omniaque opificii sui gratia abundantia quadam humanitatis in sese transtulit, non necessitate ad id impulsus, sed voluntatis arbitrio, ut peccatum in carne damnaret, et exsecrationem in cruce diluceret, et in sepulcro corruptelam omnem e medio tolleret, et ad inferos cum anima ac divinitate descendens stimulum mortis infringeret, fœdusque cum inferis initum dissolveret. At ingrati homines, qui bona in mala commutant, cum pro his omnibus clementissimo ac perfecto bonoque a bono Patre genito Filio gratificari deberent, non modo nullas habent gratias, sed et ingratissimos sese præbent, ejusque divinitati affectiones ac perturbationes affingunt: quod quidem efficere nullo modo possunt, cum omnibus veritas ipsa manifesta sit.

Οὐ γὰρ ὃ γέγονεν ἐν τῷ ἀνθρώπῳ, εἰς τοῦτο ἐκ τοῦ Δημιουργοῦ τοῦ ἀναιτίου τῆς τοῦ Ἀδὰμ ἁμαρτίας τοῦ ἁμαρτεῖν γέγονε, καὶ διὰ τοῦτο ἥμαρτεν· ἀλλὰ τὸ αὐτεξούσιον αὐτῷ ἐπέδωκε, καὶ αἴτιος ἑαυτῷ ἕκαστος γίνεται ἁμαρτίας. Διά τοι τοῦτο ἀναίτιος ὁ δημιουργὸς Θεὸς Λόγος, ὁ σὺν Πατρὶ κτίσας τὸν ἄνθρωπον, καὶ σὺν τῷ ἁγίῳ αὐτοῦ Πνεύματι, ἀθάνατος καὶ ἄχραντος, ἰδίᾳ δοκήσει ἀῤῥήτῳ τινὶ σοφίας μυστηρίῳ ἐνηνθρώπησε, τελείως τὰ πάντα ἀναδεξάμενος ὑπὲρ τοῦ ἰδίου πλάσματος δι' ὑπερβολὴν φιλανθρωπίας, οὐ μετὰ ἀνάγκης, ἀλλ' ἑκουσίᾳ γνώμῃ, ἵνα ἐν τῇ σαρκὶ κατακρίνῃ τὴν ἁμαρτίαν, καὶ ἐπὶ τῷ σταυρῷ διαλύσῃ τὴν κατάραν, καὶ ἐν τῷ μνήματι καταφαίρετον ποιήσῃ τὴν φθοράν, καὶ ἐν τῷ ᾅδῃ σὺν τῇ ψυχῇ κατελθὼν ἐν τῇ θεότητι κλάσῃ τὸ κέντρον τοῦ θανάτου, καὶ διαλύσῃ τὴν πρὸς τὸν ᾅδην διαθήκην. Οἱ δὲ ἀχάριστοι, παντάπασι τὰ ἀγαθὰ εἰς κακὰ μετατρέποντες, ἀνθ' ὧν εὐχαριστῆσαι [3] τῷ φιλανθρώπῳ, καὶ τελείῳ, καὶ ἀγαθῷ ἐξ ἀγαθοῦ Πατρὸς ὑπάρχοντι, οὐκέτι εὐχαριστῆσαι [3], ἀλλ' ἀχαριστοῦσι μᾶλλον, πάθη τῇ αὐτοῦ θεότητι προσάπτοντες· ἃ μὴ δύνανται συνιστᾷν, τῆς ἀληθείας φανερᾶς πᾶσαν ὑπαρχούσης.

LIII. His in hunc modum explicatis, ad alia quæ ab illis proponuntur, me confero. Nam ex Evangelio dictum in primis illud proferunt, interpretatione sua depravatum: *Qui misit me Pater major me est* [4]. Ubi notandum in primis illud est, quod sit: *Qui misit me Pater*, non autem, Qui creavit me, siquidem omnibus in Scripturæ libris divini Verbi cum Patre germanitas exprimitur. Genuisti me, Pater, inquit. Et, *Ego ex Patre exivi, et vado* [5]. Item: *Ego in Patre et Pater in me* [6]; et: *Qui misit me Pater* [7]. Nec usquam aut creator, aut factor dicitur. Quonam igitur pacto quæ nuspiam sunt accumulare nituntur? *Qui misit me Pater major me est*. Quid ea voce magis proprium? quid necessarium magis? quid magis genuinum, aut congruum? A quonam enim consentaneum magis est affici gloria, celebrarique Patrem, quam ab germano Filio, qui sit ab eo genitus? Pater enim glorificat Filium, et Filius glorificat Patrem [8]. Unde ad nos ipsos informandos, eamque prædicationem demonstran-

ΝΓ'. Καὶ τούτων οὕτως ἑρμηνευομένων, πάλιν ἐπ' ἄλλας λέξεις ἐφεξῆς ἐλεύσομαι. Λέγουσι γὰρ τὸ ῥητὸν τοῦ Εὐαγγελίου κακῶς ἑρμηνεύοντες, ὅτι *Ὁ ἀποστείλας με Πατὴρ μείζων μου ἐστί*. Καὶ πρῶτον μὲν, *Ὁ ἀποστείλας με Πατὴρ*, φάσκει, καὶ οὐχ, Ὁ κτίσας με. Πᾶσαι γὰρ αἱ θεῖαι Γραφαὶ τὴν αὐτοῦ πρὸς Πατέρα γνησιότητα σημαίνουσιν. Ἐγέννησάς με, φησὶ, Πάτερ. Καὶ, *Ἐγὼ ἐκ τοῦ Πατρὸς ἐξῆλθον, καὶ ἦκω*· καὶ, *Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί*· καὶ, *Ὁ ἀποστείλας με Πατήρ*· καὶ οὐδαμοῦ ὁ κτίσας, οὐδαμοῦ ὁ ποιήσας, εἴρηκε. Καὶ πῶς οὗτοι τὰ μὴ ὄντα ἑαυτοῖς ἐπισωρεύουσιν; *Ὁ δὲ ἀποστείλας με Πατὴρ μείζων μου ἐστί*. Τί τούτου κυριώτερον; καὶ τί τούτου ἀναγκαιότερον; καὶ τί τούτου γνησιώτερον; καὶ τί τούτου πρεπωδέστερον; Τίνι γὰρ πρέπει δοξάζειν Πατέρα, ἀλλὰ Υἱῷ ἀληθινῷ, τῷ ἐξ αὐτοῦ γεγεννημένῳ; Ὁ Πατὴρ γὰρ δοξάζει τὸν Υἱὸν, καὶ ὁ Υἱὸς δοξάζει τὸν Πατέρα, καὶ τούτου ἕνεκα εἰς ἡμῶν ὑπογραμμὸν, καὶ τῆς πρὸς τὸν Πατέρα δόξης ὑπ' αὐτοῦ ἀναφερομένης εἰς μίαν

[1] Isa. IV, 3. [2] Psal. L, 6. [3] Joan. V, 37; XIV, 28. [4] Joan. XVI, 28. [5] Joan. XIV, 11. [6] Joan. V, 37. [7] Joan. VIII, 5; XVII, 4. [8] Deest ἔδει. [9] F. εὐχαριστοῦσι.

Digitized by Google

ἑνότητα, καὶ εἰς μίαν δόξαν, δοξάζει ὁ Υἱὸς τὸν Πατέρα, ἵνα ἡμᾶς διδάξῃ τὴν αὐτοῦ τιμὴν τοῦ Πατρὸς εἶναι, καθὼς εἴρηκεν, ὅτι *Ὁ μὴ τιμῶν τὸν Υἱὸν ὡς τιμᾷ τὸν Πατέρα, ἡ ὀργὴ τοῦ Θεοῦ ἐπ' αὐτὸν μένει.* Μείζων δὲ κατὰ ποῖον τρόπον οὗτοι λογίζονται; Κατὰ ὄγκον; ἀλλὰ κατὰ χρόνον; ἀλλὰ κατὰ ὕψωμα; ἀλλὰ κατὰ ἡλικίαν; ἀλλὰ κατὰ ἀξίαν; Τί τούτων ἐστὶν ἐν Θεῷ, ἵνα τοῦτο διανοηθῶσιν; Οὔτε γὰρ χρόνῳ ὑποπίπτει τὸ Θεῖον, ἵνα ὑποδείστερος νοηθῇ, ἀχρόνως ἐκ Πατρὸς γεγεννημένος· οὔτε προκοπῆς ἔχεται τὸ Θεῖον, ἵνα ὁ μὲν Υἱὸς προκόψας μὴ φθάσοι τὴν τοῦ Πατρὸς μεγαλειότητα. Εἰ γὰρ κατὰ προκοπὴν ὁ Υἱὸς τοῦ Θεοῦ Υἱὸς Θεοῦ καλεῖται, ἄρα πολλοὶ ἦσαν ἴσοι αὐτῷ· καὶ τούτου ἕνεκεν αὐτὸς προέκοψε, μείζων μὲν τῷ ἀξιώματι κληθεὶς, ἐλάττων δὲ τοῦ πρὸ αὐτοῦ ὄντι. Ἀλλὰ φησιν ἡ Γραφή· *Τίς ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν υἱοῖς Θεοῦ;* ὡς τῶν πάντων καταχρηστικῶς λεγομένων, τούτου δὲ μόνου ὄντος υἱοῦ κατὰ φύσιν, καὶ οὐ κατὰ χάριν. *Ἐπειδήπερ ἐφεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ οὐδεὶς αὐτῷ ἐξισωθήσεται.* Ἀλλὰ τί φασιν; Ἐν ὑψώματι ὑπερέχει ὁ Πατὴρ τοῦ Υἱοῦ. Ἐν ποίῳ τοίνυν μέρει τάττεται τὸ Θεῖον; ἢ τοπικῶς περιορίζεται, ἵνα μὴ περιγραφῇ [1] τὸ μεῖζον σημανῇ; Πνεῦμα γὰρ ὁ Θεός. Καὶ ἐκ παντὸς μέρους διαπίπτει ἡ αὐτῶν ἐπινενοημένη ξενολογία. Καὶ τοῦτο δὲ παρελθόντες, ἐπὶ τὰς ἐξῆς αὐτῶν λέξεις ἴωμεν, ὦ ἀγαπητοί.

A dum, quam in Patrem collatam ad singularem unitatem, singularemque gloriam referret; gloria illum afficere voluit, ut intelligeremus honorem suum Patri esse communem, quemadmodum dixit: *Qui non honorificat Filium, ut honorificat Patrem* [2], *ira Dei in ipso manet* [3]. Verum, cum majorem esse Patrem asserunt, quanam **776** id demum ratione concipiunt? Mole? an tempore? an sublimitate? an ætate vel dignitate? Quid horum inest in Deo, ut hoc suspicari liceat? Neu enim subest tempori Deus, ut inferior putetur, cum a Patre ante tempus omne sit genitus. Sed neque progressum ullum idem Deus admittit, ut ob hoc ipsum progrediens Filius paternam amplitudinem assequi non posse dicatur. Nam si Dei Filius hanc ipsam appellationem profectu quodam meruerit, plerosque necesse B est æquales huic extitisse, quorum e numero efferens sese, ac progressus ille ut cæteris dignitate major est habitus, sic illo qui se antecessit inferior. Scriptum est autem: *Quis æquabitur Deo in filiis Dei* [4]? quasi cæteri omnes per catachresim filii nominentur: hic autem natura solus non gratia filius exsistat. *Quoniam invenit omnem viam scientiæ, et nullus cum eo comparabitur* [5]. Quid igitur dicunt? Sublimitate Filio Pater antecellit. Quanam igitur in parte collocatur Deus? An loco circumscribitur, ut spatii ipsa descriptio quod majus est demonstret? Atqui Deus Spiritus est. Unde omnis ab illis excogitata peregrina verborum novitas undequaque corruit. His itaque prætermissis, ad cæteras illorum objectiones transeamus.

ΝΔ'. Φασὶ γάρ, ὅτι οὐκ ἔστιν ὁ ἀποστέλλων ὅμοιος C τῷ ἀποστελλομένῳ, ἀλλὰ ἄλλος ἐστὶν ὁ ἀποστέλλων τῇ δυνάμει, καὶ ἄλλος ἐστὶν ὁ ἀποστελλόμενος· ὅτι ὁ μὲν πέμπει, ὁ δὲ πέμπεται. Καὶ εἰ κατ' αὐτοὺς ἦν ἡ τῆς ἀληθείας διάνοια, οὐκέτι ἐπὶ μίαν ἑνότητα ἀληθείας, καὶ δυνάμεως, καὶ θεότητος ἀνεφέρετο ἡ πᾶσα τῆς γνώσεως ὑπόθεσις. Δύο γὰρ ἀπαντώντων, ἢ δύο πεμπόντων, οὐκέτι Υἱὸς ὁ Υἱὸς ἦν, ἀλλ' ἀδελφὸς, συναδέλφου συνόντος, οὐκέτι Υἱὸς, ἀλλὰ ἢ κατὰ συναλοιφὴν, ἢ κατὰ υἱοθεσίαν, ἢ αὐτὸς ἑαυτὸν ἦν ἀποστέλλων, ἢ οἱ δύο ἅμα ἀποστέλλοντες, ἢ παραγινόμενοι, δύο θεότητας ἐσήμαινον, καὶ οὐχὶ μίαν ἑνότητα. Ἐνταῦθα οὖν ὁ ἀποστείλας καὶ ὁ ἀποστελλόμενος, ἵνα δείξῃ τῶν πάντων ἀγαθῶν μίαν εἶναι τὴν πηγὴν, τουτέστι τὸν Πατέρα· καθεξῆς δὲ τῆς πηγῆς οὐχ ἑτερωνύμως, ἀλλὰ κατὰ τοῦ Υἱοῦ ὄνομα καὶ τοῦ Λόγου ὢν μία πηγὴ ἐκ πηγῆς ὁ Υἱὸς προελθὼν, ἀεὶ ὢν παρὰ τῷ Πατρὶ γεγεννημένος, *Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς·* καὶ ἵνα δείξῃ καὶ περὶ τοῦ ἁγίου Πνεύματος· *Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς·* ἵνα δείξῃ φῶς τὸν Πατέρα, καὶ φῶς τοῦ Πατρὸς εἶναι τὸν Υἱὸν, καὶ φῶς τὸ Πνεῦμα τὸ ἅγιον· καὶ πηγὴν ἐκ πηγῆς, ἐκ τοῦ Πατρὸς καὶ τοῦ Μονογενοῦς τὸ Πνεῦμα τὸ ἅγιον. *Ποταμοὶ γὰρ ἐκ τῆς κοιλίας αὐτοῦ ῥεύσουσιν ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον. Ἔλεγε δὲ τοῦτο περὶ τοῦ ἁγίου Πνεύματος,* φησὶ τὸ Εὐαγγέλιον. Καὶ πάλιν φησὶ, δεικνύων τοῖς αὐτοῦ μαθηταῖς περὶ

LIV. Negant enim eum qui mittitur, mittentis esse similem, cum alius sit vi ac potestate qui mittit, alius qui mittitur: quod hic mitti, mittere ille dicatur. Quod si illorum opinioni constaret veritas, non jam tota cognitionis ratio ad unam veritatis potentiæ ac divinitatis singularitatem pertineret. Duobus enim occurrentibus, aut mittentibus, Filius non amplius Filius erit, sed frater, cum una frater exsistat; nec amplius Filius erit, nisi vel confusione, vel adoptione; aut seipsum ille mittet; aut duo simul mittentes, vel accedentes divinitates duas non unam singularitatem ostendent. Hic igitur mittens ac missus exprimitur, ut argumento sit, quemdam esse bonorum omnium fontem, videlicet Patrem, secundum quem non D alio nomine, quam Filii Verbique prædikus Filius, fons vivus ex fonte progreditur; qui apud Patrem perpetuo ab eodem genitus exstiterit: **777** *Quoniam apud te est fons vitæ* [6]. Atque ut Spiritus quoque sanctus indicetur: *In lumine,* inquit, *tuo videbimus lumen* [7]: quo et Patrem lumen esse declaret, et lumen Patris Filium, lumenque Spiritum sanctum; ac postremo fontem ex fonte, hoc est Patre et unigenito Filio Spiritum sanctum profluere. *Flumina enim,* inquit, *ex ventre illius fluent aquæ salientis in vitam æternam. Dicebat autem istud de Spiritu sancto,* ait Evangelium [8]. Præterea ut con-

[1] F. τῇ περιγρ. [2] Joan. v. 23. [3] Joan. III, 36. [4] Psal. LXXXVIII, 7. [5] Baruch III, 37, 38. [6] Psal. XXXV, 10. [7] ibid. [8] Joan. VII, 38; IV, 14.

Digitized by Google

substantialem se esse Patri discipulis suis ostenderet: *Si quis*, inquit, *aperuerit mihi, ingressi ego et Pater mansionem apud illum faciemus*[1]. Non dixit: Mittar a Patre meo; sed, *Ego et Pater apud illum manebimus*, adeo ut pulsante Filio, cum eo Pater ingrediatur; idemque cum Filio perpetuo sit, nec unquam ab illo separetur, uti nec a Patre Filius. Unde in alio loco: *Ego sum*, inquit, *via, et per me ingredientur ad Patrem*[2]. Ac ne quis minorem ideo esse Patre crederet, quod per ipsum ad Patrem aditus pateret, sic alio loco dixit: *Nemo veniet ad me, nisi Pater meus cœlestis traxerit illum*[3]. Igitur et Pater ad Filium ducit, et Filius ad Patrem, et uterque per Spiritum sanctum introducit. Nam Trinitas in una singularique divinitate perpetuo consistit, ut tria perfecta sint, unaque divinitas. Atque hoc modo hæreticorum istorum opinio cohærere non potest.

LV. Sed illud objiciunt: Cur igitur discipulis suis Christus aliquando dixit: *Vado ad Patrem meum, et Patrem vestrum, Deum meum et Deum vestrum*[4]? Nam si Deum suum fatetur, quomodo huic æqualis esse poterit, vel ab eo germani filii more genitus? Atque hac quidem oratione summa se in omnibus Dei ignorantia laborare demonstrant, nec ex ulla parte Evangelii splendore collustrari. Etenim quisquis perscrutari, et a sæculo, ac per generationes indagare voluerit, quæ sit veritatis in Salvatoris nostri perfecta scientia, ejusque cum Patre æqualitatis vis intelliget. Isti vero Judaicis opinionibus impediti adversus Dei Filium exstimulantur. Perinde atque illi Christo dicebant: *Nullum ob aliud scelus te lapidamus,* **778** *sed quod homo cum sis, Filium Dei teipsum nominas et æqualem Deo te facis*[5]. Hac illi Pharisæorum ac Judæorum in Christum iracundia perciti feruntur; neque Filium æqualem genitori confiteri volunt. Qua in re sacrarum Litterarum accuratam diligentiam in primis considera: quæ ante incarnationem nihil ejusmodi de Christo pronuntiarunt, sed Pater Filio dixisse legitur: *Faciamus hominem*[6], ut communis opificii auctorem pariter Filium appellet et æqualitate germanum significet. Neque vero tum Filius *Deum meum, et Deum vestrum* uspiam vocavit. Item, *Adamus Dei vocem exaudiit ambulantis in paradiso*[7]. Tum: *Fac tibi arcam de lignis incorruptis*[8]. Et: *Pluit Dominus a Domino*[9]. Item Dominus Moysi: *Ego sum Deus Abraham, et Deus Isaac, et Deus Jacob*[10]. Quinetiam David: *Dixit Dominus Domino meo: Sede a dextris meis*[11]. Nec ullibi Dominus *Deum meum, et Deum vestrum* nominavit. Cæterum ubi corpore nostro suscepto, *In terra visus est et cum hominibus conversatus*[12], atque inter nos numeratus est; tunc discipulos suos alloquens, quibuscum adæquari penitus solo excepto peccato debuit, *Deum meum* dixit, *et Deum vestrum, et Patrem*

τῆς πρὸς τὸν Πατέρα αὐτοῦ ὁμοουσιότητος, ἔλεγεν· *Ἐάν τις ἀνοίξῃ μοι, εἰσελθὼν, ἐγὼ καὶ ὁ Πατήρ μου μονὴν παρ' αὐτῷ ποιήσομεν.* Καὶ οὐκέτι εἶπεν, Ἀποσταλήσομαι ὑπὸ τοῦ Πατρός μου· *Ἐγὼ καὶ ὁ Πατὴρ παρ' αὐτῷ*, ὡς κρούοντος τοῦ Υἱοῦ, καὶ τοῦ Πατρὸς σὺν αὐτῷ εἰσερχομένου· ὡς ἀεὶ εἶναι, καὶ μηδέποτε διαλιπεῖν Πατέρα ἀπὸ Υἱοῦ, καὶ Υἱὸν ἀπὸ τοῦ ἰδίου Πατρός. Διὸ καὶ ἐν ἑτέρῳ τόπῳ λέγει· *Ἐγώ εἰμι ἡ ὁδὸς, καὶ δι' ἐμοῦ εἰσελεύσονται πρὸς τὸν Πατέρα.* Καὶ ἵνα μή τινες ἧσσονα πρὸς τὸν Πατέρα νομίσωσι, διὰ τὸ δι' αὐτοῦ πρὸς τὸν Πατέρα εἰσιέναι, φησίν· *Οὐδεὶς ἐλεύσεται πρὸς μὲ, ἐὰν μὴ ὁ Πατήρ μου ὁ οὐράνιος ἑλκύσῃ αὐτόν.* Ὁ Πατὴρ οὖν φέρει πρὸς τὸν Υἱὸν, καὶ ὁ Υἱὸς φέρει πρὸς τὸν Πατέρα, εἰσφέρει δὲ ἐν Πνεύματι ἁγίῳ. Ἀεὶ γὰρ πάντοτε ἡ Τριὰς ἐν μιᾷ ἑνότητι θεότητος· τρία τέλεια, μία θεότης. Καὶ διέπεσεν ὁ τούτων λόγος.

ΝΕ'. Πάλιν δὲ φάσκουσι· Τίνι τοίνυν τῷ λόγῳ εἴρηκεν ὁ Χριστὸς τοῖς ἑαυτοῦ μαθηταῖς, ὅτι *Ἀπέρχομαι πρὸς τὸν Πατέρα μου, καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου, καὶ Θεὸν ὑμῶν;* Εἰ τοίνυν Θεὸν αὐτοῦ ὁμολογεῖ, πῶς ἔτι ἔσται ἴσος αὐτῷ, ἢ ὑπ' αὐτοῦ γνησίως γεγεννημένος; Ἵνα δείξωσιν ἐν πᾶσιν ἀγνωσίαν Θεοῦ αὐτοὺς ἔχειν, καὶ[13] ἐν μηδενὶ εἰσι φωτισμῷ τοῦ Εὐαγγελίου κατηυγασμένοι. Ψηλαφήσας γάρ τις καὶ ἀνερευνήσας ἀπὸ τοῦ αἰῶνος, καὶ κατὰ γενεὰν, εἴσεται τῆς ἀληθείας τῆς τοῦ Σωτῆρος ἡμῶν τελείας γνώσεως καὶ πρὸς τὸν Πατέρα ἰσότητος τὴν δύναμιν. Κινίζονται δὲ οὗτοι Ἰουδαϊκῷ φρονήματι περιβεβλημένοι, καὶ ἀγανακτοῦσι τῷ Υἱῷ τοῦ Θεοῦ, καθάπερ ἐκεῖνοι ἔλεγον, ὅτι *Δι' οὐδὲν ποτηρόν σε λιθάζομεν, ἀλλ' ὅτι, ἄνθρωπος ὤν, Υἱὸν Θεοῦ αὐτὸν ὀνομάζεις, ἴσον τῷ Θεῷ ποιῶν σεαυτόν.* Οὕτω καὶ οὗτοι, τῷ αὐτῷ πάθει τῶν Φαρισαίων καὶ Ἰουδαίων περιπεσόντες, ἀγανακτοῦσι, μὴ θέλοντες λέγειν τὸν Υἱὸν ἴσον τῷ γεγεννηκότι. Ὅρα γάρ μοι τὴν τῶν Γραφῶν ἀκρίβειαν, ὅτι οὐδαμοῦ εἴρηκεν ἡ θεία Γραφὴ τὸν λόγον τοῦτον πρὸ τῆς ἐνσάρκου παρουσίας· ἀλλ' ὁ Πατὴρ τῷ Υἱῷ, *Ποιήσωμεν ἄνθρωπον*, λέγει, συνδημιουργὸν καλῶν τὸν Υἱὸν, καὶ γνήσιον δεικνὺς κατ' ἰσότητα. Καὶ οὐδαμοῦ εἴρηκεν ὁ Υἱὸς, *Θεόν μου, καὶ Θεὸν ὑμῶν*· καὶ, *Ἤκουσεν Ἀδὰμ τῆς φωνῆς τοῦ Θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ*· καὶ, *Ποίησον σεαυτῷ κιβωτὸν ἐκ ξύλων ἀσήπτων*· καὶ, *Ἔβρεξε Κύριος παρὰ Κυρίου*· καὶ, *Εἶπε Κύριος πρὸς Μωϋσῆν*· *Ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ, καὶ ὁ Θεὸς Ἰσαὰκ, καὶ ὁ Θεὸς Ἰακώβ.* Καὶ Δαβὶδ λέγει· *Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου.* Καὶ οὐδαμοῦ εἶπεν ὁ Κύριος, *Θεόν μου καὶ Θεὸν ὑμῶν.* Ὅτε δὲ ἔλαβε τὸ ἡμέτερον σῶμα, καὶ *Ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη*, καὶ ἐν ἡμῖν κατελογίσθη· τότε πρὸς τοὺς αὐτοῦ μαθητὰς, πρὸς οὓς ὤφειλε κατὰ πάντα ὁμοιωθῆναι χωρὶς ἁμαρτίας, *Θεόν μου*, ἔλεγε, *καὶ Θεὸν ὑμῶν, καὶ Πατέρα μου καὶ Πατέρα ὑμῶν.*

[1] Joan. XIV, 23. [2] ibid. 6. [3] Joan. VI, 44. [4] Joan. XX, 17. [5] Joan. X, 33. [6] Gen. I, 26. [7] Gen. III, 8. [8] Gen. VI, 14. [9] Gen. IX, 24. [10] Exod. III, 6. [11] Psal. CIX, 1. [12] Baruch III, 38. [13] F. ὅτι ἐν.

Digitized by Google

Πατέρα μου μὲν, κατὰ φύσιν ἐν τῇ θεότητι, καὶ Πατέρα ὑμῶν, διὰ χάριν δι' ἐμὲ ἐν τῇ υἱοθεσίᾳ· Θεόν μου δὲ, ὅτι τὸ ὑμέτερον σαρκίον εἴληφα, καὶ Θεὸν ὑμῶν, κατὰ φύσιν καὶ ἀλήθειαν. Καὶ οὕτω πάντα ἐστὶ σαφῆ καὶ διαυγῆ, καὶ οὐδὲν ἐναντίον, οὐδὲ θανάτου παραπλοκῆς ἔχον εἶδος ἐν τῇ θείᾳ Γραφῇ, ὡς οὗτοι προφασίζονται, πονηρὰ ἑαυτοῖς ἐπινοοῦντες. Νομίζω δὲ πάλιν καὶ πρὸς τοῦτο ἱκανῶς ἔχειν τὴν φράσιν· ἐπὶ δὲ τὰ ἄλλα λοιπὸν ἐπελεύσομαι.

A *meum, et Patrem vestrum.* Patrem meum, naturæ scilicet ac divinitate; Patrem vestrum, gratia duntaxat, per me, adoptionisque beneficio. *Deum meum,* quoniam vestram carnem suscepi; *Deum vestrum,* secundum naturam, et ex rei veritate. Qua ratione manifesta omnia ac perspicua sunt, neque quidquam contrarium est, ac repugnans; nec ullus in Scriptura locus mortiferum quidquam, et exitiosum habet admistum, ut isti captandæ occasionis gratia videri volunt, qui sibi ipsis perniciosa quædam excogitare solent. Sed cum hactenus, ut opinor, de his abunde sit dictum, nunc ad alia transibimus.

ΝΓ'. Τὸ ἅγιον γὰρ Πνεῦμα κτίσμα πάλιν κτίσματός φασιν εἶναι, διὰ τὸ, διὰ τοῦ Υἱοῦ τὰ πάντα γεγενῆσθαι, ὡς εἶπεν ἡ Γραφὴ, ἀσυνέτως τινὰς διαπάζοντες, οὐ καθὼς εἴρηται τὸ ῥητὸν ἔχοντες, ἀλλὰ κακῶς ὑπονοοῦντες, καὶ ἀπὸ ῥητοῦ τὸ καλῶς εἰρημένον κατὰ τὴν κακὴν αὐτῶν ὑπόνοιαν παρερμηνεύοντες. Οὐ γὰρ τὸ θεῖον Εὐαγγέλιον περὶ τοῦ Πνεύματος ἔφη, ἀλλὰ περὶ πάντων τῶν ἐκτισμένων, ὅτι Εἴ τι κτιστὸν, διὰ τοῦ Λόγου γεγένηται καὶ ὑπὸ τοῦ Λόγου. *Τὰ γὰρ πάντα δι' αὐτοῦ ἐγένετο· καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν.* Παρεκτεινομένης τῆς ἀναγνώσεως, ἔχει [1], ὃ γέγονεν· ἵνα οὕτω γνωσθῇ, ὅτι πάντα δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν· εἶτα πάλιν· *Ἐν αὐτῷ ζωὴ ἦν.* Ἔδει γὰρ καὶ ἐν τούτῳ πληρωθῆναι τὴν τοῦ ἁγίου Ἰωάννου ἀκολουθίαν, ἐν τῷ ὄντι τὰ ὄντα [2] πεπληρωμένος ἀεὶ ὁμολογούμενα. *Ἐν ἀρχῇ γὰρ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος.* Ἐπειδὴ *ἦν,* καὶ *ἦν,* καὶ *ἦν·* καὶ τὰ ἐν αὐτῷ *ζωὴ ἦν, καὶ ἦν τὸ φῶς τὸ ἀληθινὸν,* καὶ *τὸ ἐν τῷ κόσμῳ ἦν,* καὶ ὅσα περὶ τούτου ἦν, ἐκ Πνεύματος ἁγίου σαφηνίζει ὁ μακάριος Ἰωάννης, τὸ πάντα δι' αὐτοῦ ἐγένετο τὰ γενόμενα. Ἀνώτερα [3] δὲ τῶν γενομένων αὐτὸς ὁ τὰ πάντα ποιήσας. Λέγει δὲ ἡ Γραφὴ δι' αὐτοῦ πάντα γεγονέναι· οὐκ ὠνόμασε δὲ ποῖά ἐστι τὰ γεγονότα. Ὑπόνοια γὰρ οὐδαμοῦ ἦν πονηρίας, ἵνα μή τινες ὑπονοήσωσι τὰ μὴ ὄντα, καὶ βλασφημήσωσι τὸ ἄτρεπτον καὶ ἀναλλοίωτον ἅγιον Θεοῦ Πνεῦμα. Δι' αὐτοὺς γάρ φησιν ὁ Κύριος, ὅτι *Ἐάν τις εἴπῃ λόγον εἰς τὸν Υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ. Ἐὰν δέ τι εἴποι εἰς τὸ ἅγιον Πνεῦμα, οὐκ ἀφεθήσεται αὐτῷ, οὐδὲ ὧδε, οὐδὲ ἐν τῷ μέλλοντι αἰῶνι.* Ἡλίθιον γάρ ἐστι τὸ πᾶν τοῦ αὐτοῦ λόγου. Κατὰ δὲ τὴν βλάσφημον αὐτῶν ὑπόνοιαν ἀντιλέξειέ τις αὐτοῖς, καὶ εἴποι· Ὦ γενναῖοι σοφισταὶ, καὶ τῶν λόγων διαστροφεῖς! οἱ βουλόμενοι σὺν τοῖς γεγονόσιν ἀριθμεῖν τὸ ἅγιον Πνεῦμα τοῦ Θεοῦ, διὰ τὸ ῥητὸν τὸ, *Δι' αὐτοῦ τὰ πάντα ἐγένετο,* ἀπὸ τοῦ εἰπεῖν, ὅτι *πάντα,* μηδαμοῦ ὄντος σὺν πᾶσιν ἀριθμουμένου τοῦ ἁγίου Πνεύματος. Ἆρα γοῦν καὶ διανοηθῆναι ὀφείλετε, ἢ καὶ ἄλλος τις χείρων ὑμῶν ἕτερος, καὶ τὸν Πατέρα διὰ τοῦ Υἱοῦ γεγονέναι, κατὰ τὴν βλάσφημον ὑμῶν ὑπόνοιαν. Ἐμοῦ γὰρ συμπεριληπτικός ἐστιν ὁ λόγος φάσκων τὰ πάντα δι' αὐτοῦ γεγονέναι. Εἰ δὲ βλάσ-

LVI. Spiritum itaque sanctum creaturæ esse creaturam asserunt: quod per Filium omnia facta sint, ut Scriptura testatur [4]. In quo stulte nonnullos in errorem abducunt, dum Scripturæ sententiam, non ut concepta est, proferunt, sed perperam intelligentes, quod præclare conceptum est male accipiendo interpretandoque depravant. Neque enim Evangelium de Spiritu loquitur, sed de creatis rebus omnibus; idque unum declarat: quidquid creatum est, per Verbum 779 et a Verbo fuisse productum. *Omnia enim per ipsum facta sunt, et sine ipso factum est nihil* [5]. Ubi sententia ad hæc usque verba, *quod factum est,* continuari debet, ut ita discamus, omnia per ipsum esse facta, et sine ipso factum nihil. Deinde: *In ipso vita erat* [6]. Quippe in hoc institutæ a Joanne orationis consequentiam impleri oportuit, ut in Verbo quod est, quæ sunt omnia perfecte inesse communi confessione constaret. *In principio* enim *erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum* [7]. Quandoquidem *erat,* et *erat,* et *erat:* et *vita erant,* quæ in ipso sunt: et *erat lux vera* [8], *et in mundo erat* [9], ac quæ ad hoc ipsum attinebant sancti Spiritus afflatu beatus Joannes declarat. Omnia, inquit, per ipsum facta sunt, quæ facta sunt. Porro supra ea quæ facta sunt ille constitutus est, a quo facta sunt omnia. Quod autem Scriptura cum dixisset facta esse per ipsum omnia; quænam illa forent nominatim haud expresserit, hæc esse causa videtur, quod nulla tum esset ejusmodi improbitatis suspicio, ut nonnulli falsa quædam sibi opinione fingentes adversus immutabilem ac sanctum Dei Spiritum contumeliosis vocibus auderent insurgere. De illis enim accipienda est illa Domini sententia: *Si quis dixerit verbum in Filium hominis, remittetur ipsi. Sin autem dixerit in Spiritum sanctum, non remittetur ipsi, neque hic, neque in futuro sæculo* [10]. Et vero stolidissima est illorum ratio. Imo vero ex hac ipsorum opinione, quæ cum summa in Deum contumelia conjuncta est, sic eos oppugnare, et ad eum modum instare licet: O præclari sophistæ ac detorquendorum verborum artifices, quibus propterea sanctum Dei Spiritum iis rebus quæ factæ sunt annumerari libet, quod ita scriptum sit: *Per ipsum omnia facta sunt.*

[1] F. μέχρις. [2] F. πεπληρωμένως. [3] F. ἀνωτέρω. [4] Joan. I, 3. [5] ibid. 4. [6] ibid. [7] ibid. 1. [8] ibid. 9. [9] ibid. 10. [10] Matth. XII, 31; Marc. III, 28.

Digitized by Google

Consequens igitur est ut eadem vos ratione, vel alius quis vobis deterior ita animo concipiat : Patrem ipsum per Filium esse factum, ex impia vestra sententia. Generatim quippe concepta est oratio : omnia per ipsum esse facta. Quodsi tale quid de Patre suspicari impium ac stolidum est ; id ipsum et de illis existimandum est qui hoc ad Spiritum sanctum transferunt, qui cum Patre Filioque numeratur. Nam si rerum factarum ordine contineretur, cum increato Patre et increato Filio nequaquam numerandus esset ; sed quod increatus sit, idcirco numeratur. **780** Christus enim dixit : *Euntes baptizate in nomine Patris, et Filii, et Spiritus sancti* [1]. Quinam porro creatus esse potest Spiritus ille, de quo ita testatur : *A Patre procedit* [2], *et de meo accipit* [3] ? per quem et hominum perfecta salus et incarnatio ad omnem justificationem est impleta? *Unxit enim illum Spiritus sancto*, ait Scriptura de Domino [4]. Nunquam autem humanam illam naturam in unam divinitatem cum Deo Verbo conjunctam creatura aliqua Pater inungeret. Nunc cum una sit Trinitas, triaque perfecta, et una divinitas, dispensatione quadam fieri hoc in Filio debuit, ut in omnibus laude ac gloria celebrata cognosceretur Trinitas. Quemadmodum enim adversus hæreses omnes de Spiritu sancto disputaremus, non uno aut altero testimonio probavimus Dei esse Spiritum, qui cum Patre et Filio collaudetur increatus, immutabilis et perfectus. Quamobrem hac in parte contentiosorum hæreticorum exclusa ratio est, quæ in illos ipsos recidit.

A φημον περὶ τοῦ Πατρὸς λογίζεσθαι τὸ τοιοῦτον, καὶ μωρὸν, τὸ ὅμοιον καὶ ἐπὶ τοῖς διανοουμένοις ἐπὶ τοῦ ἁγίου Πνεύματος, τοῦ σὺν Πατρὶ ἀριθμουμένου καὶ Υἱῷ. Εἰ γὰρ ἦν τῶν γεγονότων, οὐκ ἂν τῷ ἀκτίστῳ Πατρὶ καὶ Υἱῷ ἀκτίστῳ συνηριθμεῖτο. Ἀλλ' ὅτι ἀκτιστόν ἐστιν, συναριθμεῖται. Εἶπε γάρ· *Ἀπελθόντες βαπτίσατε εἰς ὄνομα Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος*. Πῶς δὲ κτιστὸν εἴη τὸ Πνεῦμα τὸ μαρτυρούμενον, ὅτι *Ἐκ τοῦ Πατρὸς ἐκπορεύεται, καὶ ἐκ τοῦ ἐμοῦ λαμβάνει;* δι' οὗ καὶ ἡ τελεία τῶν ἀνθρώπων σωτηρία, καὶ ἔνσαρκος οἰκονομία, εἰς πᾶσαν δικαίωσιν ἐπληρώθη. *Ἔχρισε γὰρ αὐτὸν Πνεύματι ἁγίῳ*, φησὶν ἡ Γραφὴ περὶ τοῦ Κυρίου. Οὐκ ἂν δὲ τὴν ἔνσαρκον οἰκονομίαν σὺν τῷ Θεῷ Λόγῳ ἡνωμένην εἰς μίαν θεότητα ἔχρισεν ὁ Πατὴρ κτίσματι. B Ἀλλ' ἐπειδὴ μία ἐστὶν ἡ Τριὰς, τρία τέλεια, μία θεότης, ἔδει ἐν τῷ Υἱῷ οἰκονομικῶς τοῦτο γενέσθαι, ἵνα, παντάπασι δοξαζομένη, ἐν ἅπασιν νοηθῇ ἡ Τριὰς, καθάπερ, κατὰ πασῶν τῶν αἱρέσεων περὶ Πνεύματος διηγούμενοι, οὐ μίαν, οὐ δύο μαρτυρίας εἰσενέγκαμεν, ὅτι Θεοῦ ἐστι Πνεῦμα σὺν Πατρὶ καὶ Υἱῷ δοξαζόμενον, ἄκτιστον, καὶ ἄτρεπτον, καὶ τέλειον. Ἐξέπεσε δὲ καὶ ὁ περὶ τούτου τῶν φιλονεικούντων λόγος ὁ καθ' ἑαυτῶν.

LVII. Reliqua modo quæ afferre solent consideremus. Hanc enim præterea Domini sententiam perabsurde proferunt, qua quidem ipse dixit : *Quid me dicis bonum? Unus est bonus Deus* [5]. In quo semetipsum ab essentia Patris et persona separasse videtur. Verum ridiculum hoc illorum argumentum est. Nam qui tam multa in nos bona contulit, minime illorum opinione bonus habendus est. Quis fingi potest improbior? quandoquidem qui pro ovibus suis animam profudit ; qui ad patiendum sponte descendit, cum immunis ab omni passione Deus esset, qui delictorum nobis gratiam fecit, qui in omni Israelitico populo ægritudines sanavit, qui pro sua bonitate tam infinitum hominum genus collegit, qui bonitatis administrator et pacis Dominus est, bonum, inquam, illud Verbum quod ab æterno bono ex Patre genitum est : *Qui dat escam omni carni* [6], qui in hominibus cæterisque a se productis omnibus bonitatem impertiit, bonus ab illis non judicatur. Hæc enim ignorant isti, qui ultro sibi oblivionem asciscunt, Christum Dominum ei qui de se percontatus fuerat, responsum illud quod antea commemoravimus dedisse, ut ejus fastum arrogantiamque compesceret. Nam cum hic e scribarum numero gloriaretur, **781** quod præcepta legis omnia accuratissime servasset ; seque justitiæ ac bonitatis

C ΝΖ'. Πάλιν δὲ εἰς τὰς ἄλλας αὐτῶν λέξεις ἑαυτοὺς ἐπιδῶμεν. Φασὶ γὰρ πάλιν τὸ ῥητὸν οὐκ εὐλόγως κατέχοντες, ὅτι αὐτὸς ἔφη ὁ Σωτήρ· *Τί με λέγεις ἀγαθόν; εἷς ἐστιν ἀγαθὸς ὁ Θεός*· καὶ ἀφώρισεν ἑαυτὸν ἐντεῦθεν ἀπὸ τῆς τοῦ Πατρὸς οὐσίας τε καὶ ὑποστάσεως. Τὸ δὲ πᾶν ἐστι γελοιῶδες. Εἰ γὰρ ὁ τοσαῦτα ἡμῖν ἀγαθὰ πεποιηκὼς οὐκ ἀγαθὸς παρ' αὐτοῖς κρίνεται, καὶ τίς ἔτι τούτου μοχθηρότερος εἴη ; ὅτι ὁ δεδωκὼς τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν προβάτων, ὁ τῇ ἑκουσίᾳ γνώμῃ ἐλθὼν εἰς τὸ παθεῖν, ὁ ἀπαθὴς Θεὸς ὤν, ὅτι ὁ τὴν δωρεὰν ἡμῖν ποιησάμενος τῶν ἁμαρτημάτων, ὅτι ὁ τὰς ἰάσεις ἐπιτελέσας ἐν παντὶ Ἰσραὴλ, ὁ ἐκ τῆς αὐτοῦ ἀγαθότητος τοσοῦτον γένος τῶν ἀνθρώπων περισυναγαγὼν ἐν ἀγαθότητι, ὁ τῆς ἀγαθότητος πρύτανις καὶ τῆς εἰρήνης δεσπόζων, ὁ D ἄνω ἐκ Πατρὸς ἀγαθὸς Λόγος, ἐκ τοῦ ἀγαθοῦ Πατρὸς γεγεννημένος, *Ὁ διδοὺς τροφὴν πάσῃ σαρκὶ*, ὁ ἐνεργήσας ἀνθρώποις καὶ πᾶσι τοῖς ὑπ' αὐτοῦ γεγεννημένοις πᾶσιν ἀγαθότητα, οὐκ ἀγαθὸς παρ' αὐτοῖς κρίνεται. Καὶ οὐκ ἴσασιν οἱ λήθην ἑαυτοῖς περιποιούμενοι, ὅτι πρὸς τὸν ἐρωτήσαντα ἀνθυπήνεγκε τὸν λόγον, ὅπως καθέλῃ τῆς ἐν αὐτῷ ἐπάρσεως τὸ φρύαγμα. Αὐχῶν γὰρ ἦν ἀπὸ γραμματέων ὁρμώμενος, ὡς τὰ δικαιώματα τοῦ νόμου ἀκριβῶς φυλάξας, δικαιοσύνην τε καὶ ἀγαθότητα περὶ ἑαυτοῦ σεμνυνόμενος, καὶ ἔλεγε· *Διδάσκαλε ἀγαθὲ, τί ποιήσας ζωὴν αἰώνιον κληρονομήσω;* Καὶ ἐπειδὴ εἶχε περὶ ἑαυτοῦ ὡς περὶ τηλικαύτης

[1] Matth. xxviii, 19. [2] Joan. xv, 26. [3] Joan. xvi, 14, 15. [4] Act. x, 38. [5] Matth. xix, 16. [6] Psal. cxxxv, 25.

Digitized by Google

δικαιοσύνης, ὁ Κύριος, βουλόμενος Θεῷ ἀναφέρειν τὴν πᾶσαν ἀγαθότητα, ὅτι οὐδεὶς ἀγαθὸς πλὴν αὐτοῦ, ἵνα μηδεὶς σάρκα φορῶν τῦφόν τινα ἑαυτῷ ἐπισπάσηται, τούτου ἕνεκεν ἔλεγε· *Τί με λέγεις ἀγαθόν; Οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεός*· ἵνα ὁ τοιοῦτος καὶ τοσοῦτος τὸν τοιοῦτον λόγον εἰπὼν, καθέλῃ τὴν ἐν τῷ εἰπόντι φυσίωσιν περὶ δικαιοσύνης τὴν οἴησιν κεκτημένου· καὶ ἵνα ἐλέγξῃ αὐτοῦ τὴν καρδίαν, ἀγαθὸν μὲν διδάσκαλον χείλεσιν αὐτὸν λέγοντα, μὴ ἐμμένοντα δὲ ἐν τῇ ἀγαθῇ αὐτοῦ διδασκαλίᾳ. Καὶ ὅτι μὲν ἀγαθὸς τυγχάνει, αὐτὸς διδάσκει λέγων· *Πολλὰ καλὰ ἐποίησα ἐν ὑμῖν· περὶ ποίου οὖν αὐτῶν ἔργων λιθάζετέ με;* Τίνι γὰρ τοῦτο οὐκ ἔστι σαφὲς καὶ φανερώτατον; μάλιστα πολλῶν ἀγαθῶν τῶν αὐτοῦ κτισμάτων ὄντων καὶ καλουμένων, ὡς φησιν ἡ θεία Γραφή. Ἰδοὺ γὰρ περὶ πολλῶν ἀγαθῶν διηγεῖται τὸ θεῖον γράμμα. *Ἦν ἀγαθὸς*, φησὶ, *Σαοὺλ, υἱὸς Κὶς, ἐκ φυλῆς Βενιαμίν· ὑψηλότερος δὲ παντὸς τοῦ λαοῦ, ὑπὲρ ὦμίαν καὶ ἐπάνω*· καὶ, *Ἦν ἀγαθὸς Σαμουὴλ μετὰ τοῦ Θεοῦ καὶ ἀνθρώπων*· καὶ, *Ἀγαθὴ ἐσχάτη λόγου ὑπὲρ τὴν ἀρχήν*· καὶ, *Ἄνοιξόν σου τὸν θησαυρὸν τὸν ἀγαθὸν, τὸν οὐράνιον.* Τούτων δὲ κτισμάτων ὄντων, καὶ ἀγαθῶν δηλουμένων, δι' αὐτοῦ τε καὶ ὑπ' αὐτοῦ γεγονότων, πῶς οὐκ ἀναμφιβόλως ἐστὶν ἀγαθὸν εἶναι ὁμολογεῖν τὸν τούτου γενεσιάρχην; Ἀλλ' ἵνα μὴ μηκύνω τὸν περὶ τούτου λόγον (πάντη γὰρ διὰ πλάτους περὶ τούτου εἰρήκαμεν), αὖθις πάλιν εἰς τὰς ἑξῆς παρελεύσομαι, τὴν ἐπίλυσιν ἑκάστης λέξεως ποιούμενος.

A nomine venditaret, atque ita locutus esset : *Præceptor bone, quid faciendo vitam æternam possidebo*[1]? Cum, inquam, ita de se persuasum haberet tantæ se justitiæ numeros omnes explevisse : ideo Dominus bonitatem omnem ad Patrem, tanquam ad auctorem referre cupiens, quod nemo præter ipsum bonus sit, ne quis carne præditus, superbia arrogantiaque se nimium efferret, respondit : *Quid me dicis bonum? Nemo bonus est nisi solus Deus*[2] : ut cum tantus ac talis hoc modo loqueretur interrogantis illius qui justitiæ opinione erat inflatus fastum ac spiritus frangeret. Tum ut intimos ejus pectoris sensus redargueret, eo quod cum bonum ipsum summis duntaxat labiis fateretur, minime tamen bona in illius doctrina acquiesceret. Verumenimvero bonum se esse testatur ipsemet his verbis : *Multa bona feci in vobis; propter quod igitur ex illis operibus lapidatis me*[3]? Quis est hebes adeo, cui non illud perspicue manifesteque constet? præsertim cum creatarum ab illo rerum quamplurimæ et sint et appellentur bonæ, ut ex Scripturæ testimonio colligitur. Quæ quidem bonorum multorum mentionem facit. Ita : *Bonus*, inquit, *erat Saul filius Cis de tribu Benjamim; sublimior omni populo ab humeris et ultra*[4]; item : *Bonus Samuel cum Deo et hominibus*[5]; tum : *Melior est orationis finis quam principium*[6]; item : *Aperi thesaurum bonum tuum cœlestem*[7]. Quæ cum omnia creaturæ quædam sint, ac bonæ esse dicantur, per ipsum utique et ab ipso productæ, nonne auctorem illorum ac conditorem bonum esse confiteri sine ulla dubitatione licet? Verum ne longius quam par sit in ea disputatione versetur oratio (abunde enim de eo loco dictum arbitror), reliqua videamus, et singula ab illis objecta diluamus.

B

ΝΗ'. Ἐπιφέρουσι δὲ πάλιν τινὰ ῥητὰ οἱ πάντολμοι, ἐλαττωμάτων ὑπονοίας ὑποσπείροντες εἰς τὸν αὐτοὺς ἀγοράσαντα, εἴπερ ἠγοράσθησαν. Ἐν γὰρ τῷ προσελθεῖν τὴν μητέρα τῶν υἱῶν Ζεβεδαίου, καὶ παρακαλέσαι τὸν ἕνα καθίσαι υἱὸν ἐκ δεξιῶν, καὶ τὸν ἕνα ἐξ εὐωνύμων, ὅταν ἔλθῃ ἐν τῇ βασιλείᾳ αὐτοῦ, ἔφη πρὸς αὐτούς· *Οὐκ οἴδατε τί αἰτεῖσθε. Δύνασθε πιεῖν τὸ ποτήριον ὃ μέλλω πίνειν; Οἱ δὲ εἶπον· Ναὶ, δυνάμεθα. Εἶπε δὲ αὐτοῖς· Τὸ μὲν ποτήριόν μου πίεσθε, τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου, ἢ ἐξ εὐωνύμων, οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται παρὰ τοῦ Πατρός μου.* Ὁρᾷς, φησὶ, πῶς οὐκ ἔχει ἐξουσίαν παρὲξ τοῦ Πατρὸς, τοῦ ἔχοντος τὴν ἐξουσίαν παρέχειν ὃ βούλεται; Καὶ τίς οὕτως τῶν εὐφρονούντων νοήσειεν; εἰ γὰρ ὁ Υἱὸς οὐκ ἔχει ἐξουσίαν, καὶ τίς ἔχει ἐξουσίαν; *Ὁ γὰρ Πατὴρ*, φησὶ, *ζωογονεῖ τοὺς νεκροὺς, καὶ οὕτως ἔδωκε καὶ τῷ Υἱῷ, ἵνα ὃν θέλει ζωογονῇ*· καὶ, *Τὰ τοῦ Πατρὸς ἐμά ἐστι*· καὶ, *Πάντα παρεδόθη ὑπὸ τοῦ Πατρός μου.* Τίς οὖν ἔτι ἀμφιβάλλοι; Τοῦτο δὲ βούλεται παριστᾶν ὁ θεῖος αὐτοῦ καὶ σοφὸς λόγος, ὅτι οὐ κατὰ προσωποληψίαν γίνεται πρᾶγμα, ἀλλὰ κατὰ ἀξίαν.

C

LVIII. Pergunt enim audacissimi homines cuidam Scripturæ sententiæ insistere, ex qua Redemptori suo, si tamen ab eo redempti sunt, falsam imminutionis ac defectus opinionem aspergant. Etenim cum ad Christum Zebedæi filiorum mater accessisset, rogans ut alterum ad dexteram, alterum ad sinistram sedere tum juberet cum ad regnum suum pervenisset, ita illis respondit : *Nescitis quid petatis. Potestis bibere calicem quem bibiturus sum? At illi dixerunt : Possumus. Dixit autem illis : Calicem quidem meum bibetis, sedere* **782** *autem ad dextram meam, vel ad sinistram, non est meum dare, sed quibus paratum est a Patre meo*[8]. Vides igitur, inquiunt, omni illum potestate carere sine Patre, penes quem est cui velit deferendi facultas. Quis sui compos ac prudens hæc de Christo cogitare possit? Nam si Filius potestate caret, quis eam tandem obtinebit? *Pater enim*, inquit, *vivificat mortuos, et ita dedit et Filio, ut quem vult vivificet*[9]; et : *Quæ Patris sunt, mea sunt*[10]; et : *Omnia tradita sunt mihi a Patre meo*[11]. Quis de eo dubitare amplius potest? Quamobrem hoc divinus ipsius ac sapiens

D

[1] Matth. XIX, 6. [2] ibid. 17. [3] Joan. X, 32. [4] I Reg. IX, 2. [5] I Reg. II, 26. [6] Eccle. VI. 9. [7] Num. XX, 6. [8] Matth. XX, 23; Marc. X, 38 sqq. [9] Joan. V, 21. [10] Joan. XVI, 15. [11] Matth. XI, 27.

Digitized by Google

sermo demonstrare voluit, nulla personarum acceptione, sed ex cujusque merito rem omnem transigi. Domini enim est conferre; confert autem unicuique pro dignitate meritorum. Unusquisque enim qui quod justum est præstitit, pro laboris sui ratione mercedem accipit; nec alteri tribuere licet, præterquam ei qui se dignum reddiderit. Dicam enim audacter: Ne ipsius quidem esse, nisi hoc modo, dare, quanquam hoc in ejus potestate situm est, sed quod nequaquam id velit. Imo nec Spiritus esse sancti, quamvis et ipse tribuere possit, ut ex hoc Scripturæ loco manifestum est: *Huic quidem datur sapientia per Spiritum; huic vero genera linguarum in eodem Spiritu; alteri interpretatio linguarum; huic virtus, huic doctrina. Unus est autem Spiritus, qui dividit unicuique prout vult* [1]. Non dixit, prout jubetur, sed quatenus vult. Ad hæc, *Filius quem vult vivificat* [2], *et Pater vocat quem vult ad Filium* [3]. Præterea neque Pater, aut Filius, neque Spiritus sanctus personarum in vocando dandove, ac largiendo, vel cujusque meritis compensandis rationem habet; sed hoc omnino spectatur, quemadmodum se quisque idoneum dignumque comparet. Denique hic sensus est, *Non est meum dare*, sed si laboraveritis, paratum erit vobis a Patre meo. Summum autem ac perfectum est, quoniam *ego sum vita* [4]. Nunc ad alia progrediamur.

A Κυρίου μὲν γάρ ἐστι τὸ παρέχειν· παρέχει δὲ ἑκάστῳ κατ' ἀξίαν. Ἕκαστος δὲ, ἐργασάμενος τὸ δίκαιον, λαμβάνει κατὰ τὸν ἴδιον κόπον· καὶ οὐκέτι αὐτῷ μόνῳ ἐστὶ τὸ δοῦναι, ἀλλὰ τῷ ἑαυτὸν ἄξιον ποιοῦντι. Τολμῶ γὰρ λέγειν, ὅτι οὔτε αὐτοῦ ἐστι, καίπερ δυναμένου δοῦναι, μὴ βουλομένου δέ· οὔτε τοῦ ἁγίου Πνεύματος καίπερ δυναμένου τοῦ ἁγίου Πνεύματος δοῦναι κατὰ τὸ εἰρημένον, ὅτι *ὯΙ μὲν δίδοται σοφία διὰ τοῦ Πνεύματος, τῷ δὲ γένη γλωσσῶν ἐν τῷ αὐτῷ Πνεύματι, τῷ δὲ ἑρμηνεία γλωσσῶν, τῷ δὲ δύναμις, τῷ δὲ διδασκαλία. Ἐν δέ ἐστι τὸ Πνεῦμα τὸ διαιροῦν ἑκάστῳ ὡς βούλεται.* Καὶ οὐκ εἶπε, καθὼς προστάσσεται, ἀλλὰ, καθὼς βούλεται. Καὶ *ὁ Υἱὸς ὃν θέλει ζωογονεῖ, καὶ ὁ Πατὴρ καλεῖ ὃν θέλει πρὸς τὸν Υἱόν*· καὶ πάλιν· Οὔτε ὁ Πατὴρ καὶ ὁ B Υἱὸς, οὔτε ἅγιον Πνεῦμα κατὰ προσωποληψίαν καλεῖ, ἢ δίδωσιν, ἢ παρέχει, ἢ ἀξίαν δίδωσιν· ἀλλὰ καθὼς ἑαυτὸν ἄξιον ἕκαστος εὐτρεπίζει· τουτέστιν, *Οὐκ ἔστιν ἐμὸν δοῦναι*· ἀλλὰ ἐὰν κάμητε, ἔσται ὑμῖν ἡτοιμασμένον παρὰ τοῦ Πατρός μου. Τὸ δὲ τέλειον, ὅτι *ἐγώ εἰμι ἡ ζωή*. Καὶ ἔτι ὑπερβήσομαι εἰς τὰ ἕτερα.

LIX. Objiciunt illud: Quinam illum ex perfecta divinitate Dei prodisse dicitis? Ecce enim Apostolus sic de illo scribit: *Deus suscitavit illum a mortuis* [5]. Ex quo patet Dei illum auxilio, qui se a mortuis excitaret opus habuisse. Proindeque alius est qui suapte illum vi suscitat, alius et eodem inferior, qui præpotentis illius virtute suscitatur. Quid amplius perfrictæ frontis hominum refellendis nugis ac somniis immoramur? Quis Lazarum **783** excitavit ad vitam [6]? Quis viduæ in oppido Naim filium vitæ restituit [7]? Quis Synagogæ principis filiæ dixit: *Cumi, talitha*, hoc est, *Surge, filia* [8]? Cujus invocato ab apostolis nomine mortui sunt ad vitam revocati? At isti, quoniam apostoli contra Judæos disputantes, cum persuasum ipsis esset, apostolos ab legis Deo defectionem prædicare, necnon et quod Spiritus sanctus prævideret ejusmodi hæreses futuras, quæ a paterna voluntate Christum abalienare ac separare studerent: cum, inquam, propterea ad unam divinitatem omnia revocarent apostoli, quandoquidem pro eo ac Patri visum est, de Filii voluntate, ac consentiente Spiritu sancto, omnia condita sunt, hæretici, inquam, isti his loquendi modis inferiorem quamdam conditionem, aut imbecillitatem, aut divini Verbi ab essentia Patris alienationem significari putant. Verum longe aliter se res habet. Et ut illud intelligas, age exemplaria ipse contuere. Quid angelus Mariæ, ejusque sociis mulieribus dixerit: *Quid quæritis vivente cum mortuis* [9]?

NΘ'. Φησὶ δέ· Πῶς λέγετε αὐτὸν ἐκ τῆς τελείας τοῦ Θεοῦ θεότητος; Ἰδοὺ γὰρ λέγει περὶ αὐτοῦ ὁ Ἀπόστολος, ὅτι *Ὁ Θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν.* Ὁ δὲ ἐπιδεηθεὶς βοηθείας τοῦ Θεοῦ τοῦ ἐγεῖραι αὐτὸν ἐκ νεκρῶν. Ἄρα ἕτερός ἐστιν ὁ ἐγείρων τῇ δυνάμει, C ἕτερος δὲ ὑποδεδηκὼς ὁ ἐγειρόμενος διὰ τῆς τοῦ δυνατοῦ δυνάμεως. Καὶ ἕως πότε κατατρίβομαι περὶ τὰ ληρώδη νοήματα τῶν κακῶς παρατρεψάντων ἑαυτῶν τὸ μέτωπον; Τίς οὖν ἤγειρε τὸν Λάζαρον; Τίς ἤγειρε τὸν υἱὸν τῆς χήρας τῆς ἐν Ναΐν; Τίς εἶπε τῇ θυγατρὶ τοῦ ἀρχισυναγώγου· *Κούμι, ταλιθὰ*, τουτέστιν, *Ἀνάστηθι, ἡ παῖς;* Τίνος τὸ ὄνομα ἐπεκαλοῦντο οἱ ἀπόστολοι, καὶ οἱ νεκροὶ ἠγείροντο; Νομίζουσι δὲ, ἐπειδὴ οἱ ἀπόστολοι, Ἰουδαίοις προσδιαλεγόμενοι, διὰ τὸ νομίζειν ἀποστασίαν κηρύσσειν τοὺς ἀποστόλους ἀπὸ τοῦ Θεοῦ τοῦ νόμου, καὶ διὰ τὸ πρὸς τὸ γνωστὸν τοῦ ἁγίου Πνεύματος, τοῦ γινώσκοντος, ὅτι ἤμελλον αἱρέσεις ἀφηνιάζειν τὸν Χριστὸν ἀπὸ τοῦ πατρῴου θελήματος· τούτου ἕνεκα εἰς τὴν μίαν θεότητα τὰ πάντα ἀναφέροντες οἱ αὐτοὶ ἀπόστολοι, ὅτι εὐδοκίᾳ D παρὰ Πατρὸς ἐγένοντο τὰ πάντα βουλήσει τοῦ Υἱοῦ, συνευδοκίᾳ Πνεύματος ἁγίου, μὴ ἄρα κατὰ ἐλάττωσιν, ἢ κατὰ ἀσθένειαν, ἢ ἀλλοτρίωσιν τῆς τοῦ Θεοῦ Λόγου παρὰ τοῦ Πατρὸς οὐσίαν τοῦτο εἴρηται. Καὶ οὐχ οὕτως. Ὅρα γὰρ τὰ πρωτότυπα, πῶς διηγεῖται ὁ ἄγγελος φάσκων ταῖς περὶ Μαρίαν· *Τί ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν;*

Vides ut vivens ille cum sua divinitate et carne surrexerit. Neque vero inter mortuos amplius jace-

Ὁρᾷς, ὁ ζῶν ἐν ἰδίᾳ θεότητι καὶ σαρκὶ ἀνέστη. Οὐκ ἦν δὲ μετὰ τῶν νεκρῶν. Καὶ τί φησιν αὐτοῖς·

[1] I Cor. XII, 8 sqq. [2] Joan. V, 21. [3] Joan. VI, 44. [4] Joan. XIV, 6. [5] Rom. IV, 24; I Cor. XV, 15. [6] Joan. XI, 43. [7] Luc. VII, 14. [8] Matth. IX, 25; Luc. VIII, 54. [9] Luc. XXIV, 5.

Digitized by Google

Ἀνέστη, οὐκ ἔστιν ὧδε; καὶ οὐκ εἶπεν· *Ἤγειρεν* A αὐτὸν ὁ Θεὸς, καὶ οὐκ ἔστιν ὧδε; ἀλλ' ἵνα δείξωσι τὸ δυνατὸν, ὅτι καὶ ζῶν ἀνέστη. Καὶ αὐτὸς πάλιν ἔλεγε, πρὸ τοῦ παθεῖν αὐτὸν, τοῖς αὐτοῦ μαθηταῖς· *Ἰδοὺ ἀναβαίνομεν εἰς Ἱεροσόλυμα, καὶ παραδοθήσεται ὁ Υἱὸς τοῦ ἀνθρώπου εἰς τὸ σταυρωθῆναι, καὶ τῇ τρίτῃ ἡμέρᾳ ἀναστήσεται.* Καὶ οὐκ εἶπεν· Ἀναστήσει αὐτόν. Σαφῶς δὲ περὶ τούτου τὸ ἐξουσιαστικὸν τῆς αὐτοῦ δυνάμεως προεδείκνυε λέγων· *Ἐξουσίαν ἔχω τὴν ψυχήν μου θεῖναι, καὶ λαβεῖν αὐτήν.* Ὁ δὲ ἐξουσίαν ἔχων, πῶς ἑαυτὸν ἐγείρειν οὐκ ἠδύνατο; Ὁ Ἀπόστολος δὲ γράφων, ἵνα δείξῃ μηδὲν ἄνευ θελήματος Πατρὸς ἐν τῇ τῆς σωτηρίας οἰκονομίᾳ γεγενῆσθαι, ἔφη· *Ὁ Θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν.* Καὶ γὰρ καὶ ἐν ἄλλῳ τόπῳ λέγει αὐτὸς ὁ Ἀπόστολος, ὅτι *Εἰ καὶ ἀπέθανεν ἐξ ἀσθενείας, ζῇ δὲ* B *ἐκ δυνάμεως.* Ἤθελον δὲ πυθέσθαι τὸν νοῦν τῶν τὰ ἀκριβῆ τῶν Γραφῶν γινωσκόντων, ποίαν ἀσθένειαν εἶχεν ὁ Μονογενὴς, δι' οὗ ὁ οὐρανὸς ἥπλωται, ἢ παρ' οὗ ὁ οὐρανὸς ἔκτισται, δι' οὗ ὁ ἥλιος ἐστιλβώθη, δι' οὗ ἔλαμψαν τὰ ἄστρα, δι' οὗ ἐξ οὐκ ὄντων τὰ πάντα γεγένηται. Ἄρα τὴν ἀσθένειαν ποίαν λέγει; Ἄρα ἦν ἀνεδέξατο ἐλθὼν ὁ Λόγος ἐν τῇ ἡμετέρᾳ σαρκὶ, ἐνδυσάμενος ταύτην, ἵνα τὴν ἡμῶν ἀσθένειαν βαστάσῃ; ὡς καὶ ᾄδει περὶ αὐτοῦ ὁ προφήτης λέγων· *Τὰς ἀσθενείας ἡμῶν ἔλαβε, καὶ τὰς νόσους ἐβάστασεν.* Ἀπέθανεν οὖν διὰ τὴν ἡμῶν ἀσθένειαν ὁ ζωὴ ὢν καὶ ἀπαθὴς Θεὸς ἐν τῇ ἐξ ἡμῶν ἀσθενεστέρᾳ σαρκὶ· ζῇ δὲ ἐκ δυνάμεως. *Ζῶν γάρ ἐστιν ὁ λόγος, καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον.* Ἀπέθανεν οὖν ἐξ ἀσθενείας, ζῇ δὲ ἐκ δυνάμεως τῆς αὐτοῦ θεότητος, ζῇ δὲ ἐν τῇ ἡμετέρᾳ σαρκὶ, ἐν ᾗ τὸ πάθος ἀνεδέξατο. Καὶ διὰ τὴν τοιαύτην οἰκονομίαν τὴν εὐδοκίαν Πατρὸς σημαίνων ὁ Ἀπόστολος ἔφη, ὅτι· *Ὁ Θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν.*

ΝΘ'. Ἐπιφέρουσι δὲ καὶ ἄλλο ῥητὸν ἐκ τοῦ κατὰ Λουκᾶν Εὐαγγελίου, ὅπερ ἐστὶ θεσπέσιον καὶ ἐξαίρετον, καὶ εἰς πάντα χρησιμώτατον. Ποῖον δέ ἐστι τὸ ῥητόν; ἀλλ' ἡ ὑπηνίκα γὰρ ἔμελλεν ὁ Κύριος ἰδίᾳ βουλήσει ἐπὶ τὸ πάθος ἥκειν, παραλαβὼν τοὺς μαθητὰς ἐν τῷ ὄρει κατὰ τὴν ὥραν ἐκείνην, *διέστη ἀπ' αὐτῶν ὡσεὶ λίθου βολήν, καὶ ἀπελθὼν ηὔχετο, ἔλεγε·* D *Πάτερ, εἰ δυνατὸν, παρελθέτω τὸ ποτήριον τοῦτο ἀπ' ἐμοῦ, ἵνα μὴ αὐτὸ πίω. Πλὴν οὐχ ὃ ἐγὼ θέλω, ἀλλ' ὃ σύ.* Καὶ πρῶτον μὲν πάλιν προφασίζονται οἱ αὐτοὶ λέγοντες, ὅτι Ὁρᾷς πῶς ὑποκριτικῶς[1] λέγει, καὶ βούλημα διηλλαγμένον ὑποφαίνει λέγων· *Οὐχ ὃ ἐγὼ θέλω, ἀλλ' ὃ σύ;* Πῶς οὖν ἡ αὐτὴ οὐσία τυγχάνει, φασὶν, ὅτι ἐν αὐτῷ ἕτερόν ἐστι βούλημα, ἐν δὲ Πατρὶ ἕτερον; Καὶ ἀγνοοῦσι τὴν πᾶσαν δύναμιν. Διὰ τοῦτο γὰρ καὶ ὁ Ἀπόστολος ἔφη· *Ὦ βάθος πλούτου, καὶ σοφίας, καὶ γνώσεως Θεοῦ!* Πῶς γὰρ ἴδιον βούλημα ἔφη παρὰ τὸ τοῦ Πατρὸς βούλημα, ὁπότε αὐτὸς

bat. Cur autem ita locutus est: *Surrexit, non est hic*[2]? non autem ita dixit: Excitavit eum Deus, et non est hic, nisi ut potestatem illius ostenderet, quoniam et vivus surrexit? Quinetiam priusquam ipse pateretur, discipulos suos sic allocutus est: *Ecce ascendimus Hierosolymam, et tradetur Filius hominis ut crucifigatur, et tertia die resurget*[3]. Non dixit: Excitabit ipsum; sed aperte, quod ad eam rem attinet, suæ vim potestatis aperuit dicens: *Potestatem habeo animam meam ponere, et sumere ipsam*[4]. Qui igitur potestatem habebat, semetipsum excitare non potuit? Apostolus vero nihil absque Patris voluntate in administranda hominum salute gestum demonstrare cupiens, ita scripsit: *Deus suscitavit illum a mortuis*[5]. Nam et alio loco idem Apostolus: *Tametsi*, inquit, *mortuus est ex imbecillitate, vivit ex virtute*[6]. Ego vero quidnam isti homines tam accurata sacrarum Litterarum scientia præditi in animo habeant, libenter interrogem: Quid in unico Dei Filio imbecillitatis fuerit, per quem cœlum expansum est et productum, per quem sol splendore perfusus est, per quem illuxere sidera, per quem e nihilo sunt omnia producta. Quam igitur imbecillitatem ei tribuunt? Eamne quam **784** in nostra carne, ubi illam induit, Dei Verbum in sese transtulit, quo infirmitatem nostram ipse portaret? Quemadmodum de illo propheta cecinit: *Infirmitates nostras suscepit, et morbos tulit*[7]. Igitur mortuus est propter infirmitatem nostram in imbecilla carne ille ipse, qui vita est et C immunis a passione Deus; *vivit* autem *ex virtute. Vivus est enim sermo Dei, et efficax, et penetrabilior omni gladio ancipiti*[8]. Quare mortuus est ex infirmitate, vivit autem ex divinitatis suæ virtute, et in carne nostra vivit, in qua passionem illam sustinuit. Ob hanc administrandi rationem Patris voluntatem ac decretum significare volens Apostolus dixit: *Deus suscitavit illum a mortuis.*

LIX'. Aliud insuper ex Evangelio Lucæ testimonium adducunt, plane divinum, et eximium, et ad omnia longe opportunissimum. Quodnam vero illud est? Nimirum cum ad subeundam passionem suapte sponte Dominus accessurus esset, discipulis ad montem perductis, eadem illa hora, *avulsus est ab illis lapidis ferè jactu, et abiens orabat his verbis: Pater, si fieri potest, transeat a me calix iste, ut non bibam illum. Verumtamen non quod ego volo, sed quod tu*[9]. Ex quo ita disputandi occasionem captant: Vides, inquiunt, ut ad discernendum apte locutus sit, et diversam ab illo voluntatem indicet? *Non quod ego volo, sed quod tu.* Fierine vero potest, ut eadem amborum sit essentia, cum in utroque alia voluntas insit? Sed vim omnem verborum penitus ignorant. Nam et propterea exclamat Apostolus: *O altitudo divitiarum et sapientiæ ac scientiæ Dei*[10]! Quomodo enim voluntatem propriam a

[1] F. ἀποκριτικῶς. [2] Marc. XVI, 6. [3] Matth. XX, 18. [4] Joan. X, 18. [5] Act III, 15. [6] II Cor. XIII, 4. [7] Isa. LIII, 4. [8] Hebr. IV, 12. [9] Luc. XXII, 41 sqq. [10] Rom. XI, 33.

Digitized by Google

paterna diversam esse dixit, cum hoc apostolis ipse declaraverit : *Turbata est*, inquit, *anima mea. Et quid dicam, Pater? Salva me ex hac hora*[1] : quod velut præparandi gratia ambigue conceptum est : *Quid dicam*, inquit, *Pater? Salva me ex hac hora?* Hoc, inquit, dicam : *Sed propterea veni in hanc horam.* Sponte porro, non invitus accessit; supra enim dixerat : *Calicem habeo bibendum. Et quid festino donec bibam illum. Et baptismo baptizandus sum, et quid volo nisi ut jam baptizer*[2]? Quare si et vult, et festinat, et hujus rei gratia venisse se dicit, quinam aliam suam, aliam Patris voluntatem esse demonstrat? Sed quoniam per Israeliticam gentem tradendus **785** erat, cum humanissimus esset, et Abrahami stirpi consulere vellet, ejus gratia ita locutus est. Porro hæc erat Patris voluntas, ut hoc modo administrarentur omnia, cum proditionis Filii causa sibimetipsis Israelitæ forent, neque a Deo cogerentur, nec Filii voluntas erat a paterna diversa. Sed in hoc demonstranda ab ipso illa fuerunt, ut singularitatem omnem ad Patrem velut ad principium referret, ne unitas illa, et administratio aliqua ex parte divideretur.

LIX. Præter hæc, illud etiam objicit hæreticus, quod in Evangelio Lucæ scriptum est, nimirum, dum oraret Christus et in agonia constitutus esset, sudasse. *Et factus est*, inquit, *sudor ejus, tanquam guttæ sanguinis decidentes in terram. Et apparuit angelus Domini confortans ipsum*[3]. Ex quo vocularum isti captatores, velut occasionem adversus inimicum nacti, ac gestientes et exsultantes ita nos oppugnant : Videsne etiam opus illi fuisse ut ab angelis corroboraretur? Corroboravit enim illum angelus, cum in anxietate illa versaretur. Neque vident, nisi hæc omnia Christus suscepisset, nisi hæc ipsa verba, *Non mea voluntas, sed tua*, usurpasset; nisi angorem illum animi subiisset, ac nisi denique sudorem e corpore distillasset, totum illud assumptæ carnis mysterium nihil præter opinionem ac speciem habiturum fuisse; adeoque Manichæorum et Marcionistarum larvam illam et adumbratam imaginem, quam de incarnatione prædicant, haud absurdam futuram; neque quidquam in incarnatione ipsa visum iri ex rei veritate gestum. Quamobrem Christus Dominus, ut vitam nostram ac salutem muniret, omnia illa singulari providentiæ suæ gubernatione suscepit, et ex humano affectu non simulate, sed bona fide disseruit. Veluti, *Non mea voluntas*, ut carnem revera subsistere doceret; ac tam eos refelleret, qui humanam illum mentem habuisse negarent, quam qui carnem detraherent. Quam enim admirabiliter divinus sermo in filiorum caliginis medio consistens, eorum tenebras redarguit, ac veritatis filios illustrat! Animadverte enim quam multa in illa oratione commoda sint. Primum ab iis, quæ corporis expertia sunt, manare sudor non potest. Quare hoc ipso, quod sudore diffluxit, A σημαίνει πρὸς τοὺς μαθητὰς, ὅτι *Τετάρακται ἡ ψυχή μου. Καὶ τί εἴπω, Πάτερ; Σῶσόν με ἐκ τῆς ὥρας ταύτης*· ὡς προκατασκευαστικῶς τὸ ῥητὸν διηγούμενος, καὶ ἐπαμφιβόλως τῇ λέξει κεχρημένος· *Ὅ τι*[4] *εἴπω, Πάτερ; Σῶσόν με ἐκ τῆς ὥρας ταύτης;* Τοῦτο, φησὶν, εἴπω· *Ἀλλὰ διὰ τοῦτο ἦλθον εἰς τὴν ὥραν ταύτην.* Ἦλθε δὲ οὐκ ἄκων, ἀλλ' ἑκών· ἀνωτέρω γὰρ λέγει, ὅτι *Ποτήριον ἔχω πιεῖν. Καὶ τί σπεύδω ἕως οὗ πίω αὐτό; Καὶ βάπτισμα ἔχω βαπτισθῆναι· καὶ τί θέλω εἰ ἤδη ἐβαπτίσθην;* Εἰ τοίνυν θέλει καὶ σπεύδει, καὶ λέγει εἰς τοῦτο ἥκειν, πῶς ἄλλο βούλημα τὸ αὐτοῦ ὑποφαίνει, καὶ ἄλλο τοῦ Πατρός; Ἀλλ' ἐπειδὴ ἤμελλε διὰ τοῦ Ἰσραὴλ παραδίδοσθαι, φιλάνθρωπος ὢν καὶ φειδόμενος τοῦ σπέρματος Ἀβραὰμ, ἐποιεῖτο ὑπὲρ τοῦ λαοῦ λόγον. B Τὸ δὲ βούλημα ἦν τοῦ Πατρὸς, τὸ τὴν οἰκονομίαν οὕτω πληρωθῆναι τῶν υἱῶν Ἰσραὴλ, παραιτίων ἑαυτοῖς ὄντων τῆς τοῦ Υἱοῦ προδοσίας, καὶ οὐχ ὑπὸ Θεοῦ ἀναγκαζομένων· καὶ οὐχ ἕτερον βούλημα ἦν τὸ τοῦ Υἱοῦ παρὰ τὸν Πατέρα. Ἀλλ' ἔδει αὐτὸν καὶ ἐν τούτῳ ταῦτα δεικνύειν, ἵνα τὸ πᾶν τῆς μονότητος ἐπὶ τὸν Πατέρα ἀναγάγοι, πρὸς τὸ μὴ μερισθῆναί τι τῆς μιᾶς ἑνώσεως καὶ οἰκονομίας.

ΝΘ'. Καὶ καθεξῆς δὲ ἐπιφέρει λέγων, ἐν τῷ εὔχεσθαι αὐτὸν, ὡς γενόμενος ἐν ἀγωνίᾳ ἐμφέρεται[5] ἐν τῷ κατὰ Λουκᾶν Εὐαγγελίῳ· *Ἱδρωσε*, φησὶ, *καὶ ἐγένετο αὐτοῦ ὁ ἱδρὼς ὡσεὶ θρόμβοι αἵματος κατερχόμενοι ἐπὶ τῆς γῆς. Καὶ ἐφάνη ἄγγελος Κυρίου ἐνισχύων αὐτόν.* Προπηδήσαντες τοίνυν οἱ λεξίθηρες εὐθὺς ὡς πρόφασιν κατὰ ἐχθροῦ εὑράμενοι, ἐπιφέ- C ρουσι λέγοντες· Ὁρᾷς, ὅτι ἐπεδέετο καὶ ἰσχύος ἀγγέλων; Ἐνίσχυσε γὰρ αὐτὸν ὁ ἄγγελος· ἐν ἀγωνίᾳ γὰρ αὐτὸς ἐγένετο. Καὶ οὐκ ἴασιν, ὅτι, ἐὰν μὴ ἔχῃ πάντα ταῦτα, καὶ τὸ, *Μὴ ἐμὸν βούλημα, ἀλλὰ τὸ σὸν*, καὶ ἐὰν μὴ ἀγωνιάσῃ, καὶ ἐὰν μὴ ἱδρὼς αὐτῷ γένηται ἐκ σώματος προχεόμενος, ἄρα δόκησις ἦν ἡ ἐνσαρκος Χριστοῦ παρουσία, καὶ εὔλογος παρὰ Μανιχαίων καὶ Μαρκιωνιστῶν ἡ περὶ φαντασίας δόκησις τῆς ἐνσάρκου παρουσίας ὑπόθεσις ᾄδεται, καὶ οὐκ ἀληθεστάτη. Ταῦτα δὲ πάντα, ἐπασφαλιζόμενος ἡμῶν τὴν ζωὴν, τὰ ὅλα ἀνεδέξατο οἰκονομικῶς, ἀνθρωποπαθῆ τινα διηγήματα ἔχων, οὐκ εἰρωνείᾳ, ἀλλ' ἀληθείᾳ, τὸ, *Οὐκ ἐμὸν θέλημα*, ἵνα δείξῃ σαρκὸς ὑπόστασιν ἀληθινὴν, καὶ ἵνα ἐλέγξῃ τοὺς λέγοντας νοῦν μὴ ἐσχηκέναι αὐτὸν ἀνθρώπινον, καὶ ἐλέγξῃ τοὺς μὴ λέ- D γοντας σάρκα αὐτὸν ἐσχηκέναι. Πῶς γὰρ θεῖος Λόγος ἀναμέσον τῶν υἱῶν τοῦ σκότους ἑστὼς ἐλέγχει τὸ σκότος, φωτίζει δὲ τοὺς υἱοὺς τῆς ἀληθείας; Ὅρα γὰρ πόσα χρήσιμα ἐν τῷ λόγῳ τούτῳ. Ἀπὸ ἀσωμάτων οὐ προέρχεται ἱδρώς. Ἐν δὲ τῷ τούτῳ γενέσθαι, ἔδειξεν ἀληθινὴν σάρκα, καὶ οὐ δόκησιν ἀπὸ σαρκὸς ἐν θεότητι συννηωμένης. Χωρὶς γὰρ ψυχῆς καὶ νοὸς οὐ γίνεται ἀγωνία. Ἀγωνιάσαντος δὲ αὐτοῦ, ἔδειξε ψυχὴν, καὶ σῶμα, καὶ νοῦν ἐπὶ τὸ αὐτὸ πεφορηκέναι, ὅθεν ἡ ἀγωνία φαίνεται. Καὶ πάλιν ἐν τῷ εἰπεῖν, *Μὴ τὸ ἐμὸν θέλημα, ἀλλὰ τὸ σὸν*, ἔδειξεν ἀληθῶς νοῦν ἀνθρώπινον, ἀλλ' ἀναμάρτητον. Ἡ γὰρ θεότης

[1] Joan. XII, 27. [2] Luc. XII, 50. [3] Luc. XXII, 44. [4] Leg. τί. [5] Leg. ὡς ἐμφ.

Digitized by Google

αὐτοῦ πάντοτε ἐν Πατρὶ, καὶ ὁ Πατὴρ ἐν Υἱῷ, καὶ ὁ Υἱὸς ἐν ἁγίῳ Πνεύματι τὰ πάντα τελειωμένως ἔχει· καὶ οὐδὲν διαλλάττει φρόνημα Υἱοῦ πρὸς Πατέρα, οὐδὲ Πατρὸς πρὸς Υἱὸν, οὐδὲ τοῦ ἁγίου Πνεύματος πρὸς Πατέρα καὶ Υἱόν. Εἰ γὰρ ἃ μὴ θέλει Πατὴρ, βούλεται Υἱὸς, ἄρα καὶ αὐτὸς ἔσται καθ' ἡμᾶς ψιλὸς ἄνθρωπος θελήματι Πατρὸς κατὰ ἐλάττωσιν. Ἀλλ' οὐχ οὕτως ἐστὶ, μὴ γένοιτο! Τῷ δὲ ἀνθρωποπαθῆ διηγεῖσθαι, τὸ ἀληθινὸν τῆς ἐνσάρκου αὐτοῦ παρουσίας, καὶ τὸ τέλειον τῆς αὐτοῦ ἐνανθρωπήσεως δείκνυσιν, ἵνα εἰς πάντα ἡμῶν σωτηρία γένηται, εἰς τὸ μὴ ἕτερα ἀνθ' ἑτέρων νοεῖν, καὶ ἐκπίπτειν τῆς ἀληθείας. A veram esse carnem ostendit, non carnis speciem cum divinitate conjunctæ. Adhæc sine anima ac mente angor et anxietas esse non potest. **786** Quo cum ille sit affectus, declaravit anima se pariter, et corpore, ac mente fuisse prædituni, unde ille angor exsistit. Præterea his ipsis verbis, *Non mea voluntas, sed tua*, etc., humanam sibi mentem inesse comprobavit, sed a peccatis immunem. Siquidem ipsius divinitas perpetuo in Patre, et Pater in Filio, et Filius in Spiritu sancto perfecte omnia complectitur; neque quidquam Filii a Patre sensus et voluntas dissidet, neque Patris a Filio, nec ab utroque Spiritus sancti. Nam si Filius ea velit quæ non vult Pater, nihil in eo præter nudam hominis naturam inesse statuemus, ejusmodique illum voluntate Patris, quod eo longe sit inferior, exstitisse. Verum absit a nobis, ut hoc ita se habere credamus! Nam quod ex humano quædam affectu ab illo pronuntiata sunt, ad veritatem incarnationis et perfectam humanæ naturæ conditionem demonstrandam pertinent, suis ut omnibus numeris absolutam nobis salutem afferret, neve, dum alia pro aliis animo concipimus, a veritate longius aberraremus.

Ξ'. Περὶ δὲ τοῦ ὑπὸ ἀγγέλων αὐτὸν θεωρηθῆναι ἐνισχυόμενον, καὶ τί τούτου κυριώτερον; τί δὲ τούτου ἀναγκαιότερον; Ἰδοὺ γὰρ εὑρήκαμεν πληρούμενον τὸ ῥητὸν τῆς μεγάλης Ὠδῆς, τῆς παρὰ Μωϋσεῖ γεγραμμένης, ὅπου λέγει· *Προσδοκάσθω ὡς ὑετὸς τὸ ἀπόφθεγμά μου.* Καὶ μετ' οὐ πολλὰ εἰπὼν (98) πάλιν φησί· *Προσκυνησάτωσαν αὐτῷ πάντες υἱοὶ Θεοῦ, καὶ ἐνισχυσάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ·* οὐχ ἵνα δῶσιν αὐτῷ ἰσχὺν οἱ ἄγγελοι (οὐ γὰρ ἐπεδέετο τῆς τῶν ἀγγέλων ἐνισχύσεως), ἀλλ' *ἐνισχύσωσιν αὐτῷ*, τουτέστιν ἀποδόντες αὐτῷ τὸ ἴδιον τῆς ἰσχύος αὐτοῦ ὁμολογήσαντες. Καὶ γὰρ καὶ ἡμεῖς ἀσθενεῖς ὄντες πολλάκις Θεὸν εὐλογήσαμεν, πολλάκις Θεὸν ἐνισχύσαμεν· οὐχ ὅτι Θεὸς ἐπιδέεται τῆς ἡμῶν εὐλογίας, ἀλλ' ὁμολογοῦντες αὐτοῦ τὸ τῆς εὐλογίας κράτος· καὶ διὰ λεπτολογίας ἐροῦμεν· *Σή ἐστιν ἡ δύναμις, σὸν τὸ κράτος, σή ἐστιν ἡ τιμὴ, σή ἐστιν ἡ δόξα, σή ἐστιν ἡ εὐλογία, σή ἐστιν ἡ ἰσχὺς, σή ἐστιν ἡ δύναμις.* Μὴ ἡμεῖς ἰσχὺν παρέχομεν τῷ Θεῷ, ἐὰν εἴπωμεν· *Σή ἐστιν ἰσχὺς, σή ἐστιν ἡ δύναμις, σή ἐστιν ἡ εὐλογία;* Μὴ ἡμεῖς δύναμιν αὐτῷ δεδώκαμεν; μὴ ἡμεῖς τὸν Θεὸν εὐλογήσαμεν; Ἀλλ' ἐνισχύσαντες, καὶ ἐνδυναμώσαντες B LX. Quod autem ab angelis confirmatus visus est, quid majoris momenti, quidve necessarium magis illo ipso fieri potuit? Hoc enim modo illud ex magno Moysis Cantico completum videmus: *Expectetur ut pluvia eloquium meum*[1]. Tum interjectis plerisque, *Adorent*, inquit, *ipsum omnes filii Dei, et confortent ipsum omnes angeli Dei*[2]: non ut fortitudinem illi ac robur adjiciant; neque enim illorum confirmatione opus habebat; sed *confortent*, inquit, *ipsum*, hoc est, reddant ei vim suam, ac fortitudinem acceptam illi referant. Nam et nos infirmi et imbecilles Deo sæpenumero benedicimus, sæpe illi robur tribuimus: non quod benedictione nostra Deus indigeat, sed ut expressam illa benedictione potestatem inesse in illo confiteamur. Hinc singillatim ita prædicamus: *Tua est virtus, tua potentia, tuus est honor, tua est gloria, tua est benedictio, tua est fortitudo, tua est vis*[3]. Num igitur Deo fortitudinem tribuimus, cum ita dicimus: *Tua est fortitudo, tua est virtus, tua est benedictio?* Num virtutem nos illi conferimus? num Deo benedicimus? Sed nimirum commemorando illa robore ac fortitudine divinam vim prædicando confitemur, C

[1] Deut. xxxii, 2 [2] ibid. 43. [3] I Par. xxix, 11.

(98) *Καὶ μετ' οὐ πολλὰ εἰπών.* Comma istud in Hebræo non reperitur, sed in Græcis duntaxat editionibus, Deut. xxxii, 43: aliter tamen expressum, quam hic ab Epiphanio concipitur, hoc scilicet modo: Εὐφράνθητε, οὐρανοὶ, ἅμα αὐτῷ, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ, quod est coma 42; tum 43: Εὐφράνθητε, ἔθνη, μετὰ τοῦ λαοῦ αὐτοῦ, καὶ ἐνισχυσάτωσαν αὐτῷ πάντες υἱοὶ Θεοῦ. Epiphanius vero sic invertit: Προσκυνησάτωσαν αὐτῷ πάντες υἱοὶ Θεοῦ· ἐνισχυσάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ. Communem lectionem confirmat Apostolus ad Hebr. cap. i, 6. Augustinus in locutionibus tam hanc quam Epiphanianam commemorat. Nos hanc ipsam, prout ab Epiphanio reddita est, in vetustissimo Bibliorum Græcorum codice manu exarato reperimus ex Bibliotheca Christianissimi regis: ut minime dubitandum sit, eam quorumdam exemplarium lectionem fuisse: nam et Theodoretus in Quæstionibus eam agnoscit; et Sixtianarum editionum scholia in aliis codicibus illam ipsam inveniri testantur. Quorum tamen insignis hallucinatio est, dum vulgatam alteram ab Epiphanio hac in hæresi comprobari dicunt. Quod secus se habet.

Quod ad sententiam attinet, si ea verba interpretatur Epiphanius, ut ἐνισχυσάτωσαν αὐτῷ sit idem, ac *roborent, vel confortent ipsum*. Sed nullus hellenismus patitur ἐνισχύειν τινί transitive sumi, pro eo quod est roborare aliquem. Quare Sixtiana et Complutensia melius: *Et confortentur, vel roborentur in ipso*. Quomodo autem Epiphanius exponit, legendum videatur ἐνισχυσάτωσαν αὐτόν. Sane Theodoretus ἐνισχυσάτωσαν αὐτούς in suis codicibus habuit; ejusque loci sensum ad Epiphanii mentem accommodat, cum de angelis exponit; quorum ea functio est, uti sanctos viros, cujusmodi erant apostoli ac patriarchæ, ope ac præsidio suo tueantur: quin et Christo Domino nascenti ac morienti præsto fuerunt. Κἂν τῷ πρὸς τὸν διάβολον ἀγῶνι παρῆσαν τῶν ἀγγέλων οἱ δῆμοι· προσελθόντες γάρ, φησὶν, ἄγγελοι διηκόνησαν αὐτῷ· καὶ τῷ πάθει δὲ παρῆσαν, καὶ μετὰ τὴν ἀνάστασιν τῷ τάφῳ προσήδρευον. D

Digitized by Google

ac Deo fortitudinem ascribimus. Eodem igitur modo angelus per illud tempus excellentem Domini sui adversus homines benignitatem admirans, et obstupescens, **787** quod cum Deus esset, et cum Patre adoraretur in cœlo, atque ab angelis suis observaretur, eo usque abjicere se sua sponte voluisset, ut ad hæc descenderet, ac carnem indueret.

Neque hoc tantum : sed vel opificii sui causa, hoc est hominis, cruciatus perpeti, et in cruce suffigi non dubitaret, ac mortem degustaret, *mortem autem crucis* [1]; ut per ipsum homo tropæum de morte statueret : *eumque, qui mortis imperium obtinebat*, diabolum videlicet, *aboleret* [2], *ac principatum omnem et potestatem velut in triumpho traduceret* [3]. Quare angelus ille admiratione ac stupore perculsus, et Dominum suum collaudans ac prædicans, qui in tali scammate, et ad tam inusitatum opus, velut in procinctu steterat, sic illum compellat : *Tua est adoratio, tuum imperium, tua virtus, tua fortitudo*, ut quod a Moyse scriptum est impleret : *Confortent ipsum omnes angeli Dei* [4]. Videte itaque, Christi famuli, ac sanctæ Dei Ecclesiæ et orthodoxæ religionis filii, quam nihil in Scriptura perplexum ac flexuosum sit, sed omnia ad nostram salutem scripta sint admirabiliter et perfecte. At isti unici Dei filii, et sancti Spiritus inimici nihil non hostili animo cogitant, callideque moliuntur. Absit vero ut nos animum commentis hominum adhibeamus : quin potius Dominum nostrum firmata corroborataque mente celebremus, nec in eo mancum aliquid esse suspicemur. Nam si is qui ad repræsentandum omnium salutem advenit, vel minimum in se defectum habet, quinam a suis defectibus vindicari creatura poterit?

LXI. Sed instant adversariorum more (nam revera Judaicis opinionibus imbuti sunt, nec ab illis præterquam appellatione dissident). Novi, inquam, isti Judæi contra Catholicos insurgentes, et adversus Salvatorem quædam verba meditantes, ut ipsum sermonum suorum laqueis irretiant, ut in Evangelio scriptum est [5], illud ipsum nobis objiciunt : Dixit pendens in cruce Christus : *Eli, Eli, lemma sabacthani?* hoc est, *Deus meus, Deus meus, quare me dereliquisti* [6]? Vides, inquiunt, ut miserabiliter imploret, ac lugeat, et dicat : *Quare me dereliquisti?* Neque hoc animo percipiunt, **788** homines virulenta hac Arii insania, velut quadam crapula, gravati, ac Dei cognitionis expertes; humanos omnes affectus in Christo Domino agnoscendos in vera illius incarnatione ac confitendos esse. Atque in primis ab uno in aliud desultorio more transeuntes, quid de eo sentiendum decreverint obliviscuntur, nec in uno statu consistunt. Neque enim aliter facere possunt, qui mente desipiunt. Igitur nonnunquam Salvatorem hunc asserunt, et Dominum, ac

A Θεοῦ τὴν δύναμιν ὡμολογήσαμεν, καὶ Θεῷ τὴν ἰσχὺν ἀποδεδώκαμεν· οὕτω καὶ ὁ ἄγγελος, κατ' ἐκείνην τὴν ὥραν θαυμάσας, καὶ ἐκπληττόμενος τὴν ὑπερβολὴν τῆς τοῦ ἰδίου Δεσπότου φιλανθρωπίας, ὅτι, Θεὸς ὤν, καὶ σὺν Πατρὶ προσκυνούμενος ἐν οὐρανῷ, καὶ θεραπευόμενος ὑπὸ ἰδίων ἀγγέλων αὐτοῦ, εἰς τοσοῦτον ὑπέμεινεν ἰδίᾳ βουλήσει ἑκουσίως ἐλθεῖν, καὶ ἐνδύσασθαι σάρκα.

Καὶ οὐ μόνον, ἀλλὰ καὶ ἄχρι τοῦ παθεῖν ὑπὲρ τοῦ ἰδίου πλάσματος τῆς ἀνθρωπείας φύσεως. ὑπομένει καὶ ἄχρι σταυροῦ παραδοθῆναι, γευσάμενός τε θανάτου, *θανάτου δὲ σταυροῦ*, ὅπως δι' αὐτοῦ τρόπαιον μὲν κατὰ τοῦ θανάτου ἡ ἀνθρωπότης λάβοι, *καταργήσῃ δὲ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστι τὸν διάβολον, καὶ θριαμβεύσῃ πᾶσαν ἀρ-*
B *χὴν καὶ ἐξουσίαν*. Διὸ καὶ θαυμάζων καὶ ἐκπληττόμενος ὁ ἄγγελος ἔλεγεν αὐτῷ, δοξολογῶν καὶ εὐφημῶν τὸν ἴδιον Δεσπότην ἐπὶ τῷ τοιούτῳ σκάμματι καὶ παραδοξοποιΐᾳ ἑστῶτα, ὅτι *Σή ἐστιν ἡ προσκύνησις, σόν ἐστι τὸ κράτος, σή ἐστιν ἡ δύναμις, σή ἐστιν ἡ ἰσχύς*· ἵνα πληρώσῃ τὸ παρὰ Μωϋσεῖ γεγραμμένον, ὅτι *Ἐνισχυσάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ*. Καὶ ὁρᾶτε, Χριστοῦ θεράποντες, καὶ υἱοὶ τῆς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας καὶ ὀρθοδόξου πίστεως, ὅτι οὐδὲν ἐν τῇ θείᾳ Γραφῇ σκολιόν, οὐδὲ στραγγαλιῶδες· ἀλλὰ τὰ πάντα θαυμασίως εἰς τὴν ἡμετέραν σωτηρίαν γέγραπται, καὶ τετελείωται. Οἱ δὲ προειρημένοι, ἐν ἔχθρᾳ ὄντες πρὸς τὸν μονογενῆ
C Υἱὸν τοῦ Θεοῦ καὶ πρὸς τὸ ἅγιον Πνεῦμα, πάντα ὡς ἐχθροὶ διανοοῦνταί τε καὶ σοφίζονται. Ἡμῖν δὲ μὴ γένοιτο ἀνθρωπίνοις σοφίσμασι προσανέχειν, ἀλλ' ἔχειν τὸν ἑαυτὸν νοῦν ἐῤῥωμένον, ὅπως τὸν μὲν ἡμῶν Δεσπότην δοξάσωμεν, μηδὲν δέ τι ἠλαττωμένον ἐν αὐτῷ διανοηθῶμεν. Εἰ γὰρ ὁ τὰ πάντα ἐλθὼν σῶσαι ἔχει ἐλαττώματός τι ἐν ἑαυτῷ, πῶς σωθήσεται ἡ κτίσις ἀπὸ τῶν ἰδίων ἐλαττωμάτων;

ΞΑ'. Πάλιν δὲ ἐπιλαμβάνονται ὥσπερ ἀντίδικοι· (καὶ γὰρ εἰσιν Ἰουδαϊκῷ φρονήματι ἐγκείμενοι, καὶ μηδὲν ἐκείνων διαλάττοντες πλὴν τοῦ ὀνόματος μόνον) οἱ πάλιν ἡμῖν ἐπιφύοντες νέοι Ἰουδαῖοι, ζητοῦντες κατὰ τοῦ Σωτῆρος λέξεις τινάς, ὅπως παγιδεύσωσιν αὐτὸν ἐν λόγῳ, καθὼς ἔφη τὸ ἅγιον Εὐαγγέλιον. Καί φασιν· Ἔλεγεν ἐν τῷ σταυρῷ· *Ἠλί, Ἠλί, λημᾶ σαβαχθανί*· τουτέστι, *Θεέ μου, Θεέ μου, ἵνατί με*
D *ἐγκατέλιπες;* Καὶ ὁρᾷς, φασὶν, οἰκτρῶς αὐτὸν παρακαλοῦντα, καὶ ἀποδυρόμενον, καὶ λέγοντα· *Ἵνα τί με ἐγκατέλιπες;* Καὶ οὐκ ἴσασιν οἱ ἀπὸ τοῦ δηλητηρίου τούτου τῆς τοῦ Ἀρείου μανίας καρηβαροῦντες, καὶ τῇ διανοίᾳ τῆς τοῦ Θεοῦ γνώσεως λειπόμενοι, ὅτι δεῖ τὰ ἀνθρωποπαθῆ πάντα ἐν τῷ Κυρίῳ ὁμολογεῖσθαι ἐν τῇ ἐνσάρκῳ αὐτοῦ ἀληθινῇ παρουσίᾳ. Καὶ πρῶτον μὲν τὰ περὶ αὐτοῦ ὡς φρονοῦσιν, ἀπὸ ἑτέρων εἰς ἕτερα μεταπηδῶντες ἐπιλανθάνονται, μίαν μὴ ἔχοντες κατάστασιν. Πῶς γὰρ δύνανται οἱ τῇ διανοίᾳ μὴ σωφρονοῦντες; Ποτὲ μὲν γὰρ λέγειν Σωτῆρα βούλονται αὐτὸν, καὶ Κύριον, καὶ Χριστὸν, καὶ πρὸ πάντων αἰώνων, καὶ δεσπότην ἀγγέλων καὶ

[1] Philipp. II, 8. [2] Hebr. II, 14. [3] Coloss. II, 15. [4] Deut. XXXII, 43. [5] Matth. XXII, 15. [6] Matth. XXVII, 47.

Digitized by Google

ἀρχαγγέλων, δι' οὗ τὰ ὅλα γεγένηται, ἀρχαί τε καὶ ἐξουσίαι, ἄγγελοί τε καὶ ἀρχάγγελοι, οὐρανοί, καὶ τὰ πάντα, γῇ τε καὶ πάντες ἄνθρωποι, καὶ πάντα τὰ ἐπὶ γῆς, θάλασσά τε καὶ τὰ ἐν αὐτῇ. Καὶ ὢ πολλῆς ἠλιθιότητος τῶν τὰ τοιαῦτα περὶ αὐτοῦ δοξαζόντων, καὶ ἐνταῦθα μὴ νοούντων, ὅτι οὐ δύναται ὁ πρὸ τῶν αἰώνων κατὰ τὴν αὐτοῦ θεότητα, δι' οὗ ὁ οὐρανὸς καὶ γῆ γεγένηται, ἄγγελοί τε καὶ ἀρχάγγελοι, καὶ ἁπαξαπλῶς τὰ σύμπαντα, ὁρατά τε καὶ ἀόρατα ταύτην τὴν φωνὴν ἐκ προσώπου τῆς αὐτοῦ θεότητος λέγειν· *Θεέ μου, Θεέ μου, ἵνα τί με ἐγκατέλιπες;* A Christum, omnibusque superiorem sæculis, et angelorum atque archangelorum dominum, per quem omnia condita sunt, principatus scilicet et potestates, angeli et archangeli, cœli et quæ in iis sunt universa, necnon et terra cum omnibus hominibus, iisque quæ in terra sunt; ac denique mare et quæ mari continentur. O incredibilem eorum stultitiam, qui cum ita de illo sentiant, in altero non vident, fieri non posse, ut qui divinitate sua sæcula antecedat omnia, qui cœlum terramque fabricarit, et angelos, atque archangelos, et, ut uno verbo dicam, omnia tam quæ aspectabilia sunt, quam quæ aspectum fugiunt, is ut, inquam, ejusmodi vocem ex persona suæ divinitatis ediderit: *Deus meus, Deus meus, ut quid dereliquisti me?*

Πότε γὰρ ἐγκατελείφθη Υἱὸς ἀπὸ Πατρός; πότε δὲ οὐχ ὁ Υἱὸς ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν Υἱῷ; Ἐπὶ γῆς μὲν γὰρ ὁ Υἱὸς, καὶ ὁ Θεὸς Λόγος βεβήκει, οὐρανοῦ δὲ ἥπτετο, καὶ πάντες ἐχθροὶ ἐπληροῦντο τῆς αὐτοῦ δόξης. Καὶ ἐν Μαρίᾳ ἐτύγχανε, καὶ ἄνθρωπος ἐγίνετο, ἀλλὰ τῇ δυνάμει αὐτοῦ ἐπλήρου τὰ σύμπαντα. Πῶς οὖν ὁ τοιοῦτος καὶ τηλικοῦτος κατὰ τὴν αὐτοῦ θεότητα, οἰκτρῶς ἔλεγεν· *Ἠλὶ, Ἠλὶ, λημᾶ σαβαχθανὶ;* τουτέστι, *Θεέ μου, Θεέ μου, ἵνα τί ἐγκατέλιπές με;* καίτοι αὐτοῦ λέγοντος· *Πάλιν ἀπέρχομαι, καὶ οὐκ ἀφίω ὑμᾶς ὀρφανούς, ἀλλ' ἔρχομαι πρὸς ὑμᾶς.* Καὶ πάλιν ἑτέρῳ τόπῳ λέγει· *Ἀμὴν λέγω ὑμῖν· Πάντες ὑμεῖς σκανδαλισθήσεσθε ἐν τῇ νυκτὶ ταύτῃ ἐν ἐμοὶ, καὶ καταλείψετέ με πάντες μόνον. Ἀλλ' οὐκ εἰμὶ μόνος, ἀλλ' ἔστι μετ' ἐμοῦ ὁ γεννήσας με Πατήρ·* καὶ πάλιν· *Ἀπέρχομαι, καὶ ἀποστελῶ ὑμῖν τὸ Πνεῦμα τὸ ἅγιον, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, καὶ τὸ ἐμοῦ λαμβάνον·* καὶ πάλιν ἐν ἄλλῳ τόπῳ· *Ἐγὼ κρούω, καὶ ἐάν τίς μοι ἀνοίξῃ, εἰσελευσόμεθα πρὸς αὐτὸν ἐγὼ καὶ ὁ Πατήρ μου, καὶ μονὴν ποιήσομεν παρ' αὐτῷ·* ὡς αὐτοῦ ἐκ τοῦ Πατρὸς μὴ ἐγκαταλιμπανομένου, ὡς καὶ ὁ Πατὴρ ἀεὶ σὺν τῷ Υἱῷ, ὡς τοῦ ἁγίου Πνεύματος σὺν Πατρὶ καὶ Υἱῷ.

Quandonam enim a Patre derelictus est Filius? aut quando non in Patre Filius exstitit, et Pater in Filio? B Etenim cum ille ipse Filius, ac Deus Verbum in terra consisteret, cœlum interim attingebat, et inimicos omnes gloriæ suæ splendore complebat. Et in Mariæ quidem utero conclusus erat, ac naturam hominis induebat, sed virtute sua replebat universa. Potuitne talis ac tantus hæc ex divinitatis persona tam lugubria dicere: *Eli, Eli, lemma sabacthani?* hoc est, *Deus meus, Deus meus, quare dereliquisti me?* Præsertim cum ille ipse dixisset: *Iterum vado, et non relinquam vos orphanos; sed venio ad vos*[3]. Tum alio loco: *Amen dico vobis: Omnes vos scandalum patiemini hac nocte in me, et relinquetis me solum*[4]. *Ego autem non sum solus, sed est mecum, qui genuit me Pater*[5]. Item: *Vado, et mittam vobis Spiritum sanctum, qui a Patre procedit, et de meo accipit*[6]. Item alibi: *Ego pulso, et si quis aperuerit mihi*[7], *ingrediemur ad ipsum ego et Pater meus, et mansionem apud illum faciemus*[8]: **789** ut hoc intelligamus, nusquam illum a Patre deseri, quemadmodum et Pater cum Filio, et cum utroque perpetuo Spiritus sanctus est. C

ΞΒ'. Τί οὖν, φασὶν, ἔστιν ὁ λόγος οὗτος ὃν εἶπεν, ὅτι *Θεέ μου, Θεέ μου, ἵνα τί με ἐγκατέλιπες;* Τίνι δὲ οὐ σαφὲς εἴη, ὅτι ἀπὸ προσώπου τῆς αὐτοῦ ἐνανθρωπήσεως ἀνθρωποπαθῶς προβάλλεται τὸ ῥῆμα; Ἡ γὰρ αὐτοῦ ἐνανθρώπησις οὐ κατ' ἰδίαν τις οὖσα. Οὐ γὰρ ἀποκεχωρισμένης τῆς θεότητος, καὶ χωρὶς οὔσης τῆς ἐνανθρωπήσεως ἔλεγεν, ὡς ἄλλου καὶ ἄλλου· ἀλλὰ συνηνωμένης τῆς ἐνανθρωπήσεως τῇ θεότητι, D μιᾶς οὔσης ἁγιαστίας, καὶ ἤδη ἐν αὐτῇ τὰ τελειότατα ἐπισταμένης, οἷα δὴ ἐν Θεῷ συνηνωμένη[1], καὶ εἰς μίαν θεότητα συνημμένη, ὁρῶσα ἤδη τὴν θεότητα[2] (99) σὺν τῇ ψυχῇ κινουμένην ἐπὶ τὸ καταλεῖψαι τὸ ἅγιον σῶμα ἀπὸ προσώπου αὐτοῦ τοῦ Κυριακοῦ ἀνθρώπου, τουτέστι τῆς αὐτοῦ ἐνανθρωπήσεως; Ἤμελλε γὰρ ἡ θεότης τελειοῦν τὰ πάντα, τὰ κατὰ τὸ μυστήριον τοῦ πάθους, καὶ σὺν τῇ ψυχῇ κατελθεῖν ἐπὶ τὰ

LXII. Quid igitur, inquiunt, tandem sibi vult vox illius: *Deus meus, Deus meus, quare me dereliquisti?* Et quis non videt ex hominis persona atque humano more et affectu usurpatum hunc esse sermonem? Humana quippe Christi natura minime separata per sese est. Neque enim velut ex persona seorsim exsistentis divinitatis aut humanitatis ista dicebat, quasi aliud et aliud quiddam ambo forent, sed sic tanquam cum divinitate conjuncta esset hominis natura: adeo ut una utriusque sanctitudo foret, ipsaque hominis natura in divinitate perfectissima quæque cognosceret, utpote cum Deo copulata, et in unam consociata divinitatem. Quæ cum hanc ipsam divinitatem cum anima velut in procinctu quodam esse videret, ut sanctissimum corpus relinqueret, ex Dominici hominis

[1] Leg. συνηνωμένου et συνημμένη. [2] F. ὁρῶσα δὲ ἤδη. [3] Joan. XIV, 18. [4] Matth. XXVI, 31. [5] Joan. XVI, 32. [6] Joan. XV, 26; XVI, 14, 15. [7] Apoc. III, 20. [8] Joan. XIV, 23.

(99) *Ὁρῶσα ἤδη τὴν θεότητα.* Prudenter hic locus explicandus est. Non enim soluta est post mortem corporis cum divinitate conjunctio; sed quod anima vitaque destitutum est, ab ipsa quodammodo divinitate corpus est relictum.

Digitized by Google

persona, hoc est humanæ naturæ a Verbo susceptæ : quippe divinitas omnia quæ ad passionis mysterium attinebant perficere decreverat, et ad inferos cum anima descendere; ut eos qui antea mortui erant, hoc est sanctos patriarchas, in salutem assereret. Cum igitur ista jam agitarentur, ex humanæ naturæ persona vox ad conjunctam divinitatem illa est edita : *Deus meus, Deus meus, quare me dereliquisti?* Hoc autem idcirco fieri debuit, ut divinarum ab illo Scripturarum implerentur oracula, quæ ab ejus prophetis de ipso pronuntiata fuerant : quo sub hominis specie ad inferos descendens quæ illic erant obeunda præstaret; atque ut dum inferorum princeps, et mors captivum hominem detinere volunt, et conjunctam cum anima divinitatem ignorant, tum ipsi potius inferi caperentur, ac mortis dominatus everteretur, et impleretur quod scriptum est : *Non relinques animam meam in inferno; nec dabis Sanctum tuum videre corruptionem*[1]. Nam neque Dei Verbum animam destituit, nec illius anima apud inferos est relicta. Cæterum hæc omnia, quæ ad ingens illud mysterium spectant, sacrosancta Trinitas universa molita est, Pater, et Filius, et Spiritus sanctus. Ex quibus Filius carne præditus, Pater corporis expers; Filius vero sponte sua, ac de sancti Spiritus carentis corpore voluntate corpus induit; **790** ita tamen ut immutabile permaneret. Atque hæc omnia sancta Trinitas ad humani salutem generis administravit.

LXIII. Quocirca cum dixisset : *Quare me dereliquisti?* sic in alio loco dixit : *Non te deseram, neque te derelinquam*[2]. Etenim triduo corpus in sepulcro jacere debuit, ut illud vaticinium impleretur : *Et factus sum inter mortuos liber*[3]; et : *Projecerunt me dilectum tanquam cadaver abominandum*[4]. Tum illud : *Non dabis Sanctum tuum videre corruptionem*[5] ; ut sub sancti nomine, corpus exprimat, animamque doceat ne apud inferos quidem destitutam, in qua, cum in illo loco detineretur, Dei Verbum inerat, ut quod ab apostolis dictum est reipsa perficeretur : *Impossibile enim erat detineri illum ab inferis*[6]. Quid est quod impossibile fuisse narrat, nisi quod et mors et inferi illius animam detinere studerent, fieri tamen ob divinitatem non potuit, ut ab illis coerceretur? Jam vero si ob divinitatem ipsam contineri anima non potuit, quinam ex persona divinitatis usurpatum illud est : *Deus meus, Deus meus, quare me dereliquisti?* Restat igitur ut ex humanæ naturæ persona et affectu quodam humano dictum illud videatur, ut incarnationem non specie duntaxat adumbratam, sed reipsa vereque administratam fuisse discamus. Ecquid porro, præter id quod somno mortis sopitum fuerat, e terra surrexit? *Surrexit enim*, inquit, *non est hic*[7].

LXIV. Quidnam illud surrexisse dicitur nisi corpus, et quidem illud ipsum corpus, quod in sepulcro jacuit? Anima porro cum divino Verbo pariter

A καταχθόνια ἐπὶ τὸ ἐργάσασθαι τὴν ἐκεῖ τῶν προκεκοιμημένων σωτηρίαν, φησὶ δὲ ἁγίων πατριαρχῶν. Ὡς οὖν ἡ κίνησις οὕτως ἐγένετο, ἀπὸ προσώπου τῆς ἐνανθρωπήσεως ἡ φωνὴ ἔλεγεν αὐτῇ τῇ ἰδίᾳ θεότητι· *Θεέ μου, Θεέ μου, ἵνα τί με ἐγκατέλιπες;* Ἀλλ' ἔδει τοῦτο γενέσθαι, ἵνα πληρωθῶσι δι' αὐτοῦ αἱ θεῖαι Γραφαὶ διὰ τῶν ἰδίων αὐτοῦ προφητῶν περὶ αὐτοῦ προκεκηρυγμένα· ἵνα πληρώσῃ καὶ τὰ κατὰ τοῦ ᾅδου ἐν τῇ ἰδέᾳ τοῦ ἀνθρώπου πρὸς τὸν ᾅδην· ἵνα ὁ ἄρχων ὁ ᾅδης, καὶ ὁ θάνατος χειρώσασθαι ἄνθρωπον θελήσας, κατὰ ἄγνοιαν ἀγνοῶν τὴν ἐν τῇ ψυχῇ τῇ ἁγίᾳ θεότητι [8], καὶ μᾶλλον αὐτὸν τὸν ᾅδην χειρωθῆναι, καὶ τὸν θάνατον καταλυθῆναι, καὶ πληρωθῆναι τὸ εἰρημένον· *Οὐκ ἐάσεις τὴν ψυχήν μου εἰς ᾅδην, οὐδὲ δώσεις τὸν Ὅσιόν σου ἰδεῖν διαφθοράν.* Οὔτε γὰρ

B κατέλιπεν ὁ ἅγιος Θεὸς Λόγος τὴν ψυχὴν, οὔτε ἐγκατελείφθη ἡ ψυχὴ αὐτοῦ ἐν ᾅδῃ. Πάντα γὰρ οἰκονομεῖ τὰ τῆς τοιαύτης μεγάλης μυσταγωγίας ἡ Τριὰς ἀπαραλείπτως, ὁ Πατὴρ, καὶ ὁ Υἱὸς, καὶ τὸ ἅγιον Πνεῦμα, τοῦ μὲν Υἱοῦ ἐνσάρκου, τοῦ δὲ Πατρὸς ἀσωμάτου ὑπάρχοντος, εὐδοκίᾳ δὲ ἰδίᾳ καὶ βουλήσει Πνεύματος ἁγίου τοῦ ἀσωμάτου, Υἱοῦ δὲ ἐνσωμάτου γενομένου, ἀλλὰ ἀτρέπτου. Τὰ δὲ ὅλα ἀπὸ τῆς Τριάδος ᾠκονομεῖτο σωτήρια τοῖς ἀνθρώποις.

ΞΓ'. Διὰ τοῦτο πάλιν ἐν ἑτέρῳ φησὶν, ἐπειδὴ εἶπεν· *Ἵνα τί ἐγκατέλιπές με;* ὧδε λέγει· *Οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλείπω.* Ἔδει γὰρ γενέσθαι τὸ

C τριήμερον σῶμα ἐν τῷ μνήματι, ἵνα πληρωθῇ τὸ εἰρημένον· *Καὶ ἐγενόμην ἐν νεκροῖς ἐλεύθερος·* καὶ, *Ἀπέρριψάν με τὸν ἀγαπητόν, ὡσεὶ νεκρὸν ἐβδελυγμένον.* Καὶ ἵνα πληρωθῇ, *Οὐ δώσεις τὸν Ὅσιόν σου ἰδεῖν διαφθοράν·* ἵνα δείξῃ τὸ ὅτιον διὰ τοῦ σώματος, καὶ ἵνα δείξῃ μήτε ψυχὴν ἐγκαταλειφθεῖσαν ἐν ᾅδῃ. Ἐν αὐτῇ γὰρ διὰ τῆς κατακωχῆς ἐν τῷ ᾅδῃ ἦν ὁ Θεὸς Λόγος, ἵνα πληρώσῃ τὸ εἰρημένον παρὰ τῶν ἀποστόλων· *Ἀδύνατον γὰρ ἦν κρατεῖσθαι αὐτὸν ὑπὸ τοῦ ᾅδου.* Καὶ τίνος ἕνεκα τὸ ἀδύνατον λέγει, ἀλλ' ὅτι ἔσπευδε μὲν ὁ θάνατος καὶ ὁ ᾅδης κατασχεῖν ψυχὴν, ἀδύνατον δὲ ἦν τὴν ψυχὴν αὐτοῦ κατασχεθῆναι διὰ τὴν θεότητα; Εἰ δὲ ἀδύνατον ἦν κατασχεθῆναι διὰ τὴν θεότητα, πῶς ἄρα ἐκ προσώπου τῆς

D αὐτοῦ θεότητος ἠδύνατο ῥηθῆναι τὸ, *Θεέ μου, Θεέ μου, ἵνα τί ἐγκατέλιπές με;* Ἀλλ' οὗτος ἐκ προσώπου τῆς αὐτοῦ ἐνανθρωπήσεως ἀνθρωποπαθῶς ἐδείκνυτο ὁ λόγος, ἵνα μάθωμεν ἀληθινῶς εἶναι τὴν ἔνσαρκον παρουσίαν, καὶ οὐ δοκήσει ἢ φαντασίᾳ παρ' αὐτοῦ οἰκονομηθεῖσαν. Ἀνέστη δὲ ἀπὸ τῆς γῆς ποῖον ἀλλ' ἢ τὸ κοιμηθέν; Ἀνέστη γὰρ, φησὶν, *οὐκ ἔστιν ὧδε.*

ΞΔ'. Τί δὲ τὸ ἀναστὰν ἀλλ' ἢ τὸ σῶμα; Σῶμα δὲ ἄρα τὸ ἐν τῷ μνήματι, καὶ ἡ ψυχὴ δὲ συνανῆλθε τῷ Θεῷ Λόγῳ. Καὶ πάλιν ἐπὶ τὸ αὐτὸ ἐπλήρου τὴν τελείαν

[1] Psal. xv, 10; Act. II, 27. [2] Jos. I, 5; Hebr. XIII, 5. [3] Psal. LXXXVII, 6. [4] Isa. XIV, 19. [5] Psal. XV, 10; Act. II, 27. [6] Act. II, 24. [7] Marc. XVI, 6. [8] Leg. θεότητα, sed deest aliquid.

Digitized by Google

ἀνάστασιν ἐν τῇ αὐτῇ θεότητι, ἐν τῇ αὐτῇ ψυχῇ, ἐν τῷ αὐτῷ ἁγίῳ σώματι, συνενώσας λοιπὸν τὴν πᾶσαν οἰκονομίαν εἰς μίαν ἕνωσιν πνευματικήν, εἰς μίαν ἕνωσιν θεότητος, εἰς μίαν οἰκονομίαν, εἰς μίαν τελειότητα· ὡς λέγει ἐν τῷ ιβ' ψαλμῷ· *Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο*· ἵνα δείξῃ τὴν εἴσοδον τοῦ Θεοῦ Λόγου ἀπὸ τῶν ἐπουρανίων εἰς τὸν κόσμον ἐνδυομένην εὐπρέπειαν, τουτέστι τὴν σάρκα, τὴν ἀπὸ Παρθένου γεγεννημένην. Ἐπειδὴ γὰρ ἐδόκει εὐτελής τις τοῖς ὁρῶσιν ἀπίστοις, αὐτῷ τε εὐπρέπεια λογιζομένη, ἵνα δείξῃ τὸ αὐτοῦ ἰσχυρὸν διὰ τῆς δοκούσης ἀσθενείας τῆς σαρκὸς, καταργοῦν τὸν τὸ κράτος ἔχοντα τῆς ἁμαρτίας[1] [λύσας] τουτέστι τὸν θάνατον, τὴν πᾶσαν οἰκονομίαν τῆς σωτηρίας ἡμῶν εὐπρεπῶς ποιήσας, καὶ τὴν φθορὰν ἀφανίσας, καὶ τὴν κατάραν ἐξαλείψας, καὶ τὸ καθ' ἡμῶν χειρόγραφον, καὶ τὴν πρὸς τὸν ᾅδην διαθήκην λύσας, καὶ πάντα οἰκονομήσας ἀνθρώποις εἰς σωτηρίαν· εὐθὺς γὰρ μετὰ τὸ εἰπεῖν, *Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο*, προστίθησι πάλιν, καὶ δευτεροῖ λέγων· *Ἐνεδύσατο Κύριος δύναμιν, καὶ περιεζώσατο*· ἵνα δείξῃ, τὸ πρῶτον ἔνδυμα ἀπὸ Μαρίας· τὴν δὲ ἐπιδευτερουμένην πάλιν ἔνδυσιν ἀπὸ τῆς ἀναστάσεως τῶν νεκρῶν. Καὶ γὰρ *πρωτότοκός ἐστιν ἐκ τῶν νεκρῶν*, ὡς εἶπεν ἡ θεία Γραφή. Διὰ τοῦτο προστίθησι ταύτῃ τῇ δευτέρᾳ ἐνδύσει περισσοτέραν τινὰ ἀσφάλειαν, λέγων· *Ἐνεδύσατο Κύριος δύναμιν, καὶ περιεζώσατο.*

A ab inferis emersit. Secundum quæ consociatis in unum omnibus, perfectam numeris omnibus resurrectionem implevit, eadem divinitate, eadem anima, eodemque sanctissimo corpore constantem; et totum illud incarnationis mysterium in unam spiritalem conjunctionem, et in unam divinitatis copulationem, atque in unam administrationem perfectionemque conflavit. Quo illud e psalmo XCII pertinet : *Dominus regnavit, decorem indutus est;* ut divini Verbi in terras ingressum e cœlo quodam ornatum decore significaret, hoc est carnem de Maria Virgine susceptam. Quæ quidem cum infidelium oculis vilis atque abjecta videretur, divinum tamen Verbum pro decore et ornamento illam habuit, ut ea re vim suam ac potestatem ostenderet, B quæ per externam illam carnis imbecillitatem mortem aboleret, quæ peccati dominatum atque imperium obtinebat; **791** ac quidquid ad salutem nostram spectabat, rite perficeret, corruptelam exstingueret, et exsecrationem una cum scripto adversus nos chirographo deleret [2], et initum fœdus cum inferis dissolveret, omniaque ad hominum salutem idonee accommodateque gubernaret. Etenim simul atque dixit : *Dominus regnavit, decorem indutus est*, subinde illud adjicit : *Induit Dominus fortitudinem, et præcinxit se.* Ubi primum indumentum ex Maria sumptum, posterius, ubi a mortuis excitatus est, accepisse demonstrat. Est enim, Scriptura teste, *primogenitus ex mortuis* [3]. Propterea secundum hunc vestitum accuratius firmiusque communit his verbis : *Induit Dominus virtutem, et præcinxit se.*

ΞΕ'. Ὥσπερ γὰρ ὁ ἐπὶ τῇ ὀσφύϊ διαζωννύμενος ἐπισφίγγει τὸ ἔνδυμα ἐπὶ τὴν ὀσφὺν, περισσότερον στερεῶν τὸ εἶδος, καὶ συνενῶν τῷ χρωτὶ τῷ ἰδίῳ· οὕτω τὸ πρῶτον εὐπρέπειαν διὰ τὴν ἔνσαρκον ἐνταῦθα ἐνδημίαν, τὸ δὲ δεύτερον, φησὶ, δύναμιν ἐνεδύσατο, ἀναστὰς ἐκ τῶν νεκρῶν· οὐκέτι εἰς πάθος ἡ ἐνανθρώπησις αὐτοῦ ἔρχεται, οὐκέτι εἰς μάστιγας, οὐκέτι σταυροῦται, ὡς εἶπε περὶ αὐτοῦ ὁ Ἀπόστολος· *Ἀνέστη· οὐκέτι ἀποθνήσκει, θάνατος αὐτοῦ οὐκέτι κυριεύει.* Διὰ τοῦτο φησὶ τὸ, *διεζώσατο*, συνενώσας τὴν αὐτοῦ σάρκα εἰς μίαν θεότητα, εἰς μίαν ἑνότητα, εἰς Πνεῦμα τὸ θεῖκὸν καὶ σωματικὸν, εἰς ἓν πνευματικὸν τελούμενον, καὶ μὴ ἔχων διάλυσιν, ὡς εἰσῆλθε λοιπὸν θυρῶν κεκλεισμένων τὸ παχυμερὲς, λεπτομερὲς, τὸ παθητὸν, ἀπαθὲς, ἐν σαρκὶ πεπονθὸς, μένων δὲ ἐν ἀπαθείᾳ· καίπερ, μετὰ τὸ εἰσελθεῖν, δεικνύων ὁστέα καὶ σάρκα, τύπον λόγχης, καὶ τύπον ἥλων, ψηλαφώμενος ὑπὸ τοῦ Θωμᾶ, ὁρώμενος ὑπὸ τῶν μαθητῶν· εἰσερχόμενος δὲ θυρῶν κεκλεισμένων, ἵνα δείξῃ, ὅτι εἰς μίαν ἕνωσιν πνευματικὴν τὸ πᾶν ᾠκονόμησε τῆς αὐτοῦ πρὸς ἡμᾶς τοὺς ἀνθρώπους σωτηρίας. Καὶ τί μοι περὶ τὸν τοσοῦτον λόγον κατατρίβεσθαι; Πολλάκις γὰρ τὰ αὐτὰ λέγειν ἡμῖν μὲν οὐκ ὀκνηρὸν, τοῖς δὲ ἐντυγχάνουσιν ἀσφαλείας χάριν φροντίσαντες πολλάκις διηγησάμεθα, ἵν' ὅπως διαπεράσαντες τὴν τοῦ Ἀρείου θηριοβολίαν, τῶν φρονημάτων τε καὶ λόγων καὶ διανοημάτων.

C LXV. Quemadmodum enim qui lumbos suos præcingit, vestem ad illam corporis partem diligentius astringit, ut ad corpus suum arctius adhæ-rescat : ita Christus primum decorem induisse propter incarnationem dicitur; postea vero virtutem, cum videlicet a mortuis surrexit, ita ut non jam ad cruciatus ferendos, aut verbera, vel crucis supplicium humana illa natura descendat, ut de eo testatur Apostolus : *Surrexit; jam non moritur, mors illi ultra non dominabitur* [4]. Ob id, inquit, *præcinxit se*, cum nimirum carnem suam cum una divinitate sociavit; idque in unam singularemque personam, in Spiritum divinum pariter et corporeum, in unum quiddam spiritale perfectum, quod dissolvi ultra nequeat. Ita deinceps occlusis foribus ingressum est [5] idem illud concretum simul ac D subtile; passioni obnoxium, expersque passionis, in carne passum, et extra omnem patiendi conditionem consistens; quanquam post ingressum ossa carnemque monstraret, et lanceæ clavorumque vestigia; imo et a Thoma contrectaretur, et a discipulis cerneretur. Cæterum occlusis foribus ingressus est, ut in unam spiritalem conjunctionem utraque natura consociata, omnem salutis humanæ procurationem susceptam a se monstraret. Verum quid tandiu in ea oratione conflictor? Eadem enim repetere sæpius nos quidem minime pigra-

[1] Deest aliquid. [2] Coloss. II, 14. [3] Coloss. I, 28; Apoc. I, 5. [4] Rom. VI, 9. [5] Joan. XX, 19 sqq.

Digitized by Google

mur [1], idque in lectorum gratiam ad eos præmuniendos faciendum duximus : quo illi virulentam, ac pestiferam Arii doctrinam in omnibus illius sententiis orationibusque diffusam facilius evadant.

792 LXVI. Nunc cum de isto capite satis multa verba fecerimus, ad alia transeamus. Sic enim plerisque, quæ memoriæ meæ occurrunt, calumniose ab illis objecta, declaratis, ex paucis illis pluribusve palam illud faciemus : quæcunque in Scripturis leguntur, apud eum quidem, qui Spiritu sancto præditus sit, quique vigilem et experrectam Dei beneficio mentem adeptus fuerit, perplexam nullam continere sententiam ; nec vel tenuissimum affectionis illius judicare vestigium, quod Patri, vel Filio, vel Spiritui sancto tribuatur ; nam e contrario nihil non illis perfectissime tam ab Christo Domino, quam ab apostolis ac prophetis ab eodem missis est dictum. Sed ita tamen, ut pro cujusque rei ac loci et argumenti opportunitate prudenter atque ex veritate prolata sint universa. Etenim de Christo vaticinans David Hebraica lingua dixerat : *Eli, Eli, lemma sabacthani* [2] ? Quod deinceps, ut erat prædictum, in cruce Dominus implevit, cum Hebraica lingua, *Eli, Eli*, ex oraculi fide pronuntiavit. Cætera porro vocabula duo non Hebraice, sed Syriace subtexuit, *lemma sabacthani*. Ita principio quidem ejusmodi usus est, quale de ipso fuerat scriptum ; cætera aliena lingua subjecit, ac nonnihil verba commutavit. Id quod singulari quadam est prudentia factum, ut cum *Eli, Eli* diceret, prophetæ illud vaticinium ad se pertinere profiteretur ; cum vero quod reliquum est non Hebraice, sed Syriace conciperet, eorum fastum comprimeret, qui se Hebraica lingua insolenter efferrent, et ad edita de se in sacris Litteris oracula complenda cæteras quoque linguas adhiberet. Instabat enim tempus illud, quo sui notitiam per omnes nationes diffunderet, non cum Hebræis modo communicaret, ut in toto fere vicesimi primi psalmi contextu legitur. Ubi tanquam a suscepta hominis natura pronuntiata, ad humanos affectus accommodata sunt omnia : quæ quidem adveniens ipse complevit. Sunt illa vero, quæ in eo psalmo loquitur, quæque ad Christi incarnationem pertinere dicimus, ad institutam a nobis disputationem in primis opportuna, velut cum ait : *Diviserunt vestimenta mea* [3] ; et : *Foderunt manus meas, et pedes meos* [4] ; item : *ipsi vero consideraverunt, et inspexerunt me* [5], ac cætera id genus, quæ in ipsa divinitate perfici nequeunt, sed in carne duntaxat ; **793** in qua divinitas omnia, nulla affectione suscepta, sed ex rei tamen veritate, præstitit.

LXVII. Rursus velut furiosi quidam canes, ne que dominum præ rabie amplius agnoscentes, et in ipsum primum impetum facientes, insiliunt. Cumque, fatentibus nobis, id quod res est, audiunt, Christum Dominum in Evangelio de discipulis suis ista dixisse : *Quos dedisti mihi, Pater, servavi illos in mundo* [6]. Deinde : *Fac ipsos, ut sint in me, sicut ego et tu unum sumus* [7] ; tum illi nobis objiciunt :

Ξϛ'. Ἱκανῶς δὲ περὶ ταύτης τῆς λέξεως ὡσαύτως διαλαβόντες, ἐπὶ τὰς ἑξῆς ἴωμεν· ἵνα, πανταχόθεν τὰ πλεῖστα τὰ τῇ διανοίᾳ ἡμῶν ὑπὸ τῆς ἐκείνων ἐρεσχελίας ὑποπίπτοντα σαφηνίσαντες, δείξωμεν ἀπὸ τῶν ὀλίγων ἢ καὶ πλειόνων, ὅτι πάντα ἐν τῇ θείᾳ Γραφῇ τῷ κεκτημένῳ Πνεῦμα ἅγιον, καὶ νοῦν ἐγρήγορον παρὰ Κυρίου εἰληφότι, οὐδέν ἐστι σκολιὸν ὑπονοῆσαι, ἢ πάθους εἶδος εἰς τὸν Πατέρα, ἢ εἰς τὸν Υἱόν, οὐδὲ εἰς τὸ ἅγιον Πνεῦμα· ἀλλὰ πάντα τελειότατα, οἰκονομικῶς δὲ εἰς ἑκάστην χρείαν καὶ ἐν ἑκάστῳ τόπῳ πρὸς τὸ ὑποκείμενον ἐν ἀληθείᾳ ἐν ταῖς θείαις Γραφαῖς εἴρηται ὑπ' αὐτοῦ τοῦ Κυρίου καὶ τῶν αὐτοῦ ἀποστόλων, καὶ τῶν ἁγίων προφητῶν τῶν ὑπ' αὐτοῦ ἀπεσταλμένων. Καὶ γὰρ περὶ τούτου προεφήτευσε, φήσας κατὰ τὴν Ἑβραϊκὴν διάλεκτον· *Ἠλί, Ἠλί, λημᾶ σαβαχθανί;* ὃ κατὰ ἀκολουθίαν ἐπλήρου ὁ Κύριος ἐπὶ τοῦ σταυροῦ, τὰ εἰς αὐτὸν προπεφητευμένα λέγων, *Ἠλί, Ἠλί*, Ἑβραϊκῇ τῇ λέξει, ὡς ἦν προγεγραμμένον. Καὶ οὐκέτι Ἑβραϊκῇ, ἀλλὰ Συριακῇ διαλέκτῳ τὸ συζυγοῦν ῥῆμα ἀποτελῶν ἔλεγε, *λημᾶ σαβαχθανί;* ἵνα τῇ ἀρχῇ μὲν χρήσηται, ὡς ἦν περὶ αὐτοῦ γεγραμμένον· εἰς ἑτέραν δὲ γλῶσσαν τὸ λοιπὸν, τῷ ῥητῷ τὴν διήγησιν μεταβαλλόμενος, καὶ αὐτὸ ποιῶν δι' ἀγαθὴν οἰκονομίαν, εἰς τὸ ὁμόλογεῖν τὸ ῥητὸν περὶ αὐτοῦ εἰρῆσθαι ὑπὸ τοῦ προφήτου, διὰ τοῦ, *Ἠλί, Ἠλί*, λέγειν· τὸ δὲ ὑπόλοιπον οὐκέτι Ἑβραϊκῇ λέξει, ἀλλὰ Συριακῇ, ὅπως καθέλοι τῶν αὐχούντων τὴν Ἑβραΐδα, καὶ καταξιώσῃ καὶ ἑτέρας γλώσσας εἰς πλήρωσιν τῶν περὶ αὐτοῦ ῥητῶν. Ἔμελλε γὰρ ἤδη ἁπλοῦν τὴν αὐτῶν [8] γνῶσιν ἐπὶ πάντα τὰ ἔθνη, καὶ οὐκ ἐπὶ τοὺς Ἑβραίους μόνον· ὡς ἔχει ἡ πᾶσα αὕτη ἀκολουθία ἐν εἰκοστῷ πρώτῳ ψαλμῷ, ἀπὸ προσώπου τῆς ἐνσάρκου αὐτοῦ παρουσίας τὰ ἀνθρωποπαθῆ πάντα αὐτοῦ δηλοῦσα. Αὐτὸς δὲ ἐλθὼν ἐπλήρου, ὡς καὶ ἔστιν ἀκόλουθα ἐν ὅλῳ τῷ ψαλμῷ εἰς τὴν τῆς ὑφηγήσεως ταύτης ἔνσαρκον παρουσίαν Χριστοῦ, τελειότατα τὸ διήγημα· ὡς φησι· *Καὶ ἐμερίσαντο τὰ ἱμάτιά μου·* καὶ, *Ὤρυξαν χεῖράς μου καὶ πόδας μου· αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν μου* [9], καὶ ὅσα ἐστὶ τοιαῦτα λεγόμενα, ἃ οὐκ ἐνδέχεται πληροῦσθαι εἰς τὴν θεότητα, ἀλλ' ἐν σαρκὶ τῆς θεότητος οἰκονόμούσης τὰ πάντα ἐν ἀπαθείᾳ καὶ ἐν ἀληθείᾳ.

ΞΖ'. Ἀναπηδῶσι δὲ πάλιν, ὡς οἱ ἐμμανεῖς κύνες λύσσῃ τινὶ κατεχόμενοι, τὸν αὐτῶν δεσπότην διὰ τὴν λύσσαν ἀγνοοῦντες, καὶ αὐτῷ πρῶτον ἐπερχόμενοι. Καὶ λέγουσι πάλιν, ὅταν ἀπούσωσι παρ' ἡμῶν, ὡς ἔστιν ἀληθὲς, ὡς τοῦ Κυρίου λέγοντος ἐν τῷ Εὐαγγελίῳ περὶ τῶν αὐτοῦ μαθητῶν· *Οὓς δέδωκάς μοι, Πάτερ, ἐφύλαξα αὐτοὺς ἐν τῷ κόσμῳ·* καὶ πάλιν· *Ποίησον αὐτοὺς ἵνα ὦσιν ἐν ἐμοὶ, ὡς κἀγὼ καὶ*

[1] Philipp. III, 1. [2] Psal. XXI, 2. [3] ibid. 19. [4] ibid. 17. [5] ibid. 18. [6] Joan. XVII, 12. [7] ibid. 21.
[8] F. αὐτοῦ. [9] Cor. μὲ.

Digitized by Google

σὺ ἓν ἐσμεν· καὶ λέγουσιν· Ὁρᾷς τὸ ὑπ' αὐτοῦ λεγόμενον, ὅτι Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοὶ, καὶ οἱ δύο ἓν ἐσμεν, ὅτι οὐ περὶ ἰσότητος λέγει, ἀλλὰ περὶ ὁμονοίας; Πῶς γὰρ δύνανται οἱ μαθηταὶ ἐν αὐτῷ εἶναι κατὰ ἰσότητα, ἀλλὰ μὴ κατὰ τὴν ὁμόνοιαν; Καὶ εὐθὺς πάντη ἐλέγχει αὐτοὺς ἡ τοῦ Θεοῦ ἀλήθεια, ὡς οὔτε οἱ μαθηταὶ ἠδύναντο τοῦτο πληροῦν, οὔτε περὶ αὐτῶν τοῦτο ῥηθῆναι, εἰ μὴ ἐκοινώνησε τῆς αὐτῶν σαρκὸς. ἐλθὼν ὁ Λόγος, καὶ συνάψας αὐτοὺς ἐν αὐτῷ εἰς υἱοθεσίαν. Διὰ τοῦτο γὰρ καὶ πάντη ἐν τῷ Ἄσματι τῶν ᾀσμάτων τὴν ἁγίαν αὐτοῦ Ἐκκλησίαν πλησίον καλεῖ, προσφωνῶν αὐτῇ διὰ τῆς ἁγίας αὐτοῦ φωνῆς, τῆς ἀνεγερτικῆς καὶ προτρεπτικῆς, λέγων τὸ, *Ἀνάστα, ἐλθὲ πλησίον μου, καλή μου, περιστερά μου.* Καὶ ὁρᾷς, ὡς πλησίον αὐτὴν καλεῖ; Οὐκ ἠδύνατο δὲ ἡ Ἐκκλησία πλησίον Χριστοῦ καλεῖσθαι, εἰ μὴ ἄνωθεν ἦλθε, καὶ ἐπλησίασεν αὐτῇ, δι' ἧς ἔλαβε σαρκὸς ὁμοιοπαθοῦς, ἵνα τὴν πλησιάσασαν αὐτῷ ἀνθρωπότητα, συναγαγὼν τοὺς ἐν ὑπακοῇ γενομένους πλησίον ἑαυτῷ, καλέσῃ τὴν ἁγίαν καὶ ἄσπιλον νύμφην.

A Animadvertis cujusmodi illa verba sint? *Ego*, inquit, *in Patre, et Pater in me, et ambo unum sumus* [1]. Quæ non de æqualitate naturæ, sed de voluntatum concordia par est accipi. Quomodo enim discipuli, si de æqualitate, non de concordia sermo sit, in ipso esse potuerunt? Sed ab omni parte divinæ illos veritatis auctoritas refellit : quod non aliter hoc impleri ab apostolis potuit, nec de illis istud ipsum pronuntiari, nisi carnis illorum particeps divinum Verbum fuisset, eosdemque in sese adoptione junxisset. Atque eadem causa est, cur in Cantico canticorum sacrosanctam suam Ecclesiam ubique proximam appellet, quam voce sua excitans et cohortans hunc in modum compellat : *Surge, veni, proxima mea, formosa mea, columba mea* [2]. B Videsne ut illam proximam nominet? Atqui proxima esse Christo Ecclesia non poterat, nisi de cœlo ille descendens ad eam accessisset : propter quam iisdem affectionibus obnoxiam sibi carnem imposuit, ut humanum genus ad sese propius accedens sanctam ac labis expertem sponsam vocaret, collectis omnibus iis, qui obsequio propinquiores sibi esse cœpissent.

Καὶ διὰ τοῦτο ἐνταῦθα τὸν Πατέρα αἰτεῖ ὁ Λόγος, ὁ Κύριος ἡμῶν ὁ Μονογενὴς περὶ τῶν μαθητῶν, ἵνα ὦσιν ἐν ἑαυτῷ, ἵνα τὴν συγγένειαν τὴν εἰς αὐτὸν διὰ τῆς σαρκὸς γενομένην εὐδοκίᾳ Πατρὸς, ἁγιασθέντων τῶν μαθητῶν, εἰς ἑνότητα εὐδοκίας καὶ υἱοθεσίας συνάψῃ· ἵνα ἔχωσιν ἐν τῷ πρωτοτόκῳ τοῦ Πατρὸς *τὴν ἀπογραφὴν τῶν πρωτοτόκων ἐν οὐρανῷ*· καὶ ἵνα μή τινες νομίσωσι τὸν Υἱὸν ἀπαλλοτριοῦσθαι τῆς τοῦ Πατρὸς δόξης, διὰ τὸ πεφορηκέναι σάρκα, ἐπασφαλιζόμενος τὴν πίστιν καὶ τὴν τῆς ἀληθείας αὐτοῦ γνῶσιν, μὴ ἐν ὑπονοίᾳ τινὶ γενέσθαι τῶν αὐτοῦ δούλων, καὶ τῆς ἐλπίδος ἐκπέσοι ὁ τοιοῦτος, φησίν· *Ἵνα ὦσιν, ὡς ἐγὼ καὶ σὺ ἓν ἐσμεν, οὕτω καὶ οὗτοι ἓν ὦσιν. Ἐγὼ μὲν γὰρ καὶ σὺ ἓν ἐσμεν*, διὰ τὸ θεὸν ἐκ Θεοῦ, καὶ ὁμοούσιον ἐν θεότητι. Καὶ τὸ, *Ἓν ἐσμεν*, οὐχ ἑνικὸν σημαίνει. Οὐκ εἶπε γὰρ, ὅτι Ἐγὼ εἷς εἰμι, ἀλλ' *Ἐγὼ καὶ σύ*· καὶ τὸ, *Ἓν ἐσμεν*, ἵνα ἐλέγξῃ Σαβέλλιον καὶ τὴν αὐτοῦ σχολὴν, τὸν νομίζοντα τὸν Υἱὸν καὶ τὸν Πατέρα συναλοίφην εἶναι, καὶ τὸν Πατέρα πρὸς τὸ ἅγιον Πνεῦμα ὡσαύτως. Διὰ τοῦτο γὰρ λέγει, *Ἓν ἐσμεν*, καὶ οὐκ εἶπεν, Εἷς εἰμι. Δύο μὲν γὰρ τέλεια, Πατὴρ καὶ Υἱός· ἓν δὲ διὰ τὴν ἰσότητα, διὰ τὴν θεότητα, καὶ μίαν δύναμιν, καὶ μίαν ὁμοιότητα. Ἐν τῇ οὖν θεότητι Πατὴρ καὶ Υἱὸς ἕν· ἐν τῇ ἀνθρωπήσει Υἱὸς καὶ οἱ μαθηταὶ ἕν, προσαγομένων τῶν διὰ τὴν καταξίωσιν τῆς κλήσεως τῶν μαθητῶν ἐπὶ τὸ ἀνεκδιήγητον τῆς αὐτοῦ φιλανθρωπίας εἰς μίαν ἑνότητα υἱοθεσίας διὰ τὴν τοῦ Πατρὸς καὶ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος εὐδοκίαν. Καὶ πάλιν ἐλήλεγκται ἡ πλάνη τῶν ματαίων, περὶ τοῦ ἰδίου αὐτῶν ἀεσπότου κακῶς φρονούντων.

C Hinc a Patre suo postulat hoc loco Verbum, hoc est Dominus noster, unicus Dei Filius, ac pro discipulis supplicat, ut in seipso sint : quo illam carnis interventu cognationem de Patris in se voluntate contractam sanctificatis discipulis unius voluntatis et adoptionis conjunctione copularet ; atque ut per primogenitum Patris, primogenitorum in cœlo descriptionem [3] obtinerent : neve a paterna gloria alienum esse Filium ex eo nonnulli sibi persuaderent, quod carnem gestasset. Unde ut et fidem ac veritatis suæ cognitionem muniret, et nihil ejusmodi servorum suorum mentibus occurreret, quod ipsos omni spe immortalitatis excluderet, adjiciendum putavit : **794** *Ut sint unum, sicut ego et tu unum sumus* [4]. *Ego enim et tu unum sumus* [5], eo quod Deus ex Deo, et consubstantialis in divinitate sit natus. Porro illæ ipsæ voces, *Unum sumus*, non singulare aliquid præ se ferunt. Neque enim dixit, Ego unus sum, sed, *Ego et tu ;* et, *Unum sumus*. Qua ratione Sabellium cum omni sua schola condemnat, qui Filium cum Patre, et Patrem cum Spiritu D sancto confundit. Idcirco enim, *Unum sumus*, dixit, non autem, Unus sum. Quippe perfecta duo sunt, Pater et Filius, sed unum nihilominus æqualitate, divinitate, virtute, similitudine. Concludamus itaque, quod ad divinitatem pertinet, Patrem et Filium idem atque unum esse ; si vero naturam hominis consideres, unum esse cum discipulis Filium : quos vocationis suæ gratificatione pro infinita sua benignitate, ad unam adoptionis singularitatem de communi Patris, et Filii, et Spiritus sancti sententia perduxit. Qua quidem ratione vanissimorum hominum ac male de Domino suo sentientium falsa confutatur opinio.

ΞΗ'. Παρελθὼν δὲ καὶ ταύτην τὴν λέξιν, τὰς ἐξῆς διασκοπήσω. Προπηδῶσι δέ τινας λέξεις ἑαυτοῖς ἐφευ-

LXVIII. Sed jam ab hoc capite ad alia deinceps tractanda progrediar. Rursus enim magno in nos

[1] Joan. xiv, 10 ; x, 30. [2] Cant. ii, 10. [3] Hebr. xii, 23. [4] Joan. xvii, 22. [5] Joan. x, 30.

Digitized by Google

impetu sophistæ feruntur, excogitatis quibusdam a se rationibus freti, quorum studium omne in syllogismis et argumentorum cavillationibus occupatur. In quo ridiculi omnino sunt, qui cum homunciones sint Deum ratiocinationibus suis comprehendere conantur. Quorum insaniam his verbis propheta redarguit : *Num supplantabit aliquis Deum, quoniam vos supplantatis me* [1]? Quid igitur audaces illi ac confidentes homines afferunt? Nos aliam hanc illorum objectionem antea proposuimus, atque explicavimus, quam interrogando ejusmodi nobis solent opponere. Aut volens, inquiunt, Filium suum genuit Deus, aut nolens. Sed ibidem Deo opitulante monstravimus, nihil in ipso quod tarditatem aut moram haberet, inesse posse, sed omnia simul in eo esse perfecta. Quare neque prius vult quam fecerit, neque sine consilio quidpiam molitur, neque ad præparandum aliquid deliberat, nec illius præparatio consultationem requirit. Quamobrem qui ab eo productus est Filius, semper est genitus; nec ullo tempore cœpit, sed a Patre genitus cum eodem nulla interruptione temporis exsistit. Itaque idem quod antea dixeram hoc loco repetam. Neque volentem genuisse neque nolentem, sed in ea **795** natura, quæ omni est deliberatione superior. Ejusmodi quippe natura Dei est, ut omne consilium et omnem intelligentiam cognitionemque transcendat.

A ρίσκοντες οἱ σοφισταὶ, περὶ συλλογισμοὺς ἐσχολακότες καὶ λογισμοὺς ματαιοφροσύνης, ἄνθρωποι ὄντες τὸν Θεὸν συλλογίσασθαι πειρώμενοι, ὡς καὶ ὁ προφήτης αὐτοὺς ἐλέγχει φάσκων · *Εἰ πτερνιεῖ τις Θεὸν, ὅτι ὑμεῖς πτερνίζετέ με;* Τί γὰρ πάλιν φασὶν οἱ γεννάδαι; Ὡς καὶ τὴν ἄλλην λέξιν ἄνω ἑρμηνευθεῖσαν ἐτάξαμεν, ὑπ' αὐτῶν δὲ ἡμῖν πρὸς πεῦσιν ἐκτεινομένην, τὸ, Θέλων ἐγέννησε τὸν Υἱὸν, ἢ μὴ θέλων · ; ὡς ἐν Θεῷ ἐδείξαμεν, ὅτι οὐδέν τι μελλητικὸν τυγχάνει αὐτῷ, ἀλλ' ἅμα πάντα ἐν αὐτῷ ἐστι τέλεια. Καὶ οὐ πρῶτον βούλεται πρινὴ ποιῆσαι, οὐδὲ ποιεῖ ἄνευ βουλεύματος, καὶ οὐ βουλεύεται, ἵνα τι ἑτοιμάσῃ, οὐδὲ ἡ ἑτοιμασία αὐτοῦ βουλῆς ἐπιδέεται · ὥστε παρ' αὐτῷ τὸ γέννημα ἀεὶ γεγέννηται · καὶ μὴ ἐν χρόνῳ ἀρξάμενον, ἀλλ' ἀεὶ σὺν Πατρὶ γεγεννημένον ὑπάρ- B χει, καὶ οὐδέποτε διαλείπει · ὡς καὶ ἐνταῦθα πάλιν δευτερώσας τὴν λέξιν πάλιν τίθημι, ὅτι οὔτε θέλων ἐγέννησεν, οὔτε μὴ θέλων · ἀλλὰ ἐν τῇ ὑπὲρ βουλὴν φύσει. Φύσεως γάρ ἐστιν ὁ Θεὸς ὑπὲρ βουλὴν, καὶ πᾶσαν ἔννοιαν, καὶ ὑπόνοιαν.

LXIX. Huic argumento non dissimile est aliud ab novis illis Aristotelicis inventum. Nam hujus philosophi virus omne in seipsis expresserunt, et innocentem Spiritus sancti simplicitatem benignitatemque reliquerunt. De quibus ita Dominus loquitur : *Discite a me quia mitis sum et humilis corde, et invenietis requiem animabus vestris* [2]. At illi, mansuetudine relicta, calliditatem potius amplexi sunt, seque et ad Aristotelem ac cæteros mundi hujus dialecticos accommodare maluerunt : quorum fructus ita consectantur, nullam ut justitiæ frugem proferant, nec ullum Spiritus sancti beneficium, utpote contentionis plus æquo cupidi, impetrare meruerint. Ergo ita nos aggredi solent, cum dicimus, exsistentem Filium apud exsistentem Patrem fuisse, quandoquidem ita Pater Moysi mandavit : *Hæc dices ad ipsos : Qui est misit me* [3]; deinde sic Evangelium de Filio testatur : *In principio erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum* [4]. Ex quibus colligentibus nobis, exsistentem Filium apud exsistentem Patrem fuisse ita D ratiocinantur : utrumnam quod jam erat, an quod nondum erat est genitum? Nam si jam erat, quomodo genitum est? Si vero genitum est, quomodo jam erat? Atque hoc ab eadem vanitate profectum est, quæ in quæstiunculis volutatur, et sublimia consectans, ac cœlestia curiose perscrutans, boni efficit nihil. Nos autem sic eos alloquemur : Undenam hæc animis vestris injecta cogitatio est? Si dixerint hanc inquirendi viam cum recta ratione consentaneam videri, tum nos contra sic urgebimus : Audire ex vobis cupimus, num de rebus vestris, an de his, quæ ad Deum pertinent ita cogitetis. Respondebunt utpote ratione præditi, de

Ξθ'. Ὁμοίως δὲ ταύτῃ λέξει, ὡς ἔφην, ἄλλην ἡμῖν ἐφευρίσκουσιν οἱ νέοι Ἀριστοτελικοί. Ἐκείνου γὰρ ἀπεμάξαντο τὴν ἰοβολίαν, καὶ κατέλιπον τοῦ ἁγίου Πνεύματος τὸ ἄκακον καὶ τὸ πρᾶον, ὡς λέγει ὁ Κύριος · *Μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ · καὶ εὑρήσετε ταῖς ψυχαῖς ὑμῶν ἀνάπαυσιν.* Οὗτοι δὲ, τὴν πραότητα καταλελοιπότες, δεινότητι μᾶλλον ἑαυτοὺς ἐκδεδώκασιν, ἐνδυσάμενοι Ἀριστοτέλην τε καὶ τοὺς ἄλλους τοῦ κόσμου διαλεκτικοὺς, ὧν καὶ τοὺς καρποὺς μετίασι, μηδένα καρπὸν δικαιοσύνης εἰδότες, μηδὲ Πνεύματος καταξιωθέντες δωρεὰν ἔχειν ἐν ἑαυτοῖς οἱ φιλόνεικοι. Λέγουσι γοῦν πρὸς ἡμᾶς, ὅταν εἴπωμεν αὐτοῖς, ὅτι ὁ ὢν Υἱὸς πρὸς τὸν ὄντα Πατέρα ἦν · ἐπειδὴ γὰρ τῷ Μωϋσῇ εἶπεν ὁ Πατὴρ, ὅτι *Ἐρεῖς πρὸς αὐτούς · Ὁ ὢν ἀπέσταλκέ με* · καὶ πάλιν τὸ Εὐαγγέλιον περὶ τοῦ Υἱοῦ φάσκει, ὅτι *Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος* · ἐὰν εἴπωμεν, ὅτι ὁ ὢν ἦν πρὸς τὸν ὄντα, λέγουσι πρὸς ἡμᾶς · Τὸ ὂν τοίνυν ἐγεννήθη, ἢ τὸ μὴ ὂν ἐγεννήθη; Εἰ γὰρ ἦν, πῶς ἐγεννήθη; Εἰ δὲ ἐγεννήθη, πῶς ἦν; Καὶ ἔστι τῆς αὐτῆς ματαιοφροσύνης τῆς περὶ ζητήσεις ἀσχολουμένης, καὶ τὰ μετέωρα ἐμβατευούσης, καὶ τὰ ἄνω περιεργαζομένης, καὶ μηδὲν ἀγαθὸν ἐργαζομένης. Ἐροῦμεν γὰρ πρὸς αὐτούς · Πόθεν ὑμῖν ἡ ὑπόνοια αὕτη τοῦ ταῦτα διανοηθῆναι; Ἐὰν δὲ εἴπωσιν, ὅτι Οὕτως ἀπαιτεῖ τὸ φρόνημα ἐξετάζειν · λέγομεν καὶ αὐτοί · Οὐκοῦν λέγετε ἡμῖν, ὦ οὗτοι, τὰ ἑαυτῶν λογίζεσθε, ἢ τὰ τοῦ Θεοῦ; Εἶτά φασιν ἀφ' ἑαυτῶν, ὡς λογικοί · Τὰ τοῦ Θεοῦ λογιζόμεθα. Οὐδὲν οὖν διαλλάττει Θεὸς τῆς ὑμῶν ἕξεως, φύσεώς τε καὶ οὐσίας; Ναὶ, φασίν.

[1] Malach. III, 8. [2] Matth. XI, 29. [3] Exod. III, 14. [4] Joan. I, 1.

Digitized by Google

divinis ea se cogitatione concipere. Nihilne vero, subjiciemus, Deus ab vestra conditione, natura et essentia discrepat? Non negamus, inquiunt.

Εἰ τοίνυν διαλλάττει φύσις Θεοῦ παρὰ τὴν ὑμῶν φύσιν, πρῶτα μὲν οὐ δύναται ἡ ὑμῶν φύσις περὶ Θεοῦ καταλαμβάνειν τὰ ἀκατάληπτα· δεύτερον δὲ, ὅτι ἀσεβές ἐστι Θεὸν ἀφ' ὑμῶν ἀπεικάζεσθαι κατὰ τὴν ὑμῶν οὐσίαν. Ἐν ἡμῖν γὰρ τὸ μὴ ὂν γεννᾶται· ἐπειδὴ αὐτοὶ οὐκ ἦμέν ποτε, γεγεννήμεθα δὲ ἀπὸ τῶν ἡμῶν πατέρων, τῶν καὶ αὐτῶν ποτε μὴ ὑπαρχόντων, καὶ ἐξ ὑπαρχῆς ἄχρι τοῦ Ἀδὰμ διαληπτέον. Ἀδὰμ δὲ ἀπὸ τῆς γῆς ἐγένετο, οὐκ ὢν ποτε. Ἡ δὲ γῆ ἐγένετο ἐξ οὐκ ὄντων· ὅτι οὐκ ἦν ἀεί. Θεὸς δὲ Πατὴρ ἦν ἀεί. Καὶ ὁποῖος ἦν τῇ φύσει, τοιοῦτον ἐγέννησε τὸν Υἱόν. Ἐγέννησε δὲ αὐτὸν ἀεὶ ὄντα, οὐ συνάδελφον, ἀλλ' ἐξ αὐτοῦ γεγεννημένον, ὅμοιον αὐτῷ κατὰ φύσιν, Κύριον ἐκ Κυρίου, Θεὸν ἐκ Θεοῦ, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ. Καὶ ὁποῖα λογίζεταί τις περὶ Πατρὸς, οὕτω καὶ περὶ Υἱοῦ λογιστέον· ὁποῖα πιστεύει περὶ τοῦ Υἱοῦ, οὕτω εἰς τὸν Πατέρα ἡγητέον. Οὕτω γάρ φησιν· *Ὁ μὴ πιστεύων εἰς τὸν Υἱὸν ὡς πιστεύει εἰς τὸν Πατέρα, καὶ τιμᾷ τὸν Υἱὸν ὡς τιμᾷ τὸν Πατέρα, ἡ ὀργὴ τοῦ Θεοῦ μένει ἐπ' αὐτόν*· ὡς ἔχει τὸ θεῖον Εὐαγγέλιον. Καὶ διέπεσε πάλιν ἡ αὐτῶν συλλογιστικὴ διάνοια. Θεὸς γὰρ ἀκατάληπτος ὢν Θεὸν ἀκατάληπτον ἐγέννησε πρὸ πάντων τῶν αἰώνων καὶ πρὸ χρόνων· καὶ οὐκ ἔστι διάστημα ἀναμέσον Υἱοῦ καὶ Πατρός· ἀλλ' ἅμα νοεῖς Πατέρα, ἅμα νοεῖς Υἱόν· ἅμα ὀνομάζεις Υἱὸν, ἅμα δεικνύεις Πατέρα. Ἀπὸ γὰρ τοῦ Πατρὸς Υἱὸς νοεῖται, καὶ ἀπὸ Υἱοῦ Πατὴρ γινώσκεται. Πόθεν γὰρ Υἱὸς, εἰ μὴ Πατέρα ἔχει; καὶ πόθεν Πατὴρ, εἰ μὴ ἐγέννησε τὸν Μονογενῆ; Πότε γὰρ δύναται μὴ καλεῖσθαι Πατὴρ Πατὴρ, ἢ Υἱὸς Υἱὸς, ἵνα τινὲς νοήσωσι Πατέρα ἄνευ Υἱοῦ, καὶ ὕστερον ὡς εἰς προκοπὴν ἐληλυθότα, καὶ γεγεννηκότα τὸν Υἱὸν, ἵνα μετὰ τὸ γέννημα κληθῇ Πατὴρ Υἱοῦ ὁ Πατὴρ, προκόπτων ἐν τῇ θεότητι ὁ τέλειος, καὶ μηδέποτε ἐπιδεόμενος τελειώσεως;

Si igitur inter Dei naturam, ac nostram interest, primum natura vestra non potest in Deo comprehendere, quæ omni comprehensione majora sunt. Deinde impium est, ex vobis, atque ex natura vestra de Deo conjecturam capere. Nam in nobis quidem quod nondum erat gignitur, quoniam et ipsimet aliquando non fuimus, et a parentibus **796** nostris, qui et ipsi aliquando non erant, propagati procreatique sumus, eademque omnium hominum ad Adamum usque conditio est. Adamus porro cum aliquando non esset, e terra productus est. Terra vero de nihilo creata; neque enim semper exstitit. At Deus Pater perpetuo fuit, talemque qualis erat ipse natura Filium genuit. Ergo et semper exsistentem genuit, non tanquam fratrem aliquem, sed a sese, uti dixi, genitum, ac natura sui similem, Dominum ex Domino, Deum de Deo, Deum verum de Deo vero. Ac quæcunque de Patre cogitarit aliquis, eadem de Filio cogitanda sunt; et quæcunque de Filio credideris, eodem modo de Patre sentienda sunt. Sic enim Christus Dominus ea de re testatur: *Qui non credit in Filium, sicut credit in Patrem, nec honorat Filium, ut honorat Patrem, ira Dei manet super ipsum* [2], id quod in Evangelio legitur. Ex quo inanis illorum cavillatio et ratiocinatio concidit: si quidem Deus incomprehensibilis incomprehensibilem perinde Deum ante sæcula omnia temporaque genuit. Ita nullum Patrem inter ac Filium intervallum concipi debet; sed simul et Patrem intelligis, et simul Filium; simul nominas Filium, simul ostendis et Patrem. Nimirum et ex Patre Filius intelligitur, et ex Filio cognoscitur Pater. Qui potest enim Filius esse, si Patrem non habet, aut Pater, si Filium non genuit? Quandonam vero Pater non appellari Pater potest, aut Filius non vocari Filius, ut sine Filio Pater utcunque possit intelligi, aut istiusmodi fingi, ut progressione quadam facta Filium postea genuerit, ac deinde cum genuerit, Filii Pater appellari debeat; quasi divinitatis progressum, uti dixi, quempiam adeptus, cum tamen ita perfectus sit, ut amplius perfici nequeat?

Ο'. Πάλιν δὲ προφασίζονται, τὸ ἰατικὸν τοῦτο φάρμακον καὶ σωτηριῶδες ἀντίδοτον ἀφ' ἑαυτῶν ἀποβάλλεσθαι βουλόμενοι, τὸ στερέμνιον τῆς πίστεως τῆς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας, λέγοντες· Πόθεν τὸ τῆς οὐσίας ὄνομα ἡμῖν φέρεται; διὰ τί ὁμοούσιος ὁ Υἱὸς τῷ Πατρὶ λέγεται; Ποία Γραφὴ εἶπε περὶ ὁμοουσιότητος; Ποῖος τῶν ἀποστόλων οὐσίαν εἶπε Θεοῦ; Οὐκ ἴσασι δὲ, ὅτι καὶ ὑπόστασις (1) καὶ οὐσία ταυτόν ἐστι τῷ λόγῳ. Ἔστη [1] γὰρ Κύριος ἐν τῇ ὑποστάσει αὐτοῦ, καὶ *τὸ ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ* οὐσία οὖν ἐστιν, οὐχὶ περιουσία, ἀλλὰ αὐτὸ τοῦτο ὄν, ὡς φησι Μωσῆς· *Ὁ ὢν ἀπέσταλκέ με*, εἶπον [2] τοῖς υἱοῖς Ἰσραήλ. Ὁ ὢν οὖν ἐστι τὸ ὄν· τὸ δὲ ὂν ἡ οὖσα οὐσία τυγχά-

LXX. Sed rursum ad aliud argumentum confugiunt, et saluberrimum illud remedium, atque antidotum, hoc est fidei, quam sancta Dei Ecclesia prædicat, soliditatem ac firmitatem a seipsis excutere conantur; atque hunc in modum instare solent: Unde nobis, inquiunt, nomen illud substantiæ? Aut cur consubstantialis Patri Filius dicitur? Quonam in Scripturæ loco consubstantialitatis est facta mentio? Quis unquam ex apostolis Dei substantiam nominavit? hoc enim videlicet ignorant, idem esse hypostasim, aut substantiam dicere. Est enim Dominus in hypostasi sua, et *splendor gloriæ ac figura substantiæ* **797** *ejus* [4]. Est igitur substantia, non quidpiam facultatum instar suppetens, sed illud

[1] Cor. ἔστι. [2] F. εἰπών, nisi sit imperativus. [3] Joan. III, 36. [4] Hebr. I, 3.

(1) *Οὐκ ἴσασι δὲ, ὅτι καὶ ὑπόστασις.* De his vocibus ὑποστάσεως et οὐσίας accurate disputatur in *Annal. eccles.* 62, an. 187.

Digitized by Google

ipsum quod est, sicut Moyses dixit : *Qui est, misit me* [1], inquit ad filios Israel. Itaque qui est, ens est, ut ita dicam : hoc autem nihil aliud est, quam substantia. Jam particula illa ὁμοῦ non unum aliquem et singularem exprimit, sed in ὁμοουσίου voce duo quædam in eadem essentia perfecta significat, quæ nec a se invicem diversa, nec ab unitate sua sint aliena. Quid si pietatis gratia, atque ad consociandam veritatis professionem novum aliquod vocabulum usurpare voluimus? Nisi enim consubstantiale illud retinuerimus, ex omnibus hæresibus refutari nulla potest. Nam ut serpens bituminis odorem refugit, aut cervæ halitum, aut gagatæ lapidis suffitum, aut styracis fumum, sic Arius et Sabellius *consubstantialis* vocem illam ac professionem vehementer oderunt. Sed ita adversus illos agemus : Quamvis nusquam in sacris Litteris ea vox exstaret (quæ revera tamen exstat atque in lege, et apostolorum, ac prophetarum scriptis manifeste reperitur : *Duobus* porro *vel tribus testibus stat omne verbum* [2]).

Sed ut nulla ejus mentio fieret, liceret, opinor, ad fidem corroborandam, opportunam aliquam atque utilem vocem studio pietatis usurpare. Vos autem quid tandem dicitis? Velim illud mihi respondeatis, quæ sit vestra de Patre sententia. Estne ut increatum illum existimemus? Omnino ita esse fatendum est. Quis enim adeo stultus est, ut ea de re dubitet? Quis, inquam, sic animo perculsus ac vesanus est, ut Deum et Patrem Domini nostri Jesu Christi increatum esse non judicet? Vos enim utique non negatis ingenitum ipsum esse, et increatum, atque a nullo productum. Neque enim Patrem habet, qui sit ipso prior, neque definitum annorum spatium, aut ullum dierum initium, ut Scriptura loquitur [3]. Si igitur neque principium habet temporis ullum, neque finem, in confesso est, atque extra omnem controversiam, eumdem a nullo creatum fuisse. Atqui nusquam de eo est scriptis illud expressum. Verbum pietatis, ut dixi, studio, religiose hæc de ipso et sentire et prædicare cogimur, licet nihil sit ejusmodi scriptum. Eodem modo tametsi nullo in Scripturæ loco vox illa *consubstantialis*, diserte atque expressis litteris contineretur, nos uti tamen illa necesse putaremus, quantumvis de Deo disputare supra nos ac naturæ nostræ conditionem esse videretur. Nihilominus tamen facile **798** nobis benignissimus Dominus veniam concederet, qui non id affectaremus, ut divinitatis, quæ præsidio nostro ac confirmatione non eget, patrocinium susciperemus. Sed nimirum de divinis rebus pie loqui ac sentire nos oportet, ne pessime pereamus.

LXXI. Quamobrem respondete, quæso, nobis, Arii fautores ac discipuli, cum ingenitum ex æquo Patrem omnes increatumque fateamur, sitque admirabilis illa profecto dictio, ubinam est scripto nominatim expressa? Proferte locum, si potestis. Neque enim aut in lege commemoratur, aut apud prophetas, aut in Evangelio, aut in apostolorum denique monumentis. Quod si vocabulum aliquod nusquam scriptis expressum usurpare licet, idque propter divinam gloriam usurpatum amplectuntur omnes et approbant, quis nos accusare merito

νει. Τὸ δὲ ὁμοῦ οὐχ ἕνα πάλιν σημαίνει, ἀλλὰ ἀπὸ τοῦ ὁμοουσίου δύο σημαίνει τέλεια· ἀλλ' οὐκ ἀλλοῖα ἀλλήλων ἐστὶν, οὐδὲ ἀλλότρια τῆς αὐτῶν ἑνότητος. Εἰ δὲ ἐχρησάμεθα εὐσεβείας χάριν τινὶ λέξει διὰ τὸν σύνδεσμον τῆς ἀληθείας. Ἄνευ γὰρ τοῦ ὁμολογεῖν ὁμοούσιον, πάντων [4] αἱρέσεων οὐ δύναται εἶναι ἔλεγχος. Ὥσπερ γὰρ μισεῖ ὁ ὄφις τὴν ὀσμὴν τῆς ἀσφάλτου, καὶ τὴν πνοὴν τῆς ἐλάφου, καὶ τὸ θυμίαμα τοῦ γαγάτου λίθου, καὶ τὸ κάπνισμα τοῦ στύρακος· οὕτω καὶ Ἄρειος καὶ Σαβέλλιος μισεῖ τὸν λόγον τῆς ἐν ἀληθείᾳ ὁμολογίας τοῦ *ὁμοουσίου*. Ἀλλὰ καὶ αὐτοῖς ἐροῦμεν· Εἰ καὶ μὴ ἦν ἡ λέξις ἐν ταῖς θείαις Γραφαῖς (ἔστι δὲ, καὶ σαφῶς ἔγκειται ἐν νόμῳ, καὶ παρὰ ἀποστόλοις καὶ τοῖς προφήταις. *Ἐκ γὰρ δύο μαρτύρων ἢ τριῶν σταθήσεται πᾶν ῥῆμα*).

Ὅμως ἐξὸν ἦν ἡμῖν δι' εὐσέβειαν χρήσασθαι λέξει χρησίμῃ, ἐπασφαλιζομένοις τὴν ἁγίαν πίστιν. Ὑμεῖς δὲ τί φατε; Λέγετε γὰρ ἡμῖν, ὦ οὗτοι, τί λέγετε περὶ τοῦ Πατρός; Ἄκτιστος ὁ Πατήρ; Πάντως ὅτι ναί. Τίς γὰρ ἠλίθιος, ἵνα ἀμφιβάλλοι περὶ τούτου; Ποῖος δὲ ἐμβρόντητος λογίσασθαι μὴ εἶναι ἄκτιστον τὸν Θεὸν, καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ; Πάντως γὰρ καὶ αὐτοὶ ὁμολογεῖτε, ὅτι ἀγέννητος, καὶ ἄκτιστος, καὶ ἀγένητος. Οὐ γὰρ ἔχει πρὸ αὐτοῦ Πατέρα, οὐδὲ *ὁρισμὸν ἐτῶν, οὐδὲ ἀρχὴν ἡμερῶν*, κατὰ τὸ γεγραμμένον. Εἰ τοίνυν οὔτε ἀρχὴ χρόνου αὐτῷ, οὔτε τέλος, ὁμολογεῖται, ὅτι ἄκτιστος, καὶ ἀναμφίβολόν ἐστιν. Οὐδαμοῦ δὲ περὶ αὐτοῦ τοῦτο γέγραπται. Εὐσεβείας δὲ χάριν ἀναγκαζόμεθα ταῦτα εὐσεβῶς περὶ αὐτοῦ φρονεῖν τε καὶ λέγειν, κἂν τε μὴ ᾖ γεγραμμένον. Οὕτως τὸ περὶ τοῦ *ὁμοουσίου*, ἀναγκαζόμεθα λέγειν, εἰ καὶ μὴ ἦν γεγραμμένον κατὰ τὴν ἰδίαν γλῶσσαν, μετὰ στενωπῆς τῶν λόγων, εἰ καὶ δόξειε τοῦτο εἶναι ὑπὲρ ἡμᾶς, καὶ ὑπὲρ τὴν ἡμῶν φύσιν τὸ ἐπὶ Θεοῦ διαλέγεσθαι. Ἀλλ' ὅμως αὐτὸς ὁ Κύριος συγγνωμονήσειεν ἡμῖν, βουλομένοις οὐχ ὑπὲρ θεότητος ἀπολογεῖσθαι, τῆς ἀνενδεοῦς οὔσης τῆς ἡμῶν συστάσεως! Ἀλλὰ δεῖ εὐσεβῶς λέγειν, καὶ εὐσεβῶς νοεῖν, ἵνα μὴ ἀπολώμεθα.

ΟΑ'. Τοίνυν ἀποκρίθητε ἡμῖν, οἱ τοῦ Ἀρείου μαθηταί· ἀγέννητον λέγομεν πάντες ὁμοῦ τὸν Πατέρα, καὶ ἄκτιστον, καὶ θαυμαστὴ ἡ λέξις δηλονότι· ποῦ τοίνυν γέγραπται τοῦτο; Δείξατε τὸν τόπον. Οὔτε γὰρ νόμος εἴρηκεν, οὔτε προφῆται, οὔτε Εὐαγγέλιον, οὔτε ἀπόστολοι. Εἰ τοίνυν εὐσεβῶς, λέγομεν λέξιν μὴ γεγραμμένην, καὶ ἔστιν ἀποδεκτὴ ὑπὲρ δόξης Θεοῦ λεγομένη· τίς ἡμῖν ἐγκαλέσειεν, εἰ καὶ μὴ ἦν τὸ ὁμοούσιον γεγραμμένον, εὑρόντων ἡμῶν λόγον, δι' οὗ λόγου δυνησόμεθα τὸ ἀσφαλὲς ὁμολογῆσαι τῆς ἡμῶν σωτηρίας; ἀλλ' εἰσὶ μαρτυρίαι μετὰ καὶ τοῦ εὐσε-

[1] Exod. III, 14. [2] Deut. XIX, 15; Matth. XVIII, 16. [3] Hebr. VII, 3. [4] F. πάντως.

Digitized by Google

θοῦς λογισμοῦ, αἵ τε προτεταγμέναι καὶ ἄλλαι πλείους. Παρελεύσομαι δὲ καὶ ταύτην τὴν λέξιν, καὶ τὰς ἄλλας αὐτῶν τοῦ δελεασμοῦ κατὰ τῶν ἀκεραίων λεγομένας ἐν Θεῷ ἀναξανῶ ῥήσεις τε καὶ ἐπινοίας.

possit, si cum vox illa *consubstantialis* nullibi diserte scripta videretur, nos ejusmodi vocabulum excogitasse diceremus, per quod salutarem doctrinam, ab omni periculo erroris immunem profiteri possemus? Verum ad pium illum religiosumque sensum Scripturæ insuper auctoritates accedunt, cum a me commemoratæ hactenus, tum complures aliæ. Sed jam ab hujus loci tractatione discedam, ut ad alias Scripturæ sententias et argumenta discutienda me conferam, quas velut illecebras rudibus ac simplicibus objiciunt.

ΟΒ'. Λέγουσι γὰρ πάλιν (2) οἱ αὐτοὶ μετὰ πασῶν ὧν ἀπὸ τοῦ Ἀποστόλου καὶ τῶν Εὐαγγελίων κατὰ τὸν νοῦν αὐτῶν παραφθείρουσι, κακῶς ὑπονοοῦντες λέξεις, καὶ ταύτην εἰς μέσον φέροντες ἀπὸ τοῦ Ἀποστόλου, ὡς εἴρηται ἐν τῇ πρὸς Κορινθίους Ἐπιστολῇ, ἐν τῷ περὶ νεκρῶν ἀναστάσεως κεφαλαίῳ. Ὡς καθεξῆς φησιν· *Εἶτα τὸ τέλος, ὅταν παραδιδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρί, ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν, καὶ πᾶσαν ἐξουσίαν, καὶ δύναμιν. Δεῖ γὰρ αὐτὸν βασιλεύειν, ἄχρις οὗ θῇ πάντας τοὺς ἐχθροὺς αὐτοῦ ὑπὸ τοὺς πόδας αὐτοῦ· ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος. Ὅταν δὲ εἴπῃ, ὅτι Πάντα αὐτῷ ὑποτέτακται, δῆλον, ὅτι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα. Ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν.* Ἐπιλαμβάνονται τοίνυν τοῦ ῥητοῦ, καὶ τῷ ἔθει τῆς αὐτῶν ἔχθρας πρὸς τὸν Μονογενῆ κατασκευάζοντες [1] τὴν αὐτοῦ ἄφραστον καὶ ἔνδοξον θεότητα, ὡς καὶ πολλάκις εἶπον, ἀνοίᾳ φερόμενοι. Καί φασιν· Ὁρᾷς, ὅτι λέγει· *Ὅταν τὸ τέλος παραδιδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρί, ὅταν καταργήσῃ πᾶσαν ἐξουσίαν καὶ δύναμιν. Δεῖ γὰρ αὐτὸν βασιλεύειν, ἄχρις οὗ θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ.* Τὸ δὲ, *δεῖ*, καὶ, *ἄχρι*, καὶ, *ὅταν παραδιδῷ τὴν βασιλείαν*, χρόνου ἐστὶν ὁρισμός. Καὶ βλασφημοῦντές φασι· Παύσεως καὶ καταλύσεως τοῦ βασιλεύοντός ἐστι ταῦτα δηλωτικά, *Ἕως οὗ παραδιδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρί.* Καὶ οὐκ ἴσασιν ἐξ ὑπαρχῆς τὸν νοῦν τῆς ἀληθείας, ὅτι διὰ τὸ μετεσχηκέναι τὸν Μονογενῆ σαρκὸς καὶ αἵματος, τὰ ἀνθρωποπαθῆ περὶ αὐτοῦ, καὶ τῆς ἐνσάρκου αὐτοῦ παρουσίας προσληπτικὰ τῆς δόξης ᾄδεται καὶ λέγεται· ἀλλ' οὐκ ἐκτὸς τῆς τελείας ἀεὶ καὶ ἐνδόξου αὐτοῦ θεότητος, τῆς μηδὲν ἐνδεομένης προλαβέσθαι [2] δόξης, ἐχούσης δὲ τὸ αὐτοδεδοξασμένον καὶ τὸ αὐτοτέλειον. Ὡσαύτως [3] περὶ τῶν δύο ἀπολογεῖται μερῶν, φάσκων περὶ μὲν τοῦ προσφάτου· *Δόξασόν με, Πάτερ, ἐν τῇ δόξῃ, ᾗ εἶχον παρὰ σοὶ πρὸ τοῦ τὸν κόσμον γενέσθαι.* Ὁ δὲ Πατὴρ, [4] τῶν δύο σχέσεων ἀπαγγέλλων τὴν δόξαν, περὶ μὲν τῆς πρώτης κατὰ τὸ Πνεῦμα, ὅτι *Ἐδόξασα*, ἵνα δείξῃ τὸ ἀόριστον· περὶ δὲ τοῦ προσφάτου, διὰ τὴν ἐνσαρκον παρουσίαν, ὅτι *καὶ πάλιν δοξάσω.*

LXXII. Etenim inter alia sacrarum Litterarum testimonia, quæ ex Apostolo et Evangeliis ad suum sensum depravata, ac perperam intellecta proferunt, hoc insuper ex Apostolo nobis objiciunt, quod in Epistola ad Corinthios legitur, ubi de mortuorum resurrectione disputat. Sic enim loquitur: *Deinde finis, cum tradiderit regnum Deo et Patri, cum destruxerit omnem principatum, et omnem potestatem ac virtutem. Oportet enim ipsum regnare, donec ponat omnes inimicos suos sub pedibus suis. Novissimus inimicus destruetur mors. Cum autem dicit subjicienda illa omnia, manifestum est eum excipi qui subjecerit ipsi omnia. Cum autem subjecta ei fuerint omnia, tunc et ipse Filius subjicietur ei, qui sibi subjicit omnia, ut sit Deus omnia in omnibus* [5]. Hunc ergo locum arripiunt, et pro eo ac consueverunt, propter insitum in Dei Filium odium adversus inexplicabilem ac magnificam illius divinitatem comparant, incredibili, ut sæpe dictum est, insania perciti. Sic igitur objiciunt: **799** Videsne quam diserte dicat: *Cum postremo tradiderit regnum Deo Patri, cum destruxerit omnem potestatem et virtutem. Oportet enim ipsum regnare, donec ponat omnes inimicos sub pedibus ipsius?* Ubi hæc verba, *oportet*, et, *donec*, et, *cum tradiderit regnum*, definitum temporis spatium significant. Atque hæc ipsa verba, *Donec tradiderit regnum Deo et Patri*, exitum aliquem, finemque regni ei qui regnat, accidere demonstrat. Hæc illi per summam in Deum contumeliam jactitant, neque quid veritas ipsa significet ullo modo percipiunt: nimirum quod unicus Dei Filius carnis ac sanguinis particeps fuerit, humanas eidem affectiones, eaque quæ gloriæ quamdam accessionem indicant, humanæ illius naturæ tribui, vulgoque prædicari: quod tamen a perfecta gloriæque plenissima divinitate minime putandum est. Quæ quidem divinitas cum ipsa per sese gloria prædita ac perfecta sit, nequaquam externam atque ascititiam gloriam requirit. Nam et Christus ipse ea verbis expressit, quæ ad ambas illas partes propugnandas pertinere possunt. Itaque de ea, quæ recentior est, accipi ista possunt: *Glorifica me, Pater, ea gloria, quam habui apud te antequam mundus fieret* [6]. Pater autem duarum perinde conditionum et habitudinum gloriam demonstrans, de priore secundum spiritum sic loquitur: *Ego glorificavi*, ut infinitum quiddam declaret. De recentiore vero et hominis suscepta natura, *et iterum glorificabo.* [7]

[1] F. ἀνασκευάζοντες. [2] F. προσλαβέσθαι. [3] ὡς αὐτός. [4] Deesse nonnihil suspicor. [5] I Cor. xv, 24-28. [6] Joan. xvii, 5. [7] Joan. xii, 28.

(2) *Λέγουσι γὰρ πάλιν.* De hoc Apostoli loco vide Hilarium lib. xi *De Trinit.*

Digitized by Google

LXXIII. Ex quibus illustrari ac declarari potest hic Apostoli locus de quo nunc agimus, in quo duplicem perinde sensum veritatis proposuit. Nam hæc verba, *Donec tradiderit regnum Deo et Patri*, ad humanæ naturæ, quæ certo tempore cœpit, initium revocanda sunt. Divinitas porro Filii cum Patre semper exstitit, quæ nihil aliud est, quam unigenitus Deus, Verbum a Patre sine ullo initio, vel tempore procedens. Alioqui quomodo angeli dictum illud reipsa perfici posset : *Spiritus Domini superveniet in te, et virtus Altissimi obumbrabit te*[1]? Dixerat enim Mariæ Virgini : *Paries filium, et vocabis nomen ejus Jesum.* Quibus divinum Verbum e cœlo delapsum esse, atque in utero Virginis carnem factum, perfectamque hominis naturam suscepisse monstraret, ut ne perfectam corporis naturam a perfecta divinitate secerneret. Quare subinde illud adjecit eidemque dixit : **800** *Ideoque et quod nascetur sanctum vocabitur Filius Dei.* Deinde : *Dabit ei Deus sedem David patris ejus, et regnabit in domo Jacob in æternum, et regni ejus non erit finis.* Quamobrem cum hæc ambo sibi invicem opposita esse videantur, videlicet : *Oportet ipsum regnare, donec*, etc.; et, *Regnabit domo Jacob in sæcula*, ubi observandum est, *in sæcula*, non, in sæculum, dixisse. Item cum illud, *Cum tradiderit regnum Deo et Patri*, huic contrarium sit, *Et regni ejus non erit finis;* cumque hæc ambo de Christo Domino idonei ac fide digni auctores asserant (nam et angelus Gabriel sanctus est, et Apostolus divino Spiritu afflatus), quid nostri illi vitalis ac salutaris illius mysterii plane imperiti dixerint? Utrumne Scriptura secum ipsa pugnat, quæ nunquam a veritate deflectit? Minime vero. Sed, ut antea dicebamus, propter illam humanæ naturæ conditionem, quæ accessionis capax est, consentanee omnia aptissimeque cohærent. Etenim si regnum certo aliquo tempore traditurus est, consequens est, ut nondum regnet. Quod si ita est, cur angelis et archangelis tam ante, quam post incarnationem adoratus esse perpetuo dicitur? De eo quippe Scriptura testatur : *Cum induceret primogenitum in orbem terrarum dictum esse: Et adorent eum omnes angeli Dei*[2]. Item : *Sedet ad dexteram Patris*[3].

Deinde: *Coram illo flectetur omne genu cœlestium, terrestrium et infernorum*[4]. Necesse est igitur ut qui ab omnibus adoretur, perpetuo regnum obtineat. Jam vero cum perpetuo penes Filium jam olim fuerit, et modo sit, et deinceps sit regia futura potestas (quandoquidem regnum Patri nondum tradidit), quid tandem existimabimus? Patremne ab regno interim exclusum? Minime vero. Regnat enim cum Patre Filius, et cum Filio, ac Spiritu sancto Pater. Sed quid asserunt isti? *Cum tradiderit regnum Deo et Patri*, num regnare desinet? Nequaquam certe. Quomodo enim verum illud esset angeli responsum:

A ΟΓ'. Ἵνα καὶ ἐνταῦθα τὸ σαφὲς ἀποδειχθείη περὶ ὧν καὶ ὁ Ἀπόστολος εἴρηκε, περὶ αὐτοῦ διττῶς τὴν ἀλήθειαν ὑποτιθέμενος. Καὶ τὸ, *Ἄχρις οὗ παραδιδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρί*, διὰ τὴν ἀπὸ χρόνου ἀρχὴν γενομένην ἐνσάρκου παρουσίας. Ἡ γὰρ θεότης τοῦ Μονογενοῦς ἦν ἀεὶ σὺν Πατρί, ὅπερ ἐστὶ μονογενὴς Θεὸς Λόγος ἐκ Πατρὸς προελθὼν ἀνάρχως καὶ ἀχρόνως. Ἐπεὶ πῶς πληρωθήσεται τὸ ῥηθὲν ὑπὸ τοῦ ἀγγέλου, τὸ, *Πνεῦμα Κυρίου ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι;* Ἐπειδήπερ ἔλεγεν αὐτῇ· *Τέξῃ υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν·* ἵνα δείξῃ ἄνωθεν τὸν Θεὸν Λόγον κατεληλυθότα, καὶ ἐν μήτρᾳ τῆς αὐτῆς Παρθένου σαρκωθέντα, καὶ τελείως ἐνανθρωπήσαντα· ἵνα μὴ διορίσῃ τὴν ἔνσαρκον τελείωσιν B ἀπὸ τῆς ἐνθέου τελειώσεως, μετὰ προσθήκης τοῦ, *καὶ ἔλεγεν αὐτῇ· Διὸ καὶ τὸ γεννώμενον ἅγιον κληθήσεται Υἱὸς Θεοῦ.* Εἶτα· *Δώσει αὐτῷ ὁ Θεὸς τὸν θρόνον Δαβὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος.* Ἀντιδιαστελλομένων τοίνυν τούτων θατέρου πρὸς θάτερον, τὸ, *Δεῖ αὐτὸν βασιλεύειν ἄχρις οὗ·* καὶ, *Βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς τοὺς αἰῶνας.* Καὶ οὐκ εἶπεν, εἰς τὸν αἰῶνα μόνον, ἀλλ', *εἰς τοὺς αἰῶνας·* καὶ πάλιν τὸ, *Ὅταν παραδιδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρί*, ἀντιπαρατιθέμενον τὸ, *Καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος·* ἀμφοτέρων δὲ τὰ τοιαῦτα περὶ Κυρίου καὶ Χριστοῦ φησάντων, ἀξιοπίστων ἀπάντων ὄντων (τοῦ μὲν ἀγγέλου C Γαβριὴλ ἁγίου ὄντος, τοῦ δὲ ἁγίου Ἀποστόλου πνευματοφόρου ὄντος), τί ἂν φαίησαν οἱ τῆς ζωτικῆς πραγματείας ἄγνωστοι; Μὴ ἄρα ἀντίθετος εἴη ἡ Γραφὴ πρὸς ἑαυτὴν τὰ πάντα ἀεὶ ἀληθεύουσα; Μὴ γένοιτο! Ἀλλ' ὡς ἀπαρχῆς εἴπομεν, διὰ τὸ προσληπτικὸν τῆς ἐνανθρωπήσεως, τὰ πάντα ἔχει τῆς εὐλόγου ἀκολουθίας. Εἰ γὰρ παραδίδωσι τὸ βασίλειον χρόνῳ, ἄρα νῦν οὐδὲ βασιλεύει. Εἰ δὲ οὕπω βασιλεύει, πῶς εὑρίσκεται προσκυνούμενος ἀεὶ ὑπὸ τῶν ἀγγέλων καὶ ἀρχαγγέλων πρὸ τῆς ἐνσάρκου παρουσίας καὶ ἐν τῇ ἐνσάρκῳ παρουσίᾳ; ὡς ἡ Γραφὴ λέγει περὶ αὐτοῦ, ὅτι *Ὅταν εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγουσα· Καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ·* καὶ πάλιν· *Ἐκάθισεν ἐν δεξιᾷ* D *τοῦ Πατρός.*

Καὶ φησιν, *Αὐτῷ κάμψει πᾶν γόνυ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων.* Ἆρα οὖν βασιλεύει ἀεὶ ὁ ὑπὸ πάντων προσκυνούμενος. Τί οὖν εἴπωμεν; Τοῦ Υἱοῦ ἀεὶ βασιλεύοντος, ἀπὸ τῶν ἀνέκαθεν, καὶ νῦν, καὶ εἰς τὸ ἑξῆς, ἐπεὶ μηδέπω παρέδωκε τὴν βασιλείαν τῷ Πατρὶ, ἄρα ἐκτός ἐστι τοῦ βασιλεύειν ὁ Πατήρ; Μὴ γένοιτο! Ἔστι γὰρ ἅμα Πατρὶ βασιλεύων, καὶ Πατὴρ ἅμα Υἱῷ καὶ ἁγίῳ Πνεύματι. Ἀλλὰ τί λέγουσιν; *Ὅταν παραδιδῷ τὸ βασίλειον τῷ Θεῷ καὶ Πατρὶ*, παύεται αὐτὸς τοῦ βασιλεύειν; Μὴ γένοιτο! Ἐπεὶ πῶς πληροῦται τὸ, *Καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος;* Ἀλλ' ἵνα δείξῃ,

[1] Luc. I, 35 sqq. [2] Hebr. I, 6 ; Psal. XCVI, 7. [3] Hebr. I, 3. [4] Philipp. II, 10.

Digitized by Google

ὅτι οὐδὲν ἐν τῷ Υἱῷ πεπλήρωται, οὔτε πληροῦται ἀφηνιάζον καὶ ἰδιάζον τῆς τοῦ Πατρὸς ἑνώσεως, καὶ ἑνὸς θελήματος Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος. Ὁρῶμεν γὰρ καὶ ἐνταῦθα ὡς περὶ αὐτοῦ τοῦ Υἱοῦ εἰρημένου [1], ὅτι *Ὅταν παραδιδῷ τὴν βασιλείαν τῷ Θεῷ καὶ Πατρὶ, ὅταν καταργήσῃ πᾶσαν ἀρχὴν, καὶ ἐξουσίαν, καὶ δύναμιν·* ὡς αὐτοῦ τοῦ Υἱοῦ παραδιδόντος τὴν βασιλείαν, καὶ καταργοῦντος πᾶσαν ἀρχὴν, καὶ τὰ ἑξῆς· καὶ τό, *Δεῖ αὐτὸν βασιλεύειν ἄχρις οὗ θῇ πάντας τοὺς ἐχθροὺς ὑπὸ τοὺς πόδας αὐτοῦ·* ὡς τοῦ Υἱοῦ τὰ πάντα ποιοῦντος, καὶ ἀὐθεντοῦντος, καὶ ἐξουσιάζοντος, καὶ τῷ Πατρὶ παραδιδόντος σὺν τῇ βασιλείᾳ τοὺς ὑποτασσομένους.

ΟΔ'. Εἶτα λοιπὸν μεταβαίνει εἰς πρόσωπον ἕτερον πάλιν· *Τοῦ Πατρὸς ὑποτάσσοντος πάντα τῷ Υἱῷ·* καί φησι· *Πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ· ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος.* Οὐκέτι δὲ ἀπὸ προσώπου Πατρὸς μόνον, οὐδὲ ἀπὸ προσώπου Υἱοῦ μόνον, ἀλλὰ μεσαίτατα τῶν προσώπων Πατρὸς καὶ Υἱοῦ, φησίν· *Ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος. Ὅταν δὲ εἴπῃ, ὅτι πάντα αὐτῷ ὑποτέτακται,* ἤθελον ἐρωτῆσαι τοὺς αὐτοὺς, ἀπὸ προσώπου τίνος τὸ, *εἴπῃ*, λέγει; Τὸ γὰρ βάθος τῶν μυστηρίων τοῦ Θεοῦ πνευματικῶς τοὺς σαρκικοὺς κρίνει. *Ὁ γὰρ σαρκικὸς οὐ δέχεται τὰ τοῦ Πνεύματος·* μωρία γὰρ αὐτῷ ἐστιν. Ἐνταῦθα γὰρ, *Ὅταν εἴπῃ, ὅτι πάντα αὐτῷ ὑποτέτακται,* εἰ μὲν ὁ Πατὴρ λέγει πρὸς τὸν Υἱὸν, ἐλλιπὴς ἡ πραγματεία· ὑπέταξε γὰρ ὁ Υἱὸς τὰ πάντα τῷ Πατρί· εἰ δὲ ἀπὸ προσώπου Υἱοῦ τὸ, *Ὅταν εἴπῃ· Τὰ πάντα αὐτῷ ὑποτέτακται,* λέγεται, ἐλλιπὲς τὸ φρόνημα, ὅτι μελλητικά τινα ἐν Θεῷ, ἢ ἐν Πατρὶ, ἢ ἐν Υἱῷ λογίζεται. Τίς δέ ἐστιν ὁ λέγων, ὅτι *πάντα ὑποτέτακται;* Οὐ γὰρ εἶπεν· Ὅταν εἴπωσιν. Εἰ γὰρ ἦν τοῦτο τοῦ Υἱοῦ, τὸ, Ὅταν εἴπωσι, λεγόμενον, ἠδύνατο πληροῦσθαι ἢ ἐπὶ τοὺς ἀγγέλους, ἢ ἐπὶ τοὺς ὑποταγέντας. Ἐπειδὴ δὲ ἄνω ἐσήμανε τὸν Υἱὸν ὑποτάσσοντα τῷ Πατρὶ, καὶ παραδιδόντα, καὶ τὸν Πατέρα ὑποτάσσοντα τῷ Υἱῷ τὰ πάντα, περιελείπετο δὲ τοῖς λεξιθήρσι τὸ τοῦ Πνεύματος ἁγίου πρόσωπον· τούτου ἕνεκα ἀπαρεμφάτως μετὰ τὸ πρόσωπον τοῦ Υἱοῦ, καὶ τὸ πρόσωπον τοῦ Πατρὸς, τὸ πρόσωπον ὑπέφαινε τοῦ ἁγίου Πνεύματος, τοῦ ἀναγγέλλοντος ἀεὶ τὰ Πατρὸς καὶ Υἱοῦ, καὶ διδάσκοντος ἵνα μὴ ἐλλιπῆ ποιήσῃ τὴν τελείαν γνῶσιν τῆς περὶ [2] Τριάδος καὶ τῆς ἐνσάρκου προσληπτικῆς δόξης παρουσίας. Εἶτα, φησὶν, *ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος.* Ὁ δὲ καταργηθεὶς πεπέδηται, οὐκέτι ἐνεργῶν ὃ ἐνεργεῖ, οὐδὲ ἔτι ὑπάρχων· καὶ γὰρ κατήργηται.

ΟΕ'. Τί οὖν οἱ τὸ συνιέναι τὰς Γραφὰς ἀγνοοῦντες ἔχουσι περὶ τούτου λέγειν; Δεῖ ἡμᾶς ἄρα λογίσασθαι περὶ τοῦ Υἱοῦ, ὅτι ἀργήσει τοῦ βασιλεύειν. Εἰ οὕτως ἄρα εἶχεν ἡ λέξις. Ἀλλὰ ἀσεβήσομεν καὶ αὐτὸν μετὰ τῶν ὑποτασσομένων ἐναριθμῆσαι μά-

[1] Leg. εἰρημένον. [2] F. περὶ τῆς. [3] I Cor. II, 14.

A *Et regni ejus non erit finis?* Hoc igitur significare voluit Apostolus, nihil impletum in Filio, implerive quod a paterna **801** conjunctione, atque una eademque Patris, et Filii, et Spiritus sancti voluntate discrepans sit, aut sejunctum. Siquidem et hoc loco de Filio ipso dictum animadvertimus: *Cum tradiderit regnum Deo et Patri, cum destruxerit omnem principatum, et potestatem, et virtutem,* tanquam Filius ipse regnum tradat, ac principatum omnem destruat, etc. Ad hæc, *Oportet*, inquit, *ipsum regnare, donec ponat inimicos sub pedibus suis,* quasi Filius omnia perficiat, ac pro auctoritate sua et potestate moderetur, et Patri denique una cum regno subjectos offerat.

LXXIV. Post hæc aliam ad personam transit: B *Patre Filio subjiciente omnia;* et: *Omnia subjecit,* inquit, *sub pedibus ejus, novissimus inimicus destruetur mors.* Ubi non amplius ex persona Patris duntaxat, neque ex solius persona Filii, sed tanquam ab alia inter utramque interjecta subjicitur: *Novissimus inimicus destruitur mors. Cum autem dicit, omnia huic esse subjecta,* libet illos interrogare, cujus ex persona vox illa, *dicit*, pronuntiata sit. Siquidem divinorum mysteriorum altitudo carnales homines spiritaliter dijudicat: *Nam carnalis non percipit ea quæ Dei sunt* [3]; stultitia enim est ipsi. Hæc enim, *Cum dicit omnia ei esse subjecta,* si ita accipiantur, quasi Filio Pater dixerit, manca est ac defecta narratio. Quippe Filius omnia Patri subjecit. Sin ex Filii persona usurpatum putetur C istud ipsum, *Cum dicit: Huic omnia subjecta,* non minus sensus ipse deficit, eo quod mora quædam ac tarditas Deo, sive Patri, sive Filio tribuitur. Quis igitur est qui *subjecta esse dicit omnia?* Non enim scriptum est: Cum dicunt. Nam si ad Filium referri deberet istud, Cum dicunt; vel ad angelos, vel ad eos, qui subjecti sunt, pertinere posset. Jam vero cum antea Patri Filium omnia subjecisse ac tradidisse docuisset, ac vicissim Filio Patrem omnia subjecisse, vocum porro captatoribus una Spiritus sancti persona restaret, ob id Filii ac Patris personis Spiritus sancti personam non expresse, sed infinite subtexuit, ejus videlicet Spiritus, qui Patris et Filii arcana nuntiat ac perdocet. Quod D ideo factum est, ne **802** ad perfectam Trinitatis et humanæ naturæ, ad quam gloriæ fieri potest accessio, cognitionem quidpiam deesset. *Deinde novissimus*, inquit, *inimicus destruitur mors.* Porro qui destruitur quodammodo detineri vinctus intelligitur, ut quod facere solebat, non moliatur amplius, adeoque cum destructus sit, non amplius exsistat.

LXXV. Quid igitur sacrarum Litterarum imperiti ea de re dicere possunt? An de Filio cogitandum nobis illud est, regnandi finem unquam esse facturum? Si quidem ita sese illa vox haberet. Atqui impium quiddam a nobis admittetur, si illum

Digitized by Google

in subditorum sibi ordinem redigere voluerimus, ut cum opus suum præstiterit, ab agendo desistat. Sed absit a nobis tam impia de Christo sententia. Nemo enim, qui quidem in ipsum credat, aut speret ex animo, indignum quidquam de illius gloria prædicare aut audire sustinebit : cujusmodi perperam isti, et absurde sentiunt. Cæterum omnia sacris in Litteris docentur : *Cum dicit, Omnia illi subjecta sunt, haud dubium quin præter illum qui subjecit illi omnia. Cum autem subjecta ei fuerint omnia, tunc et Filius ipse subjicietur ei qui sibi subjecit omnia.* Ut quod initio declaravit angelus, estque a nobis huic loco propter affinitatem ac similitudinem adjunctum vim omnem divini Verbi consentance ac perspicue declaret. Nam et angelus idem propemodum dixit, cum significato Dei Filio, subinde quibusdam additis, assumptæ hominis naturæ et cum Verbo conjunctæ mentionem injecit : *Propterea*, inquit, *et quod nascetur ex te* (ubi *sanctum* adjecit), *vocabitur Filius Dei*[1]. Quæ cum ita sint, ac voces illæ, *propterea*, et, *quod nascetur vocabitur Filius Dei*, usurpatæ ab angelo fuerint, recte Filius ei subjiciendus dicitur, *qui sibi universa subjecit*, ut ne quod carnale est amplius sit virtute carnale, sed cum divinitate conjunctum : illud, inquam, ipsum carnale in unum copulatum cum Deo, et cum Patre, ac Spiritu sancto regnum illud obtinens, *Cujus non erit finis.* Cujus quidem, ex quo resurrexit, velut initium accepit, *Ut sit Deus omnia in omnibus :* quod in unam divinitatem spiritaliter sit illud carnale conjunctum. Sed quod ita loquitur : *Hoc facite in meam commemorationem, donec veniat Filius hominis*[2]. Item : *Sic illum videbitis, quemadmodum vidistis ascendentem in cœlum*[3]; **803** tum demum perfectis omnibus, nec ulla re prætermissa, ad ipsius divinitatem revocatum iri omnia eadem illa verba demonstrant : *Ut sit Deus omnia in omnibus*, ne qua sit divisionis suspicio; quæ nulla est, ut non deorum multitudo fingatur. Nam una est personarum omnium ac singularis gloria. Et vero non quasi tyrannidem usurparit Filius Patri modo non subjicitur, neque tanquam servus ac propria potestate carens eidem subjicitur, cum sit a Patre genitus, eademque cum ipso natura ac divinitate præditus. Neque tunc propter ullum defectum, aut velut imminutionem capitis, ac necessitatem, sive potestatis abrogationem Patri subjiciendus est; sed perinde ac germanus et unicus Filius, qui cum Patre perpetuo regnat, et ad unam singularitatem, atque unum decus, et honorem creatas res omnes revocat, et Ecclesiam suam instituit, *Ut sit Deus omnia in omnibus.* Quoniam una est Patris, et Filii, et Spiritus sancti divinitas, dominatus unus, singularisque gloria; a Filio porro, tanquam ab germano Filio, Patri, ut par est honor tribuitur : nec non et a Spiritu sancto, cum a Patre et Filio minime sit alienus. Facessant itaque

A λιστα, μετὰ τὸ ἐνεργεῖν οὗ ἐνήργει παυομένου. Ἀλλὰ μὴ γένοιτο! Οὐδεὶς γὰρ τῶν εἰς Χριστὸν πιστευόντων, καὶ ἐλπιζόντων ἐν ἀληθείᾳ, διανοηθήσεται ἀπρεπῶς τῇ αὐτοῦ δόξῃ λέγειν, ἢ ἀκούειν, ὡς οὗτοι ματαίως φρονοῦσι. Πάντα δὲ ἡ θεία Γραφὴ διδάσκει· *Ὅταν εἴπῃ· Πάντα αὐτῷ ὑποτέτακται, δηλονότι ἐκτὸς τοῦ ὑποτάξαντος αὐτῷ τὰ πάντα. Ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα·* ὅπως τὸ ἀπαρχῆς ὑπὸ τοῦ ἀγγέλου σημανθὲν καὶ ἐνταῦθα διὰ τοῦ ὁμοιώματος τοῦ λόγου συζευχθὲν, τὴν φράσιν πᾶσαν τῆς δυνάμεως τοῦ Λόγου ἀποφάνοι ἀκολούθως τε καὶ τηλαυγῶς. Ὡς καὶ ὁ ἄγγελος τὸ ὅμοιον ἔλεγεν, ἄνωθεν μὲν σημάνας τὸν Υἱὸν, εἶτα μετὰ προσθήκης περὶ τῆς ἐνσάρκου παρ- B ουσίας τὴν συνένωσιν δηλῶν, ὅτι *Διὸ καὶ τὸ γεννώμενον ἐκ σοῦ* (μετὰ προσθήκης τοῦ, *καὶ ἁγίου*), *κληθήσεται Υἱὸς Θεοῦ.* Διά τοι τοῦτο καὶ τὰ τοιαῦτα, ἐπειδὴ τὸ, *καὶ διό*, καὶ, *τὸ γεννώμενον κληθήσεται Υἱὸς Θεοῦ*, τούτου ἕνεκα αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται *τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα*, ἵνα μηκέτι τὸ σαρκικὸν σαρκικὸν εἴη τῇ δυνάμει, ἀλλὰ συνηνωμένον τῇ θεότητι, τὸ σαρκικὸν εἰς μίαν ἕνωσιν συνηνωμένον, σὺν Πατρὶ βασιλεῦον καὶ ἁγίῳ Πνεύματι, *Οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος.* Καὶ ἐξότε μὲν ἀνέστη, ἀρχὴν λαβὸν τὸ, *Ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσι·* συνήνωται γὰρ ὁμοῦ εἰς μίαν τὴν αὐτοῦ θεότητα πνευματικῶς τὸ σαρκικόν· ἐπειδὴ λέγει· *Τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν, ἕως τῆς παρουσίας τοῦ Υἱοῦ τοῦ ἀνθρώπου·* καὶ, C *Οὕτως ὄψεσθε αὐτὸν, ὃν τρόπον ἴδετε αὐτὸν ἀναλαμβανόμενον·* τότε λοιπὸν πάντων τελειωθέντων, καὶ μηδενὸς τῶν πρὸς πλήρωσιν ὑπολειπομένων[4] τῶν ἐπὶ τὴν αὐτοῦ θεότητα ἀναφέρειν τὸ, *Ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν*, ἔστι σημαινόμενον, ἵνα μὴ εἴη διαίρεσις· οὐ γάρ ἐστιν, ἵνα μὴ νομισθῇ πολυθεΐα. Μία γάρ ἐστιν ἡ δοξολογία. Οὔτε γὰρ νῦν ὡς τυραννῶν ὁ Υἱὸς οὐχ ὑποτέτακται τῷ Πατρὶ, οὔτε ὑποτέτακται ὡς δοῦλος, καὶ ἐξουσίαν μὴ ἔχων, ἐκ Πατρὸς γεγεννημένος τῆς αὐτῆς φύσεως, καὶ τῆς αὐτῆς θεότητος, οὔτε τότε κατὰ ἔλλειψιν, οὔτε κατὰ ὑπόβασιν, οὔτε κατὰ ἀνάγκην, ἢ κατὰ λέξιν[5] ὑποτάσσεται τῷ Πατρί· ἀλλ' ὡς Υἱὸς γνήσιος μονογενὴς, σὺν Πατρὶ βασιλεύων ἀεὶ εἰς μίαν D ἑνότητα, καὶ εἷς ἐν γέρας τιμῆς ἀνάγων τὴν πᾶσαν κτίσιν, καὶ διδάσκων αὐτοῦ τὴν Ἐκκλησίαν, *Ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσιν.* Ἐπειδὴ μία ἐστὶν ἡ θεότης, μία ἡ κυριότης, μία δοξολογία Πατρὸς, Υἱοῦ, καὶ ἁγίου Πνεύματος, πρεπόντως τιμαμένου τοῦ Πατρὸς ὑπὸ τοῦ Υἱοῦ, ὡς γνησίου Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος, ὡς οὐκ ἀλλοτρίου ὄντος Πατρὸς καὶ Υἱοῦ, Καὶ ἀποκλειέσθωσαν τῶν κατὰ τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ τοῦ ἁγίου Πνεύματος βλασφημούντων αὐτοὶ οἱ λόγοι, καὶ τὰ ἐπινοήματα τῆς πρὸς τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα ἔχθρας. Καὶ ἐπὶ πάλιν τὰ κακῶς ὑπ' αὐτῶν ἐπινοούμενα φωράσαντες ἀνατρέψομεν.

[1] Luc. I, 35. [2] Luc. XXII, 19; I Cor. XI, 24. [3] Act. I, 11. [4] Mutilus locus. [5] F. λῆξιν.

Digitized by Google

contumeliosorum in Dei Filium, ac Spiritum sanctum impiæ voces, ac sacrilegæ; argumentaque omni in eosdem hostilitate referta. Nos autem cætera male ab illis excogitata, et hoc loco patefacta diluemus.

Οζ'. Πάλιν λέγουσι (3) τῶν ἐκ τοῦ Εὐαγγελίου λέξεις τινὰς, καί φασιν· Διὰ τί οὐ δύναται *ποιεῖν οὐδὲν ὁ Υἱὸς ἀφ' ἑαυτοῦ, ἐὰν μὴ ἴδῃ τὸν Πατέρα ποιοῦντα;* Καὶ οὐ νοοῦσιν ἀπαρχῆς τὰ λεγόμενα, ὅτι καίτοιγε ὁ Πατὴρ οὐ πρότερον ἐποίησε, καὶ ὕστερον ὁ Υἱὸς ἐτεχνάσατο. Ποῖον γὰρ οὐρανὸν ἐποίησε καθ' ἑαυτὸν ὁ Πατὴρ, ἵνα, ἀπὸ τοῦ τύπου τοῦ πρώτου οὐρανοῦ λαβὼν τὸ ὁμοίωμα ὁ Υἱὸς, οὕτως ἐργάσηται; Ἀλλ' οὐδεὶς τοῦτο δύναται δεῖξαι τῶν τὴν κακίαν ἐπινοούντων. *Ἐν ἀρχῇ γὰρ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν.* Ἀλλ' ἅμα ἐν ἀρχῇ ἐν τῇ κοσμοποιίᾳ φάσκει· *Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν.* Καὶ οὐκ εἶπε· Δεῦρο, ποιήσω καὶ ὑποδείξω πῶς ἐργάσῃ. Ἔπειτα δὲ, *Καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον.* Καὶ οὐκ εἶπεν, Ἐποίησε, καὶ ἔδειξε τῷ Υἱῷ πῶς δεῖ ποιεῖν τὸν ἄνθρωπον. Οὔτε γὰρ ἐν ἀγνοίᾳ ἦν ὁ Υἱὸς, ἵνα μετὰ τὸ μαθεῖν τέχνην, τότε τὰ ἐξ αὐτῆς ἐργάσηται. Ἀλλ' ἐπειδὴ πάλιν ἐλθὼν ὁ Κύριος ἡμῶν τὴν σάρκα ἐνεδύσατο, καὶ ἄνθρωπος ἐγένετο, καὶ ἐν ἡμῖν συνανεστράφη, εἶχε δὲ πρὸς τοὺς Ἰουδαίους τὸν λόγον, οἵτινες ἐνόμιζον αὐτὸν τὰ τοῦ Πατρὸς καταλύειν, βουλόμενος ἀναγαγεῖν τὴν διάνοιαν τοῦ μὴ προσέχειν τῇ αὐτοῦ ἐνανθρωπήσει μόνον, ἔλεγεν· *Οὐδὲν ποιεῖ ὁ Υἱὸς, ἐὰν μὴ ἴδῃ τὸν Πατέρα ποιοῦντα·* ἵνα δείξῃ τὸ ἔργον τοῦ Υἱοῦ εἶναι ἔργον τοῦ Πατρὸς, καὶ τὸν Πατέρα εὐδοκοῦντα ἐπὶ τῇ αὐτοῦ τῆς πάσης ἐργασίας οἰκονομίᾳ. Οὕτω καὶ κατὰ ἀκολουθίαν καὶ τὰς ἄλλας λέξεις προσκόπτοντες, ὡς θῆρες, καὶ ἐλεγχόμενοι ἀπὸ προσώπου τῆς τοῦ λόγου ἀστραπῆς, τῆς ἀληθείας διωχθήσονται. *Ἄστραψον ἀστραπὴν, καὶ σκορπιεῖς αὐτούς· ἐξαπόστειλον τὰ βέλη σου, καὶ συνταράξεις αὐτούς.*

LXXVI. Aliis igitur ex Evangelio prolatis auctoritatibus ita disputant: Quid est quod *nihil a seipso facere Filius potest, nisi Patrem facientem viderit*[2]? Sed nullo modo horum verborum sententiam assequuntur; neque vident nihil esse, quod a Patre antea factum, et a Filio deinde fabricatum fuerit. Quod enim cœlum solus per sese Pater molitus est, ut ad prioris hujus exemplar simile alterum Filius expresserit? Nihil ejusmodi ab iis impietatis architectis demonstrari potest. *In principio enim fecit Deus cœlum et terram*[3]. Imo jam tum ipso fabricandi mundi principio dixit: *Faciamus hominem ad imaginem nostram et similitudinem*[4]. Non dixit: Age, faciam prius, et quemadmodum moliri debeas ostendam. Deinde: *Fecit Deus hominem*[5]. Non dixit, Fecit et ostendit Filio, quemadmodum fabricandus homo sit. Siquidem nulla in Filio inerat ignorantia, ut posteaquam artem condidicisset, ex illius **804** præscripto moliretur. Verum ubi ad nos delapsus Christus Dominus humana carne vestitus est, et homo factus est et nobiscum versatus, cum Judæos alloqueretur, qui ab ipso opera Patris everti sibi persuaserant, quo eorum animos a solius humanæ naturæ contemplatione revocaret: *Nihil*, inquit, *Filius facit, nisi facientem Patrem viderit;* ut opus Filii esse Patris opus ostenderet, eidemque Patri suam omnem administrationem ac functionem placere. Sic igitur deinceps infelices isti, qui alias Scripturæ sententias, tanquam immanes feræ, concidunt ac lacerant, convicti, divini verbi ac veritatis splendorem, velut fulgure quodam consternati, fugient. *Fulgura*, inquit, *coruscationem, et dissipabis eos. Emitte sagittas tuas, et conturbabis eos*[6].

Οζ'. Πρόσκειται γὰρ ταύτῃ τῇ λέξει ἂν[1] ἀναλέγουσι καθ' εἱρμὸν, καὶ λέγουσιν ἀπὸ τοῦ Εὐαγγελίου· *Ὁ γὰρ Πατὴρ φιλεῖ τὸν Υἱὸν, καὶ πάντα δείκνυσιν αὐτῷ, ἃ αὐτὸς ποιεῖ, καὶ μείζονα τούτων δείξει αὐτῷ ἔργα, ἵνα ὑμεῖς θαυμάζητε·* καὶ πάλιν· *Ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς, καὶ ζωοποιεῖ. Ὁμοίως καὶ ὁ Υἱὸς οὓς θέλει ζωοποιεῖ·* καὶ πάλιν· *Οὐδένα γὰρ ὁ Πατὴρ κρίνει, ἀλλὰ τὴν κρίσιν πᾶσαν δέδωκε τῷ Υἱῷ, ἵνα πάντες τιμῶσι τὸν Υἱὸν, καθὼς τιμῶσι τὸν Πατέρα.* Ὅρα δέ μοι λοιπὸν, Ἄρειε, τὸ πέρας τῆς πρὸς σὲ διαλογῆς, ποῦ ἀπετέλεσεν ὁ λόγος. Οὐκ εἶπε τινὰς ναὶ, καὶ τινὰς οὔ· ἀλλ' *ἵνα πάντες τιμῶσι τὸν Υἱὸν ὡς τιμῶσι τὸν Πατέρα.* Μὴ ἀτίμαζε τοίνυν τὸν Υἱὸν, ἵνα μὴ ἀτιμάσῃς τὸν Πατέρα· εἰ γάρ τι εἰς τὸν Υἱὸν λογίζῃ ὑποδεέστερος, ἢ ἐλάττωμα διανοεῖσθαι, οὐκοῦν καὶ ἐπὶ τὸν Πατέρα ἀναβαίνει σου ἡ διάνοια. Τῆς γὰρ αὐτῆς σοι τολμηρίας ἐστὶ τὸ εἰς τὸν Υἱὸν διανοεῖσθαι, καὶ μὴ τιμᾷν

LXXVII. Etenim illi Scripturæ loco, quem ex Evangelio proferunt, statim illud ordine subtexitur: *Pater enim diligit Filium et omnia demonstrat ei, quæ ipse facit, et iis majora opera demonstrabit, ut vos miremini*[7]. Item: *Pater suscitat mortuos et vivificat; similiter et Filius quos vult vivificat*[8]. Item: *Pater neminem judicat, sed omne judicium dedit Filio, ut omnes honorent Filium, sicut honorant Patrem*[9]. Animadverte nunc, Ari, hunc ipsum institutæ contra te a nobis disputationis exitum. Non dixit a quibusdam honorari debere, ab aliis non debere: sed *ut omnes*, inquit, *honorent Filium, sicut honorant Patrem*[10]. Cave igitur dehonestes Filium, ne dehonestes et Patrem. Nam si quid in Filio suspiceris inferius, aut defectum reperiri, in Patris ignominiam tua illa cogitatio redundabit. Est enim ejusdem in te temeritatis, et audaciæ sive ejusmodi aliquid adversus Filium conceperis, sive

[1] F. ἦν ἀναλ. [2] Joan. v, 19. [3] Gen. i, 1. [4] ibid. 26. [5] ibid. 27. [6] Psal. cxliii, 6. [7] Joan. v, 20. [8] ibid. 21. [9] ibid. 22. [10] ibid. 23.

(3) *Πάλιν λέγουσι.* Vide Hilar. lib. vii *De Trinit.*

Digitized by Google

non honores ipsum, *ut honoras Patrem*. Nam ut ipsi det aliquid Pater, dic, amabo te, hominum confidentissime, quid dicit? *Ut quem vult Filius, vivificet*. Non dixit quem jubetur : hæc enim omnia a Patre Filius accipere debuit, sed non ut ipso esset inferior. Quod quidem duobus modis intelligere possumus : primum, ut mentem nostram ad unam et singularem Patris, Filii et Spiritus sancti divinitatem eveheret, neve ad quædam deorum, velut divortia hominum, cogitationes demitti pateretur; sed ad unum et **805** singulare quiddam attolleret; secundo, ut ad assumptam hominis naturam, quæ gloriæ vicissitudinem mutationemque caperet, atque ad divinitatis suæ conjunctionem intelligendam perduceret. Cum enim ad discipulos suos, pollicitationis hujusmodi spe exhilarandos, venisset, quam ostenderat : *Sunt de hic stantibus, qui non gustabunt mortem, donec viderint Filium hominis venientem in gloria sua*[1]. Deinde octava die, ut in Evangelio scriptum est[2], vel (ut aliud Evangelium narrat) post sex dies[3] : non quod Evangelii scriptores hallucinati sint, sed, quod licet eadem sit omnium certitudo, eadem tamen munienda videatur, ne hominibus ad ea, quæ præcipua ac necessaria sunt, offendendi ulla præbeatur occasio : quandoquidem prona est impensius in malum ab adolescentia hominis cogitatio[4]. Propterea octava die scripsit evangelistarum alter, quod, cum a Christo illa pronuntiata sunt, nonnulla pars diei superesset, a qua die et hora numerandi initium fecit; utputa, cum jam in nonam, aut decimam horam dies incumberet. Deinde octavo die hora circiter tertia, vel quarta res ipsa contigit, quæ dies octava numerata; cum alius evangelista, majoris cautionis gratia, post sex dies id contigisse narret, quoniam neque diem illum comprehendit, quo Dominus apostolis ista locutus est, nec illam, in qua opus illud absolvit, sed interjectos ac plenos tantummodo sex.

αὐτὸν, *καθάπερ τιμᾷς τὸν Πατέρα*. Ἵνα γὰρ καὶ δῷ αὐτῷ ὁ Πατὴρ, λέγε μοι, ὦ γεννάδα, τί λέγει; *Ἵνα ὃν θέλῃ ὁ Υἱὸς ζωογονήσῃ*. Οὐκ εἶπεν, ὃν κελεύεται· ἔδει δὲ ταῦτα τὸν Υἱὸν δέξασθαι παρὰ Πατρὸς, ἀλλ' οὐκ ἐλάττονα εἶναι παρὰ τὸν Πατέρα, μάλιστα κατὰ δύο τρόπους· πρῶτον μὲν, διὰ τὸ ἀναγαγεῖν ἡμῶν τὴν διάνοιαν εἰς μίαν ἕνωσιν θεότητος, Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος, καὶ μὴ εἰς μερισμοὺς, καὶ πολυθεΐαν καταγαγεῖν τὸν τῶν ἀνθρώπων λογισμὸν, ἀλλὰ ἀναφέρειν εἰς μίαν ἑνότητα· δεύτερον δὲ, καὶ εἰς τὴν τῆς ἐνσάρκου παρουσίας μεταβολὴν δόξης, καὶ συνένωσιν τῆς αὐτοῦ θεότητος. Ἐπειδὴ γὰρ ἦλθε τοὺς μαθητὰς αὐτοῦ εὐφρᾶναι διὰ τῆς ὑποσχέσεως ἧς εἶπεν, ὅτι *Εἰσὶ τῶν ἑστώτων, οἵτινες οὐ μὴ γεύσωνται θανάτου, ἕως ἂν ἴδωσι τὸν Υἱὸν τοῦ ἀνθρώπου ἐρχόμενον ἐν τῇ δόξῃ αὐτοῦ*· καὶ τῇ ὀγδόῃ ἡμέρᾳ, ὡς λέγει τὸ Εὐαγγέλιον, ἢ ὡς τὸ ἕτερον λέγει, μετὰ ἓξ ἡμέρας οὐ τῶν εὐαγγελιστῶν ἕτερα ἀνθ' ἑτέρων λεγόντων, ἀλλὰ μιᾶς οὔσης τῆς ἀκριβείας, ἀεί ποτε δὲ ἀσφαλιζομένης, ἵνα μὴ πρόφασις γένηται τὸ τοὺς ἀνθρώπους προσκόπτειν ἐν τοῖς ἀναγκαίοις· ἐπειδήπερ ἔγκειται ἡ ἔννοια τοῦ ἀνθρώπου ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος ἐπιμελῶς· διὰ τοῦτο εἷς εὐαγγελιστὴς τῇ ὀγδόῃ ἡμέρᾳ εἶπεν. Ἦν γὰρ μέρος τι τῆς ἡμέρας ὑπολειπόμενον, ὅτε τὸν λόγον ἔφη, καὶ συνηρίθμησεν ἀπ' ἐκείνης τῆς ἡμέρας καὶ τῆς ὥρας, εἰ ἦν ἡ ἡμέρα κεκλικυῖα περὶ ἑνάτην ὥραν ἢ δεκάτην. Καὶ πάλιν ἐν τῇ ὀγδόῃ ἡμέρᾳ περὶ τὴν τρίτην ἢ τετάρτην ὥραν τοῦ πράγματος γεγονότος, ὀγδόη αὕτη ἐκαλεῖτο. Ὁ δὲ ἄλλος εὐαγγελιστὴς ἀσφαλίζεται καὶ λέγει, μετὰ ἓξ ἡμέρας. Οὐκ ἠρίθμησε γὰρ ἐν ᾗ τὸν λόγον ἔφη τοῖς μαθηταῖς, οὐδὲ ἐν ᾗ τὸ ἔργον ἐπετέλεσεν, ἀλλὰ τὰς μέσον ἓξ πληρεστάτας ἡμέρας.

LXXVIII. Ergo evangelista cum ad ejusmodi narrationem venisset, ita rem omnem exponit : Quemadmodum Petrum et Joannem et Jacobum adhibens, eduxit illos in montem, *et transfiguratus est, et resplenduit facies ejus sicut sol*[5] : ea facies, inquam, quæ erat cum divinitate conjuncta : *vestimenta autem ejus candida facta sunt sicut nix*. Quamobrem illa caro quæ et ex Maria Virgine sumpta, et ex nostro genere suscepta fuerat, in gloriam splendoremque commutata est, et quidem divinitatis gloriam, cujus ad illam est accessio facta, necnon et honoris, ac perfectionis, dignitatisque cœlestis, quam, cum hactenus caro non habuisset, hic, posteaquam cum divino Verbo copulata est, obtinuit. Ad eum itaque modum quæ antea dicta sunt accipies : *Omne judicium dedit Filio*[6]; quoniam *Dedit ei potestatem, ut quem vult vivificet*[7]. Quare ut et primum principium declararet, et unam **806** divinitatem ac singularem in Trinitate voluntatem

ΟΗ'. Ὡδὲ δὲ περὶ τὸν λόγον γενόμενος, τὴν φράσιν ὑπέδειξεν· Ὅμως παραλαβὼν Πέτρον καὶ Ἰωάννην καὶ Ἰάκωβον, ἀνήνεγκεν αὐτοὺς εἰς τὸ ὄρος, *Καὶ μετεμορφώθη, καὶ ἔλαμψε τὸ πρόσωπον αὐτοῦ ὡς ὁ ἥλιος*· τὸ ἐν σαρκὶ πρόσωπον συνὸν ἐν τῇ θεότητι· *καὶ τὰ ἱμάτια αὐτοῦ λευκὰ ὡς χιών*· δηλονότι ἡ σὰρξ ἡ ἀπὸ Μαρίας οὖσα, καὶ ἐκ τοῦ ἡμετέρου γένους τυγχάνουσα· καὶ μετεμορφοῦτο εἰς δόξαν, δόξαν ἐπικτωμένη τῆς θεότητος, τὴν τιμήν τε καὶ τελειότητα, καὶ δόξαν τὴν ἐπουράνιον, ἣν μὴ εἶχεν ἡ σὰρξ ἀπαρχῆς, ἐνταῦθα δὲ λαβοῦσα ἐν τῇ συνενώσει τοῦ Θεοῦ Λόγου. Οὕτως τὰ προειρημένα νόει, ὅτι *Τὴν πᾶσαν κρίσιν δέδωκε τῷ Υἱῷ*· ὅτι *Ἔδωκεν αὐτῷ ἐξουσίαν, ἵνα ὃν θέλει ζωογονήσῃ*· ἵνα τὴν μὲν πρώτην ἀρχὴν δείξῃ τὴν ἕνωσιν τῆς μιᾶς θεότητος, καὶ τὸ ἓν θέλημα ἐπὶ τὸν Πατέρα φέρειν τὰ ὅλα τῆς ἀγαθωσύνης, καὶ ἐπὶ τὴν μίαν ἀρχὴν καὶ θεότητα τῶν τριῶν οὐσιῶν τελείων ὑποστάσεων, μιᾶς δὲ θεότητος, Πατρὸς, καὶ Υἱοῦ, καὶ

[1] Matth. xvi, 28. [2] Luc. ix, 28. [3] Matth. xvii, 1. [4] Gen viii, 1. [5] Matth. xvii, 1 sqq. [6] Joan. v, 22. [7] ibid. 21. [8] C. ὅπως.

Digitized by Google

ἁγίου Πνεύματος, καὶ τῆς ἐνσάρκου πάλιν παρουσίας προσλαμβανούσης μετὰ τῆς θεότητος τὴν ἀπὸ Πατρὸς καὶ Υἱοῦ κεχαρισμένην αὐτῇ τοῦ ἀξώματος δωρεάν τε καὶ ἐξουσίαν καὶ τελειότητα καὶ εἰς μίαν θεότητα πνευματικὴν συνένωσιν.

esse monstraret, quæ ad bonitatem pertinent, ad Patrem ipsum, hoc est ad unum principium unamque divinitatem retulit. Cum enim tres perfectæ sint hypostases, una tamen divinitas est, Patris et Filii et Spiritus sancti. Hominis porro a Verbo suscepta natura una cum divinitate summæ dignitatis a Patre Filioque beneficium, necnon et potestatem perfectionemque ac spiritalem in unam divinitatem conjunctionem accepit.

Οθ'. Καὶ μάλα μόλις διεδράσαμεν τὸ δυσθαλάττιον τοῦτο χωρίον, καὶ τὴν πᾶσαν ταύτην θηριοβολίαν, ἄγριά τε κυμάτων κυρτώματα, ἀφρισμοὺς δὲ καὶ σάλους δεινούς· βέλη τε ἐναντίων καὶ θυρεοὺς καταπαύσαντες κατὰ τὸν ὀρθὸν λογισμὸν ἐν διανοίᾳ, τόξα τε τῶν δι' ἐναντίας κατακλάσαντες ἐπὶ τὸ ἑρπετὸν τοῦτο τὸ πολυκέφαλον ὕδρας ἄμορφον κατάστημα, λαβόντες ἐκ Θεοῦ τὴν δύναμιν καὶ τὴν χάριν οἱ ἀνίκανοι, ὥστε, ἐν Θεῷ ἰσχύσαντες, τὴν ἐπινίκιον ᾄδειν φωνὴν λέγουσαν· *Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται· ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν·* καὶ συντρίψαντες τὴν κεφαλὴν τοῦ δράκοντος ἐπάνω τοῦ ὕδατος, τοῦ ἡσύχως πορευομένου, οὗ οὐκ ἠθέλησαν τὴν μετοχὴν οἱ νέοι μετὰ Ἰουδαίων κληρονομίαν κεκτημένοι· πρὸς οὓς ἀποτεινόμενος ὁ προφήτης ἔλεγε· *Διὰ τὸ μὴ θέλειν ὑμᾶς ὕδωρ τοῦ Σιλωὰμ τὸ πορευόμενον ἡσυχῇ, ἀλλὰ βούλεσθαι ἔχειν ὑμᾶς τὸν Ῥαασσὼν[1] τὸν βασιλέα καὶ τὸν Ταβεὴλ υἱὸν Ῥομελίου, ἰδοὺ ἐπάγει Κύριος ἐφ' ὑμᾶς τὸ ὕδωρ τοῦ ποταμοῦ τὸ ἰσχυρὸν, τὸν βασιλέα τῶν Ἀσσυρίων,* καὶ τὰ ἑξῆς. Ἡμεῖς δὲ, λαβόντες ἐν Κυρίῳ τὴν βοήθειαν, καὶ τὸ ἀπὸ ἀληθινῆς σαρκὸς πτύσμα ἐπὶ τῆς γῆς βεβλημένον, καὶ τὸ μετὰ πτύσματος φύραμα τοῦ πηλοῦ ἐν τοῖς ὀφθαλμοῖς ἡμῶν κεχαραγμένον, ἵνα οἵ ποτε ἐν ἀγνοίᾳ νῦν τὴν ἀλήθειαν γνῶμεν, ἀπελθόντες καὶ νιψάμενοι ἐν τῷ Σιλωὰμ, τῷ *ἀπεσταλμένῳ* ἑρμηνευομένῳ, τουτέστιν ἐν τῇ ἐνσάρκῳ παρουσίᾳ, καὶ ἐν Θεότητι τελειότητος, καὶ λοιπὸν ἑωρακότες, οὐκέτι ἀρνούμεθα τὸν Κύριον, εἰ καὶ ἀποσυναγώγους ἡμᾶς ποιήσωσιν οἱ τῆς Ἀρείου φατρίας καὶ Ἰουδαίων διάδοχοι. Ἔθεντο γὰρ καὶ οὗτοι, καθάπερ κἀκεῖνοι, πάντα τὸν ὁμολογοῦντα τὸν Κύριον ἀποσυνάγωγον αὐτῶν γενέσθαι· ἵνα δείξωσι τὸν ἀναβλέψαντα ἔλεγχον γεγονότα τῶν ἀβλεπτούντων. Εἰ μὴ γὰρ ἦν ἡ συναγωγὴ αὐτῶν τυφλὴ ὅλη, οὐκ ἂν οὗ ἠνοίχθησαν οἱ ὀφθαλμοὶ ἀποσύνακτον ἐποίουν. Εὐχαριστήσωμεν τοίνυν τῷ Κυρίῳ, ὅτι καὶ ἀνεβλέψαμεν, καὶ ὁμολογοῦμεν τὸν Κύριον, καὶ ἐθεραπεύσαμεν τὰ σίνη, ἐὰν καὶ τὸ ἔργον τῶν ἐντολῶν αὐτοῦ πράξωμεν· καὶ κατεπατήσαμεν τὸν ὄφιν, καὶ συνετρίψαμεν τὴν κεφαλὴν τοῦ δράκοντος ἐν τῇ τοῦ Θεοῦ δυνάμει· ᾧ ἡ δόξα, τιμὴ, κράτος, Πατρὶ ἐν Υἱῷ, Υἱῷ ἐν Πατρὶ, σὺν ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

LXXIX. Sed jam locum hunc difficillimis maris tempestatibus infestum, atque omnem illam veneni vim sive potius tumentes ac procellosos fluctus et spumosos undarum vortices et jactationes horrendas ægre admodum evasimus. Nam et hostium tela scutaque recta ratione ac mente freti, combussimus, et illorum arcus infregimus; ac tantam divinitus vim et gratiam, licet immerentes, ad illud monstrum pluribus capitibus turpissimam ad hydræ similitudinem præditum conficiendum hausimus, ut eodem divina ope victo ac profligato, triumphale illud carmen accinere possimus: *Cantemus Domino, gloriose enim magnificatus est, equum et ascensorem dejecit in mare*[2]. Caput igitur draconis supra aquam illam contrivimus, quæ placide labitur, cujusque novi illi post Judæos hæreditatis possessores participes esse noluerunt: contra quos propheta sic invehitur: *Quoniam noluistis aquam Siloe, quæ leniter currit, sed maluistis Rase regem, et Tabeel filium Romeliæ, ecce immittet Dominus in vos aquam fluvii violentiam, regem Assyriorum*[3], etc. Nos autem opem a Domino consecuti, hoc est sputum illud a vera carne in terram emissum, et lutum ex illo sputo factum[4] atque oculis nostris illitum, ut qui in summa olim ignorantia versabamur, veritatem modo percipiamus, abeuntes, et in Siloe quod interpretatur *missus*[5], hoc est, in humana Christi natura ac divinitate perfecta loti, recuperato visu, Dominum nequaquam amplius abnegamus, quamvis ab Arii factione et Judæorum successoribus ab omnibus synagogis exterminemur. Siquidem et isti illorum instar decreverunt, ut, qui Dominum confiteretur, ab ipsorum conventibus **807** excluderetur[6], ut ab eo, cui visus restitutus fuerat, nihil videntes se convinci ac redargui monstrarent. Etenim nisi totum illorum conventiculum excæcatum esset, nunquam illum, cujus aperti fuerant oculi, ab omni communione proscriberent. Agendæ proinde Domino gratiæ sunt, quod et videndi sensum recuperavimus, et hunc ipsum confitemur atque incommodis omnibus remedium adhibuimus, si tamen præceptis illius morem geramus, et serpentem proculcavimus, draconis caput Dei ope ac virtute protrivimus. Cui gloria, honor, imperium, Patri in Filio, Filio in Patre, cum Spiritu sancto in sæcula sæculorum. Amen.

Καταλείψαντες δὲ τὴν νενεκρωμένην ταύτην ὕδραν, τὴν ἑπτακέφαλον καὶ πολύσχιδον, ἐπὶ τὰς ἑξῆς συνήθως προέλθωμεν, ἀγαπητοὶ, Θεὸν τὸν ἀεὶ βοηθὸν ἐπικαλούμενοι τὴν αὐτὴν ἡμῶν ποιήσασθαι ἐπιμέ-

Nunc ab hac septenum capitum ac multiplici sed mortua jam hydra digressi, reliquas ad hæreses, o charissimi, transeamus. Sed Dei in primis auxilium imploremus, ut eamdem nobis iisque, qui

[1] Scr. Ῥασίν. [2] Exod. xv, 1. [3] Isa. viii, 6, 7. [4] Joan. ix, 6. [5] ibid. 7. [6] ibid. 22.

Digitized by Google

hanc nostram lucubrationem legere voluerint, curam ac providentiam adhibeat, ut et qui morsibus appetiti sunt persanentur, et qui nondum in illam calamitatem inciderint, ad eam cavendam instruantur.

λειαν, καὶ τῶν βουλομένων τούτῳ τῷ πονήματι ἐντυγχάνειν, εἰς ἴασιν τῶν δεδειγμένων [1], καὶ εἰς διόρθωσιν τῶν μὴ ἐν κακοῖς ἤδη ἐξεπασθέντων.

[1] Cor. δεδηγμένων. At Reg. τῶνδε τῶν δηγμάτων.

ΤΑΔΕ ΕΝΕΣΤΙ ΚΑΙ ΕΝ ΤΩ ΠΡΩΤΩ ΤΟΜΩ

ΤΟΥ ΤΡΙΤΟΥ ΒΙΒΛΙΟΥ

Ἔκτου δὲ ὄντος τόμου, καθ' ὃν ἀριθμὸν προείπομεν· ἐν ᾧ εἰσιν αἱρέσεις ἑπτὰ σὺν τοῖς σχίσμασιν οὕτως.

---

808 INDICULUS HÆRESEON QUÆ IN HOC PRIMO TOMO LIBRI III

CONTINENTUR,

cui est ex instituto tomorum ordine VI, in quo hæreses septem, adnumeratis et schismatibus.

Audianorum proprie schisma ac defectio, non hæresis est. Horum bene instituta vivendi ratio est. Sed neque, quod ad fidem attinet, ab Ecclesia catholica dissentiunt. Habitant majori ex parte in monasteriis. Apocryphis libris et multis et ad fastidium abutuntur. Communes nobiscum orationes non habent; nam episcopos nostros, necnon et divites, aliosque condemnant. Quin etiam Pascha privatim eodem quo Judæi tempore celebrant. Est et quiddam peculiare ipsis, quod defendunt summa contentione. Quippe quod *ad imaginem* scriptum est, durius interpretantur.

Photiniani. Photinus iste Sirmio oriundus ad hodiernum usque tempus oberrabat. Qui quidem eadem cum Paulo Samosateno sentit. Nonnulla sunt tamen, in quibus ab eodem dissidet. Idem e Maria Christum initium penitus accepisse putat.

Marcelliani. Horum Marcellus auctor exstitit, Ancyræ in Galatia episcopus, qui, cum initio pro Sabelliano communi fama traductus esset, seipsum etiam scripto sæpenumero purgasset, a plerisque tamen creditum est, ad easdem ipsum opiniones adhærescere. Fieri potest ut vel ipse mutata sententia meliorem ad mentem sese revocaverit, vel ejus discipuli. Nam pro utrisque orthodoxi quidam sese defensores interposuerunt.

Semiariani. Christum illi creaturam esse dicunt, sed cavillando tamen negant cæterarum creaturarum esse similem; **809** sed Filium, inquiunt, illum dicimus; verum ne ex generatione ipsa ulla in Patrem affectio derivetur, eumdem creatum confitemur. Iidem et Spiritum sanctum omnino creaturam esse definiunt; cumque ὁμοούσιον, id est *consubstantialem*, repudient, ὁμοιοούσιον, hoc est substantia similem, admittunt. Quod ipsum tamen quidam ex illis respuunt.

Αὐδιανῶν ἀφηνιασμὸς καὶ σχίσμα, οὐ μέντοι αἵρεσις. Οὗτοι μὲν διαγωγὴν καὶ βίον εὖ τεταγμένον κέκτηνται· εἰσὶ δὲ κατὰ πάντα τὴν πίστιν ἔχοντες, ὡς ἡ καθολικὴ Ἐκκλησία. Μοναστήρια δὲ οἱ πλείους κατοικοῦσι. Κέχρηνται δὲ καὶ ἀποκρύφοις πολλοῖς κατακόρως. Οὐ συνεύχονται δὲ ἡμῖν, ψέγοντες τοὺς παρ' ἡμῖν ἐπισκόπους, πλουσίους, καὶ ἄλλους· ἀλλὰ καὶ διὰ τὸ Πάσχα ποιεῖν ἰδιαζόντως, ὅτε οἱ Ἰουδαῖοι ποιοῦσιν. Ἔχουσι δὲ καὶ ἰδιωτικόν τι καὶ φιλόνεικον, ξηρότατα τὸ *κατ' εἰκόνα* ἑρμηνεύοντες.

Φωτεινιανοί. Οὗτος ὁ Φωτεινὸς, ἀπὸ Σιρμίου ὑπάρχων, ἔτι καὶ δεῦρο περιενόστει. Ὃς τὰ αὐτὰ Παύλῳ τῷ Σαμοσατεῖ ἐφρόνησε. Κατά τι δὲ πρὸς ἐκεῖνον διαφέρονται. Καὶ αὐτοὶ καὶ ἀπὸ Μαρίας καὶ δεῦρο τὸν Χριστὸν διαβεβαιοῦνται.

Μαρκελλιανοί. Ἀπὸ Μαρκέλλου τοῦ ἀπὸ Ἀγκύρας τῆς Γαλατίας. Οὗτος, ἐν ἀρχῇ παραπλησίως Σαβελλίῳ φρονήσας, διεφημίσθη. Εἰς ἀπολογίας δὲ πολλάκις ἐλθὼν, καὶ ἐγγράφως ἀπολογησάμενος, παρὰ πολλῶν τοῖς αὐτοῖς ἐμμένειν κατηγορήθη. Ἴσως δὲ μεταγνοὺς τάχα ἑαυτὸν διωρθώσατο, ἢ οἱ αὐτοῦ μαθηταί. Ὑπὲρ αὐτοῦ γὰρ ἢ ὑπὲρ τῶν αὐτοῦ μαθητῶν ὀρθόδοξοί τινες μέσως ὑπεραπελογοῦντο.

Ἡμιάρειοι. Οἱ Χριστὸν μὲν κτίσμα ὁμολογοῦντες, εἰρωνείᾳ δὲ κτίσμα αὐτὸν φάσκοντες, ἀλλ' οὐχ ὡς ἓν τῶν κτισμάτων· ἀλλὰ, φασὶν, Υἱὸν λέγομεν· διὰ δὲ τὸ μὴ πάθος προσάψαι τῷ Πατρὶ διὰ τοῦ γεγενηκέναι, κτιστὸν αὐτὸν λέγομεν. Ὡσαύτως καὶ περὶ τοῦ Πνεύματος τοῦ ἁγίου, κτίσμα παντελῶς ὁρίζονται, παρεκβάλλοντες Υἱοῦ τὸ *ὁμοούσιον*, *ὁμοούσιον* δὲ θέλουσι λέγειν. Ἄλλοι δὲ ἐξ αὐτῶν καὶ τὸ ὁμοιοούσιον παρεξέβαλον.

Digitized by Google

Πνευματομάχοι. Οὗτοι περὶ μὲν Χριστοῦ καλῶς ἔχουσι, τὸ Πνεῦμα τὸ ἅγιον βλασφημοῦσι, κτιστὸν αὐτὸ ὁριζόμενοι, καὶ οὐκ ὂν ἐκ τῆς θεότητος, μᾶλλον δὲ καταχρηστικῶς διὰ ἐνέργειαν κεκτίσθαι, ἁγιαστικὴν αὐτὸ δύναμιν φάσκοντες εἶναι μόνον.

Ἀεριανοί. Οὗτος Ἀέριος ἀπὸ Πόντου ὁρμᾶται. Ἔτι δὲ δεῦρο περίεστι πειρασμὸς τῷ βίῳ. Πρεσβύτερος οὗτος ἦν τοῦ ἐπισκόπου τοῦ Εὐσταθίου ἐν Ἀρειανοῖς διαβληθέντος· καὶ ἐπειδὴ αὐτὸς Ἀέριος οὐ κατεστάθη ἐπίσκοπος, πολλὰ κατὰ τῆς Ἐκκλησίας ἐδογμάτισε, τῇ μὲν πίστει ὢν Ἀρειανὸς τελειότατος, περιττότερον δὲ δογματίζει. Μὴ δεῖν φησι προσφέρειν ὑπὲρ τῶν προκεκοιμημένων. Νηστεύειν δὲ τετράδα καὶ προσάββατον καὶ Τεσσαρακοστὴν καὶ Πάσχα κωλύει· ἀποταξίαν κηρύσσει. Σαρκοφαγίαις δὲ παντοίαις κέχρηται καὶ τρυφαῖς ἀδεῶς. Εἰ δέ τις τῶν αὐτοῦ βούλοιτο νηστεύειν, μὴ ἐν ἡμέραις τεταγμέναις φησὶν, ἀλλ' ὅτε βούλεται. Οὐ γὰρ εἶ ὑπὸ νόμον. Φάσκει δὲ μηδὲ εἶναι διαφορώτερον ἐπίσκοπον πρεσβυτέρου.

Ἀετιανοί. Οἱ ἀπὸ Ἀετίου τοῦ Κίλικος, διακόνου γενομένου ὑπὸ Γεωργίου τοῦ τῶν Ἀρειανῶν ἐπισκόπου τῆς Ἀλεξανδρείας, οἱ καὶ Ἀνόμοιοι καλούμενοι, παρά τισι δὲ Εὐνομιανοὶ δι' Εὐνόμιόν τινα μαθητὴν τοῦ Ἀετίου γενόμενον ἔτι περιόντα. Σὺν αὐτοῖς δὲ ἦν καὶ Εὐδόξιος· ἀλλὰ δῆθεν διὰ τὸν πρὸς τὸν βασιλέα τὸν Κωνστάντιον φόβον ἀφώρισεν ἑαυτὸν, καὶ μᾶλλον τὸν Ἀέτιον ἐξώρισεν. Ἔμεινε δὲ Εὐδόξιος ἀρειανίζων, οὐ μέντοι γε κατὰ τὸν Ἀέτιον. Οὗτοι Ἀνόμοιοι, οἱ καὶ Ἀετιανοί, οἱ παντάπασι Χριστὸν καὶ τὸ ἅγιον Πνεῦμα ἀπαλλοτριοῦσι Θεοῦ, κτιστὸν αὐτὸν διαβεβαιούμενοι, καὶ οὐδὲ ὁμοιότητά τινα ἔχειν λέγουσιν. Ἐκ συλλογισμῶν γὰρ καὶ Ἀριστοτελικῶν καὶ γεωμετρικῶν τὸν Θεὸν παριστᾷν βούλονται, καὶ Χριστὸν δῆθεν μὴ δύνασθαι εἶναι ἐκ Θεοῦ διὰ τοιούτων. Οἱ δὲ ἀπ' αὐτοῦ Εὐνομιανοὶ [1] καλούμενοι ἀναβαπτίζουσι πάντας τοὺς πρὸς αὐτοὺς ἐρχομένους, οὐ μόνον [2], ἀλλὰ καὶ τοὺς ἀπὸ Ἀρειανῶν, κατὰ κεφαλῆς ἄνω τοὺς πόδας στρέφοντες τῶν βαπτιζομένων, ὡς πολὺς φέρεται λόγος. Τὸ δὲ σφαλῆναι ἔν τινι πορνείᾳ ἢ ἑτέρᾳ ἁμαρτίᾳ οὐδὲν εἶναί φασιν· οὐδὲν γὰρ ζητεῖ Θεὸς ἀλλὰ τὸ εἶναι ἐν ταύτῃ μόνῃ τῇ αὐτῶν νομιζομένῃ πίστει.

Αὗται τέ εἰσιν ὁμοίως καὶ τοῦ τρίτου βιβλίου, ἕκτου δὲ ὄντος τόμου κατὰ τὴν ἀκολουθίαν, αἱρέσεις ἑπτά.

Pneumatomachi. De Christo isti non male sentiunt; sed in Spiritum sanctum contumelias jaciunt, cum et creatum asseverent, et a divinitate rejiciant: imo vero abusione quadam vocis propter actionem ipsam creatum esse dicant; nec aliud esse quidquam, præter vim sanctificandi.

Aeriani. Aerius e Ponto oriundus hodieque magna humani generis calamitate superest. Fuerat olim Eustathii episcopi, qui Ariani erroris insimulatus est, presbyter; qui quod episcopus creatus non esset, multa adversus catholicam Ecclesiam dogmata commentus est, ac, quod ad fidem attinet, germanus Arii sectator est. Sed amplius quiddam profitetur: oblationes pro mortuis non esse faciendas; jejunia quartæ feriæ, et Parasceves, ac Quadragesimæ, necnon et Paschatis interdicit; rerum omnium renuntiationem prædicat; carnium ac deliciarum ad vitam omne genus adhibet. Quod si quis sectatorum suorum jejunare velit, definitis hoc diebus facere prohibet, sed quando libuerit. Neque enim, inquit, legi subjectus es. Episcopum docet nihilo præstantiorem esse presbytero.

Aetiani. Hujus hæresis Aetius quidam inventor exstitit, genere Cilix, qui a Georgio Arianorum episcopo diaconus ordinatus est. Anomœos illos appellant; alii Eunomianos, ab Eunomio quodam Aetii discipulo, qui hoc tempore superest. Earumdem partium erat et Eudoxius; sed Constantii imperatoris metu ab illis se segregans Aetium solum relegari passus est, quanquam in Ariano dogmate perseveravit, sed Aetium minime secutus est. Porro Anomœi, sive Aetiani Christum, et Spiritum sanctum a Deo funditus alienum esse prædicant, quos creatos esse, neque quidquam habere similitudinis asserunt. Quippe syllogismis quibusdam Aristotelicis ac geometricis Dei naturam explicare student; iisdemque probare Christum a Deo oriri **810** non posse. Eunomiani vero ab ipso profecti omnes, qui ad se veniunt, iterato baptizant, non Catholicos solum, sed vel Arianos ipsos; idque eo modo, ut pedibus in cœlum conversis in caput illos intingant, quod de illis percrebuit. Stuprum, aut aliud quodlibet peccatum nihil esse dictitant; neque enim Deum aliud quærere, quam ut in ea sola, quam ipsi prædicant, fide perseveretur.

Hæ sunt hæreses illæ septem, quas sextus iste libri tertii tomus complectitur.

[1] In Reg. Εὐγενιανοί. [2] Deest ὀρθοδόξους.

Digitized by Google

ΤΟΜΟΣ ΠΡΩΤΟΣ ΤΟΥ ΤΡΙΤΟΥ ΒΙΒΛΙΟΥ.

LIBRI III TOMUS I.

811 DE SCHISMATE AUDIANORUM,

Quæ est hæresis L, sive LXX.

I. Audiani, sive Odiani, in cœtum quemdam conventumque collecti, in monasteriis habitant et ab hominum consuetudine separati, partim in solitudinibus, partim prope oppida, aut in suburbanis degunt; aut ubicunque mansiones suas sive cœnobia collocarint. Hujus sectæ conditor fuit Audius sub Arii tempora, quando adversus hunc collecta episcoporum synodus est, a quibus est ille damnatus. Sed Audius e Mesopotamia oriundus domi clarus in primis fuit, propter et vitæ integritatem et divinæ fidei zelum et ardorem. Qui cum sæpe nonnulla videret, quæ in Ecclesiis perperam geruntur, episcopos ac presbyteros coram increpare ac redarguere non verebatur et identidem monere: Non debent hæc isto modo fieri; non ita hæc administrare convenit. Hæc, tanquam veritatis amans, ac **812** cætera id genus usurpare solebat, quæ exquisitæ probitatis hominibus familiaria sunt, qui ob egregium pietatis studium summam in loquendo libertatem adhibent. Quare cum nonnulla, sicut dixi, male in Ecclesiis geri cerneret, nonnunquam quæ sentiret loqui, ac redarguere cogebatur, nec omnino tacere poterat. Velut si quem e clericis pecuniarum plus æquo cupidum videret, episcopum, aut presbyterum, aut alium quempiam, qui ecclesiasticis ordinibus censentur, exprobrare non dubitabat; aut si quispiam luxu ac deliciis diffluceret, sive ullam ecclesiastici dogmatis, ac disciplinæ partem adulterando corrumperet, patienti nequaquam ferens animo, verbis, uti dixi, castigabat. Quod quidem dissolutioris vitæ hominibus molestum erat, unde maximas propterea contumelias sustinuit, infestis omnium vocibus et odiis exagitatus. At ille jactatus hoc modo, et pulsatus, atque ignominia affectus, æquo animo tolerabat, atque ita diu in Ecclesiæ communione perstitit, donec vehementius offensi quidam ob eas causas hominem exturbant. Qui nihilominus ista sustinens, sed ad veritatem perferendam acrius intentus, studebat interim ab Ecclesiæ catholicæ conjunctione ac societate minime divelli. Verum cum ipse cum suis vapularet, et indigna pateretur, his malis ingemiscens, ex harum calamitatum, ac contumeliarum violentia consilium cepit. Quare seipsum ab Ecclesia segregavit; atque ita pluribus cum illo desciscentibus, novum ab eo divortium conflatum. Neque vero ulla in re ab recta fide discedit, sed ipse cum suis sinceram in omnibus religionem tenuit. Quanquam est quiddam perexiguum, in quo paulo pervicacius conflictantur.

A ΠΕΡΙ ΤΟΥ ΣΧΙΣΜΑΤΟΣ ΤΩΝ ΑΥΔΙΑΝΩΝ,

Πεντηκοστὴ, ἡ καὶ ἑπτακοστή.

Α'. Αὐδιανοὶ, εἴτουν Ὠδιανοὶ, τάγμα εἰσίν. Οὗτοι δὲ ἐν μοναστηρίοις τὴν κατοίκησιν κέκτηνται ἀναχωροῦντες, τάγμα ὄντες ἐν ἐρημίαις τε καὶ πλησιαίτερον πόλεων, ἐν προαστείοις τε καὶ ὅποι τὰς ἑαυτῶν μονὰς ἤτοι μάνδρας ἔχουσιν. Οὗτος ὁ Αὔδιος τούτων ἀρχηγὸς γεγένηται ἐν χρόνοις Ἀρείου, ὁπηνίκα συνεκροτήθη κατὰ Ἀρείου ἡ σύνοδος τῶν αὐτὸν καθελόντων. Ἦν δὲ ὁ ἀνὴρ ἀπὸ τῆς Μέσης τῶν ποταμῶν ὁρμώμενος, διαφανής τις κατὰ τὴν ἑαυτοῦ πατρίδα διὰ τὸ ἀκραιφνὲς τοῦ βίου, καὶ κατὰ Θεὸν ζῆλου, καὶ πίστεως· ὅς, πολλάκις θεώμενος τὰ ἐν ταῖς Ἐκκλησίαις γενόμενα, εἰς πρόσωπον ἐπισκόπων τε καὶ B πρεσβυτέρων ἐλεγκτικῶς ἀντετίθει τοῖς τοιούτοις λέγων· Οὐ χρὴ ταῦτα οὕτως γενέσθαι· οὐκ ὀφείλει ταῦτα οὕτως πράττεσθαι· ὡς ἀνὴρ ἀληθεύων, καὶ ὁποῖα φιλεῖ ὑπὸ τῶν φιλαλήθως ἐλευθεροστομούντων ἀνδρῶν, τῶν μάλιστα τὸν βίον ἀκρότατα βιούντων. Διὸ τοιαῦτα ὁρῶν, ὡς προεῖπον, ἐν ταῖς Ἐκκλησίαις, λαλεῖν ἠναγκάζετο πρὸς ἔλεγχον, καὶ οὐκ ἐσώπα. Εἴ τινα γὰρ εἶδε τῶν φιλοχρηματούντων τοῦ κλήρου, ἢ ἐπίσκοπον, ἢ πρεσβύτερον, ἢ ἕτερόν τινα τοῦ κανόνος, πάντως ἐφθέγγετο. Καὶ εἰ ἑώρα τινὰ ἐν τρυφῇ καὶ σπαταλῇ, ἢ τινα παραχαράττοντα τὰ ἐν τῷ ἐκκλησιαστικῷ κηρύγματι καὶ θεσμῷ τῆς Ἐκκλησίας, μὴ φέρων ὁ ἀνὴρ, προεβάλλετο, ὡς ἔφην, τὸν λόγον. Καὶ ἦν τοῦτο τοῖς μὴ τὸν βίον δεδοκιμασμένον ἔχουσιν ἐπαχθές. Ὑβρίζετο δὲ ἕνεκεν τούτου, καὶ ἀντε- C λέγετο, ἐμισεῖτο, ἔφερε κλυδωνιζόμενός τε καὶ ὠθούμενος, καὶ ἀτιμαζόμενος, ἕως χρόνου ἱκανοῦ ἐν ταῖς Ἐκκλησίαις συναγόμενος· ἕως ὅτε δεινῶς ἐνέγκαντές τινες ἐξεσῦσι τὸν ἄνδρα διὰ τὴν τοιαύτην αἰτίαν. Ὁ δὲ οὐκ ἠνείχετο, ἀλλ' ἐβιάζετο μᾶλλον ἀλήθειαν μὲν λέγειν, μὴ ἀναχωρεῖν δὲ τοῦ συνδέσμου τῆς μιᾶς ἑνώσεως τῆς ἁγίας καθολικῆς Ἐκκλησίας. Ὡς δὲ ἐτύπτετο αὐτός τε καὶ οἱ ἅμα αὐτῷ πολλάκις, τὰ δεινά τε ἔπασχε, βαρυστονήσας, σύμβουλον λαμβάνει ἑαυτοῦ τὴν ἀνάγκην τῶν ὕβρεων. Ἑαυτὸν γὰρ ἀφορίζει τῆς Ἐκκλησίας, πολλοί τε ἅμα αὐτῷ ἀφηνιάζουσι· καὶ οὕτως τὴν διαίρεσιν εἰργάσατο, οὔ τι ἔχων παρηλλαγμένον τῆς πίστεως, ἀλλ' ὀρθότατα μὲν πιστεύων αὐτός τε καὶ οἱ ἅμα αὐτῷ· εἰ καὶ χρὴ τὰ μάλιστα λέγειν ἐν μικρῷ τινι αὐτὸν φιλονείκως φέρεσθαί τε καὶ τοὺς ἅμα αὐτῷ. D

Digitized by Google

Μετὰ γὰρ τοῦ ὁμολογεῖν περὶ Πατρὸς καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος θαυμαστῶς, ὡς ἔχει ἡ καθολικὴ Ἐκκλησία, ὀρθοδοξότατά τε φυλάττειν, τά τε ἄλλα πάντα τοῦ βίου θαυμαστά. Ταῖς γὰρ ἰδίαις χερσὶν ἐργαζόμενος, αὐτός τε καὶ οἱ ὑπ' αὐτὸν ἐπίσκοποί τε καὶ οἱ πρεσβύτεροι, καὶ οἱ λοιποὶ πάντες διατρέφονται. Ὕστερον δὲ μετὰ τὸ ἐξωσθῆναι τῆς Ἐκκλησίας, ἀπὸ ἄλλου ἐπισκόπου, τὰ αὐτὰ συζητοῦντος καὶ ἀναχωρήσαντος τῆς Ἐκκλησίας, χειροτονεῖται οὗτος ἐπίσκοπος, περὶ οὗ [1] ἐπελαβόμην λέγειν, ἐπειδήπερ ἐν παρεκβάσει γεγένημαι, αὖθις ἐπαναλαβὼν διέξειμι τὴν ὑφήγησιν· φημὶ δὲ περὶ τῆς ὡς ἐπὶ τὸ σκληρότατον καὶ ἰδιωτικὸν, καὶ φιλόνεικον τῆς παρ' αὐτῷ φερομένης λέξεως ἀπὸ τῆς θείας Γραφῆς. Τὸ γὰρ *κατ' εἰκόνα* οὗτος καὶ οἱ μετ' αὐτοῦ, ὅπερ ὁ Θεὸς δεδώρηται τῷ Ἀδὰμ, ἀποκρότως βούλεται ὁρίζειν εἶναι τοῦτο πληρούμενον κατὰ τὸ σῶμα· ἀπὸ τοῦ δηθὲν λεγομένου ῥητοῦ τοῦ, *Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν*. Καὶ εἶτα ἐπιφέρει λέγων ὁ θεῖος λόγος, ὅτι καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς. Ἐπειδὴ, φησὶν, εἶπεν ἄνθρωπον ἀπὸ τῆς γῆς, ὅρα, ὅτι ἀληθέστατα ὅλον τὸ χοϊκὸν εἶπεν ἄνθρωπον, ἅρα τε αὐτὸ τὸ χοϊκὸν προέλεγεν ἔσεσθαι κατ' εἰκόνα Θεοῦ. Καί ἐστι τοῦτο ἀπόκροτον, ὡς ἔφην, καὶ ἰδιωτικὸν, τὸ ὁρίζεσθαι ἄνθρωπον ἐν ποίῳ μέρει τέτακται τοῦ ἀνθρώπου τὸ κατ' εἰκόνα· εἰ χρὴ ὅλως μέρος λέγειν διὰ τὰ πολλὰ τὰ ἀντιπίπτοντα τῇ τῶν ἀνθρώπων ἐννοίᾳ κατὰ τὸ ῥῆμα τοῦτο, καὶ ἔχοντα ζητημάτων πληθύν. Ἢ γὰρ ποιήσωμεν τὸν Θεὸν ὁρατόν τε καὶ σωματικὸν, εἴπερ ἐν σώματι τὸ κατ' εἰκόνα πληροῦται σωματικῶς, καὶ ἐσχηματισμένως, ἢ ἄνθρωπον τῷ Θεῷ ἐξισούμενον τοῦτο φάσκοντες. Διὸ οὐ χρὴ πάντως ὁρίζειν ἢ διισχυρίζεσθαι, ἐν ποίῳ μέρει τὸ κατ' εἰκόνα πληροῦται, ἀλλ' ὁμολογεῖν μὲν τὸ κατ' εἰκόνα εἶναι ἐν τῷ ἀνθρώπῳ, ἵνα μὴ τὴν χάριν τοῦ Θεοῦ ἀθετήσωμεν καὶ ἀπιστήσωμεν Θεῷ. Ὅσα μὲν γὰρ λέγει ὁ Θεὸς, ταῦτα ἀληθῆ τυγχάνει, εἰ καὶ ἐξέφυγε τὴν ἡμῶν ἔννοιαν ἐν ὀλίγοις λόγοις. Ἀρνήσασθαι οὖν τοῦτο τὸ κατ' εἰκόνα οὐ πιστὸν, οὔτε τῆς ἁγίας τοῦ Θεοῦ Ἐκκλησίας. Ἔτι γὰρ πᾶς ἄνθρωπος σαφῶς κατ' εἰκόνα, καὶ οὐδεὶς τῶν ἐχόντων εἰς Θεὸν τὴν ἐλπίδα ἀρνήσεται· εἰ μὴ ἄν τινες ἑαυτοῖς μύθους πλάσσωσιν ἐκβαλλόμενοι τῆς Ἐκκλησίας καὶ τῆς τῶν πατέρων ἐκ προφητῶν τε καὶ νόμου καὶ ἀποστόλων καὶ εὐαγγελιστῶν παραδόσεως.

II. Ergo et de Patre, Filio ac Spiritu sancto præclare et ex Ecclesiæ catholicæ præscripto sentiunt; nec transversum ab eo unguem deflectunt; et est reliquum vitæ illis institutum sane quam egregium et admirandum, adeo ut non ipse modo, sed et qui illi adhæserunt episcopi, presbyteri ac reliqui omnes de manuum suarum labore victitent. Posteaquam vero ab Ecclesia pulsus est, ab episcopo quodam, qui ob easdem contentiones ab Ecclesia recesserat, episcopus ordinatus est. Verum ut ab hoc diverticulo ad illud tractandum me referam, quod eram aggressus, sciendum est quamdam illos Scripturæ vocem duriore quodam et imperitiore modo, et vero pertinacius interpretari. **313** Nam quod *ad imaginem* Dei creatus Adamus dicitur; præfracte illi referendum ad corpus existimant. Cum enim scriptum sit: *Faciamus hominem ad imaginem nostram et similitudinem* [2], statim illud subjicitur, Deum sumpto de terra pulvere hominem fabricasse [3]. Cum igitur hominem de terra formatum asserat, vides totum illud e terra conflatum verissime hominem vocari. Ex quo sequitur de terreno illo prædictum, fore ut ad imaginem Dei conderetur. Verum est illud, uti dixi, paulo durius, ac simplicius, definire hominem audere, quanam in hominis parte sit imaginis illa constituta ratio; si tamen appellatione partis utendum est, eo quod plerique, quod ad hanc vocem attinet, hominum intelligentiæ refragari videntur, ac variis quæstionibus implicari. Nam aut aspectabilem Deum faciemus ac corporeum, si in corpore nostro corporea perinde ratione ac figura istiusmodi imaginem collocandam putemus. Aut cum Deo hominem adæquabimus, si hæc asserere velimus. Quare non est ullo modo definiendum aut affirmandum, quanam in parte imago illa consistat. Sed inesse quidem in homine omnino fatendum est, ne divinum beneficium tollamus e medio ac Dei auctoritati diffidamus. Quæcunque enim ille dicit, plane vera sunt, tametsi nonnullæ sententiæ sint, quæ aciem nostræ mentis effugiant. Quocirca negare omnino ad imaginem Dei expressum hominem, a fide catholica et Ecclesia Dei alienum est. Siquidem homines omnes ad illius imaginem conditi sunt; nec ullus qui quidem in Deum sperat inficiari istud potest, nisi si qui forte sint, qui sibi fabulas confingant, et tam ab Ecclesia quam ab ea doctrina sint exclusi, quæ a majoribus nostris ex prophetarum, legis, apostolorum et evangelistarum est auctoritate tradita.

Γ'. Ὥστε οὖν ἐκεῖνοι, φιλονεικότερον ἐν τούτῳ διακείμενοι, ἐκτὸς καὶ αὐτοὶ βαίνουσι τῆς κατὰ τὴν ἐκκλησιαστικὴν ὑπόθεσιν παραδόσεως, τῆς πιστευούσης κατ' εἰκόνα μὲν εἶναι πάντα ἄνθρωπον, μὴ ὁρίζειν δὲ ἐν ποίῳ τέτακται τὸ κατ' εἰκόνα, μήτε ἐχόντων τῶν μυθωδῶς περὶ τούτων διαλαμβανόντων, εἶτ' οὖν ἀρνουμένων, δεῖξαι. Οἱ μὲν γὰρ λέγουσιν ἐν τῇ ψυχῇ πληροῦσθαι τὸ κατ' εἰκόνα, νομίζοντες τὸ κατὰ τὴν σάρκα μόνον συλλογίσασθαι δύνασθαι·

III. Unde cum in hac parte majore, quam par sit, contentionis studio ducantur, ab ecclesiastica traditione ac doctrina recedunt. Quæ cum omnes homines Dei ad imaginem creatos esse fateatur, nullam tamen partem definit, in qua istiusmodi imaginis ratio collocanda videatur. Sed nec isti, ea de re fabulose aliquid asserunt aut negant, demonstrare quidpiam possunt. Etenim nonnulli, quod de imagine dicitur, anima ipsa circumscribunt; id

[1] F. περὶ δὲ οὗ. [2] Gen. I, 26. [3] Gen. II, 7.

Digitized by Google

nnum rati, quod carne concretum est, ratiocinari posse. **814** Nec illud intelligunt, animam ipsam esse, quæ ratiocinetur; si quidem attendendæ ratiocinationes istæ sunt, et non potius sincera ac simplici mente ad Deum oportet accedere, et quæ ab eo dicta sunt, pro certissimis credere, tametsi ab eo solo cognita sint, cui omnis est explorata veritas: aliis placet nec in anima nec in corpore esse sitam imaginem, sed sola virtute contineri: alii non virtutem, sed baptismum, et quæ in eo confertur, gratiam esse statuunt. Quam illis sententiam dictum illud Apostoli persuasit: *Quemadmodum portavimus imaginem terreni, portemus imaginem et cælestis* [1]. Sunt qui hac opinione rejecta ita sentiant: Olim quidem in Adamo divinam illam imaginem exstitisse, donec in peccatum lapsus arboris fructu vesceretur, atque a paradisi finibus exterminaretur; posteaquam vero pulsus est, tum omnem illam imaginem periisse. Magna est omnino in confingendis fabulis hominum ejusmodi licentia. Quibus ne ad horam quidem cedere oportet [2]; et quidem non istis modo, sed nec illis, qui hoc aut illo pacto sentiunt: ita porro credendum est imaginem in homine reperiri, ut in toto maxime nec simpliciter resideat.

A καὶ οὐκ ἴσασιν οἱ τοιοῦτοι, ὅτι τὸ κατὰ ψυχὴν συλλογίζεται, εἰ χρὴ συλλογισμοῖς προσέχειν, καὶ μὴ ἁπλῶς ἁπλῇ τῇ διανοίᾳ Θεῷ προσιέναι, καὶ πιστεύειν, ὅτι τὰ ὑπὸ Θεοῦ εἰρημένα ἐστὶν ἀλήθεια, αὐτῷ δὲ μόνῳ ἐγνωσμένα τῷ τὴν πᾶσαν ἀλήθειαν εἰδότι. Ἄλλοι δὲ λέγουσιν οὔτε ἐν ψυχῇ, οὔτε ἐν σώματι, ἀλλὰ ἀρετὴν εἶναι τὸ κατ' εἰκόνα· ἕτεροι δὲ φάσκουσι μὴ εἶναι τὴν ἀρετὴν, ἀλλὰ τὸ βάπτισμα καὶ τὸ χάρισμα τὸ ἐν τῷ βαπτίσματι, ὅθεν ἐκ τοῦ ῥητοῦ τοῦ εἰρημένου· *Καθὼς ἐφορέσαμεν τὴν εἰκόνα τοῦ χοϊκοῦ, φορέσωμεν καὶ τὴν εἰκόνα τοῦ ἐπουρανίου*· ἄλλοι δὲ πάλιν τοῦτο οὐ βούλονται, ἀλλὰ θέλουσι λέγειν τότε μὲν εἶναι τὸ κατ' εἰκόνα ἐν τῷ Ἀδάμ, ἕως ὅτε ἐν παρακοῇ γέγονε, καὶ βέβρωκεν ἀπὸ τοῦ ξύλου, καὶ ἐξεώσθη· ἀφ' οὗ δὲ ἐξεώσθη, B ἀπώλεσε τὸ κατ' εἰκόνα. Καὶ πολλή τις ἐστὶ τῶν ἀνθρώπων μυθοποιία· οἷς οὐ χρὴ οὐδὲ πρὸς ὥραν εἴξαι, οὔτε τούτοις, οὔτε ἐκείνοις τοῖς οὕτως ἢ οὕτω λέγουσιν· ἀλλ' εἶναι μὲν πιστεύειν ἐν τῷ ἀνθρώπῳ τὸ κατ' εἰκόνα, ἐν παντὶ δὲ μάλιστα, καὶ οὐχ ἁπλῶς.

Cæterum ubinam illa maxime sit et qua parte compleatur, quod dictum est, ad imaginem, Deus novit, qui singulari hoc imaginis suæ beneficio hominum genus afficere voluit. Neque vero hanc ille perdidisse putandus est, tametsi sine ullo rerum discrimine gravissimis se sceleribus inquinans, divinæ illud imaginis decus vile abjectumque reddiderit. Quippe post C Adamum ita Deus Noemum alloquitur: *Ecce dedi tibi omnia tanquam olera agri; macta et comede. Carnem cum animæ sanguine ne comedas, quoniam ego requiram animas vestras. Quicunque effuderit sanguinem hominis in terra, pro hujus sanguine illius sanguis effundetur; eo quod ad imaginem Dei hominem fecerim: et ego requiram sanguinem vestrum ab eo omni quod effuderit ipsum super faciem terræ* [3]. Vides ut in homine, post decimam ab Adamo generationem, imago Dei constituatur? Quin etiam David longo postea tempore ex sancti Spiritus afflatu cecinit: *Universa vanitas omnis homo vivens* [4]. Secundum quem Apostolus: *Vir comam alere non debet*, inquit, *cum sit imago et gloria Dei* [5]. Sed et post illum Jacobus de lingua disputans: *Malum* D *est*, inquit, *intractabile, plena veneno mortifero.* **815** *In ipsa benedicimus Deum et Patrem; et in ipsa maledicimus hominibus, qui ad imaginem Dei facti sunt. Non oportet hæc ita fieri, fratres mei* [6]. Ex quibus apparet eorum vanam esse rationem qui Adamum Dei imaginem amisisse prædicant.

Ποῦ δέ ἐστιν, ἢ ποῦ πεπλήρωται τὸ κατ' εἰκόνα, αὐτῷ μόνῳ ἔγνωσται τῷ Θεῷ, κατὰ χάριν τῷ ἀνθρώπῳ δωρησαμένῳ τὸ κατ' εἰκόνα. Οὔτε γὰρ ἀπώλεσεν ὁ ἄνθρωπος τὸ κατ' εἰκόνα· ἀλλ' εἰ ἄρα ἐχυδαίωσε τὸ κατ' εἰκόνα, μολύνας ἑαυτὸν ἐν ἀδιαφόροις πράγμασι καὶ ἀνηκέστοις ἁμαρτίαις. Ἰδοὺ γὰρ μετὰ τὸν Ἀδὰμ τῷ Νῶε λέγει· *Ἰδοὺ δέδωκά σοι πάντα ὡς λάχανα ἀγροῦ· θῦσον, καὶ φάγε. Μὴ φάγε σάρκα ἐν αἵματι ψυχῆς· ὅτι ἐγὼ ἐκζητήσω τὰς ψυχάς ὑμῶν. Πᾶς ὁ ἐκχέων αἷμα ἀνθρώπου ἐπὶ τῆς γῆς, ἀντὶ τοῦ αἵματος αὐτοῦ ἐκχυθήσεται τὸ αἷμα αὐτοῦ· ὅτι ἐν εἰκόνι Θεοῦ ἐποίησα τὸν ἄνθρωπον· καὶ ἐγὼ ἐκζητήσω τὸ αἷμα ὑμῶν ἐκ παντὸς τοῦ ἐκχέοντος αὐτὸ ἐπὶ πρόσωπον τῆς γῆς.* Καὶ ὁρᾷς, ὅτι ἐν τῷ ἀνθρώπῳ λέγεται τὸ κατ' εἰκόνα μετὰ δεκάτην γενεὰν τοῦ τὸν Ἀδὰμ πλασθῆναι; Ἅμα δὲ καὶ Δαβὶδ μετὰ πολὺν χρόνον λέγει Πνεύματι ἁγίῳ· *Τὰ σύμπαντα ματαιότης πᾶς ἄνθρωπος ζῶν.* Ἀλλὰ καὶ καθεξῆς μετὰ τοῦτον ὁ Ἀπόστολός φησιν· *Ἀνὴρ οὐκ ὀφείλει κομᾶν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων.* Ἀλλὰ καὶ μετὰ τοῦτον Ἰάκωβος φάσκει, λέγων περὶ τῆς γλώσσης, ὅτι *Ἀκατάσχετον κακόν, μεστὴ ἰοῦ θανατηφόρου. Ἐν αὐτῇ εὐλογοῦμεν τὸν Θεὸν καὶ Πατέρα, καὶ ἐν αὐτῇ καταρώμεθα τοὺς ἀνθρώπους, τοὺς κατ' εἰκόνα Θεοῦ γεγονότας. Οὐ χρὴ ταῦτα οὕτως γίνεσθαι, ἀδελφοί μου.* Καὶ ὅρα, ὅτι ἐξέπεσεν ὁ λόγος τῶν λεγόντων τὸν Ἀδὰμ τὸ κατ' εἰκόνα ἀπολωλεκέναι.

IV. Quibus vero placuit in anima positam esse imaginem, hunc in modum ratiocinantur ac sese defendunt: quod et aspectabilis minime sit perinde ac Deus est; quod agendi, movendi, intelligendi

Δ'. Τῶν δὲ πάλιν λεγόντων, τὴν ψυχὴν εἶναι τὸ κατ' εἰκόνα, ὁ λόγος ἐστὶ τοιόσδε καὶ ἡ ἀπολογία Ὅτι, φησὶν, ἔστιν ἀόρατος, ὡς ὁ Θεός ἐστιν ἀόρατος· ἐνεργητική ἐστι, κινητική ἐστι, διανοητική ἐστι, λο-

[1] I Cor. xv, 49 [2] Gal. II, 5. [3] Gen. IX, 3 sqq. [4] Psal. XXXVI, 6. [5] I Cor. XI, 14. [6] Jac. III, 8 sqq.

Digitized by Google

γιστική ἐστι· καὶ τούτου ἕνεκα αὐτή ἐστι τὸ κατ' εἰκόνα, ἐπειδὴ Θεὸν ἐπὶ γῆς μιμεῖται, κινοῦσά τε καὶ πράττουσα, καὶ τἆλλα ποιοῦσα, ὅσαπερ κατὰ τὸ λογιστικὸν πράττει ὁ ἄνθρωπος. Εὑρίσκονται δὲ καὶ οὗτοι συλλογιζόμενοι. Καὶ γὰρ εἰ διὰ ταῦτα καλεῖται κατ' εἰκόνα ψυχή, οὐκέτι δύναται εἶναι κατ' εἰκόνα. Ὁ γὰρ Θεὸς ἐπέκεινα μυριονταπλάσιον παρὰ τὴν ψυχὴν, καὶ ἔτι περιττότερόν ἐστιν ἀκατάληπτος καὶ ἀπερινόητος, πάντα εἰδὼς, τὰ προόντα καὶ τὰ παρόντα, καὶ ὁρώμενα καὶ τὰ μὴ ὁρώμενα, πέρατα γῆς, καὶ πυθμένας ἀβύσσου, ἄκρα οὐρανῶν, καὶ πάντα τὰ ὄντα, αὐτὸς περιέχων τὰ πάντα, ὑπ' οὐδενὸς δὲ περιεχόμενος. Ἡ δὲ ψυχὴ περιέχεται μὲν ἐν σώματι, ἀγνοεῖ δὲ ἀβύσσου τοὺς πυθμένας, καὶ ἐπίσταται τὸ εὖρος τῆς γῆς, τέρματα τῆς οἰκουμένης ἀγνοεῖ, ἄκρα οὐρανῶν οὐ κατείληφε, πόσα μέλλει ἔσεσθαι, ἢ πότε γίνεται, πόσα τε πρὸ αὐτῆς γεγένηται. Καὶ πολλά ἐστι περὶ αὐτῆς καὶ τῶν τοιούτων λέγειν. Ἅμα δὲ καὶ μερισμοὺς ἔχει· Θεὸς δὲ ἀμέριστός ἐστι. Φησὶ γὰρ ὁ Ἀπόστολος· *Ζῶν γὰρ ὁ λόγος τοῦ Θεοῦ καὶ ἐνεργὴς, καὶ τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ διικνούμενος μέχρι μερισμοῦ ψυχῆς καὶ πνευμάτων· καὶ κριτικὸς ἐνθυμήσεων καὶ ἐννοιῶν. Καὶ οὐκ ἔστι κτίσις ἀφανὴς ἐνώπιον αὐτοῦ*, καὶ τὰ ἑξῆς. Καὶ ὁρᾷς, ὅτι διέπεσε καὶ τούτων ὁ λόγος.

A ac ratiocinandi ubi prædita sit : ideo hæc imaginem complectitur ; quod movendo, agendo ac reliqua omnia præstando, quæ ratione ab hominibus geruntur, Deum in terris imitetur. Sed isti manifeste ad syllogismos confugiunt. Nam si propterea ad imaginem anima facta dicitur, ad imaginem dici omnino non potest. Deus enim infinitis præ anima partibus, eoque amplius, comprehensionem omnem ac cogitationem effugit, utpote cui prospecta sunt omnia tam præterita quam præsentia, tam quæ videntur, quam quæ videri nequeunt, terræ fines, profundæ voraginis ima, cœlestium orbium summa, quidquid denique uspiam est. Ipse enim cum omnia comprehendit, tum a nullo comprehenditur. Econtrario vero anima corpore continetur, B abyssi fundum ignorat, terræ latitudinem atque orbis habitabilis limites nescit ; cœlorum summa non assequitur, neque quid futurum sit, aut quando futurum, aut quæ ante se jam exstiterint cognoscit. Ad hæc plura alia tam de illa quam de cæteris id genus commemorare possumus. Præterea cum Deus divisionis omnis expers sit, anima ipsa dividitur ; quod his verbis Apostolus indicat : *Vivus est enim sermo Dei, et efficax, et penetrabilior omni gladio ancipiti, et pertingens usque ad divisionem animæ et medullarum ; et discretator cogitationum, et intentionum cordis. Neque est creatura occulta coram ipso* [1], etc. Ex quibus omnibus illorum opinio refellitur.

Ε'. Καὶ τῶν [πάλιν] λεγόντων τὸ σῶμα εἶναι κατ' εἰκόνα διαπίπτει πάλιν ὁ λόγος. Πῶς γὰρ δυνατὸν εἶναι τὸ ὁρατὸν τῷ ἀοράτῳ παραπλήσιον ; πῶς τὸ σωματικὸν τῷ ἀσωμάτῳ· πῶς τὸ ἀφὴν ἔχον τῷ ἀκαταλήπτῳ ; Ὁρῶμεν γὰρ ἡμεῖς ἀπὸ τῶν ἔμπροσθεν οἷς ἔχομεν ὀφθαλμοῖς, τὰ κατόπιν δὲ ἀγνοοῦμεν. Ἐν Θεῷ δὲ οὐ πάθος, οὐκ ἐλάττωμα, μὴ γένοιτο ! ἀλλὰ παντα χόθεν ἐστὶ φῶς, πανταχόθεν ὀφθαλμὸς, πανταχόθεν ὄξα. Πνεῦμα ὢν ὁ Θεὸς, καὶ πνεῦμα ὑπὲρ πνεῦμα, καὶ φῶς ὑπὲρ πᾶν φῶς. Πάντα γὰρ τὰ ὑπ' αὐτοῦ γενόμενα ὑποδέδηκε τὴν αὐτοῦ δόξαν. Μόνη δὲ ἡ Τριὰς ἐν ἀκαταληψίᾳ καὶ ἐν δόξῃ ἀνεικάστῳ καὶ ἀκαταλήπτῳ. Τῶν δὲ πάλιν λεγόντων τὴν ἀρετὴν εἶναι κατ' εἰκόνα, ἀρετὴ δὲ ἄνευ φυλακῆς ἐνταλμάτων οὐ δύναται εἶναι. Πολλοὶ δὲ ἐν ἀρετῇ διαφερέστεροι ἀλλήλων. Ἀρετῆς γάρ ἐστιν εἴδη πολλά. Οἴδαμεν γὰρ αὐτοὶ καὶ τινας ἀπὸ ὁμολογητῶν ὑπάρχοντας, οἵτινες ἑαυτῶν τὸ σῶμα δεδώκασι καὶ τὴν ψυχὴν ὑπὲρ τοῦ ἑαυτῶν Δεσπότου ἐν ὁμολογίᾳ καὶ ἁγνείᾳ διατελέσαντες, πίστιν τε ἀληθεστάτην ἐκτήσαντο, εὐσεβείᾳ διενηνόχασι, φιλανθρωπίᾳ καὶ εὐλαβείᾳ, ἐν νηστείαις τε διῆξαν, καὶ ἐν πάσῃ ἀγαθότητι, καὶ ἐν ἀρετῆς τεκμηρίοις. Συμβέβηκε δὲ αὐτοὺς ἔχειν ἐλάττωμα, ἤτοι λοιδόρους, ἤτοι ὀμνύντας ἐν ὀνόματι Θεοῦ, ἢ εἶναι μυθώδεις, ἢ ἀγαναχτικοὺς, ἢ βίον κεκτῆσθαι χρυσοῦ καὶ ἀργύρου, καὶ ἄλλων, ἅτινα ἐλλιπῆ ποιεῖται τῆς ἀρετῆς τὰ μέτρα. Τί οὖν εἴπωμεν ; Τὸ μὲν κατ' εἰκόνα διὰ τὴν ἀρετὴν ἐκτήσαντο, διὰ δὲ τὰ ὀλίγα ἀνθρώπινα τῶν ἐλαττω-

A τούτων· ὃς καὶ δεῦρο ὑπάρχει ἐν τῇ ἰδίᾳ πατρίδι τίμιος ἀνὴρ καὶ ἐπιπόθητος, μάλιστα δι' ὧν νυνὶ ἐνηχούμεθα κατωρθωκέναι, καὶ ἀφ' ὧν νυνὶ οἱ ὑπ' αὐτὸν ἐν Ἀντιοχείᾳ ὁμολογοῦσιν, οὐκέτι ὅλως οὔτε ἐν παραδρομῇ μεμνημένοι κτίσματος ὀνόματος, ἀλλ' ὁμοούσιον ὁμολογοῦντες Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα, τρεῖς ὑποστάσεις, μίαν οὐσίαν, μίαν θεότητα· καθώς ἐστιν ἡ ἀληθινὴ πίστις, ἣ ἀπὸ τῶν ἀνέκαθεν, προφητική τε καὶ εὐαγγελικὴ, καὶ ἀποστολική· ἣν ὡμολόγησαν οἱ συνελθόντες Πατέρες ἡμῶν καὶ ἐπίσκοποι ἐν τῇ Νικαίᾳ συνόδῳ ἐπὶ Κωνσταντίνου τοῦ μεγάλου καὶ μακαριωτάτου βασιλέως. Γένοιτο δὲ καὶ αὐτὸν τὸν τιμιώτατον Μελέτιον οὕτως ὁμολογεῖν κατὰ τοὺς ὑπ' αὐτὸν ὄντας ἐν τῇ Ἀντιοχείᾳ καὶ ἐν ἄλλοις τισὶ τόποις οὕτως ὁμολο-

B γοῦντας! Εἰσὶ γὰρ καί τινες τῶν δοκούντων αὐτῷ κοινωνεῖν, καὶ τῇ κατ' αὐτὸν συνόδῳ βλασφημοῦντες τὸ Πνεῦμα τὸ ἅγιον· καὶ περὶ μὲν Υἱοῦ καλῶς λέγοντες, τὸ δὲ Πνεῦμα κτιστὸν ἡγούμενοι, καὶ ἀλλότριον Θεοῦ παντάπασι. Περὶ ὧν ὕστερον ἐν τῇ κατ' αὐτοὺς ἀνατροπῇ τῆς αἱρέσεως τὰ πάντα ἀκριβῶς κατὰ δύναμιν λέξομεν.

ΛΕ'. Τίμιος οὖν ὁ ἀνὴρ ἡμῖν, ὡς ἔφην, διὰ τὰς τοιαύτας περὶ αὐτοῦ φήμας ὑπάρχει. Καὶ γὰρ καὶ τἄλλα αὐτοῦ βίος σεμνὸς, τρόπος ἀγαθὸς, εἰς πάντα τοῖς λαοῖς ἐπιπόθητος διὰ τὸν βίον αὐτοῦ παρὰ πᾶσιν ἐκθειαζόμενον. Τινὲς δὲ καὶ περὶ τούτου οὐκ

C οἶδα λέγειν, ἢ μίσει φερόμενοι, ἢ φθόνῳ, ἢ τὰ ἑαυτῶν μεγαλύνειν βουλόμενοι, τινὰ ὑφηγήσαντο, ὡς ὅτι οὐχ ἕνεκεν ὀρθοδοξίας ἡ κατ' αὐτοῦ γέγονε κίνησις, ἀλλ' ἕνεκεν, φασὶ, κανονικῶν πραγμάτων, καὶ τῆς ἀναμέσον αὐτοῦ καὶ τοῦ αὐτοῦ ἱερατείου ἐρεσχελίας· καὶ ὅτι τινὰς ἐδέξατο, οὓς πάλαι ἀπεβάλετο καὶ ἀνεθεμάτισεν. Ἀλλ' οὐ πάνυ ταῦτα κατὰ νοῦν ἐθήκαμεν, διὰ τὸ μάλιστα ἐσύστερον ἐν τῇ κατ' αὐτὸν συνόδῳ ὀσημέραι διορθούμενα, καὶ ὁμολογούμενα ἐν τῇ πίστει, ὡς ἄνω μοι προδεδήλωται. Δεῖ γὰρ κατὰ τὸ μέρος τοῦτο ἀληθεύειν ὅση δύναμις, κατὰ τὸ ἀσθενὲς τὸ ἡμέτερον ἐν πᾶσι. Θέλεις γὰρ παρῆλθε τὸν ἄνδρα ἐν τῷ ῥοίζῳ τῆς τῶν λόγων ἐξηγήσεως, οὐκ ἔχω λέγειν· θέλεις κατὰ ἀφέλειαν ἀπ' αὐτοῦ ὁ λόγος παρῄχθη, Θεῷ ἔγνωσται. Πλὴν ἐν ἑνὶ μέρει (6ᵡ)

D ἐπιλήψιμοι δύο ἢ τρεῖς λόγοι ἐν τῇ αὐτῇ ἐξηγήσει εὑρίσκονται, ἐν τῷ ὅλως περὶ κτίσματος περὶ Υἱοῦ τοῦ Θεοῦ λαμβάνειν ἐν τῇ αὐτοῦ θεότητι, κἀν ἕως ὀνόματος· καὶ ἐν τῇ τῷ εἰπεῖν, ὅτι *Ὑπὲρ σοφίαν, καὶ εἴ τι ἕτερον.*

ΛΣ'. Ὀλίγα δὲ πρὸς τὰ ὑπ' αὐτῶν ὑποβληθέντα διηγησάμενοι, καὶ ταύτην παρελευσόμεθα τὴν ὑφήγησιν. Λέγετε ἡμῖν, ὦ οὗτοι, τί ἐλύπει λέγειν τὸ

tempore fuerit exsilium. De Meletio vero, ac triplici Antiochenæ Ecclesiæ divortio eosdem rerum ecclesiasticarum scriptores consule.

(6ᵡ) *Πλὴν ἐν ἑνὶ μέρει.* Non propterea damnandus est Meletius, quod locum illum ex Proverb. cap. VIII: Ὁ Θεὸς ἔκτισέ με, etc., de increata Sapientia, ac Dei Verbo interpretatus fuerit. Hoc enim plerique Patres fecerunt: ut Ignatius Martyr *Epist. ad Trall.*, Athanas. *De Decretis Nicænæ synodi*, et alii complures.

Digitized by Google

[ὁμοιούσιον] ὁμοούσιον, Σαφῶς ἡμῖν ὁμολογήσατε, ἵνα καὶ ὑμᾶς ἐπιγνῶμεν ἰδίους ὄντας, καὶ μὴ ἀλλοτρίους. Δύναται γὰρ καὶ ὁμοιούσιον εἶναι πρὸς χρυσὸν χαλκὸς, πρὸς ἄργυρον κασσίτερος, πρὸς σίδηρον ὁ μόλιβδος. Ἀλλ' οὐκ ἀπατήσει ἡμᾶς ἡ ὑμῶν ἐπιτετηδευμένη καὶ τετορνευμένη μυθοπλαστία. Εἰ μὲν γάρ τινας βουλόμενοι ἀπατῆσαι βούλεσθε προφάσεις ψευδεῖς λέγοντες, ὅτι οὐ χρὴ λέγειν τὸ ὁμοούσιον, ἵνα μὴ συναλοιφὴν ποιήσωμεν τὸν Υἱὸν πρὸς Πατέρα, ἢ τὸ Πνεῦμα πρὸς τὸν Υἱὸν καὶ Πατέρα, καὶ ἐν τούτῳ διέπεσεν ὑμῶν ὁ ἐπιτετηδευμένος λόγος. Οὐ γὰρ εἴπομεν *ὁμαούσιον*, ἀλλ' *ὁμοούσιον*· ἵνα μηδὲν τοῦ Πατρὸς παρηλλαγμένον ὁμολογήσωμεν, ἀλλὰ Θεὸν ὄντως ἐκ Θεοῦ γεγεννημένον, καὶ οὐκ ἀλλαχόθεν, οὐδὲ ἐξ οὐκ ὄντων, ἀλλὰ Πατρὸς προελθόντα ἀχρόνως καὶ ἀνάρχως, καὶ ἀνεκδιηγήτως γεγεννημένον, ἀεὶ ὄντα πρὸς τὸν Πατέρα, καὶ μηδέποτε διαλείποντα τοῦ εἶναι, ἀλλὰ γεγεννημένον, οὐ συνάδελφον, οὐ προπάτορα. Τὸ γὰρ, *ὁμοῦ*, δύο μὲν ὑποστάσεών ἐστι σημαντικὸν, οὐκ ἀλλοτρίων τῇ φύσει· διὸ ὁ σύνδεσμος τῆς ἀληθείας ἐν τούτῳ ἐκ τοῦ Πνεύματος τοῦ ἁγίου ᾠκονόμηται, ἐν στόματι τῶν τοῦτο ἐκθεμένων. Καὶ ὁρᾷς, ὅτι οὐκ ἔσται σοι πρόφασις, οὐδὲ δύνασαι κατὰ τῆς ὀρθοδοξίας λέγειν καὶ πτύρειν τοὺς παρὰ σοῦ τὴν ἀκοὴν τοῦ παραπεποιημένου σου λόγου παραδεχομένους· ὅτι, Ἐάν τις εἴπῃ τὸ ὁμοούσιον, συναλοιφὴν ὡμολόγησεν. Οὐκέτι γὰρ ἔσται τοῦτο. Ἀπὸ γὰρ τοῦ, ὁμοούσιον, σημανθήσεται δύο, καὶ ἀπὸ τοῦ, ὁμοουσίου, δηλωθήσεται οὐκ ἀλλότριον τὸ γέννημα πρὸς τὸν Πατέρα ὑπάρχον. Σὺ δὲ, ἐπιπλασάμενος τὸ, ὁμοιούσιον, διὰ μὲν τοῦ ὀνόματος τῆς οὐσίας ἐλεγχθήσῃ, διὰ δὲ τῆς παρηλλαγμένης ὁμολογίας κατακριθήσῃ, οὐχ ἃ λέγεις φρονῶν, ἀλλ' ἃ φρονεῖς παραπεποιημένως διδάσκων· εἰ γὰρ ὅλως οὐκ ἔστιν ἐξ αὐτοῦ, ὅμοιος δὲ αὐτῷ ἐστι, πολὺ ἀφέστηκας τῆς ἀληθείας. Ὁποίαις γὰρ ὕλαις τὸν ἐκτυπούμενον εἴ τις ἂν θέλοι διακοσμήσειν [1], οὐκ ἂν ἴσον τῷ ἐκτυπουμένῳ κατασκευάσειε. Καὶ γὰρ καὶ κατασκευῆς τὸ ἔργον. Τὸ δὲ γεννώμενον ἐκ τοῦ τινος, ἐκεῖνο πρὸς τὸ γένος τὸ ὅμοιον καὶ τὸ ἴσον τῆς γνησιότητος ἀποσώζει εἶδος. Εἰ τοίνυν οὐκ ἐξ αὐτοῦ γεγέννηται τοῦ Πατρὸς ὁ Υἱὸς, ἐκτὸς δὲ αὐτοῦ εἴη, ὁμοιούσιος δὲ παρὰ σοὶ κατὰ χάριν λεχθήσεται, οὐδὲν αὐτῷ δέδωκας, ἀλλ' ἐξέπεσας τῆς παρ' αὐτοῦ χάριτος. *Ὁ γὰρ μὴ τιμῶν τὸν Υἱὸν ὡς τιμᾷ τὸν Πατέρα, ἡ ὀργὴ τοῦ Θεοῦ μένει ἐπ' αὐτὸν*, ὁ ἅγιος ἀπόστολός φησι· καὶ πάλιν· *Ἐγὼ ἐκ τοῦ Πατρὸς ἐξῆλθον, καὶ ἥκω*· ὁ φήσας· *Ἐγὼ ἐν τῷ Πατρὶ, ὁ Πατὴρ ἐν ἐμοί*· ὁ λέγων· *Φίλιππε, ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα.*

pere molestum vobis est ac grave, Filium Patri consubstantialem asserere? Velim hoc mihi ingenue aperteque fateamini, ut vos non alienos a nobis, sed germanos esse cognoscamus. Potest enim et æs auro, et argento stannum, et ferro plumbum similis esse substantiæ. Sed nos vestra illa perperam excogitata ac fraudulenter conficta commenta non fallent. Nam si, ut in errorem aliquos impellatis, inanes species commentitiasque quæritis, et consubstantialem propterea vocari non oportere defenditis, ne Filium cum Patre, et Spiritum sanctum cum utroque confundamus, **884** ne hac quidem in parte possunt mendacia vestra consistere. Non enim *simulsubstantialem*, sed *consubstantialem* dicimus ; ne aliquid diversum a Patre profiteamur, sed Deum ex Deo vere genitum, non aliunde, nec ex nihilo, sed a Patre sine tempore et initio, et inexplicabili quadam ratione productum ac genitum ; qui semper cum Patre fuerit, nec esse quandoque desinat : genitum porro, non germanum fratrem, non avum. Nam hæc particula, *con*, hypostases duas, nec alienas natura significat. Unde et veritatis velut nexus ac vinculum, non sine sancti Spiritus afflatu, per illorum ora, qui primi auctores fuerunt, est in ea voce constitutum. Vides igitur nullum jam tibi colorem aut speciem esse reliquam, neque adversus orthodoxam fidem merito posse contendere, vel eos perturbare qui falsum illud tuum a te decretum ac sermonem acceperint : si quis consubstantiale usurpare velit, confusionem quamdam in divinitate confiteri. Neque enim amplius istud objicere potes. Quippe consubstantialis illa vox duos quosdam significat, eademque haud alienam a Patre sobolem esse demonstrat. Tu vero homœousion, hoc est *substantia simile*, commentus, primum ipso usiæ, hoc est substantiæ, vocabulo refelleris ; deinde tua te illa discrepans nec consentanea professio condemnat, cum non ea dicas quæ sentias, sed quæ sentis falso ac mendaciter doceas : etenim si ab ipso Patre non est omnino Filius, sed nihilominus similis est, a veritate plurimum aberras ; nam quacunque demum ex materia quilibet expressum alicujus simulacrum ornare voluerit, nunquam illud cum exemplari ipso adæquare poterit : est enim structuræ atque effectionis opus illud. Quod autem ab aliquo gignitur, idipsum ad id, unde gignitur, germanitatis suæ similem et æqualem formam retinet. Quamobrem si ab ipso Patre non est genitus, et extra ipsum est, licet similitudinem quamdam substantiæ, velut gratificando, tribuas, nihil ipsi largiris, sed ab ejus excidisti gratia. *Qui enim non honorat Filium, sicut honorat Patrem, ira Dei manet in ipsum*, ait sanctus apostolus [2]; item : *Exivi a Patre, et vado* [3], ille ipse nimirum qui dixit : *Ego in Patre, et Pater in me* [4]. Tum illud : *Philippe, qui videt me, videt et Patrem* [5].

ΑΖ'. Πολλάκις δὲ καὶ περὶ τούτων διηγησάμενος, ἀρκετῶς ἔχειν ἐνταῦθα ἡγούμεθα τῶν αὐτῶν ἀνατροπῶν τῶν ῥηθεισῶν ἄνω πρὸς τὴν ῥίζαν τὴν ἐκ-

XXXVII. Cæterum cum hæc sint a me tractata sæpius, quæ ad impiæ hujus hæresis **885** radicem ac stirpem evertendam ante diximus, satis esse

[1] F. διακοσμήσειεν. [2] Joan. v, 23 ; III, 36. [3] Joan. XVI, 28. [4] Joan. XIV, 10. [5] Ibid. 9.

Digitized by Google

hoc loco putamus, cum eædem illæ rationes ad Semiarianos istos confutandos accommodari possint; necnon et ad illos refellendos, qui se ab istorum consortio segregarunt, Acacianos intelligo, ac cæteros qui Seleuciæ in Isauria alteram quamdam fidei brumulam et abhorrentem a veritate condiderunt, quam nos in apertum lucemque proferre volentes, ut erat ab illis ex omnium persona conscripta, post Basilii Ancyrani et Georgii Laodiceni confessionem, integram supra proposuimus. Porro ne istam professionem, quæ clanculum quidem cum ingenti damno ac pernicie grassatur, sed, ut tempori serviat, per simulationem ac fraudem, injecto in os capistro, ac velut quodam freno coercetur; ne hanc, inquam, negligens, oblivione præterisse videat, pauca quædam adversus illam, et auctores ejus, Acacium videlicet, Euzoium, Eutychium, ac cæteros horum asseclas disputare libet. Quanquam haud obscurum est, quantum ista fidei formula veritatis sit immutata professio. Verum ne per calumniam hæc a nobis adversus illos esse dicta quispiam contendat, quanam sint progressu temporis in hoc ipso illorum concilio deprehensa ac patefacta, monstrabimus. Ex hoc enim grege Cæsariensis Euzoius prodiit illorum discipulus, qui post Acacium ei sedi præfuit, cum ante Philumenus a Cyrillo Hierosolymitano in illa constitutus fuisset; ac deinde Cyrillus senior ibidem ab Eutychio collocatus; ac demum Gelasius ab Cyrillo Hierosolymitano, cujus sororis erat filius, rursus esset impositus. Cum enim hi tres illic ordinati forent, et ob mutuas simultates dignitate cessissent, postmodum Euzoius sedem illam obtinuit. Ex eisdem illis et Gemellinus exstitit. Indidem et Philippus Scythopolitanus, necnon et Athanasius Scythopolitanus. Qui quidem non occulte, sed palam et audacter, velut bonitatis omnis expertes, non Arii solum decreta docent, sed et suam ipsorum propagnant hæresin ac veritatis professores insequuntur. Quos non verbis modo nituntur everlere, sed et hostilibus inimicitiis, ac bellis lacessunt, et in rectæ fidei sectatores gladiis etiam animadvertunt. Nec enim in una duntaxat civitate, vel provincia, sed in plerisque nefarie bacchati sunt.

886 XXXVIII. Cujusmodi Lucius ille fuit, qui Alexandriæ adversus eos, qui de Dei Filio vera ac sincera profitebantur, tam horrenda et atrocia molitus est. Igitur quis istorum sodalitium, ac factionem, qui quidem divina sapientia sit præditus, non in dies agnoscit? Quemadmodum creatum esse Dei Filium, ac creatum Spiritum sanctum, ac

φύσασαν τούτων τὴν κακοδοξίαν δυναμένων καὶ ἐνταῦθα τούτους τοὺς προειρημένους Ἡμιαρείους ἀνατρέπειν, καὶ τοὺς ἀπ' αὐτῶν σχίσαντας, τοὺς περὶ Ἀκάκιον καὶ τοὺς ἄλλους τοὺς ἐκθεμένους ἐν τῇ Σελευκείᾳ τῆς Ἰσαυρίας ἑτέραν πίστιν παρὰ τὴν τῆς ἀληθείας, ἣν καὶ αὐτὴν τὴν ἐξ αὐτῶν ἐκτεθεῖσαν εἰς φανερὸν βουλόμενοι καταστῆσαι, ὁμοίως μετὰ τὴν Βασιλείου Ἀγκυρηνοῦ καὶ Γεωργίου τοῦ Λαοδικέως, ἐκ προσώπου ὅλων γεγραμμένην πᾶσαν τελείως προετάξαμεν. Ἵνα δὲ καὶ ταύτην τὴν κρυφῇ μὲν τὰ δεινὰ ἐργαζομένην, φιμὸν δὲ ἐπὶ τῷ στόματι λαβοῦσαν, ὥσπερ διὰ χαλινοῦ διὰ τὸν καιρὸν τῆς ὑποκρίσεως, μὴ ἐν δευτέρῳ θέμενος δόξω ὡς κατὰ λήθην τοῦτο πεποιηκέναι, λέξω καὶ ὀλίγα πρὸς αὐτὴν καὶ τοὺς αὐτὴν ἐκθεμένους, πρὸς τοὺς προειρημένους περὶ Ἀκάκιον, καὶ Εὐζώϊον, καὶ Εὐτύχιον, καὶ τοὺς ἄλλους. Καὶ φανερὰ μὲν ἔστιν ἡ ἔκθεσις ἡ προκειμένη, ἀλλοιώσασα τὴν ὁμολογίαν τῆς ἀληθείας· ἵνα δὲ μή τινες εἴπωσι κατὰ συκοφαντίαν πρὸς τούτους ἡμᾶς εἰρηκέναι, δείξωμεν ἃ προβαινόντων τῶν χρόνων ὤφθη καὶ φωράθη ἐν τῇ προειρημένῃ τῶν αὐτῶν συνόδῳ. Ἐξ αὐτῶν γὰρ Εὐζώϊος (69) ὁ ἐν Καισαρείᾳ, μαθητὴς ἐκείνων ὑπάρχων, εἰ καὶ τὸν Ἀκάκιον διεδέξατο μετὰ κατάστασιν Φιλουμένου τοῦ ὑπὸ Κυρίλλου τοῦ Ἱεροσολυμίτου κατασταθέντος, καὶ μετὰ κατάστασιν Κυρίλλου τοῦ γέροντος, τοῦ ἀπὸ τῶν περὶ Εὐτύχιον κατασταθέντος, καὶ μετὰ κατάστασιν Γελασίου τοῦ ὑπὸ Κυρίλλου αὖθις τοῦ Ἱεροσολυμίτου κατασταθέντος. Ἐξ ἀδελφῆς γὰρ αὐτοῦ ἐτύγχανε. Καταστασθέντων γὰρ τῶν τριῶν, καὶ ἀργησάντων διὰ τὴν πρὸς ἀλλήλους ἔριν, αὖθις ὁ προειρημένος Εὐζώϊος κατεστάθη. Ἐξ αὐτῶν οὖν καὶ Γεμελλῖνος ὑπῆρχεν· ἐξ αὐτῶν Φίλιππος ὁ Σκυθοπολίτης· ἐξ αὐτῶν Ἀθανάσιος ὁ Σκυθοπολίτης· οἵτινες οὐκ ἐν κρυφῇ, ἀλλὰ μετὰ παῤῥησίας, ὡς ἀπειραγαθήσαντες [1], οὐ μόνον τὰ Ἀρείου διδάσκουσιν, ἀλλ' ὑπερμαχοῦσι τῆς αὐτῶν αἱρέσεως, καὶ τοὺς τὴν ἀλήθειαν διδάσκοντας διώκουσιν, οὐκέτι λόγοις βουλόμενοι ἀνατρέπειν, ἀλλὰ καὶ ἐχθρίαις, καὶ πολέμοις, καὶ μαχαίραις παραδιδόντες τοὺς ὀρθῶς πιστεύοντας. Λύμην γὰρ οὐ μιᾷ πόλει καὶ χώρᾳ εἰργάσαντο, ἀλλὰ πολλαῖς.

ΛΗ'. [2] Λούκιος οὗτος, ὁ ἐν Ἀλεξανδρείᾳ τοσαῦτα ἐργασάμενος εἰς τοὺς ὁμολογοῦντας τὸν Υἱὸν τοῦ Θεοῦ ἐν ἀληθείᾳ. Ἡ δὲ αὐτῶν φατρία καθ' ἑκάστην ἡμέραν τίνι τῶν σύνεσιν Θεοῦ ἐχόντων οὐκ ἔστι δῆλη; ὡς δημοσίᾳ κηρύττουσι κτιστὸν μὲν τὸν Υἱὸν τοῦ Θεοῦ, κτιστὸν δὲ καὶ τὸ ἅγιον Πνεῦμα, καὶ ἀλλότριον παντάπασι τῆς τοῦ Θεοῦ οὐσίας. Περὶ γὰρ

[1] F. ἀνδραγαθήσαντες. [2] Deest ὥσπερ.

(69) *Ἐξ αὐτῶν γὰρ Εὐζώϊος.* Cæsariensis iste κατ' ἀντιδιαστολὴν dicitur, ut ab altero discernatur, qui cum diaconus Alexandrinæ esset Ecclesiæ, cum Ario pulsus, postea Antiochenam sedem obtinuit. At Cæsariensis Acacio succedens successorem ipse Gelasium habuit, ut Hieron. lib. *De script. eccles.* testatur. Quo in libro Euzoii insuper istius meminit, eumque scribit cum Gregorio Nazianzeno Thespesii rhetoris auditorem Cæsaræ fuisse: cujus urbis episcopatum adeptus, *plurimo labore corruptam bibliothecam Origenis et Pamphili in membranis instaurare conatus est: ad extremum sub Theodosio principe Ecclesia pulsus est.*

Digitized by Google

τὸν [1] περὶ Εὐδόξιον, ἐξότου τὸ τέλος ἀπείληφεν αἰσχρῶς ὁ Γεώργιος ἐπ' Ἀλεξανδρείας, καὶ τὰ πρωτεῖα ἐδέξατο, καὶ τὰ φίλα πρὸς τὴν κατ' ἐξοχὴν οὖσαν ἐξουσίαν. Εὐδόξιος οὖν ἀπὸ [2] τῶν περὶ Ὑπάτιον καὶ Εὐνόμιον ἔδοξε διά τινα θωπείαν ὡς ἐλεγχόμενος, οὐ διέλειπε τὰ μὲν τῶν Ἀνομοίων φρονῶν, ἐπικρυβόμενος δὲ, οὓς ἐξώρισάν ποτε διὰ τὴν τοιαύτην τοῦ βαράθρου ἐξήγησιν, αὐτὸς εἰς προκοπὴν ἀγαγὼν Δημόφιλον, Ὑπάτιον, Εὐνόμιον, τοὺς Ἀετίου μαθητάς, τοῦ ἐξορισθέντος ποτὲ εἰς τὰ τοῦ Ταύρου μέρη, τοῦ ὑπὸ Γεωργίου τοῦ Ἀλεξανδρέως (70) κατασταθέντος διακόνου· ἐξ οὗπερ ἡ τῶν Ἀνομοίων ἐφύη ῥίζα, μιᾶς μὲν ἀκανθώδους οὔσης καὶ τῆς αὐτῆς ῥίζης, διαφόρως δέ, ὡς ἐπὶ ἑκάστης ἀκάνθης τὰ σχίσματα, οὕτω καὶ ἡ τούτων κακόνοια ἄλλως ἄλλοτε καὶ ἄλλοτε ἄλλως τὰ παρερμηνεύματα τῆς κακοδόξου αἱρέσεως ἐπὶ τὸ χεῖρον προκόπτοντα τὴν λύμην τῷ βίῳ ἐξήμεσε, καὶ ὡς ὕστερον περὶ τούτου τοῦ Ἀνομοίου πάλιν ἐροῦμεν. Τὰ δὲ νῦν ἕως ὧδε καλῶς ἔχειν νομίσαντες, καὶ ὥσπερ ἑρπετὸν δεινὸν ἀνατρέψαντες, καὶ παρασάμενοι, ἀνετρέψαμεν μὲν, καὶ πατήσαντες τεθνεῶτα καταλείψωμεν, καὶ παρεγκλίναντες, ἐπὶ τὰς ἑξῆς ὁρμήσωμεν, Θεὸν ἐπικαλούμενοι βοηθῆσαι ἡμῖν ὡσαύτως εἰς τὸ τὴν ἐπαγγελίαν πληρῶσαι.

A Dei substantia alienum publice prædicare non dubitent. Nam quod ad Eudoxium attinet, a quo tempore Georgius Alexandriæ turpissimum vitæ exitum sortitus est, cum principem facile locum obtinuit, tum apud eos, penes quos summum imperium est, gratia et auctoritate floruit. Eudoxius igitur ex Hypati et Eunomii grege, ut se ad tempus accommodet, convictus præsertim ac reprehensus, Anomœorum dogmata nihilominus, sed occulte ac dissimulanter retinuit, tum quos ob altissimam illam impietatis voraginem aliquando relegaverant, ad potentiam evexit, Demophilum, inquam, Hypatium, Eunomium, illius Aetii discipulos: qui a Georgio Alexandrino diaconus ordinatus in Tauro subjectam regionem deportatus est: a quo B Anomœorum origo manavit; adeo ut una quidem ac singulari ex radice, spinarum instar, hæreses illæ omnes fruticaverint; sed variis tamen modis, ut in spinarum ramis ac surculis, illorum improbitas aliis alio tempore nefariæ hæresis excogitatis interpretationibus et in deterius progressis, suum in orbem terrarum exitium ac virus effuderit, quemadmodum de hac ipsa Anomœorum secta iterum postea dicemus. Nunc autem iis quæ sunt hactenus dicta, contenti, cum velut immanem quemdam serpentem exstinxerimus ac profligaverimus, hunc nos proculcatum mortuumque relinquamus, et ad alia conversi cæteras aggrediamur hæreses, Dei ope primum omnium advocata, ut susceptum opus ad exitum perducere possimus.

ΚΑΤΑ ΠΝΕΥΜΑΤΟΜΑΧΩΝ (71),

Πεντηκοστὴ τετάρτη, ἡ καὶ ἑπτακοστὴ τετάρτη.

Α'. Ἀπὸ τούτων τῶν Ἡμιαρείων καὶ ἀπὸ ὀρθοδόξων τινὲς, ὡς εἰπεῖν, τέρας τισὶ [3] γεννηθέντες ἄνθρωποι, διφυεῖς καὶ ἡμίπλαστοι, ὡς τοὺς κενταύρους, ἢ Πᾶνας, ἢ σειρῆνας οἱ ἀναγράψαντες τοὺς μύθους, ἐπανέστησαν ἡμῖν· οἱ μὲν ἀπὸ Ἀρείου ὄντες, καὶ δῆθεν τὸν Υἱὸν οὐ τέλειον κτιστὸν ὁριζόμενοι, ἀλλ' Υἱὸν ἀχρόνως γεγεννημένον. Χρόνον δὲ ἐν ὑπονοίᾳ λέγουσι τὸν ἀπ' οὐρανοῦ καὶ δεῦρο. Οὐ μὴν ἀπηλλαγμένοι τῆς ἐν πρώτοις ἀπὸ Ἀρείου ἐξεμεθέ'σης λέξεως, τῆς φασκούσης εἶναί ποτε ὅτε οὐκ ἦν. Πρὸ χρόνων δὲ πάντων αὐτὸν εἶναι, *δι' οὗ τὰ πάντα γέγονε*, λέγοντες, βλασφημοῦσι τὸ Πνεῦμα τὸ ἅγιον. Ἄλλοι δὲ φύσει καὶ περὶ τὸν Υἱὸν ὀρθοδόξως ἔχοντες, ὅτι ἦν ἀεὶ σὺν Πατρὶ, καὶ οὐδέποτε διέλειπε τοῦ εἶναι· ἀλλ' ἐκ Πατρὸς μὲν αὐτὸν γεγεννημένον ἀνάρχως καὶ ἀχρόνως· εἰς τὸ Πνεῦμα δὲ τὸ ἅγιον πάντες οὗτοι βλασφημοῦσι, μὴ συναριθμοῦντες αὐτὸ Πατρὶ καὶ Υἱῷ ἐν τῇ θεότητι. Πολλάκις δὲ περὶ τούτου πολλὰ διελέχθημεν, καὶ ἐν ἑκάστῃ αἱρέσει τήν τε ἀληθινὴν περὶ αὐτοῦ σύστασιν, οὐ μικρῶς ὑφηγησάμεθα, ὡς σὺν Πατρὶ καὶ Υἱῷ κυριολεκτεῖται. *Πνεῦμα γὰρ Κυρίου πεπλήρωκε τὴν οἰκουμένην· τὸ Πνεῦμα τῆς ἀληθείας*, τὸ Πνεῦμα τοῦ Θεοῦ.

CONTRA PNEUMATOMACHOS,

Quæ est hæresis LIV, sive LXXIV.

C I. Ab his Semiarianis, et ab orthodoxis monstrum quoddam, ut ita dicam, **887** biformium hominum ac semiferorum contra nos excitatum est: cujusmodi centauros, aut Panas, aut sirenas fabularum nobis artifices ediderunt; alii quippe ab Ariana disciplina profecti Filium non absolutam videlicet creaturam esse definiunt, sed sine tempore esse genitum. Tempus autem illud in sua opinione statuunt, quod a cœlo condito ad hodiernum usque diem efflluxit. Sed a priore illa sententia, quam Arius evomuit, nequaquam recedunt: fuisse nimirum tempus, cum nondum esset Filius. Porro cum temporibus omnibus anteriorem illum esse docent, *per quem omnia facta sunt* [4], tum de D Spiritu sancto contumeliose garriunt. Alii vero cum de Filio recte et ex fidei catholicæ præscripto sentiant, ac semper cum Patre fuisse, nec unquam esse desiisse putent, adeoque sine ullo initio ac tempore a Patre esse prolectum: nihilominus tamen, quam alii omnes in Spiritum sanctum contumeliosi sunt, quem cum Patre et Filio in commemoranda divinitate non numerant. Nos autem eadem de re persæpe disputavimus, et in singulis refu-

[1] F. τῶν. [2] F. οὖν ἀπό. Sed hæc corrupta. [3] F. τεράστιον. [4] Joan. I, 3.

(70) Τοῦ ὑπὸ Γεωργίου τοῦ Ἀλεξανδρέως. Socrates l. II, c. 28, et Sozom. l. IV, c. 11, Aetium scribunt a Leontio Evirato Antiochiæ diaconum ordinatum: quod et Suidas ac Nicephorus sequitur.

(71) *Κατὰ Πνευματομάχων*. De Pneumatomachis eorumque principe Macedonio agit Socrates lib. II, cap. 35 Sozom. lib. IV, cap 49.

Digitized by Google

tandis hæresibus certissimis id rationibus non mediocri diligentia probatum reliquimus : videlicet Spiritum sanctum cum Patre et Filio Dominum appellari. *Spiritus enim Domini replevit orbem terrarum* [1] : *Spiritus ille veritatis* [2] ac Dei. Spiritus enim Domini dicitur, et a Patre procedens [3], et a Filio accipiens [4], ac singulis varie dona distribuens [5], prout libet [6], Dei quoque profunda scrutans [7], cum Patre exsistens et Filio, baptizans, obsignans, obsignatumque perficiens. Verum ne eumdem laborem iterum hoc loco repetam, quæ in magna illa disputatione, quam de fide in Pamphyliam scripsi, olim a me disputata sunt, hic proponam, quo et contumeliosos illos in Spiritum sanctum hæreticos refellam, et lectores instituam, et iis qui Spiritum sanctum obtinuerunt, voluptatem ac lætitiam afferam. Ea porro sunt ejusmodi.

A Πνεῦμα γὰρ Κυρίου λέγεται, καὶ ἐκ Πατρὸς ἐκπορευόμενον, καὶ τὸ Υἱοῦ λαμβάνον, χαριζόμενόν τε τὰ χαρίσματα διαφόρως, ὡς βούλεται, ἐρευνῶν καὶ τὰ βάθη τοῦ Θεοῦ, σὺν Πατρὶ καὶ Υἱῷ ὄν, βαπτίζον, σφραγίζον, τελειοῦν τὸν ἐσφραγισμένον. Ἵνα δὲ μὴ ἐνταῦθα κάματον ἀναδέξωμαι, τὰ ἤδη μοι εἰρημένα ἐν τῷ μεγάλῳ λόγῳ τῷ περὶ πίστεως γραφέντι εἰς τὰ μέρη τῆς Παμφύλων παραθήσομαι, πρὸς ἀντίθεσιν μὲν τῶν βλασφημούντων τὸ ἅγιον Πνεῦμα, εἰς διδασκαλίαν δὲ τῶν ἐντυγχανόντων, καὶ εἰς εὐφρασίαν τῶν Πνεύματος ἁγίου καταξιουμένων. Καὶ ἔστι τάδε.

Ex Ancorato excerpta quædam.

II. *Apparuit gratia Domini nostri Jesu Christi erudiens nos, ut abnegantes impietatem et sæcularia desideria, sobrie, pie et juste vivamus in hoc sæculo, exspectantes* **888** *beatam spem et adventum gloriæ magni Dei et Salvatoris nostri Jesu Christi, qui tradidit seipsum pro nobis ut redimeret nos ab omni iniquitate, et purgaret sibi ipsi populum peculiarem, sectatorem bonorum operum* [7], *deleto per decreta sua chirographo, quod contra nos erat ac nobis adversabatur, quod e medio sublatum affixit cruci, ac principatus et potestates spolians traduxit audacter triumphans illos in semetipso* [8]. Et cum æneas fores contrivisset, ac vectes ferreos confregisset [9], vitæ postmodum lumen ostendit, manus porrigens ac viam muniens, et ad cœlum conscendendum scalas ostendens, ac paradisum denique rursus ad habitandum offerens. Hic igitur *habitavit in nobis* [10], ac legis Spiritus sancti justificationem nobis est largitus, ut tam ipsum, quam quæ sunt ipsius propria cognoscamus : quod vitæ initium ac finis est. Ergo justitiæ nobis concessa lex est, lex, inquam, fidei, lex spiritus, et a lege carnis peccati libera. Quamobrem quod ad interiorem hominem pertinet, Dei me lex delectat [11]. Est autem intra nos Christus, siquidem habitat in nobis. Sed mortuus ipse via vitæ nostra causa factus est : *Ut qui vivunt, non sibi ipsis amplius vivant, sed ei qui pro nobis mortuus est et resurrexit* [12]. Idemque vitæ principium, ac jurisjurandi, quo se ante plures annos obstrinxerat, ut ait David [13], recordatus est : *Deus enim erat in Christo mundum reconcilians sibi, sua illis delicta non imputans* [14]. Quoniam in ipso placuit omnem habitare plenitudinem, et per illum reconciliare in ipsum omnia, cum pacem crucis sanguine sanxisset [15].

Hic igitur ad temporum administrandam plenitudinem advenit, quemadmodum Abrahamo cæterisque sanctis data fides erat, ut in ipso instauraret omnia, ac velut in summam redigeret, quæ

B *Ἐκ τοῦ Ἀγκυρωτοῦ λόγος.*

Β'. Ἐπεφάνη ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ διδάσκουσα ἡμᾶς· ἵνα, ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ εὐσεβῶς καὶ δικαίως ζήσωμεν ἐν τῷ νῦν αἰῶνι, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἀνομίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων· ἐξαλείψας τὸ καθ' ἡμῶν χειρόγραφον τοῖς δόγμασιν, ὃ ἦν ὑπεναντίον ἡμῖν, ἦρκεν ἐκ μέσου προσηλώσας αὐτὸ τῷ σταυρῷ· ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, ἐδειγμάτισεν ἐν παῤῥησίᾳ θριαμβεύσας αὐτοὺς ἐν αὐτῷ· θύρας χαλκᾶς συντρίψας, καὶ μοχλοὺς σιδηροῦς συνθλάσας, τὸ φῶς αὖθις ὑπέδειξε τῆς ζωῆς, χεῖρας ὀρέγων, ὁδοποιῶν, ὑποβάθραν οὐρανῶν ὑποδεικνὺς, παράδεισον αὖθις οἰκεῖν ἀξιῶν. Τοίνυν κατῴκησεν ἐν ἡμῖν, καὶ τὸ δικαίωμα τοῦ νόμου δοὺς ἡμῖν τοῦ Πνεύματος, εἰς τὸ γνῶναι αὐτὸν, ἢ τὰ περὶ αὐτοῦ, ὅ ἐστιν ἀρχὴ καὶ τέλος ζωῆς, νόμος δικαιοσύνης γέγονεν ἡμῖν, νόμος πίστεως, νόμος πνεύματος, ἐλεύθερος ἐκ νόμου σαρκὸς ἁμαρτίας. Διὸ συνήδομαι τῷ νόμῳ τοῦ Θεοῦ κατὰ τὸν ἔσω ἄνθρωπον. Ἔσω δὲ ἡμῶν ὁ Χριστὸς, εἴπερ οἰκεῖ ἐν ἡμῖν. Ἀλλ' αὐτὸς θανὼν ὁδὸς ζωῆς ὑπὲρ ἡμῶν γέγονεν· Ἵνα οἱ ζῶντες μηκέτι ἑαυτοῖς ζῶσιν, ἀλλὰ τῷ ὑπὲρ ἡμῶν ἀποθανόντι καὶ ἀναστάντι, αἰτίῳ ζωῆς, τοῦ πρὸ πολλῶν γενεῶν ὅρκου μνησθεὶς, κατὰ τὸν Δαβίδ· Ὁ Θεὸς ἦν ἐν Χριστῷ, κόσμον καταλλάσσων ἑαυτῷ, μὴ λογιζόμενος αὐτοῖς τὰ παραπτώματα αὐτῶν. Ὅτι ἐν αὐτῷ ηὐδόκησε πᾶν τὸ πλήρωμα κατοικῆσαι, καὶ δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα εἰς αὐτὸν, εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ σταυροῦ.

Παραγέγονε τοίνυν εἰς οἰκονομίαν τοῦ πληρώματος τῶν καιρῶν, καθὼς ἐπήγγελται Ἀβραὰμ καὶ λοιποῖς ἁγίοις, ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν αὐτῷ, τά τε ἐν τοῖς οὐρανοῖς καὶ τὰ ἐπὶ τῆς γῆς· διάστασις δὲ ἦν

[1] Sap. I, 7. [2] Joan. XVI, 13. [3] Joan. XV, 26. [4] Joan. XVI, 14, 15. [5] I Cor. XII, 11. [6] I Cor. II, 10. [7] Tit. II, 11-14. [8] Coloss. II, 14, 15. [9] Psal. CVI, 16. [10] Joan. I, 14. [11] Rom. VII, 22. [12] II Cor. V, 15. [13] Psal. LXXXVIII, 4. [14] II Cor. V, 19. [15] Coloss. I, 19, 20.

Digitized by Google

καὶ ἔχθρα ἐν τῇ ἀνοχῇ τοῦ Θεοῦ· ἀποκατήλλαξε δὲ ἐν τῷ σώματι τῆς σαρκὸς αὐτοῦ, δι' αὐτοῦ ποιήσας τὰ ἀμφότερα ἕν. Ἦλθε γὰρ ἡ εἰρήνη ἡμῶν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ, τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας, ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον. Εἶναι δὲ τὰ ἔθνη σύσσωμα καὶ συμμέτοχα καὶ συγκληρονόμα τῆς ἐπαγγελίας ἐκέλευσεν εἰπών· *Δεῦτε πρός μέ, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς.* Τοίνυν ἐν ᾧ ἐγὼ ἠσθένουν διὰ τῆς σαρκὸς, ἀπεστάλη μοι ὁ Σωτὴρ ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας οἰκονομίαν τοιαύτην πληρῶν, ἵνα με δουλείας ἐξαγοράσῃ, ἵνα με φθορᾶς, ἵνα με θανάτου· καὶ *ἐγένετό μοι δικαιοσύνη, καὶ ἁγιασμὸς, καὶ ἀπολύτρωσις.* Δικαιοσύνη μὲν, διὰ πίστεως αὐτοῦ ἁμαρτίαν λύσας· ἁγιασμὸς, δι' ὕδατος καὶ πνεύματος καὶ ἐν ῥήματι αὐτοῦ ἐλευθερώσας· ἀπολύτρωσις δὲ, τὸ αἷμα αὐτοῦ λύτρον ἀμνοῦ ἀληθοῦς ὑπὲρ ἐμοῦ ἑαυτὸν παραδοὺς, ἱλαστήριον καθάρσεως κόσμου, καταλλαγῆς ἁπάντων οὐρανοῦ καὶ γῆς· μυστήριον τὸ ἀπόκρυφον πρὸ τῶν αἰώνων καὶ γενεῶν πληρῶν καιροῖς τοῖς διωρισμένοις. Ὁ αὐτὸς *μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν, εἰς τὸ γενέσθαι σύμμορφον τῆς δόξης αὐτοῦ, κατὰ τὴν ἐνέργειαν τοῦ δύνασθαι καὶ ὑποτάξαι αὐτῷ τὰ πάντα· ὅτι ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς.*

A in cœlo sunt, ac terra [1]: etenim per illam Dei patientiam dissensio quædam et inimicitia fuerat; Christus vero in corpore carneque sua in gratiam concordiamque restituit, cum per sese unum ambo fecisset. Venit enim pax nostra, et interjectum maceriæ septum, simultatem videlicet omnem, in sua carne diruit, ac præceptorum legem suis dogmatibus abolevit, ut ambos in seipso eumdem in novum hominem componeret [2]. Gentes vero in idem corpus coalescere, ac promissorum una participes et hæredes esse jussit his verbis: *Venite ad me, omnes qui laboratis et onerati estis.* **889** *ego reficiam vos* [3]. Igitur cum ego carne imbecillus essem, Servator ad me sub carnis peccati specie missus est [4], qui totum hoc negotium conficeret, ut me a B servitute, a corruptela, ut a morte redimeret: ac mihi ille *justitia, sanctificatio ac redemptio factus est* [5]. Justitia quidem, quod per fidem suam peccatum dissolvit; sanctificatio, quod per aquam, et spiritum, ac verbo suo in libertatem asseruit; redemptio denique, quod seipsum, ac veri agni sanguinem, hoc est suum, in capitis mei pretium effuderit: piaculum, quo et mundus repurgatus, et omnia cœlo terraque reconciliata sunt, dum mysterium ante sæcula ac generationes occultum constitutis temporibus implevit [6]; idem vero *transformabit corpus humilitatis nostræ; ut conforme sit gloriæ ipsius, secundum operationem, ut possit subjicere sibi omnia* [7]. *Quoniam in ipso habitat omnis plenitudo divinitatis* [8].

Γ'. Τὸ δοχεῖον τοίνυν τῆς σοφίας καὶ τῆς θεότητος C ὁ Χριστὸς μεσιτεύων, καὶ καταλλάσσων τὰ πάντα Θεῷ ἐν αὐτῷ, μὴ λογιζόμενος ἁμαρτίαν, ἀπόκρυφα μυστήρια πληρῶν, πίστει διαθήκης αὐτοῦ τῆς προεπηγγελμένης ὑπὸ τοῦ νόμου καὶ τῶν προφητῶν, Υἱὸς Θεοῦ κηρυσσόμενος, υἱὸς Δαβὶδ λεγόμενος. Ἅμφω γὰρ Θεὸς καὶ ἄνθρωπος, μεσίτης Θεοῦ καὶ ἀνθρώπων, ἀληθινὸς οἶκος Θεοῦ, ἱεράτευμα ἅγιον, Πνεύματος δοτὴρ, τοῦ ἀναγεννῶντος καὶ ἀνακαινίζοντος αὖθις τὰ πάντα τῷ Θεῷ. *Καὶ ὁ Λόγος σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν, καὶ εἴδομεν τὴν δόξαν αὐτοῦ, ὡς δόξαν Μονογενοῦς παρὰ Πατρός.* Ὁ δενδρεσι καὶ φυτοῖς συμφυσιούμενος σῶμα ἀπεργάζεται, καὶ τὸν καθ' ὁμοιότητα καρπὸν ἕκαστον· καὶ ἐν μὲν τῇ ἐλαίᾳ ἔλαιον πῖον γίνεται, προσλαμβανόμενος πρὸς αὐτῆς τὸ οὐσιῶδες· ἐν δ' ἀμπέλῳ οἶνος ἡδὺς χροΐζεται· ἐν δὲ συκῇ σῦκον γλυκαίνεται· ἐν δὲ ἑκάστῳ τῶν σπερμάτων πρὸς τὸ εἶδος αὐτοῦ αὔξει φυήν· οὕτως, οἶμαι, ὁ Λόγος τοῦ Θεοῦ ἐν Μαρίᾳ σὰρξ ἐγένετο, καὶ ἐν σπέρματι Ἀβραὰμ ἄνθρωπος εὑρίσκετο, κατὰ τὴν ἐπαγγελίαν. *Εὑρήκαμεν γὰρ Μεσσίαν, ὃν ἔγραψε Μωϋσῆς.* Ὡς δὲ Μωϋσῆς ἔφη· *Καταβήτω ὡς ὑετὸς τὸ ἀπόσταγμά μου, καὶ ὡς σταγόνες στάζουσαι ἐπὶ τῆς γῆς·* ἢ, *Καταβήτω ὡς δρόσος ἐπὶ πόκον.* Ἔριον τοίνυν δεχόμενον τὴν δρόσον αὔξει πόκου γονήν. Γῆ

III. Quocirca sapientiæ illud ac divinitatis receptaculum Christus mediator, et omnia in sese cum Deo reconcilians, neque peccatum imputans [9], ad exitum arcana mysteria perducens, testamenti sui fide, quod a lege et prophetis ostensum antea fuerat, Dei, inquam, ille Filius prædicatus, ac Davidis appellatus est filius. Si quidem utrumque Deus et homo, Dei et hominum mediator fuit [10], verum Dei domicilium, sacerdotium sanctum, Spiritus regenerantis ac Deo instaurantis omnia largitor. *Verbum enim caro factum est, et habitavit in nobis, et vidimus gloriam ejus, tanquam gloriam Unigeniti a Patre* [11]. Ut enim pluvia cum arboribus coalescens ac stirpibus, corpus efficit, et unumquemque fructum ad ejus, unde ortus est, simili- D tudinem producit, ut et in oliva, ad ejus naturam et substantiam adjunctum, pingue oleum exsistat; in vite suavissimi in vini qualitatem coloremque transeat; in ficus arbore dulcissimo ficus sapore temperetur; et in quolibet semine naturam ipsius ad consentanea cujusque formæ incrementa perducat: ita Verbum, opinor, Dei in Maria caro factum est, et in Abrahami stirpe homo ex promissi fide repertus est. *Invenimus enim*, inquit, *Messiam, quem scripsit Moyses* [12]. Idem vero Moyses: *Descendat*, inquit, *ut pluvia eloquium meum, et tanquam guttæ*

[1] Ephes. I, 10. [2] Ephes. II, 14, 15. [3] Matth. XI, 28. [4] Rom. VIII, 3. [5] I Cor. I, 30. [6] Coloss. I, 20 seq. [7] Phil. III, 21. [8] Col. II, 9. [9] II Cor. V, 19. [10] I Tim. II, 5. [11] Joan. I, 14. [12] ibid. 15.

Digitized by Google

stillantes in terram [1]. Vel : *Descendat sicut ros in vellus* [2]. Lana itaque rorem excipiens fetum auget **890** velleris. Terra velut quemdam spei cultorem, et agricolam pluviam excipiens, fructum ad maturitatem perducit, eaque perfusa ex imperio Domini naturales fruges prompte ac libenter emittit, et ab eodem rursus accipiendi majori desiderio tenetur. Sic et Maria Virgo cum ita respondisset : *Unde*, inquit, *cognoscam mihi istud adfuturum?* audiit : *Spiritus Domini in te descendet, et virtus Altissimi obumbrabit te ; ideoque et quod nascetur ex te sanctum erit, et Filius Altissimi vocabitur* [3]. Christus in angelo loquitur, et in sui ipsius formatione semetipsum Dominus effingit, *servi formam induens* [4].

Cæterum Maria Verbum Dei ad generationem velut terra pluviam haurit et attrahit : Deus vero sanctum sese fructum in mortali natura capessenda demonstrat. Ergo hic ex illa terræ instar ac velleris attrahente profectus est veræ solidæque spei fructus, et a sanctis exspectatus. Quemadmodum Elisabetha dixit : *Benedicta tu inter mulieres, et benedictus fructus ventris tui* [5]. Hoc autem omne ex humana conditione ac natura in sese transtulit Verbum illud, quod expers alioqui passionis perpeti voluit. *Hic est panis ille vivus, qui de cœlo descendit* [6], ac vitam impertiit. Hic est veræ fructus oleæ, unctionis et compositionis oleum illud, quod Moyses specie quadam adumbravit [7]. Idem vera vitis est, quam solus Pater colit [8], qui lætitiæ nobis uvam progenuit. Hic est aqua illa viva, quam sitiens homo cum biberit, non sitiet amplius; sed in ejus ventre permanet saliens in vitam æternam [9]. Ab hoc novi agricolæ propaginem capientes toto orbe sparserunt. Veteres autem cultores evulsam suapte perfidia profligarunt. Ille gentes suo cruore sanctificat; ille per Spiritum sanctum quos vocavit ad regnum cœleste perducit. Sane quicunque ipsius aguntur Spiritu [10], Deo ipsi vivunt. Quicunque vero non aguntur, morti adhuc attributi animales, vel carnales potius appellantur. Proinde carnis exstinguit opera, quæ munimentum quoddam est peccati; et membra mortis sua gratia mortificat. Idem accipere Spiritum sanctum, quo carebamus, imperat : qui me pridem enectum revocavit ad vitam : quem nisi recepero, subinde moriar. Nam absque ejus Spiritu quilibet est mortuus. *Quod si Spiritus ejus in nobis est, qui excitavit illum a mortuis, vivificabit mortalia corpora nostra* ambo in just^, **891** ut opinor, habitant, Christus ejusque Spiritus.

IV. Jam vero cum Christus a Patre profectus, Deus videlicet a Deo credatur, et Dei Spiritus a Christo, utpote qui ab utroque procedit, id quod Christus ipse testatur : *Qui a Patre procedit* [11], inquit, et : *Hic de meo accipiet* [12] : cumque Christus e Spiritu sancto natus sit : *Quod enim in ipsa est, de Spiritu sancto natum est*, ut angeli verbis utar [13] :

Καὶ Μαρία μὲν ἀνιμᾶται τὸν Λόγον εἰς σύλληψιν, ὡς ὑετὸν ἡ γῆ· ἑαυτὸν δὲ καρπὸν ἅγιον ἀποδείκνυσι, προσλαμβανόμενος θνητοῦ φύσιν. Οὗτος ἦν ἐξ αὐτῆς ἀνιμώσης, ὡς γῆ καὶ ποκάς, ὁ τῆς ἀληθοῦς ἐλπίδος καρπὸς ἁγίοις ἐν προσδοκίᾳ· καθὼς Ἐλισάβετ ἔλεγεν· *Εὐλογημένη σὺ ἐν γυναιξί, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου*· ὃ προσελάβετο ἐξ ἀνθρωπότητος, παθὼν ἀπαθὴς ὢν ὁ Λόγος. *Οὗτος ὁ ἄρτος ὁ ζῶν, ὁ καταβὰς ἐξ οὐρανοῦ*, καὶ ζωὴν διδούς. Οὗτος ὁ τῆς ἀληθοῦς ἐλαίας καρπός, τὸ ἔλαιον τῆς χρίσεως καὶ τῆς συνθέσεως, ὃν προετύπωσε Μωϋσῆς. Οὗτος ἡ ἀληθινὴ ἄμπελος, ἣν γεωργεῖ μόνος καὶ ὁ Πατήρ, βότρυν χαρᾶς γεννήσας [17] ἡμῖν. Οὗτος τὸ ὕδωρ τὸ ζῶν, ὃ διψῶν ἄνθρωπος λαβών, οὐ διψήσει πάλιν· ἀλλ' ἔστιν ἐν τῇ κοιλίᾳ αὐτοῦ ἁλλόμενον εἰς ζωὴν αἰώνιον. Ἐκ τούτου λαβόντες μετέδωκαν οἱ νέοι γεωργοὶ εἰς τὸν κόσμον· παλαιοὶ δὲ γεωργοὶ ἐξῆραν, καὶ ἔφθειραν διὰ ἀπιστίαν. Αἵματι μὲν ἑαυτοῦ ἁγιάζει τὰ ἔθνη· Πνεύματι δὲ ἀϊδίῳ [18] ἄγει τοὺς κλητοὺς εἰς οὐρανούς. Ὅσοι γοῦν Πνεύματι αὐτοῦ ἄγονται, αὐτοὶ ζῶσι Θεῷ. Ὅσοι δὲ μὴ, ἔτι θανάτῳ λελογισμένοι εἰσὶ, ψυχικοὶ ἤτοι σαρκικοὶ οὗτοι καλοῦνται. Τοίνυν ἀθετεῖ τὰ ἔργα τῆς σαρκὸς, ὀχύρωμα οὖσης ἁμαρτίας· νεκροῖ δὲ τὰ μέλη τοῦ θανάτου διὰ τῆς χάριτος αὐτοῦ. Λαβεῖν δὲ Πνεῦμα ἅγιον ὃ οὐκ εἴχομεν προστάσσει, τὸ ζωοποιοῦν ἐμὲ τὸ πάλαι τεθνηκότα· ὅπερ μὴ λαβὼν τεθνήξομαι. Δίχα γὰρ Πνεύματος αὐτοῦ πᾶς νεκρός. *Εἰ τοίνυν τὸ Πνεῦμα αὐτοῦ ἐν ἡμῖν, ὁ ἐγείρας αὐτὸν ἐκ νεκρῶν ζωοποιήσει τὰ θνητὰ σώματα ἡμῶν διὰ τοῦ ἐνοικοῦντος Πνεύματος αὐτοῦ ἐν ἡμῖν.* Ἀλλ', οἶμαι, ἀμφότερα κατοικεῖ ἐν τῷ δικαίῳ, ὁ Χριστὸς καὶ τὸ Πνεῦμα αὐτοῦ. *per inhabitantem Spiritum ejus in nobis* [11]. Verum ambo habitant, Christus ejusque Spiritus.

Δ'. Εἰ δὲ Χριστὸς ἐκ τοῦ Πατρὸς πιστεύεται Θεὸς ἐκ Θεοῦ, καὶ τὸ Πνεῦμα αὐτοῦ ἐκ τοῦ Χριστοῦ, εἰ παρ' ἀμφοτέρων, ὡς φησιν ὁ Χριστὸς, *Ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται*· καὶ, *Οὗτος ἐκ τοῦ ἐμοῦ λήψεται*· ὁ δὲ Χριστὸς ἐκ Πνεύματος ἁγίου· *Τὸ γὰρ ἐν αὐτῇ*, φησὶν, *ἐκ Πνεύματος ἁγίου*, ἀγγέλου φωνή· συνίω τὸ λυτρούμενόν με μυστήριον, πίστει,

[1] Deut. xxxii, 2. [2] Psal. lxxi, 6. [3] Luc. i, 34 sqq. [4] Philip. ii, 7. [5] Luc. i, 42. [6] Joan. vi, 51. [7] Exod. xxx, 25. [8] Joan. xv, 1. [9] Joan. iv, 13. [10] Rom. viii, 14. [11] ibid. 11. [12] Joan. xv, 26. [13] Joan. xvi, 14, 15. [14] Matth. i, 20. [15] F. τῷ δέχ. [16] F. τοῦ δέ. [17] F. γεννήσασα. [18] F. ἁγίῳ.

Digitized by Google

ἀκοῇ μόνῃ, φιλίᾳ τῇ πρὸς τὸν ἐλθόντα πρὸς ἐμέ. Ἑαυτὸν γὰρ ὁ Θεὸς γινώσκει, ἑαυτὸν Χριστὸς κηρύττει, ἑαυτὸ τὸ Πνεῦμα τὸ ἅγιον δηλοῖ τοῖς ἀξίοις. Ἐν Γραφαῖς δὲ ἁγίαις Τριὰς ἡμῖν καταγγέλλεται καὶ πιστεύεται, ἀπεριέργως, ἀφιλονείκως [1], συνθημάτων ἀκοαῖς. Ἐκ πίστεως δὲ αὐτῆς ἡ σωτηρία τῆς χάριτος· ἐκ πίστεως ἡ δικαιοσύνη χωρὶς ἔργων νόμου γέγραπται, ἐξ ἀκοῆς πίστεως τὸ Πνεῦμα τοῦ Χριστοῦ δίδοσθαι [2] τοῖς σωζομένοις. Πίστις δὲ ἡ καθόλου κηρύκων φωναῖς αὕτη σημαίνεται, ὡς ἔγωγε οἶμαι, κατηχούμενος ἐκ Γραφῶν, τρία ἅγια, τρία συνάγια, τρία ὑπαρκτὰ, τρία συνύπαρκτα, τρία ἔμμορφα, τρία σύμμορφα, τρία ἐνεργὰ, τρία συνεργὰ, τρία ἀνυπόστατα, τρία συνυπόστατα ἀλλήλοις συνόντα. Τριὰς αὕτη ἁγία καλεῖται, τρία ὄντα, μία συμφωνία, μία θεότης τῆς αὐτῆς δυνάμεως, τῆς αὐτῆς ὑποστάσεως· ὁμοία ἐξ ὁμοίου, ἰσότητα χάριτος τῆς αὐτῆς χάριτος ἐργάζεται, Πατρὸς καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος. Τὸ δὲ πῶς, αὐτοῖς ἀπολείπεται διδάσκειν. *Οὐδεὶς οἶδε τὸν Πατέρα εἰ μὴ ὁ Υἱὸς, οὐδὲ τὸν Υἱὸν, εἰ μὴ ὁ Πατὴρ, καὶ ᾧ ἐὰν ὁ Υἱὸς ἀποκαλύπτει.* Ἀποκαλύπτει δὲ διὰ Πνεύματος ἁγίου. Οὐκοῦν τρία ταῦτα ὄντα, ἢ ἐξ αὐτοῦ, ἢ παρ' αὐτοῦ, ἢ πρὸς αὐτὸν, ἑκάστῳ ἀξίως νοούμενα, καθὼς ἑαυτὰ ἀποκαλύπτει, φῶς, πῦρ, πνεῦμα, καὶ ἄλλαις, οἶμαι, ὁράσεσιν ὁμοιώσεσι, καθὼς ἄξιος ὁ διακονούμενος ἄνθρωπος. Αὐτὸς τοίνυν ὁ Θεὸς ὁ ἐν ἀρχῇ εἰπών· *Γενηθήτω φῶς, καὶ ἐγένετο φῶς*, τὸ ὁρώμενον, αὐτὸς ὁ φωτίσας ἡμᾶς τὸ φῶς ἰδεῖν τὸ ἀληθινὸν, τὸ *φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. Ἐξαπόστειλον τὸ φῶς σου, καὶ τὴν ἀλήθειάν σου*, ὁ Δαβὶδ φησιν· αὐτός ἐστιν ὁ Κύριος ὁ εἰπών· *Ἐν ταῖς ἐσχάταις ἡμέραις ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα· καὶ προφητεύσουσιν αἱ θυγατέρες αὐτῶν, καὶ οἱ νεανίσκοι αὐτῶν ὁράσεις ὄψονται· τρία πρόσωπα ἁγίας λειτουργίας δεικνὺς ἡμῖν, ὑποστάσεως ἐξ ὑποστάσεως οὔσης τρίτης.*

A mysterium illud, per quod sum redemptus, fide atque auditu duntaxat intelligo, tum amore erga illum ac benevolentia, qui ad me usque descendit. Deus enim seipsum cognoscit, Christus sese prædicat, Spiritus sanctus denique seipsum iis qui digni sunt, ostendit. Porro sacris in Litteris nuntiata nobis est, fideique nostræ proposita Trinitas, in qua nihil curiosum est, contentiosum nihil, quam ex audita tessera symboloque didici. Quippe ex ipsa fide gratiæ salus, ex fide justitia, citra legis opera, uti scriptum est [3], ex fidei, inquam, auditu iis qui salutem obtinent, Spiritus Christi conceditur. Cæterum quantum e Scripturarum disciplina judicare possum, generalis illa fides præconum vocibus declaratur ejusmodi: tria esse sancta, tria B simul sancta; tria exsistentia, tria simul exsistentia; tria forma prædita, tria eamdem formam habentia; tria efficacia, tria simul efficientia; tria subsistentia, tria simul subsistentia, et invicem conjuncta. Atque ea demum sancta Trinitas appellatur, in qua tria sunt, sed una trium consensio, singularis divinitas, ejusdem virtutis, ejusdemque substantiæ, similis e simili, qua æqualem gratiam ex eadem efficit gratia, Patris et Filii, ac Spiritus sancti. Quinam vero possit istud fieri, ipsismet illis docendum relinquitur. *Nemo*, inquit, *novit Patrem nisi Filius, neque Filium, nisi Pater, et cui Filius revelarit* [4]. Quod is per Spiritum sanctum revelat. Tria igitur ista sunt, aut ex ipso, aut ab ipso, aut C ad ipsum, quæ in unoquoque, ut par est, intelliguntur, prout seipsas personæ illæ declarant. Ita et lux, ignis, spiritus, cæterarum rerum aspectabilium nominibus appellantur, pro eo ac quilibet hominum dignus est, cui hoc officii genus impenditur. Deus igitur ille, qui initio dixit: *Fiat lux, et facta est* aspectabilis illa *lux* [5], ipse est, qui ad verum lumen intuendum nobis illuxit, *quod illuminat omnem hominem venientem in mundum* [6]. Ille ipse Dominus est, qui dixit. *In novissimis* **892** *diebus effundam de Spiritu meo in omnem carnem; et prophetabunt filiæ illorum, et adolescentes ipsorum visiones videbunt* [8]. Ac tres functionis sacræ personas nobis ostendit, cum tertia ex hypostasi procedat hypostasis.

Emitte lucem tuam, ait David [7], *et veritatem tuam.*

Ε'. Λέγω οὖν Χριστὸν διάκονον γεγενῆσθαι D *περιτομῆς ὑπὲρ ἀληθείας Θεοῦ, εἰς τὸ πληρῶσαι τὰς ἐπαγγελίας.* Συνδιακονεῖν δὲ Πνεῦμα τὸ ἅγιον παρειλήφαμεν ἐκ θείων Γραφῶν οὕτως· Ἀποστέλλεται ὁ Χριστὸς ἀπὸ Πατρὸς, ἀποστέλλεται τὸ Πνεῦμα τὸ ἅγιον· λαλεῖ ἐν ἁγίοις Χριστὸς, λαλεῖ τὸ Πνεῦμα τὸ ἅγιον· ἰᾶται Χριστὸς, ἰᾶται τὸ Πνεῦμα τὸ ἅγιον· ἁγιάζει Χριστὸς, ἁγιάζει τὸ Πνεῦμα τὸ ἅγιον· βαπτίζει Χριστὸς ἐν τῷ ὀνόματι αὐτοῦ, βαπτίζει τὸ Πνεῦμα τὸ ἅγιον. Οὕτως λέγουσιν αἱ Γραφαί· *Ἀποστελεῖς τὸ Πνεῦμά σου, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς*· ὅμοιον τῷ λέγειν· *Ἐξαποστελεῖς τὸν Λόγον σου, καὶ τήξει αὐτά. Λειτουργούντων* δὲ αὐτῶν, φησὶ, τῷ *Κυρίῳ, καὶ*

V. *Dico igitur Christum ministrum fuisse circumcisionis pro veritate Dei, ut promissa compleret* [9]. Porro Spiritum sanctum una ministrare e sacrorum Librorum auctoritate ita dicimus: Christus a Patre mittitur, mittitur et Spiritus sanctus, Christus in sanctis loquitur, loquitur et Spiritus sanctus, sanat Christus, sanat et Spiritus sanctus, sanctificat Christus, sanctificat et Spiritus sanctus, baptizat in suo nomine Christus, baptizat et Spiritus sanctus. Ad eum modum Scriptura loquitur: *Emittes Spiritum tuum, et renovabis faciem terræ* [10]. Quod item est atque istud: *Emittes Verbum tuum, et liquefaciet ea* [11]. *Ministrantibus* (inquit) *illis Domino, ac jejunantibus dixit Spiritus sanctus: Segre-*

[1] *γρ.* ἀπερίεργος, ἀφιλόνεικος. [2] Cor. δίδοται. [3] Rom. III, 20; Galat. II, 16. [4] Matth. XI, 27. [5] Gen. I, 3. [6] Joan. I, 9. [7] Psal. XLII, 3. [8] Joel II, 28. [9] Rom. XV, 8. [10] Psal. CIII, 30. [11] Psal. CXLVII, 18.

Digitized by Google

gate mihi Barnabam, et Saulum ad opus, ad quod eos vocavi [1]. Idem hoc est cum isto : *Dominus autem dicit : Ingredimini urbem, et ibi dicetur vobis, quid oporteat facere* [2]. *Illi igitur missi a Spiritu sancto abierunt Seleuciam* [3]. Quemadmodum Christus ipse diceret : *Ecce mitto vos, sicut oves in medio luporum* [4]. *Visum est Spiritui sancto nihil aliud imponere vobis oneris, præter hæc necessaria* [5]. Cum quo eodem istud recidit : *Dico autem ego, non Dominus : uxorem ab homine non separari* [6]. *Peragrarunt vero Phrygiam, et Galatiæ tractum, prohibiti a Spiritu sancto prædicare verbum in Asia. Cum autem pervenissent in Mysiam, conabantur in Bithyniam proficisci : neque sivit eos Spiritus sanctus* [7] ; perinde ac Christus dixit : *Euntes baptizate omnes gentes* [8]. *Nolite portare peram, neque virgam, neque calceamenta* [9]. *Qui quidem*, inquit, *Paulo dicebant per Spiritum, ne ascenderet Hierosolyma* [10] ; item Agabus : *Hæc dicit Spiritus : Virum cujus est hæc zona* [11]. Cui simile est illud Apostoli : *An experimentum quæritis loquentis in me Christi* [12] ? vel : *Mementote verborum Domini ; quoniam ipse dixit : Melius est dare, quam accipere* [13]. *Et nunc ego Spiritu alligatus abeo* [14]. Quasi dicat : *Paulus vinctus Jesu Christi* [15]. *Verumtamen Spiritus contestatur mihi per urbes dicens* [16]. Cujusmodi est illud : *Dominus testis est animæ* **893** *meæ, quod non mentior* [17]. *In virtute secundum Spiritum sanctificationis* [18]. Simile est huic : *Sanctus in sanctis requiescens* [19]. Item : *Circumcisio cordis in Spiritu* [20]. Cui respondet illud : *Et circumcisus circumcisione non manu facta, in exspoliatione corporis peccatorum in circumcisione Christi* [21]. Illud vero : *Si Spiritus Dei habitat in vobis* [22], huic est affine : *Quemadmodum accepistis Christum, in ipso ambulate* [23] ; et : *Spiritus Domini locutus est in me. Et verbum ejus in ore meo* [24], item : *Primitias Spiritus habentes* [25], ad illud accedit : *Primitiæ Christus* [26]. *Sed ipse Spiritus postulat pro nobis* [27], idem est cum illo : *Qui est ad dexteram Dei, qui interpellat pro nobis* [28]. *Ut sit oblatio gentium accepta, sanctificata in Spiritu sancto* [29]. Cui hoc simile est : *Dominus autem sanctificet vos, ut sitis sinceri, et sine offensione in diem Domini* [30]. *Nobis vero revelavit Dominus per ipsius Spiritum* [31] ; idem cum isto loco significat : *Quando placuit ei, qui me segregavit ab utero matris meæ, per gratiam ipsius, revelare in me Filium suum* [32]. *Nos autem non mundi spiritum accepimus, sed Spiritum Dei* [33]. Cum eo conferendum istud est : *Vosmetipsos probate, num Christus sit in vobis* [34]. *Templum Dei estis, et Spiritus Dei habitat in vobis* [35] : perinde atque illud : *Habitabo in*

A *νηστευόντων, εἶπε τὸ Πνεῦμα τὸ ἅγιον· Ἀφορίσατε δή μοι Βαρνάβαν καὶ Σαῦλον εἰς τὸ ἔργον ὃ προσκέκλημαι αὐτούς. Ὅμοιον τῷ λέγειν· Ὁ δὲ Κύριος λέγει· Εἰσέλθετε εἰς τὴν πόλιν, κἀκεῖ λαληθήσεται ὑμῖν, τί δεῖ ποιεῖν. Αὐτοὶ μὲν οὖν, ἐκπεμφθέντες ὑπὸ τοῦ Πνεύματος τοῦ ἁγίου, κατῆλθον εἰς Σελεύκειαν· ὡς ἂν εἴποι Χριστός, Ἰδοὺ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων. Ἔδοξε γὰρ τῷ Πνεύματι τῷ ἁγίῳ μηδὲν ἄλλο ἐπιτίθεσθαι βάρος, πλὴν τῶν ἐπάναγκες. Ὡς ἂν εἴποι· Λέγω δὲ ἐγὼ, οὐχ ὁ Κύριος· γυναῖκα ἀπὸ ἀνθρώπου* [36] *μὴ χωρίζεσθαι. Διῆλθον δὲ τὴν Φρυγίαν καὶ τὴν Γαλατικὴν χώραν, κωλυθέντες ὑπὸ τοῦ Πνεύματος τοῦ ἁγίου λαλῆσαι τὸν λόγον ἐν τῇ Ἀσίᾳ. Ἐλθόντες δὲ εἰς τὴν Μυσίαν, ἐπείραζον εἰς τὴν Βιθυνίαν πορεύεσθαι, καὶ οὐκ εἴασεν*
B *αὐτοὺς τὸ Πνεῦμα τὸ ἅγιον. Ὡς ἂν εἴποι Χριστός· Ἀπελθόντες βαπτίσατε εἰς πάντα τὰ ἔθνη. Μὴ βαστάζετε μὴ πήραν, μὴ ῥάβδον, μήτε ὑποδήματα. Οἵτινες, φησὶν, ἔλεγον τῷ Παύλῳ διὰ τοῦ Πνεύματος μὴ ἀναβαίνειν εἰς Ἱερουσαλήμ. Ἦλθε Ἄγαβος· Τάδε λέγει τὸ Πνεῦμα τὸ ἅγιον· Τὸν ἄνδρα οὗ ἐστιν ἡ ζώνη αὕτη· ὅμοιον οἷς εἶπε Παῦλος· Εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ ; ἢ· Μνημονεύετε τῶν λόγων Κυρίου· ὅτι αὐτὸς εἶπεν ἀγαθὸν διδόναι μᾶλλον ἢ λαμβάνειν· καὶ, Νῦν ἰδοὺ ἐγὼ δεδεμένος τῷ Πνεύματι πορεύομαι· ὡς ἐὰν εἴποι· Παῦλος δέσμιος Ἰησοῦ Χριστοῦ. Πλὴν τὸ Πνεῦμά μοι διαμαρτύρεται κατὰ πόλιν, λέγον· ὅμοιον ὡς εἶπε·*
C *Κύριος μαρτυρεῖ τῇ ἐμῇ ψυχῇ, ὅτι οὐ ψεύδομαι. Ἐν δυνάμει κατὰ Πνεῦμα ἁγιωσύνης· ὅμοιον τῷ εἰπεῖν· Ἅγιος ὁ ἐν ἁγίοις ἀναπαυόμενος· καὶ· Περιτομὴ καρδίας ἐν Πνεύματι, ὅμοιον τῷ εἰπεῖν· Καὶ περιετμήθη περιτομῇ ἀχειροποιήτῳ ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν ἐν τῇ περιτομῇ τοῦ Χριστοῦ. Εἴπερ Πνεῦμα Θεοῦ οἰκεῖ ἐν ὑμῖν, ὅμοιον τῷ εἰπεῖν· Καθὼς ἐλάβετε Χριστὸν, ἐν αὐτῷ περιπατεῖτε· καὶ· Πνεῦμα Κυρίου ἐλάλησεν ἐν ἐμοί. Καὶ λόγους αὐτοῦ ἐν τῷ στόματί μου. Καὶ, Τὴν ἀπαρχὴν τοῦ Πνεύματος ἔχοντες, ὅμοιον τῷ εἰπεῖν· Ἀπαρχὴ Χριστός. Ἀλλ' αὐτὸ τὸ Πνεῦμα ὑπερεντυγχάνει ὑπὲρ ἡμῶν, ὅμοιον τῷ*
D *εἰπεῖν· Ὃς ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ, ὃς ἐντυγχάνει ὑπὲρ ἡμῶν. Ἵνα γένηται ἡ προσφορὰ τῶν ἐθνῶν εὐπρόσδεκτος, ἁγιασθεῖσα ἐν Πνεύματι ἁγίῳ, ὅμοιον τῷ εἰπεῖν· Ὁ Κύριος ἁγιάσαι ὑμᾶς, ἵνα ἦτε εἰλικρινεῖς, καὶ ἀπρόσκοποι εἰς ἡμέραν Κυρίου. Ἡμῖν δὲ ἀπεκάλυψεν ὁ Θεὸς διὰ τοῦ Πνεύματος αὐτοῦ, ὅμοιον τῷ εἰπεῖν· Ὅτε εὐδόκησεν ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου διὰ τῆς χάριτος αὐτοῦ ἀποκαλύψαι ἐν ἐμοὶ τὸν Υἱὸν αὐ-*

[1] Act. XIII, 2. [2] Act. IX, 7. [3] Act. XIII, 4. [4] Matth. X, 16. [5] Act. XV, 28. [6] I Cor. VII, 10. [7] Act. XVI, 6, 7. [8] Matth. XXVIII, 19. [9] Matth. X, 10 ; Marc. VI, 8. [10] Act. XXI, 4. [11] ibid. 11. [12] II Cor. XIII, 3. [13] Act. XX, 35 [14] ibid. 22. [15] Philem. 1. [16] Hebr. X, 15. [17] Gal. I, 20. [18] Rom. I, 4. [19] Isa. LVII, 15. [20] Rom. II, 29. [21] Col. II, 11. [22] I Cor. III, 16. [23] Col. II, 6. [24] Reg. XXIII, 2. [25] Rom. VIII, 23. [26] I Cor. XV, 23. [27] Rom. VIII, 26. [28] ibid. 34. [29] Rom. XV, 16. [30] Philipp. I, 10. [31] I Cor. II, 10. [32] Galat. I, 15. [33] I Cor. II, 12. [34] II Cor. XIII, 5. [35] I Cor. III, 16. [36] F. ἀνδρός.

Digitized by Google

τοῦ. Ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ Πνεῦμα τοῦ Θεοῦ, ὅμοιον τῷ εἰπεῖν· Ἑαυτοὺς δοκιμάζετε, εἰ ὁ Χριστὸς ἐν ὑμῖν. Ναὶ τοῦ Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν, ὅμοιον τῷ εἰπεῖν· Ἐνοικήσω ἐν αὐτοῖς, καὶ ἐμπεριπατήσω, καὶ ἔσομαι αὐτῶν Θεὸς, καὶ αὐτοὶ ἔσονταί μοι λαός.

A *illis, et inambulabo, et ero illorum Deus, et ipsi erunt mihi populus*[1].

Γ'. Ἀλλὰ τὴν δικαίωσιν ἐξ ἀμφοῖν λέγει καὶ τὴν χάριν. Δικαιωθέντες δὲ ἐν τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν, ὅμοιον τῷ εἰπεῖν· Δικαιωθέντες δὲ ἐκ πίστεως, εἰρήνην ἔχομεν πρὸς τὸν Θεὸν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. Οὐδεὶς δύναται εἰπεῖν Κύριον Ἰησοῦν, εἰ μὴ ἐν Πνεύματι ἁγίῳ· καὶ, Οὐδεὶς δύναται Πνεῦμα ἅγιον λαβεῖν ἢ παρὰ Κυρίου. Διαιρέσεις δὲ χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ Πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς Θεὸς, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι· καὶ, Ἀπὸ δόξης εἰς δόξαν, καθὼς ἀπὸ Κυρίου Πνεύματος· καὶ, Μὴ λυπεῖτε τὸ Πνεῦμα τὸ ἅγιον, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως, ὅμοιον τῷ εἰπεῖν· Εἰ παραζηλοῦμεν τὸν Κύριον, μὴ ἰσχυρότεροι αὐτοῦ ἐσμεν; Τὸ δὲ Πνεῦμα ῥητῶς λέγει, ὅμοιον τῷ εἰπεῖν· Τάδε λέγει Κύριος παντοκράτωρ. Καὶ, Τὸ Πνεῦμά μου ἐφέστηκεν ἐν μέσῳ ὑμῶν. Ἐάν τις ἐμοὶ ἀνοίξῃ εἰσελεύσομαι πρὸς αὐτὸν, καὶ δειπνήσω μετ' αὐτοῦ ποιήσομεν. Ἡσαΐας δέ· Καὶ ἐπ' αὐτὸν Πνεῦμα Θεοῦ. Ὁ δὲ Χριστός· Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ ἕνεκεν ἔχρισέ με· καὶ, Ἰησοῦν τὸν ἀπὸ Ναζαρὲτ, ὃν ἔχρισεν ὁ Θεὸς Πνεύματι ἁγίῳ· ἢ· Κύριος ἀπέσταλκέ με, καὶ τὸ Πνεῦμα αὐτοῦ. Φανερὰ δὲ καὶ ἡ φωνὴ τῶν σεραφὶμ κράζουσα· Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ. Ἐὰν δὲ ἀκούσῃς, ὅτι Τῇ δεξιᾷ τοῦ Θεοῦ ὑψωθεὶς· καὶ τὴν ἐπαγγελίαν τοῦ Πνεύματος λαβὼν παρὰ τοῦ Πατρός· ἢ, Περιμένειν τὴν ἐπαγγελίαν τοῦ Πατρὸς, ἣν ἠκούσατε· ἢ, ὅτι Τὸ Πνεῦμα αὐτὸν ἐκβάλλει εἰς τὴν ἔρημον· ἢ, ὅτι αὐτὸς λέγει· Μὴ μεριμνήσητε τί εἴπητε· ὅτι τὸ Πνεῦμα τὸ λαλοῦν ἐν ὑμῖν· ἢ· Εἰ δὲ ἐν Πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια· ἢ· Ὁ δὲ βλασφημῶν εἰς τὸ Πνεῦμα τὸ ἅγιον, οὐκ ἀφεθήσεται αὐτῷ, καὶ τὰ ἑξῆς· ἢ· Πάτερ, εἰς χεῖράς σου παραθήσομαι τὸ πνεῦμά μου· ἢ· Τὸ παιδίον ηὔξανε, καὶ ἐκραταιοῦτο τῷ Πνεύματι. Ἰησοῦς δὲ, πλησθεὶς Πνεύματος ἁγίου, ὑπέστρεψεν ἀπὸ τοῦ Ἰορδάνου· ἢ· Ὑπέστρεψεν Ἰησοῦς τῇ δυνάμει τοῦ Πνεύματος· ἢ· Τὸ γεγεννημένον ἐκ τοῦ Πνεύματος πνεῦμά ἐστιν· ὅμοιον τῷ εἰπεῖν· Ὃ γέγονεν ἐν αὐτῷ ζωὴ ἦν· ἢ· Κἀγὼ παρακαλέσω τὸν Πατέρα, καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν, τὸ Πνεῦμα τῆς ἀληθείας· ἢ· Διὰ τί ἐπλήρωσε τὴν καρδίαν σου ὁ Σατανᾶς, τῷ Ἀνανίᾳ λέγων, ψεύσασθαί σε τὸ Πνεῦμα τὸ ἅγιον; καὶ μετὰ ταῦτα, Οὐκ ἀνθρώποις ἐψεύσω, ἀλλὰ Θεῷ. Ἆρα Θεὸς ἐκ Θεοῦ, καὶ Θεὸς τὸ Πνεῦμα τὸ ἅγιον, ᾧ ἐψεύσαντο οἱ τοῦ τιμήματος τοῦ χωρίου

VI. Quin etiam justificationem ab utroque manare demonstrat et gratiam. *Justificati porro in nomine Domini nostri Jesu Christi, et in Spiritu Dei nostri*[2]. Cui simile est : *Justificati autem ex fide pacem habemus cum Deo per Dominum nostrum Jesum Christum*[3]. *Nemo potest dicere Dominum Jesum, nisi in Spiritu sancto*[4] ; et : *Nemo potest accipere Spiritum sanctum, nisi a Domino. Divisiones porro gratiarum sunt, idem vero Spiritus : et divisiones* B *ministeriorum sunt, idem autem Deus, qui operatur omnia in omnibus*[5] ; et : *A gloria in gloriam, tanquam a Domini Spiritu*[6] ; et : *Nolite contristare Spiritum sanctum, in quo signati estis in diem redemptionis*[7] ; cum illo consentiunt : *Si provocemus Dominum, an fortiores ipso sumus*[8] ? Hoc autem : *Spiritus manifeste dicit*[9], simile est huic : *Hæc dicit Dominus omnipotens* ; et : *Spiritus meus stat in medio vestri*[10], cum isto conjungitur : *Si quis aperuerit mihi ut ingrediar*[11], *ego et* **894** *Pater mansionem apud ipsum faciemus*[12]. Hæc Isaias : *Et super ipsum*, inquit[13], *Spiritus Dei*. Christus vero : *Spiritus Domini super me, propter quod unxit me*[14] ; et : *Jesum a Nazareth, quem unxit Deus Spiritu sancto*[15]. Vel : *Dominus misit me, et Spiritus ejus*[16]. C Nec obscura seraphinorum clamantium vox est : *Sanctus, sanctus, sanctus Dominus Sabaoth*[17]. Præterea cum illud audiet : *Dextra Dei exaltatus : et promissionem Spiritus accipiens a Patre*[18]. Vel : *Exspectare promissionem Patris, quam audistis*[19] ; vel quemadmodum *Spiritus illum in desertum expulit*[20] ; vel quod idem ait : *Nolite cogitare quid loquamini, quoniam Spiritus loquitur in vobis*[21] ; sive illud : *Si autem in Spiritu Dei ejicio dæmonia*[22] ; vel : *Qui autem blasphemaverit in Spiritum sanctum, non remittetur ei*[23], etc. ; vel : *Pater, in manus tuas commendo spiritum meum*[24] ; vel : *Puer crescebat, et corroborabatur Spiritu*[25]. *Jesus vero repletus Spiritu sancto reversus est a Jordane*[26]. D Sive : *Reversus est Jesus virtute Spiritus*[27] ; vel : *Quod natum est e Spiritu, Spiritus est*[28]. Hæc omnia eodem cum iisce recidunt : *Quod factum est, in ipso vita erat*[29] ; vel cum eo : *Ego rogabo Patrem, et alium Paracletum dabit vobis, Spiritum veritatis*[30] ; vel cum isto : *Cur implevit cor tuum Satanas* (ait Petrus Ananiæ) *fraudare te Spiritum sanctum*[31] ? Deinde subjicit : *Non hominibus mentitus es, sed Deo.* Igitur Deus ex Deo, Deus est, inquam, Spiritus sanctus, cui mentiti sunt, qui ex agri pretio nonnihil interverterant. Ejusmodi est et istud : *Qui*

[1] II Cor. VI, 16. [2] I Cor. VI, 11. [3] Rom. V, 1. [4] I Cor. XII, 3. [5] ibid. 4 seqq. [6] II Cor. III, 18. [7] Ephes. IV, 30. [8] I Cor. X, 22. [9] I Tim. IV, 1. [10] Agg. II, 6. [11] Apoc. III, 20. [12] Joan. XIV, 23. [13] Isa. XI, 2. [14] Luc. IV, 18. [15] Act. X, 38. [16] Isa. XLVIII, 16. [17] Isa. VI, 3. [18] Act. II, 33. [19] Act. I, 4. [20] Marc. I, 12. [21] Matth. X, 19. [22] Matth. XII, 28. [23] Marc. III, 29. [24] Luc. XXIII, 46. [25] Luc. I, 80. [26] Luc. IV, 1. [27] ibid. 14. [28] Joan. III, 6. [29] Joan. I, 3, 4. [30] Joan. XIV, 16. [31] Act. V, 3 sqq.

Digitized by Google

manifestatus est in carne, justificatus est in spiritu[1]. Hoc ego majus nihil habeo, quod dicam. Porro Deus est Filius. Nam Apostolus : *Ex quibus*, inquit, *Christus secundum carnem, qui est super omnia Deus*[2]. *Crede*, inquit, *in Dominum Jesum, et salvaberis*[3]; item : *Locutus est*, inquit, *illis sermonem Domini. Et deducens eos in domum, apposuit illis mensam, et lætatus est cum universa familia postquam credidit Deo*[4]; sive illud consideres : *In principio erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum*[5]; vel : *Ut doctrinam nostri Salvatoris ornent*[6]; sive : *Apparuit enim gratia Domini et Salvatoris nostri Jesu Christi omnibus hominibus erudiens nos*[7]; vel : *Exspectantes beatam spem, et adventum gloriæ magni Dei, et Salvatoris* 895 *nostri Jesu Christi*[8]; item : *Hoc est ministerium Spiritus, et verbi. Attendite*, inquit, *vobis, et universo gregi, in quo posuit vos Spiritus sanctus episcopos, regere Ecclesiam Dei*[9] : perinde ac si diceret : *Gratias ago corroboranti me Christo Jesu Domino nostro ; quod me fidelem arbitratus est, ad ministerium constituens*[10].

VII. Itaque Filius et Spiritus sanctus cum Patre, uti demonstravimus, agunt communiter. *Verbo enim Domini cœli firmati sunt, et Spiritu oris ipsius omnis virtus ejus*[11]. Spiritus vero sanctus adorandus est : *Qui enim adorant Deum, Spiritu adorare oportet et veritate*[12]. Quodsi veritas communiter agit, creatura creaturam aliam non efficit, neque creari divinitas potest ; neque certo modo, ac circumscriptione definitus cognoscitur Deus. Circumscribi enim non potest, aut capi, aut intelligentia comprehendi, cum universa Dei opera contineat. Sed neque creaturæ serviendum : *Servierunt*, inquit, *creaturæ potius quam Creatori, et fatui reddili sunt*[13]. Nonne stolidum est creaturæ divinitatem tribuere, ac Patris hoc violare præceptum : *Audi, Israel, Dominus Deus tuus unus est*[14]. *Non erit in te Deus recens*[15] ? Cæterum diversis in Scriptura nominibus Pater, et Filius, et Spiritus sanctus insigniri solent : utputa Pater, Pater omnipotens, Pater omnium, Pater Christi vocatur ; Dominus vero, Verbum, Christus, Filius, lux vera ; Spiritus sanctus denique, Paracletus, Spiritus veritatis, Spiritus Dei, Spiritus Christi. Quin etiam Deus ille idem ac Pater lux intelligitur, et quidem admirabili splendore collucens, necnon et virtus, et sapientia. Atque uti lux est Deus et Pater, ita lux est de luce. Unde et *lucem inhabitat inaccessam*[16]. Porro virtus est totus Deus. Unde et *virtutum* est Dominus[17]. Sapientia totus est Deus. Igitur sapientia est e sapientia Filius, *in quo sapientiæ thesauri sunt omnes reconditi*[18]. Vita totus est Deus. Ergo vita est e vita Filius. *Ego enim sum*, inquit, *veritas, et vita*[19]. At

A νωσφισάμενοι. Ἡ· Ὃς ἐφανερώθη ἐν σαρκὶ, ἐδικαιώθη ἐν πνεύματι. Τούτου μεῖζον οὐκ ἔχω λέγειν. Θεὸς δὲ ὁ Υἱός. Ἐξ ὧν, φησὶν, ὁ Χριστὸς κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεός. Πίστευσον, φησὶν, εἰς τὸν Κύριον Ἰησοῦν, καὶ σωθήσῃ· καὶ, Ἐλάλησε, φησὶν, αὐτοῖς τὸν λόγον τοῦ Κυρίου. Ἀναγαγών τε αὐτοὺς εἰς τὸν οἶκον, παρέθηκεν αὐτοῖς τράπεζαν, καὶ ἠγαλλιάσατο πανοικὶ πεπιστευκὼς τῷ Θεῷ· ἢ ὅτι Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος· ἢ· Ἵνα τὴν διδασκαλίαν τοῦ Σωτῆρος ἡμῶν κοσμήσωσιν· ἢ· Ἐπεφάνη γὰρ ἡ χάρις τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Χριστοῦ πᾶσιν ἀνθρώποις, διδάσκουσα ἡμᾶς· ἢ· Δεχόμενοι τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ, καὶ

B Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ· ἢ· Αὕτη ἡ διακονία τοῦ Πνεύματος, καὶ τοῦ λόγου. Προσέχετε, φησὶν, ἑαυτοῖς, καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ἔθετο ὑμᾶς τὸ Πνεῦμα τὸ ἅγιον ἐπισκόπους, ποιμαίνειν ὑμᾶς τὴν Ἐκκλησίαν τοῦ Θεοῦ· ὅμοιον τῷ εἰπεῖν· Χάριν ἔχω τῷ ἐνδυναμοῦντί με Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ὅτι πιστόν με ἡγήσατο εἰς διακονίαν θέμενος.

Ζ'. Συνεργεῖ τοίνυν, ὡς ἀποδέδεικται, τῷ Πατρὶ ὁ Υἱὸς καὶ τὸ Πνεῦμα τὸ ἅγιον. *Τῷ Λόγῳ γὰρ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ Πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτοῦ.* Προσκυνητὸν δὲ τὸ Πνεῦμα τὸ ἅγιον· *Τοὺς γὰρ προσκυνοῦντας Θεῷ, Πνεύματι δεῖ προσκυνεῖν καὶ*

C *ἀληθείᾳ.* Εἰ δὲ συνεργεῖ ἡ ἀλήθεια, κτίσις κτίσιν οὐκ ἐργάζεται, οὐδὲ κτιστὴ ἡ θεότης γίνεται, οὐδὲ ἐν μέτρῳ ἢ περιοχῇ Θεὸς γινώσκεται. Ἔστι γὰρ ἀπερίγραφος, ἀχώρητος, ἀπερινόητος, πάντα περιεχόμενος τὰ ποιήματα τοῦ Θεοῦ. Οὐ λατρευτέα δὲ ἡ κτίσις. Ἐλάτρευσαν γὰρ τῇ κτίσει παρὰ τὸν κτίσαντα, καὶ ἐμωράνθησαν. Πῶς γὰρ οὐ μωρὸν, κτίσιν θεολογεῖν, ἀθετεῖν δὲ Πατρὸς τὴν ἐντολὴν τὴν λέγουσαν· Ἄκουε, Ἰσραὴλ, Κύριος ὁ Θεός σου εἷς ἐστιν. Οὐκ ἔσται[20] ἐν σοὶ Θεὸς πρόσφατος; Ἐν Γραφαῖς δὲ ἁγίαις ὀνόματα διάφορα καλεῖται Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος· Πατρὸς μὲν Πατὴρ παντοκράτωρ, Πατὴρ

D ἁπάντων, Πατὴρ Χριστοῦ· Κυρίου δὲ Λόγος, Χριστὸς, Υἱὸς, φῶς ἀληθινόν· τοῦ δὲ ἁγίου Πνεύματος Παράκλητος, Πνεῦμα ἀληθείας, Πνεῦμα Θεοῦ, Πνεῦμα Χριστοῦ. Τί[21] τοίνυν Θεὸς νοεῖται, καὶ Πατὴρ, φῶς, ἀλλ' ὡς ὑπέρλαμπρον, δύναμις, σοφία Εἰ δὲ φῶς ὁ Θεὸς καὶ Πατὴρ, φῶς ἐκ φωτὸς ὁ Υἱός· καὶ διὰ τοῦτο *φῶς οἰκῶν τὸ ἀπρόσιτον.* Δύναμις δὲ ὅλος ὁ Θεὸς, καὶ διὰ τοῦτο Κύριος *τῶν δυνάμεων.* Σοφία ὅλος ὁ Θεός· οὐκοῦν σοφία ὁ Υἱὸς ἐκ σοφίας, *ἐν ᾧ πάντες οἱ θησαυροὶ τῆς σοφίας ἀπόκρυφοι.* Ζωὴ δὲ ὅλος ὁ Θεός· οὐκοῦν ζωὴ ἐκ ζωῆς ὁ Υἱός· Ἐγὼ γάρ εἰμι ἡ ἀλήθεια καὶ ἡ ζωή. Τὸ δὲ ἅγιον Πνεῦμα παρ' ἀμφοτέρων, Πνεῦμα ἐκ Πνεύματος. *Πνεῦμα*

[1] I Tim. III, 16. [2] Rom. IX, 5. [3] Act. XVI, 32. [4] ibid. 34. [5] Joan. I, 1. [6] Tit. II, 10. [7] ibid. 12. [8] ibid. 13. [9] Act. XX, 28. [10] I Tim. I, 12. [11] Psal. XXXII, 9. [12] Joan IV, 24. [13] Rom. I, 25 [14] Deut. VI, 4. [15] Psal. LXXX, 10. [16] I Tim. VI, 16. [17] Psal. LVIII, 6. [18] Col. II, 3. [19] Joan. XIV, 6. [20] γρ. ἔστι. [21] F. Ἔτι.

Digitized by Google

γὰρ ὁ Θεὸς, θεότης, χαρισμάτων ἐστὶ δοτὴρ, ἀληθέστατον, φωτιστικὸν, παρακλητικὸν, βουλευμάτων τοῦ Πατρὸς ἀγγελτικόν. Ὡς γὰρ ὁ Υἱὸς μεγάλης βουλῆς ἄγγελος, οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον. *Ἀλλ' ἐλάβομεν*, φησὶ, *Πνεῦμα Θεοῦ, ἵνα ἴδωμεν τὰ χαρισθέντα ἡμῖν ὑπὸ Θεοῦ, ἃ καὶ λαλοῦμεν, οὐκ ἐν πειθοῖς* [1] *σοφίας λόγοις, ἀλλ' ἐν ἀποδείξει Πνεύματος Θεοῦ, πνευματικοῖς πνευματικὰ συγκρίνοντες.*

A Spiritus sanctus ab ambobus oritur, Spiritus e Spiritu. *Spiritus quippe Deus est* [2]; idem et cœlestium donorum largitor est, verissimus, lucis efficacissimus, consolator, consiliorum Patris interpres ac nuntius. Nam ut Filius magni consilii angelus est [3], ita Spiritus sanctus. *Sed accepimus*, inquit, *Spiritum Dei*, **896** *ut videamus quæ a Deo donata sunt nobis, quæ et loquimur, non blandis sapientiæ sermonibus, sed probatione Spiritus Dei, spiritalibus spiritalia comparantes* [4].

Η'. Ἀλλ' ἐρεῖ τις· Οὐκοῦν φαμεν δύο εἶναι Υἱούς. Καὶ πῶς Μονογενής; Μενοῦνγε, *Σὺ τίς εἶ ὁ ἀντιλογιζόμενος τῷ Θεῷ;* Εἰ γὰρ τὸν μὲν Υἱὸν καλεῖ τὸν ἐξ αὐτοῦ, τὸ δὲ ἅγιον Πνεῦμα τὸ παρ' ἀμφοτέρων, μόνον πίστει νοούμενα ὑπὸ τῶν ἁγίων, φωτεινὰ, φωτοδότα, φωτεινὴν τὴν ἐνέργειαν ἔχει, συμφωνίαν τε πρὸς αὐτὸν τὸν Πατέρα ποιεῖται φωτὸς πίστει. Ἄκουε, ὦ οὗτος, ὅτι ὁ Πατὴρ ἀληθῶς Υἱοῦ ἐστι πατὴρ, φῶς ὅλος, καὶ Υἱὸς Πατρὸς ἀληθοῦς, φῶς φωτὸς, οὐχ ὡς τὰ ποιητὰ ἢ τὰ κτιστὰ, προσηγορίᾳ μόνῃ· καὶ Πνεῦμα ἅγιον Πνεῦμα ἀληθείας ἐστὶ, φῶς τρίτον παρὰ Πατρὸς καὶ Υἱοῦ· τὰ δ' ἄλλα πάντα θέσει ἢ παραθέσει, ἢ κλήσει, οὐχ ὁμοίᾳ τούτου ἐνεργείᾳ, ἢ δυνάμει, ἢ φωτὶ, ἢ ἐννοίᾳ· ἢ ὡς ἂν εἴποι τις· *Υἱοὺς ἐγέννησα καὶ ὕψωσα*· ἢ ὡς ἂν εἴποι τις· *Ἐγὼ εἶπα· Θεοί ἐστε καὶ υἱοὶ Ὑψίστου πάντες*· ἢ ὡς ἂν εἴποι τις· *Ὁ τεκτονικὸς βώλους δρόσου*· ἢ ὡς ἂν εἴποι τις· *Ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ τῆς γῆς*· ἢ ὡς ἂν εἴποι τις· *Ἐγὼ ὁ στερεῶν βροντὴν, καὶ κτίζων Πνεῦμα.* Οὐ γὰρ ὡς οἱ λοιποὶ πατέρες, ἢ πατριάρχαι ὁ ἀληθινὸς Πατὴρ ἀρξάμενος τοῦ εἶναι Πατὴρ, ἢ ἐλλείπων ποτὲ τῷ χρόνῳ τοῦ εἶναι Πατὴρ. Εἰ γὰρ ἄρχεται τοῦ εἶναι Πατὴρ, Υἱὸς ὅρα ἦν ποτε ἑτέρου πατρὸς, πρὸ τοῦ εἶναι αὐτὸν Πατέρα Μονογενοῦς. Καθ' ὁμοιότητα δὲ πατέρες πατέρων νοοῦνται τέκνα, καὶ εἰς ἄπειρον τὸν ἀληθῶς πατέρα τῆς ἀρχαιολογίας εὑρεῖν ἔστιν. Οὐδὲ ὡς τὰ λοιπὰ τέκνα θέσει ὁ Υἱὸς ὁ ἀληθινὸς νέος τοῦ εἶναι Υἱός. Εἰ γὰρ νέος τοῦ εἶναι Υἱὸς, ἦν ποτε χρόνος ὅτε οὐκ ἦν ὁ Πατὴρ, Πατὴρ Μονογενοῦς. Οὐδὲ ὡς τὰ λοιπὰ πνεύματα τὸ Πνεῦμα τῆς ἀληθείας κτιστὸν ἢ ποιητόν· οὐδὲ ὡς οἱ λοιποὶ ἄγγελοι ὁ τῆς μεγάλης βουλῆς Ἄγγελος καλεῖται. Ἃ μὲν γὰρ ἀρχὴν καὶ τέλος ἔχει, ἃ δὲ ἀνεπινόητον ἔχει τὸ κράτος καὶ τὴν ἀρχήν. Καὶ ἃ μὲν κτίζει τὰ πάντα εἰς ἀπείρους αἰῶνας συνεργοῦντα τῷ Πατρὶ, ἃ δὲ κτίζεται ὑπὸ τούτων ὡς ἂν ἐθέλοιεν. Καὶ ἃ μὲν λατρεύει τούτοις, ἃ δὲ λατρευτὰ ὑπὸ τῶν ὅλων κτισμάτων. Καὶ ἃ μὲν ἴαται τὰ ποιήματα, ἃ δὲ τὴν ἴασιν λαμβάνει παρ' αὐτῶν. Καὶ ἃ μὲν κρίνεται κατ' ἀξίαν, ἃ δὲ τὴν κρίσιν ἔχει τὴν δικαίαν. Καὶ ἃ μὲν χρόνῳ ἐστὶν, ἃ δὲ οὐκ ἐν χρόνῳ τυγχάνει. Καὶ ἃ μὲν φωτίζει τὰ πάντα, ἃ δὲ φωτίζεται. Καὶ ἃ μὲν καλεῖ νηπίους εἰς ὕψος, ἃ δὲ καλεῖται ὑπὸ τοῦ τελείου. Καὶ ἃ μὲν χαρίζεται πᾶσιν, ἃ δὲ χαρίσματα λαμβάνει. Καὶ καθάπαξ εἰπεῖν, ἃ μὲν ἐξυμνεῖ τὴν ἁγιότητα ἐν

VIII. Dicat aliquis : Duos ergo Filios statuimus. Quod si ita est, qui tandem esse potest Unigenitus? Imo vero, *tu quis es qui contradicas Deo* [5]? Cum enim Filium vocet, qui a se oritur, Spiritum vero sanctum, qui ab utroque procedit, cæ tres personæ sola fide a sanctis viris perceptæ lucidæ, ac lucis auctores lucida sunt actione præditæ, et cum ipso Patre fidei luce concordiam servant. Heus tu! igitur audi, quemadmodum Pater vere sit Filii pater totusque lux; et Filius veri sit Patris Filius, lumen de lumine, non ut facta creatave cætera, appellatione duntaxat; Spiritus denique sanctus veritatis sit Spiritus ac tertium a Patre Filioque lumen; cætera omnia adoptione, vel comparatione, vel appositione, vel appellatione, non simili cum eo actione, vel virtute, vel luce, vel notione censentur. Sive quis illud dixerit : *Filios genui et exaltavi* [6]; sive illud : *Ego dixi : Dii estis et filii Altissimi omnes* [7]; sive istud : *Qui genuit stillas roris* [8]; sive hoc ipsum : *A quo omnis paternitas in cœlis et in terra* [9]; sive : *Ego firmans tonitru, et creans Spiritum* [10]. Non enim cæterorum patrum patriarcharumve more verus ille Pater aut esse Pater aliquando cœpit, aut progressu temporis esse quandoque desinet. Nam si Pater esse cœperit, necesse est ut Filius alterius patris olim fuerit, antequam esset Unigeniti Pater. Porro similitudine quadam patrum patres intelliguntur esse filii, et in infinitum verus originis sator ac parens perduci potest. Neque vero cæterorum instar filiorum, qui adoptione facti sunt, verus Filius recens est factus Filius. Alioquin enim tempus aliquando fuit, quo Pater nondum esset Unigeniti Pater. Sed neque uti reliqui spiritus, veritatis spiritus creatum quiddam est, aut factum; neque cæterorum instar angelorum, magni ille consilii Angelus dicitur [11]. Si quidem illa initium habent et finem, hæc duo robur, ac principatum habent, quem nulla cujusquam intelligentia possit assequi. Hæc universa procrearunt, quæ cum Patre per infinita sæcula communiter omnia moliuntur; cætera ab illis prout ipsis libet creantur. Illa serviunt iis, et colunt; his a creaturis omnibus servitus cultusque tribuitur. **897** Hæc operibus suis medicinam adhibent; illa medicinam ab istis accipiunt. Hæc universa collu-

[1] γρ. πειθοῖ. [2] Joan. IV, 24. [3] Isa. IX, 6. [4] I Cor. II, 12, 13. [5] Rom. IX, 20. [6] Isa. I, 2. [7] Psal. LXXXI, 6. [8] Job XXXVIII, 28. [9] Ephes. III, 15. [10] Amos IV, 13 ex LXX. [11] Isa. IX, 6.

Digitized by Google

strant; illa collustrantur. Hæc infantes ad sublimitatem vocant; illa a perfecto vocantur. Hæc largiuntur omnibus; illa muneribus afficiuntur. Ad summam illa in cœlis cœlorum ac cæteris, quæ oculis subducta sunt, locis sanctitatem illam prædicant; hæc illorum prædicatione celebrata cum dignis sua digne dona communicant.

A οὐρανοῖς οὐρανῶν καὶ λοιποῖς ἀοράτοις τόποις, ἃ δὲ ἐξυμνούμενα τὰ δῶρα ἀξίως παρέχει τοῖς ἀξίοις.

IX. Cæterum complures spiritus sacræ Litteræ esse significant: *Qui facit*, inquit, *angelos suos spiritus, et ministros suos in ignem urentem* [1]; item: *Omnes spiritus, laudate Dominum* [2]. Sed et iis, qui digni sunt, discernendorum spirituum dona tribuuntur [3]. Nam alii cœlestes sunt spiritus, qui veritate delectantur; alii terreni, qui fraudibus et erroribus obnoxii sunt; alii denique subterranei, abyssi tenebrarumque filii. *Rogabat enim*, ut Evangelium ait [4], *ne se in abyssum ire juberet*. Ita et spiritibus imperabat Christus, et spiritus verbo fugabat, nec B *sinebat eos loqui* [5]. Quinetiam spiritus judicii, et ardoris spiritus nominatur [6]. Itidemque *mundi spiritus*. *Nos enim*, inquit, *mundi spiritum non accepimus* [7]. Nec non et hominis spiritus. *Quis eorum*, inquit, *novit quæ sunt spiritus, nisi spiritus qui est in homine* [8]? Item: *Spiritus vadens, et non revertens* [9]. *Quoniam spiritus pertransibit in illo, et non subsistet* [10]; et: *Auferes spiritum eorum, et deficient* [11]. Adde et illud: *Spiritus prophetarum prophetis subjiciuntur* [12]. Et: *Ecce spiritus mendax stetit coram Domino: et dixit ipsi: In quo decipies Achab? Et ero*, inquit, *spiritus mendax in ore prophetarum* [13]. Præterea spiritus quidam compunctionis appellatur [14], et spiritus ignaviæ, et spiritus Pythonis [15], et spiritus fornicationis, et spiritus procellæ [16], et spiritus loquax [17], et spiritus infirmitatis [18], et spiritus immundus [19], et spiritus surdus, et spiritus mutus [20], et spiritus ægre loquens, et spiritus difficilis valde, qui vocatur legio [21], et spiritalia nequitiæ [22]. Postremo infinitis in Scripturæ locis spirituum factam esse mentionem sapientes intelligunt. Sed quemadmodum plures sunt adoptione, vel vocatione filii, non veritate: **898** eo quod et initio et fine constant, et ad peccandum propensi sunt: sic et spiritus adoptione sunt, aut vocatione complures, qui et in peccatum proni sunt ac proclives. At Spiritus sanctus solus a Patre et Filio, Spiritus veritatis [23], et Dei Spiritus, et Spiritus Christi, et Spiritus gratiæ nominatur. Gratificatur enim unicuique, ac bonum variis modis D impertitur. *Nam alii spiritus sapientiæ conceditur, alteri spiritus scientiæ, huic spiritus fortitudinis, illi spiritus curationum, isti spiritus prophetiæ, huic spiritus discretionis, interpretationum illi* [24]. Ac cætera denique dona, ut testatur Apostolus: *Unus porro et idem Spiritus est, dividens unicuique prout vult* [25]. *Quoniam Spiritus tuus bonus deducet me, Deus*, ait David [26]. Vel: *Spiritus ubi vult spirat* [27]: quibus verbis subsistentem esse Spiritum sanctum nobis

Θ'. Πνεύματα δὲ πλεῖστά φησιν ἡ Γραφή· *Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλογίας*· καὶ, *Πάντα τὰ πνεύματα, αἰνεῖτε τὸν Κύριον*. Χαρίσματα δὲ ἀξίοις δίδοται διακρίσεως πνευμάτων. Ἃ μὲν γὰρ ἐπουράνιά ἐστι, χαίροντα τῇ ἀληθείᾳ, ἃ δὲ ἐπίγεια, ἀπάτης καὶ πλάνης ἐπιτήδεια· ἃ δὲ ὑπόγεια, ἀβύσσου καὶ σκότους τέκνα. *Ηυρεκάλει γάρ*, τὸ Εὐαγγέλιόν φησιν, *ἵνα μὴ πέμψῃ αὐτὸν εἰς τὴν ἄβυσσον ἀπελθεῖν*. Ὡσαύτως δὲ τοῖς πνεύμασιν ἐπέτασσε· καὶ πνεύματα δὲ ἐξεδίωκε λόγῳ, καὶ οὐκ *εἴα αὐτὰ λαλεῖν*. Λέγεται δὲ πνεῦμα κρίσεως, καὶ πνεῦμα καύσονος. Λέγεται δὲ πνεῦμα κόσμου. *Ἡμεῖς δὲ οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν*, φησί· καὶ πνεῦμα δὲ ἀνθρώπου· *Τίς γὰρ οἶδε τὰ τοῦ πνεύματος, εἰ μὴ τὸ πνεῦμα τὸ ἐν τῷ ἀνθρώπῳ; Πνεῦμα πορευόμενον, καὶ οὐκ ἐπιστρέφον. Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει*· καὶ, *Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι*· καὶ, *Πνεύματα δὲ προφητῶν προφήταις ὑποτάσσεται*· καὶ, *Ἰδοὺ πνεῦμα ψευδὲς ἔστη ἐνώπιον Κυρίου, καὶ εἶπεν αὐτῷ· Ἐν τίνι ἀπατήσεις τὸν Ἀχαάβ; Καὶ ἔσομαι*, φησὶ, *πνεῦμα ψευδὲς ἐν στόματι τῶν προφητῶν*. Λέγεται δὲ πνεῦμα κατανύξεως εἶναι, πνεῦμα δειλίας, καὶ C πνεῦμα Πύθωνος, καὶ πνεῦμα πορνείας, καὶ πνεῦμα καταιγίδος, καὶ πνεῦμα πολυρρῆμον, καὶ πνεῦμα ἀσθενείας, καὶ πνεῦμα ἀκάθαρτον, καὶ πνεῦμα κωφὸν, καὶ πνεῦμα ἄλαλον, καὶ πνεῦμα μογιλάλον, καὶ πνεῦμα χαλεπὸν λίαν, ὃ καλεῖται λεγεὼν, καὶ πνευματικὰ τῆς πονηρίας. Ἄπειρα δὲ τὰ περὶ πνευμάτων λόγια σοφοῖς. Ἀλλ' ὥσπερ οἱ πολλοὶ υἱοὶ θέσει, ἢ κλήσει, οὐκ ἀληθείᾳ δὲ, διὰ τὸ ἀρχὴν ἔχειν καὶ τέλος ἁμαρτητικῶς· οὕτω καὶ πνεύματα πλεῖστα θέσει ἢ κλήσει, κἂν ἁμαρτητικὰ ἦν. Τὸ δὲ ἅγιον Πνεῦμα μόνον καλεῖται ὑπὸ Πατρὸς καὶ Υἱοῦ Πνεῦμα ἀληθείας, καὶ Πνεῦμα Θεοῦ, καὶ Πνεῦμα Χριστοῦ, καὶ Πνεῦμα χάριτος. Χαρίζεται γὰρ ἑκάστῳ διαφόρως ἀγαθὸν, *ὯΙ μὲν πνεῦμα σοφίας, ᾧ δὲ πνεῦμα* D *προφητείας, ᾧ δὲ πνεῦμα διακρίσεως, ᾧ δὲ ἑρμηνειῶν*, καὶ τὰ λοιπὰ δὲ χαρίσματα, ὧς φησιν· *Ἓν δὲ καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἑκάστῳ ὡς βούλεται. Ὅτι τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με, ὁ Θεὸς*, φησὶν ὁ Δαβίδ· ἢ, *Τὸ Πνεῦμα ὅπου θέλει πνεῖ*, τὸ ἐνυπόστατον διὰ τούτων τοῦ ἁγίου Πνεύματος δείκνυσιν ἡμῖν· *Καὶ τὴν φωνὴν αὐτοῦ ἀκούεις· ἀλλ' οὐκ οἶδας πόθεν ἔρχεται, καὶ ποῦ ὑπάγει*· καὶ, *Ἐὰν μὴ γεννηθῆτε ἐξ ὕδατος καὶ Πνεύματος*, ὅμοιον ὡς εἶπε Παῦλος· *Ἐν*

[1] Psal. CIII, 4. [2] Psal. CL, 6. [3] I Cor. XII, 10. [4] Luc. VIII, 31. [5] Marc. I, 34. [6] Isa. IV, 4. [7] I Cor. II, 12. [8] ibid. 11. [9] Psal. LXXVII, 39. [10] Psal. CII, 16. [11] Psal. CIII, 29. [12] I Cor. XIV, 32. [13] III Reg. XXII, 21, 22. [14] Rom. XI, 8. [15] Act. XVI, 16. [16] Psal. CVI, 25. [17] III Reg. XXII, 22. [18] Luc. XIII, 11. [19] Luc. XI, 24. [20] Marc. IX, 24. [21] Luc. VIII, 30; Marc. V, 7. [22] Ephes. VI, 12. [23] Joan XIV, 17. [24] I Cor. XII, 8 seqq. [25] ibid. 11. [26] Psal. CXLII, 11. [27] Joan. III, 8.

Digitized by Google

γὰρ Χριστῷ Ἰησοῦ ἐγὼ ἐγέννησα ὑμᾶς. Περὶ τούτου ὁ Κύριος· Ὅταν ἔλθῃ ὁ Παράκλητος, ὃν ἐγὼ πέμπω ὑμῖν, τὸ Πνεῦμα τῆς ἀληθείας, ὃ παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, ἐκεῖνος μαρτυρήσει περὶ ἐμοῦ· καὶ, Ἔτι πολλὰ ἔχω λέγειν· ἀλλ' οὐ δύνασθε βαστάζειν ἄρτι. Ὅταν ἔλθῃ ἐκεῖνος, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν. Οὐ γὰρ λαλήσει ἀφ' ἑαυτοῦ· ἀλλ' ὅσα ἀκούσει λαλήσει, καὶ τὰ ἐρχόμενα ἀναγγελεῖ ὑμῖν. Ἐκεῖνός με δοξάσει· ὅτι ἐκ τοῦ ἐμοῦ λήψεται, καὶ ἀναγγελεῖ ὑμῖν πάντα.

A ostendit. *Et vocem ejus audis : sed nescis unde venit, aut quo vadit* [2]. Item : *Nisi geniti fueritis ex aqua et Spiritu* [3]. Cui consentaneum illud est Pauli : *Nam in Christo Jesu ego genui vos* [4]. De eodem Spiritu Dominus ita loquitur : *Cum venerit Paracletus, quem ego mittam vobis, Spiritus veritatis qui a Patre procedit, ille testimonium perhibebit de me* [5]. Item : *Adhuc multa habeo dicenda : sed non potestis ferre modo. Cum venerit ille Spiritus veritatis, inducet vos in omnem veritatem. Non enim loquetur a seipso ; sed quæcunque audiet loquetur, et ventura nuntiabit vobis. Ille me clarificabit ; quia de meo accipiet, et vobis omnia nuntiabit* [6].

Γ'. Εἰ τοίνυν παρὰ τοῦ Πατρὸς ἐκπορεύεται, καὶ ἐκ τοῦ ἐμοῦ, φησὶν ὁ Κύριος, λήψεται, ὃν τρόπον *Οὐδεὶς ἔγνω τὸν Πατέρα, εἰ μὴ ὁ Υἱὸς, οὐδὲ τὸν Υἱὸν, εἰ μὴ ὁ Πατήρ*· οὕτως τολμῶσι λέγειν [1]· οὐδὲ τὸ Πνεῦμα εἰ μὴ ὁ Υἱὸς ἐξ οὗ λαμβάνει, καὶ ὁ Πατὴρ παρ' οὗ ἐκπορεύεται· καὶ οὐδὲ τὸν Υἱὸν, καὶ τὸν Πατέρα, εἰ μὴ τὸ Πνεῦμα τὸ ἅγιον, τὸ δοξάζον ἀληθῶς, τὸ διδάσκον τὰ πάντα, τὸ μαρτυροῦν τὰ περὶ τοῦ Υἱοῦ, ὃ παρὰ τοῦ Πατρὸς, ὃ ἐκ τοῦ Υἱοῦ, μόνος ὁδηγὸς ἀληθείας· νόμων ἐξηγητὴς ἁγίων, πνευματικοῦ νόμου ὑφηγητὴς, προφητῶν καθηγητὴς, ἀποστόλων διδάσκαλος, εὐαγγελικῶν δογμάτων φωστὴρ, ἁγίων ἐκλογεὺς, φῶς τὸ ἀληθινὸν ἐξ ἀληθινοῦ φωτός. Υἱὸς φυσικὸς, Υἱὸς ἀληθὴς, Υἱὸς γνήσιος, μόνος ἐκ μόνου, σὺν αὐτῷ καὶ τὸ Πνεῦμα, ἀλλὰ Πνεῦμα ὀνομαζόμενον. Οὗτος ὁ Θεὸς δοξαζόμενος ἐν Ἐκκλησίᾳ· Πατὴρ ἀεὶ, Υἱὸς ἀεὶ, καὶ Πνεῦμα ἅγιον ἀεὶ, ὑψηλὸς ὑψηλοῦ καὶ ὕψιστος, νοερὰν δόξαν ἔχων ἀμέτρητον, ᾧ ὑποδέδηκε τὰ κτιστὰ καὶ τὰ ποιητὰ ἅπαξ ἁπλῶς τὰ σύμπαντα μετρούμενα καὶ περιεχόμενα ἕκαστα. Θεότης δὲ μία ἐν Μωϋσεῖ μάλιστα καταγγέλλεται· δυὰς δὲ ἐν προφήταις σφόδρα κηρύσσεται· Τριὰς δὲ ἐν Εὐαγγελίοις φανεροῦται, πλεῖον κατὰ καιροὺς καὶ γενεὰς ἁρμόζουσα τῷ δικαίῳ εἰς γνῶσιν καὶ πίστιν. Γνῶσις δὲ αὕτη ἀθανασίας, ἐκ πίστεως δὲ αὐτῆς ἡ υἱοθεσία γίνεται. Ἀλλὰ πρῶτον δικαιώματα σαρκὸς ἐκφράζει, ὡς περίβολον ναοῦ τὸν ἔξω διεγείρουσα ἐν Μωϋσεῖ· δεύτερον δὲ δικαιώματα ψυχῆς ἐκδιηγεῖται, ὡς τὰ ἅγια κοσμοῦσα ἐν λοιπαῖς προφητείαις· τρίτον δικαιώματα πνεύματος, ὡς τὸ ἱλαστήριον καὶ τὰ ἅγια τῶν ἁγίων ῥυθμίζουσα ἐν Εὐαγγελίοις πρὸς κατοίκησιν ἑαυτῆς. Σκηνὴν δὲ ἁγίαν, λαὸν ἅγιον, τὸν δίκαιον ἔχει μόνον τὸν συνόντα τούτοις. Κατοικεῖ δὲ ἐν αὐτῷ μία θεότης ἄφθαρτος, μία θεότης ἀπερινόητος, ἀκατάληπτος, ἀνεκδιήγητος, ἀόρατος, ἑαυτὴν γινώσκουσα μόνη, ἑαυτὴν ἐμφανίζουσα οἷς βούλεται, μάρτυρας ἑαυτῆς διεγείρουσα, καλοῦσα, προορίζουσα, δοξάζουσα, ἐξ ᾅδου ὑψοῦσα, ἁγιάζουσα, ἐνοποιοῦσα πάλιν πρὸς τὴν ἑαυτῆς δόξαν καὶ πίστιν τὰ τρία ταῦτα, ἐπουράνια, καὶ ἐπίγεια, καταχθόνια· πνεῦμα, ψυχὴν, σάρκα, πίστιν, ἐλπίδα, ἀγάπην· παρελθόντα, ἐστῶτα, μέλλοντα, αἰῶνα αἰῶνος, αἰῶ-

X. Igitur, si a Patre procedit [7], et de meo, ait Dominus, accipit [8], quemadmodum *Nemo novit Patrem nisi Filius, neque Filium nisi Pater* [9] : ita Catholici dicere audent : Neque Spiritum novit quispiam, nisi Filius, a quo accepit, et Pater, a quo procedit ; neque Filium et Patrem novit aliquis, nisi Spiritus sanctus : qui vere celebrat ac prædicat : qui docet omnia, qui de Filio testimonium dicit, qui a Patre, qui e Filio procedit, solus veritatis dux, sanctarum legum interpres, spiritalis legis enarrator, prophetarum magister, apostolorum præceptor, evangelicorum dogmatum fax et sidus, sanctorum elector, verum lumen e vero lumine. Filius naturalis est, verus Filius, germanus Filius, solus e solo, **899** quocum et Spiritus sanctus conjungitur, qui Spiritus proprie nominatur. Hic ille Deus in Ecclesia celebratur, semper Pater, semper Filius, semper Spiritus sanctus, excelsus ab excelso, imo celsissimus ; qui intelligibili gloria, et quidem infinita præditus est ; cui creata omnia factaque sunt omnino subjecta, quæ quidem certa mensura, ac circumscriptione definiuntur. Cæterum divinitas una apud Moysen præcipue prædicatur : binarius in prophetis diligentius nuntiatur. Trinitas vero in Evangeliis ostenditur, quæ per tempora generationesque singulas justo ad scientiam fidemque amplius conveniret. Ea porro immortalitatis scientia ex fide ipsa, vel adoptione nascitur. Sed primum justificationes carnis edicit, velut templi quoddam exterius septum in Moyse fabricans. Postea vero animæ justificationes exponit, tanquam sancta quædam apud cæteros prophetas exornans. Tertio denique justificationes spiritus, quasi propitiatorium et sancta sanctorum in Evangeliis ad sui domicilium instruens. At sancti tabernaculi loco, sanctique populi, justum habet unum, qui in istis versatur. In his vero una deitas habitat incorrupta, una deitas, quæ cogitatione concipi comprehendive, vel explicari, aut videri non potest, quæ seipsam sola cognoscit, et quibus voluerit patefacit. Eadem testes suos excitat, vocat, ante destinat, afficit gloria, ab inferis evehit, sanctificat, et ad gloriam fidemque suam tria hæc in unum

[1] F. τολμῶ συλλέγειν. [2] Joan. III, 8. [3] ibid. 5 [4] I Cor. IV, 15. [5] Joan. XV, 26. [6] Joan. XVI, 12-14. [7] Joan. XV, 26. [8] Joan. XVI, 14, 15. [9] Matth. XI, 27.

Digitized by Google

cogit ac consociat : cœlestia, terrena, subterranea ; spiritum, animam atque carnem ; fidem, spem, charitatem ; præterita, præsentia, futura ; sæculum sæculi, sæcula sæculorum, sabbata sabbatorum ; circumcisionem carnis, circumcisionem cordis, circumcisionem Christi in exspoliatione corporis peccatorum[1]. Denique sibimetipsi universa repurgat, tam quæ videri nequeunt, quam quæ aspectabilia sunt, thronos, dominationes, principatus, potestates, virtutes. In omnibus vero eadem sapientia et sancta vox a gloria in gloriam *Sanctus, sanctus, sanctus* [2] exclamans, ac Patrem in Filio, Filium in imperium in sæcula sæculorum. Amen. Et dicet qui ita credit : Fiat, fiat.

A νας αἰώνων, σάββατα σαββάτων, περιτομὴν σαρκὸς, περιτομὴν καρδίας, περιτομὴν Χριστοῦ ἐν τῇ ἀπεκδύσει τοῦ σώματος τῶν ἁμαρτιῶν· καθόλου καθαροποιεῖ ἑαυτῇ πάντα τὰ ἀόρατα καὶ τὰ ὁρατὰ, θρόνους, κυριότητας, ἀρχὰς, ἐξουσίας, δυνάμεις. Ἐν πᾶσι δὲ ἡ αὐτὴ σοφία καὶ φωνὴ ἁγία, ἀπὸ δόξης εἰς δόξαν, Ἅγιος, ἅγιος, ἅγιος φωνοῦσα, Πατέρα ἐν Υἱῷ, Υἱὸν δὲ ἐν Πατρὶ σὺν ἁγίῳ Πνεύματι· ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Καὶ ἐρεῖ ὁ οὕτω πιστεύων· Γένοιτο, γένοιτο!

Hactenus ex *Ancorato*.

Πεπλήρωται τὰ τοῦ Ἀγκυρωτοῦ.

900 XI. Hæc sunt, quæ de fide Patris ac Filii et Spiritus sancti scripta quondam, et pro tenuitate nostra declarata, breviter denuo hoc loco repetere voluimus. Nunc ad vitam nostram asserendam ac corroborandam alia quædam testimonia pie proferre, et ex recta ratione religiose de divinitate sentire pergemus. Etenim pluribus hactenus auctoritatibus palam illud est factum, Unigenitum cum Patre simul universa moliri ; et æqualia perficere in omnibus ac largiri, utpote qui ab ipso procedat, nec a paterna virtute ac divinitate discrepet, sed ejusdem sit cum Patre substantiæ. Neque vero solus Filius, sed et Spiritus sanctus in agendi communionem cum Patre Filioque venit, et æqualia præstat, pro eo ac libet, communicans ac largiens : quippe cum et ipse vere ex Deo sit, nec alienus a Patre Filioque, sed utrique consubstantialis. Hæc, inquam, nemini non aperte tot adductis testimoniis ostendimus, ac deinceps ostendemus. Jam vero propter sancti Spiritus adversarios et inimicos, nonnulla uberioris explicationis gratia partim pia quædam argumenta ex recta ratione deprompta, partim ejusdem Scripturæ testimonia superioribus addemus, adeo ut in omnibus verum ac religiosum de Spiritu sancto dogma sequamur. Etenim unicus ac singularis est Spiritus ille sanctus, qui ab omnibus adoratur, ab omnibus creaturis operibusque desideratur. Qui cum nullo adæquari potest, non angelo, non altero spiritu, sed unus ac singularis est. Nam cum multi sint spiritus, omnibus iste superior est, utpote qui semper a Patre sit, nec ab aliis quæ e nihilo producta sunt, exsistat. Plures sunt, inquam, spiritus ; sed unus est Spiritus sanctus, quemadmodum unus est Deus, et unus Dei Filius unigenitus. Sic et sanctus Dei Spiritus a Deo est et in Deo. Itaque et unigenitus Filius incomprehensibilis est, et Spiritus incomprehensibilis. Qui et a Deo procedit, nec a Patre et Filio alienus est. Neque vero cum Patre et Filio velut quadam confusione coalescit, sed Trinitas ejusdem semper est substantiæ, non alterius a divinitate ; neque divinitas altera est a substantia, sed ipsa per sese divinitas. et ex eadem divinitate Filius ac Spiritus

B ΙΑ'. Καὶ ταῦτα μέν ἐστιν, ἃ ἤδη περὶ τῆς πίστεως Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος γράφοντες, κατὰ τὸ βραχύτατον ἡμῶν τῆς μετριότητος ἐξηγησάμεθα, καὶ ἐκ τῶν προῤῥηθέντων παρεθέμεθα. Ἔτι δὲ ἐπιμενοῦμεν εἰς σύστασιν τῆς ἑαυτῶν ζωῆς, εὐσεβῶς μαρτυρίας φέροντες, καὶ ἐξ ὀρθοῦ λογισμοῦ εὐσεβῶς περὶ θεότητος διαλαμβάνοντες. Ὅτι μὲν γὰρ ἐν τοῖς ὑπὸ τούτου ἀπεδείχθη διὰ πολλῶν μαρτυριῶν ὁ Μονογενὴς συμπράττων τῷ Πατρὶ, καὶ τὰ ἴσα ἐν ἅπασι τελειῶν καὶ χαριζόμενος, ὡς ἐξ αὐτοῦ ὤν, καὶ οὐκ ἀλλοῖος παρὰ τὴν τοῦ Πατρὸς δύναμιν καὶ θεότητα, ἀλλὰ ὁμοούσιος Πατρί· οὐ μόνον δὲ ὁ Υἱὸς, ἀλλὰ καὶ τὸ ἅγιον Πνεῦμα συμπράττον Υἱῷ καὶ Πατρὶ, καὶ τὰ ἴσα ἐργαζόμενον δωρούμενόν τε καὶ χαριζόμενον, ὡς βούλεται, ὡς καὶ αὐτὸ C ὄντως ἐκ Θεοῦ ὄν, καὶ οὐκ ἀλλότριον Πατρὸς καὶ Υἱοῦ, ἀλλ' ὁμοούσιον Πατρὶ καὶ Υἱῷ, παντὶ τῳ σαφὲς κατὰ πάντα ἐκ τῶν τοσούτων μαρτυριῶν ἀπεδείχθη τε καὶ ἀποδειχθήσεται. Νῦν δὲ διὰ τοὺς ἀντιθέτους καὶ ἐχθροὺς τοῦ ἁγίου Πνεύματος τὰ εὐσεβῆ τοῦ ὀρθοῦ λογισμοῦ καὶ τὰ ἀπὸ μαρτυριῶν τῆς αὐτῆς θείας Γραφῆς διηγησάμενοι περισσοτέρως τῶν πρότερον παραθησόμεθα μαρτυρίαις ἀκολούθως τῇ περὶ ἁγίου Πνεύματος ἀληθινῇ εὐσεβείᾳ. Ὡς ἔχει γὰρ [3] καὶ ἔστι Πνεῦμα ἅγιον ἐνικὸν [4], ὑπὸ πάντων προσκυνούμενον, πᾶσιν ἐπιπόθητον τοῖς κτίσμασί τε καὶ ποιήμασιν, οὐδενὶ ἐξισούμενον, οὐκ ἀγγέλῳ, οὐ πνεύματι ἑτέρῳ, ἀλλ' ἐνικόν. Ἐπειδὴ γὰρ καὶ πολλὰ πνεύματά ἐστι, τοῦτο δὲ ἀνώτατον πάντων πνευμά- D των, ὡς ὂν ἀεὶ ἐκ Πατρὸς, καὶ μὴ ἀπὸ τῶν ἄλλων τῶν ἐξ οὐκ ὄντων γενόμενον [5] ὄν· πολλὰ γάρ ἐστι πνεύματα, ἓν δὲ τὸ ἅγιον Πνεῦμα, ὥσπερ εἷς Θεὸς καὶ εἷς μονογενὴς Υἱὸς τοῦ Θεοῦ· οὕτω καὶ Πνεῦμα ἅγιον Θεοῦ, ἀπὸ δὲ Θεοῦ καὶ ἐν Θεῷ. Ἀλλὰ τὸ μὲν [6] μονογενὴς Υἱὸς ἀκατάληπτος, τὸ δὲ Πνεῦμα ἀκατάληπτον, ἐκ Θεοῦ δὲ, καὶ οὐκ ἀλλότριον Πατρὸς καὶ Υἱοῦ. Οὐ συναλοιφῇ δέ ἐστι Πατρὶ καὶ Υἱῷ· ἀλλὰ Τριὰς ἀεὶ οὖσα τῆς αὐτῆς οὐσίας, οὐχ ἑτέρας οὐσίας παρὰ τὴν θεότητα, οὐχ ἑτέρα θεότης παρὰ τὴν οὐσίαν, ἀλλὰ αὐτοθεότης καὶ ἐκ τῆς αὐτῆς θεότητος Υἱὸς καὶ τὸ ἅγιον Πνεῦμα. Καὶ τὸ μὲν Πνεῦμα Πνεῦμα ἅγιον, ὁ δὲ Υἱὸς Υἱός. Τὸ δὲ Πνεῦμα παρὰ Πατρὸς ἐκπορευόμενον καὶ τοῦ Υἱοῦ λαμβάνον· ἐρευ-

[1] Col. II, 11. [2] Isa. VI, 3. [3] Expunxerim γάρ. ὁ μέν. [4] F. ἐνικόν, vel ἐνοικοῦν. [5] F. γενομένων. [6] F.

Digitized by Google

νῶν τὰ βάθη τοῦ Θεοῦ, ἀναγγέλλον τὰ Υἱοῦ ἐν κόσμῳ, ἁγιάζον, ἁγίους ποιοῦν διὰ τῆς Τριάδος· τρίτον τῇ ὁμοουσίᾳ, ἐπειδὴ ἡ Τριὰς ἐστι Πατὴρ, καὶ Υἱὸς, καὶ ἅγιον Πνεῦμα. Ἀπελθόντες γὰρ, φησὶ, *βαπτίσατε εἰς τὸ ὄνομα τοῦ Πατρὸς, καὶ τοῦ Υἱοῦ, καὶ ἁγίου Πνεύματος*· ἐπισφραγὶς τῆς χάριτος, οὐ [1] σύνδεσμος τῆς Τριάδος, οὐκ ἀλλότριον τοῦ ἁγιασμοῦ, οὐ διεστὼς τῇ ὁμοουσίᾳ, οὐκ ἀλλότριον τῆς δωρεᾶς· ἀλλ' εἷς Θεὸς, μία πίστις, εἷς Κύριος, ἓν χάρισμα, μία Ἐκκλησία, ἓν βάπτισμα.

A sanctus exsistit. Itaque Spiritus, Spiritus sanctus est, et Filius, Filius; Spiritus vero a Patre procedens [2], **901** et a Filio accipiens [3], ac Dei profunda perscrutans [4], et quæ ad Filium spectant mundo nuntians: sanctificans, et sanctos per Trinitatem efficiens. Qui et appellatione tertius est, quoniam Trinitas est Pater et Filius et Spiritus sanctus. *Euntes enim*, inquit, *baptizate in nomine Patris et Filii et Spiritus sancti* [5]. Idem ille gratiæ sigillum est ac Trinitatis vinculum, qui nec a productione sanctitatis excluditur, nec appellatione discrepat, nec a largitione muneris alienus est, sed unus est Deus, una fides, unus Dominus, una gratia, una Ecclesia, baptismus unus.

ΙΒ'. Ἀεὶ γὰρ ἡ Τριὰς, ὡς πολλάκις ἔφην, καὶ οὐδέποτε ἡ Τριὰς προσθήκην λαμβάνει, ὡς γλυκέως ἔστιν ὁμολογεῖν, καὶ ἀκορέστως λέγειν. *Γλυκέα γὰρ*, φησὶν ὁ προφήτης, *τῷ λάρυγγί μου τὰ λόγιά σου*. Καὶ εἰ τὰ λόγια γλυκέα, πόσῳ γε μᾶλλον τὸ ὄνομα τὸ ἅγιον ἡ Τριὰς, ἡ πηγὴ πάσης γλυκύτητος; Τριὰς οὖν οὕτως ἀριθμουμένη, Πατὴρ, καὶ Υἱὸς, καὶ ἅγιον Πνεῦμα. Οὐ συναλοιφὴ δὲ ἡ Τριὰς, οὐ διεστῶσα τῆς ἑαυτῆς μονάδος· ἐν ὑποστάσει δὲ τελειότητος τέλειος ὁ Πατὴρ, τέλειος ὁ Υἱὸς, τέλειον τὸ ἅγιον Πνεῦμα, Πατὴρ καὶ Υἱὸς καὶ ἅγιον Πνεῦμα. Τὸ δὲ ἀνάπαλιν Πνεῦμα ταττόμενον ἐν χαρίσμασι· *Διαιρέσεις γὰρ χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ Πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσιν, ὁ δὲ αὐτὸς Κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν, ὁ δὲ αὐτὸς Θεὸς, ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι.*

XII. Quippe Trinitas semper est, ut sæpius dixi, B nec ullam unquam accessionem capit: id quod et profiteri suavissimum est, et sine ulla satietate dicitur. Nam Propheta cecinit: *Dulcia sunt faucibus meis eloquia tua* [6]. Quodsi eloquia ipsa dulcia sint, quanto est nomen ipsum Trinitatis dulcius, quæ quidem fons et origo suavitatis omnis est? Quare Trinitas tribus hisce numeratur, Patre, Filio et Spiritu sancto; neque vero confusione quadam in unum redigitur, nec a sua unitate disjungitur, sed in perfecta subsistentia perfectus est Pater, perfectus Filius, perfectus Spiritus sanctus, Pater et Filius et Spiritus sanctus. Rursum vero Spiritus largiendis donis attribuitur: *Divisiones enim gratiarum sunt, sed idem Spiritus; et divisiones ministeriorum sunt, idem vero Dominus; et divisiones* C *operationum sunt, idem vero Deus, qui operatur omnia in omnibus* [7].

Τούτων δὲ οὕτως ἐχόντων, ἀσφαλισώμεθα μὴ ἐκπέσωμεν τῆς ἀληθείας· ἀλλ' ὁμολογήσωμεν τὴν ἀλήθειαν, οὐ συνηγοροῦντες ὑπὲρ Θεοῦ, ἀλλ' εὐσεβῶς νοοῦντες, ἵνα μὴ ἀπολώμεθα. Ἀνένδεκτον γὰρ κτιστόν τι ἐν Τριάδι λέγειν, ἢ διανοεῖσθαι, ἢ ἐπιγεννητόν· ἀλλὰ ἦν ἀεὶ Πατὴρ καὶ Υἱὸς καὶ ἅγιον Πνεῦμα. Οὔτε συνάδελφος Υἱὸς Πατρὶ, οὔτε συναλοιφή· καὶ τὸ Πνεῦμα οὔτε συναλοιφὴ, οὔτε συνάδελφον Πατρὶ καὶ Υἱῷ, [οὔτε συναλοιφὴ τὸ Πνεῦμα Πατρὶ καὶ Υἱῷ·] Υἱὸς δὲ γεννητὸς ἐκ Πατρὸς, καὶ Πνεῦμα προελθὸν ἐκ Πατρός. Ἀνεκδιηγήτως τῆς Τριάδος οὔσης ἐν ταυτότητι δοξολογία, καὶ ἀκαταλήπτως Υἱοῦ ὄντος σὺν Πατρὶ καὶ Πνεύματι ἁγίῳ ὡσαύτως, καὶ μηδέποτε διαλειπούσης τῆς Τριάδος τῆς αὐτῆς ἀϊδιότητος. Πατὴρ οὖν ἀεὶ ἀγέννητος καὶ ἄκτιστος καὶ ἀκατάληπτος· Υἱὸς δὲ γεννητὸς, ἀλλ' ἄκτιστος καὶ ἀκατάληπτος. Πνεῦμα ἅγιον ἀεὶ, οὐ γεννητὸν, οὐ κτιστὸν. οὐ συνάδελφον, οὐ προπάτορον, οὐκ ἔγγονον, ἀλλ' ἐκ τῆς αὐτῆς οὐσίας Πατρὸς καὶ Υἱοῦ. Πνεῦμα γὰρ ὁ Θεός. Ἁγιος οὐ γεννητὸς, οὐ κτιστὸς, οὐ συγγενὴς, οὐκ ἔκγονος, ἀλλ' ἐκ τῆς αὐτῆς οὐσίας Πατρὸς καὶ Υἱοῦ. Πνεῦμα γὰρ ὁ Θεός.

Quæ cum ita se habeant, caveamus diligenter, ne a veritate aberremus; sed veritatem profiteamur, non Deo patrocinantes, sed pie id intelligentes, ne aliquando pereamus. Fieri quippe nullo modo potest, ut creatum quiddam in Trinitate dicamus, vel cogitemus etiam, aut cujus postea facta sit accessio; sed perpetuo Pater fuit et Filius et Spiritus sanctus. Neque Filius germanus Patris frater, neque cum illo confusus est. Similiter neque confusus est Spiritus, neque Patris Filiique germanus est: Filius a Patre genitus, a quo procedit et Spiritus. Adeo ut Trinitas eo modo, qui verbis explicari non potest, in eadem gloria ac laudatione D consistat; et Filius cum Patre Spirituque sancto incomprehensibili ratione sit conjunctus, neque Trinitas ab sua unquam æternitate desistat. Semper igitur ingenitus est increatusque Pater et incomprehensibilis: Filius genitus quidem, **902** sed increatus et incomprehensibilis: Spiritus sanctus non genitus, non creatus, non germanus, non avus, non nepos, sed ex eadem cum Patre Filioque substantia. Ejusmodi est Spiritus, inquam, sanctus. Spiritus enim Deus est.

ΙΓ'. Τῆς δὲ τοιαύτης ἠσφαλισμένης ἡμῶν ζωῆς αἱ μαρτυρίαι ἐν πάσῃ Γραφῇ ἐμφέρονται. Ἀπὸ δὲ τῶν πλειόνων ὀλίγα παραθήσομαι κατὰ τὸ δυνατόν· ἵνα μὴ ἀμάρτυρον περὶ Πνεύματος καὶ ἐν τῷ παρόντι

XIII. Atque hujus quidem hunc in modum constitutæ salutaris fidei passim in Scripturis omnibus exstant consignata testimonia. Nos autem ex pluribus pauca quædam pro virili colligemus, ne ca-

[1] Expungo negat. οὐ. [2] Joan. xv, 26. [3] Joan. xvi, 14, 15. [4] I Cor. ii, 10. [5] Matth. xxviii, 19. [6] Psal. cxviii, 103. [7] I Cor. xii, 4 sqq.

Digitized by Google

tholicum illud de Spiritu sancto dogma sine ullis confirmatum auctoritatibus hoc loco prætereamus. In primis enim Pater ipse de adventu Filii sic loquitur : *Ponam*, inquit, *Spiritum meum in ipso, et judicium gentibus nuntiabit* [1]. Quibus verbis Spiritum suum sanctum fidelibus omnibus ad obtinendam salutem verum ac germanum Deum esse prædicat. Accedit ad hoc testimonium Unigeniti ipsius auctoritas : *Spiritus*, inquit, *Domini super me, propter quod unxit me* [2]; quo illius incarnatione et Spiritu sancto stabilita, et fidelibus nuntiata, ipsiusmet Christi testificatione certo illud asseramus alienum a Deo nequaquam esse Spiritum sanctum. Rursum de Spiritu Dominus : *Spiritus*, inquit, *Patris mei est, qui loquitur in vobis* [3]. Præterea ut ab ipsa divinitate non excludendum esse Spiritum ostenderet, vultui apostolorum afflavit, et dixit : *Accipite Spiritum sanctum* [4]. Adhæc, ut æqualem ac consubstantialem suo Patrisque Spiritui sancto se esse monstraret, *Si diligitis me*, inquit, *mandata mea servate : et ego rogabo Patrem, et alium Paracletum dabit vobis* [5]. Quasi et Dominus ipse Paracletus sit, et Spiritus sanctus eodem modo sit Paracletus. Apostoli vero, ut ostenderent Spiritum sanctum non esse servum, sed eadem divinitate præditum, illius auctoritatem ac potentiam his verbis significant : *Et dixit Spiritus sanctus : Segregate mihi Barnabam et Saulum in opus ad quod eos vocavi* [6], etc. Tum Apostolus eadem diserte declarat. *Dominus vero*, inquit, *Spiritus est. Ubi autem Spiritus Domini est, illic libertas* [7]. Item : *Vos templum Dei estis, et Spiritus Domini habitat in vobis* [8]. Jam vero cum templum Dei ob illam sancti Spiritus habitationem vocemur, quis Spiritum repudiare audeat et a Dei substantia rejicere; cum diserte hoc Apostolus asserat, templum nos esse Dei, propter **903** Spiritum illum sanctum, qui in dignis habitat [9]? Præterea quonam pacto alienus a Deo potest esse Spiritus ille, qui Dei profunda scrutatur [10]? Nec est quod illud objicias, scrutari illa quidem, necdum tamen cognoscere, ut nonnulli contumeliose jacere cum sua pernicie ausi sunt. Nihil enim vetat, quin idem de Patre dicant, de quo scriptum est, scrutari illum ventris recessus [11]. Quare si propterea quod ad scrutandi verbum cognoscendi aliud non est adjunctum, ejusmodi quiddam impie de Spiritu potes animo concipere, non minus in Patrem impius sis oportet, de quo eamdem cogeris proferre sententiam. Quippe cum ventris illos recessus perscrutari Pater dicitur, nulla fit cognitionis mentio. Neque vero necesse fuit istud addere, cum Dei anticipata illa cognitio perspicue significetur, et ex ipso scrutandi vocabulo perfecta sententia reddatur. Ad eumdem itaque modum de Spiritu et Filio et Patre pronuntiare convenit, et unam iis cognitionem ac præscientiam tribuere, eo quod sacrosancta Trinitas sua haud dubie perfectione et identitate constet.

παρελεύσωμαι τὴν ὑφήγησιν. Εὐθὺς μὲν γὰρ ὁ Πατὴρ φησι περὶ τῆς τοῦ Υἱοῦ παρουσίας, ὅτι *Θήσομαι τὸ Πνεῦμά μου ἐπ' αὐτὸν, καὶ κρίσιν τοῖς ἔθνεσιν ἀπαγγελεῖ*, ἵνα γνήσιον κηρύξῃ Θεὸν τὸ ἅγιον αὐτοῦ Πνεῦμα πᾶσι πιστοῖς εἰς σωτηρίαν. Εἰ δὲ ὁ Μονογενὴς τῇ αὐτῇ μαρτυρίᾳ προσθεὶς φάσκει· *Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ ἕνεκεν ἔχρισέ με*· ἵνα ἡ ἔνσαρκος αὐτοῦ παρουσία, καὶ τῷ Πνεύματι τῷ ἁγίῳ ἠσφαλισμένη, καὶ πιστοῖς κηρυττομένη, σαφῶς ὁμολογηθῇ ἀπὸ τῆς τοῦ Χριστοῦ μαρτυρίας, ὅτι οὐκ ἀλλότριον τὸ Πνεῦμά ἐστι τοῦ Θεοῦ. Πάλιν δὲ ὁ Κύριος περὶ τοῦ Πνεύματος, ὅτι *Τὸ Πνεῦμα τοῦ Πατρός μου ἐστὶ τὸ λαλοῦν ἐν ὑμῖν*. Καὶ πάλιν, ὡς οὐκ ἀλλοτρίου τοῦ Πνεύματος τυγχάνοντος τῆς τοῦ Θεοῦ θεότητος, ἐνεφύσησεν εἰς τὸ πρόσωπον τῶν μαθητῶν, καὶ εἶπε· *Λάβετε Πνεῦμα ἅγιον*. Καὶ πάλιν, ἵνα δείξῃ τὴν ἑαυτοῦ ἰσότητα καὶ ὁμοουσιότητα πρὸς τὸ Πνεῦμα αὐτοῦ τε καὶ τοῦ Πατρὸς αὐτοῦ τὸ ἅγιον, φησίν· *Ἐὰν ἀγαπᾶτέ με, τὰς ἐντολάς μου τηρήσετε. Ἐγὼ ἐρωτήσω τὸν Πατέρα, καὶ ἄλλον Παράκλητον δώσει ὑμῖν*· ὡς αὐτοῦ τοῦ Κυρίου Παρακλήτου ὄντος, καὶ τοῦ Πνεύματος τοῦ ἁγίου συμπαρακλήτου ὄντος ὁμοίως. Οἱ δὲ ἀπόστολοι, δεικνύοντες, ὅτι οὐ δοῦλον τυγχάνει τὸ Πνεῦμα, ἀλλὰ τῆς αὐτῆς θεότητος, τὴν αὐτοῦ αὐθεντίαν ὑποδεικνύντες φασί· *Καὶ εἶπε τὸ Πνεῦμα τὸ ἅγιον· Ἀφορίσατέ μοι Βαρνάβαν καὶ Σαῦλον εἰς τὸ ἔργον ὃ προσκέκλημαι αὐτούς*, καὶ τὰ ἑξῆς. *Ὁ δὲ Κύριός ἐστι τὸ Πνεῦμα. Οὗ δὲ τὸ Πνεῦμα Κυρίου, ἐκεῖ ἐλευθερία*· καὶ, *Ὑμεῖς ναὸς Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα Κυρίου οἰκεῖ ἐν ὑμῖν*. Εἰ τοίνυν ναὸς Θεοῦ καλούμεθα διὰ οἴκησιν ἁγίου Πνεύματος, τίς τολμήσειε παραιτήσασθαι τὸ Πνεῦμα, καὶ ἀπαλλοτριῶσαι τῆς τοῦ Θεοῦ οὐσίας, σαφῶς τοῦ Ἀποστόλου λέγοντος ἡμᾶς ναοὺς Θεοῦ γίνεσθαι, διὰ τὸ ἐνοικοῦν Πνεῦμα ἅγιον ἐν τοῖς ἁξίοις; Πῶς δὲ ἀλλότριον Θεοῦ ἔσται τὸ Πνεῦμα τὸ βάθη τοῦ Θεοῦ ἐρευνῶν; Καὶ μὴ λέγε μοι· Ἐρευνᾷ, καὶ οὔπω γινώσκει, ὥς τινες τολμῶσι βλασφημεῖν, καὶ ἑαυτοὺς ἀπολύειν. Ἐπεὶ ἂν καὶ αὐτὸ λέξωσι περὶ τοῦ Πατρὸς, ὅτι καὶ περὶ αὐτοῦ γέγραπται, ὅτι *Ἐρευνᾷ ταμεῖα κοιλίας*. Καὶ εἰ ἀσεβῶς νοήσεις, διὰ τὸ μὴ ἐπικεῖσθαι τῷ ἐρευνᾷν τὸ γινώσκειν ἐπὶ τοῦ Πνεύματος, ἀσεβήσαις ἂν καὶ περὶ τοῦ Πατρὸς τὴν αὐτὴν ἀναγκαζόμενος παρεκφέρειν ὑπόνοιαν. Οὔτε γὰρ ἐπὶ Πατρὸς ἐρευνῶντος ταμεῖα κοιλίας πρόσκειται τὸ γινώσκειν· οὔτε γὰρ χρεία ἦν εἰπεῖν, σαφῶς δηλουμένης τῆς τοῦ Θεοῦ προγνωσίας, ἀπὸ τοῦ ἐρευνᾷν τὸ τέλειον τῆς ἀποφάσεως ἐχούσης. Οὕτω μοι καὶ περὶ Πνεύματος καὶ Υἱοῦ καὶ Πατρὸς τὴν μίαν γνῶσιν καὶ τὴν προγνωσίαν, σαφῶς ἐχούσης τῆς ἁγίας Τριάδος τὴν τελειότητά τε καὶ ταυτότητα.

XIV. Sed de his omnibus infinita quædam dispu-

ΙΔ'. Καὶ ἀμύθητα ἔστι περὶ τούτων λέγειν, καὶ

[1] Isa. XLII, 1. [2] Isa. LXI, 1. [3] Matth. X, 20. [4] Joan. XX, 22. [5] Joan. XIV, 15,16. [6] Act. XIII, 2. [7] II Cor. III, 17. [8] I Cor. III, 16. [9] I Cor. XII, 9 sqq. [10] I Cor. II, 10. [11] Prov. XX, 27.

Digitized by Google

ἀπὸ θείας Γραφῆς ὄγκον μαρτυριῶν φέρειν, καὶ εἰς πλάτος ἐπιμηκύνειν, καὶ κάματον ἐμποιεῖν τοῖς ἐντυγχάνουσιν. Ἀρκετῶς γὰρ ἐν πάσῃ αἱρέσει πολλὰ εἰπόντες, τὰς πάσας ἐν Θεοῦ δυνάμει ἡμεῖς οἱ ἀσθενεῖς ἀνετρέψαμεν, καὶ ἀπεδείξαμεν ἀλλοτρίας οὔσας τῆς ἀληθείας, καὶ ἑκάστην αὐτῶν βλασφημοῦσαν, καὶ ἀρνουμένην τὴν ἀλήθειαν, κἂν τε ἐν βραχεῖ, κἂν τε ἐν πολλῷ· ὡς καὶ οὗτοι μάτην εἰς τὸν Κύριον βλασφημοῦντες καὶ εἰς τὸ ἅγιον Πνεῦμα, καὶ μὴ ἔχοντες μήτε ἐνταῦθα, μήτε ἐν τῷ μέλλοντι αἰῶνι, κατὰ τὰ ὑπὸ Κυρίου εἰρημένα, ἄφεσιν ἁμαρτιῶν διὰ τὴν εἰς τὸ ἅγιον Πνεῦμα βλασφημίαν, καταπατηθέντες ὑπ' αὐτῆς τῆς ἀληθείας δίκην κεράστου δεινοῦ μονοκέρωτος, τοῦ νοῦ τῆς βλασφημίας δυναμένου ὅλον τὸ σῶμα φθείρειν· πεισθέντες τῷ τοῦ ξύλου λόγῳ, καὶ τῇ τοῦ Μονογενοῦς ἀληθινῇ ὁμολογίᾳ, ὅτι τῷ βλασφημοῦντι εἰς τὸ Πνεῦμα οὔτε ἐν τῷ αἰῶνι τούτῳ, οὔτε ἐν τῷ μέλλοντι ἀφεθήσεται, ὡς ἔφην· καταπατηθέντες καὶ συντριβέντες, μὴ ἰσχύοντες κατὰ τῆς ἀληθείας. Πύλαι γὰρ ᾅδου ἀληθῶς πᾶσαι αἱ αἱρέσεις· ἀλλὰ κατὰ τῆς πέτρας οὐ κατισχύσουσι, τουτέστι κατὰ τῆς ἀληθείας. Κἂν τε γὰρ ἐξ αὐτῶν τινες θελήσειαν λέγειν, ὅτι Τὴν μὲν πίστιν τὴν ἐκτεθεῖσαν κατὰ Νίκαιαν καὶ αὐτοὶ ὁμολογοῦμεν.

tari possunt, et innumeræ sacris e Litteris auctoritates afferri, ut in longum producta lectoribus molesta sit oratio. Sed nos in unaquaque confutanda hæresi satis multa jam diximus, et omnes divino præsidio freti nos licet imbecilles evertimus, atque a veritate esse alienas ostendimus; necnon et singulas sive in exigua aliqua re, sive in majori veritati contumeliose detrahere atque ablegare funditus. Quod quidem et isti facere instituunt, qui Dominum ac Spiritum sanctum frustra contumeliis onerant, neque aut hic aut in futuro sæculo, ut Domini verbis utar [1], peccatorum relaxationem ob suam illam in Spiritum sanctum blasphemiam obtinere possunt: qui ab ipsa veritate proculcati sunt, cerastæ cujusdam instar atrocis, et unico cornu metuendi. Talis enim est blasphemiæ sensus, qui corpus universum corrumpere potest. Et nos quidem Domini sermone et Unigeniti vera professione persuasi credimus ei, qui blasphemarit in Spiritum sanctum, neque in hoc sæculo nec in futuro condonandum esse peccatum, ut diximus. Quare proculcati illi et obtriti sunt; nec veritati resistere potuerunt. Nam hæreses omnes revera portæ sunt inferorum [2], quæ **904** adversus petram nihil omnino virium habere possunt. Etiamsi ex illis nonnulli istud objicere voluerint: Nos eam fidei formulam, quæ in Nicæna synodo exposita est, et ipsi profitemur.

Δεῖξον δέ μοι ἀπ' αὐτῆς, ὅτι τὸ ἅγιον Πνεῦμα ἐν τῇ θεότητι συναριθμεῖται· εὑρεθήσονται καὶ ἀπ' αὐτῆς ἐλεγχόμενοι. Οὐ γέγονε δὲ τότε περὶ τοῦ Πνεύματος ἡ ζήτησις. Πρὸς γὰρ τὸ ὑποπίπτον ἐν καιρῷ καὶ καιρῷ αἱ σύνοδοι τὴν ἀσφάλειαν ποιοῦνται. Ἐπεὶ οὖν ὁ Ἄρειος εἰς τὸν Υἱὸν τὴν δυσφημίαν ἀπετείνετο, τούτου ἕνεκα μετὰ περισσῆς διαλογῆς ἀκρίβεια τῶν λόγων γεγένηται. Ὅρα δὲ ἀπ' αὐτῆς τῆς ὁμολογίας, ὅτι οὔτε ἐν τούτῳ εὑρεθήσονταί τι λέγοντες οἱ εἰς τὸ Πνεῦμα βλασφημοῦντες, οἱ Πνευματομάχοι καὶ ἀλλότριοι τῆς αὐτοῦ δωρεᾶς καὶ ἁγιαστίας. Εὐθὺς γὰρ ἡ ἔκθεσις ὁμολογεῖ, καὶ οὐκ ἀρνεῖται. *Πιστεύομεν* γὰρ *εἰς ἕνα Θεὸν Πατέρα παντοκράτορα*. Τὸ δὲ, *Πιστεύομεν*, οὐχ ἁπλῶς εἴρηται, ἀλλὰ ἡ πίστις εἰς τὸν Θεόν. *Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν*. Οὐχ ἁπλῶς εἴρηται, ἀλλ' εἰς Θεὸν ἡ πίστις. *Καὶ εἰς τὸ ἅγιον Πνεῦμα*· καὶ οὐχ ἁπλῶς εἴρηται, ἀλλ' εἰς μίαν δοξολογίαν καὶ εἰς μίαν ἕνωσιν θεότητος καὶ μίαν ὁμοουσιότητα, εἰς τρία τέλεια, μίαν δὲ θεότητα, μίαν οὐσίαν, μίαν δοξολογίαν, μίαν κυριότητα, ἀπὸ τοῦ *Πιστεύομεν*, καὶ *Πιστεύομεν*, καὶ *Πιστεύομεν*. Καὶ ἐνταῦθα διέπεσεν ὁ τῶν τοιούτων λόγος. Καὶ ἕως ποῦ μηκύνω τὸν λόγον, ἀρκετῶς ἡγησάμενος τοῖς τὴν ἀλήθειαν ἀγαπῶσι τὰ κατὰ τούτων εἰρημένα; Διὸ ὑπερβήσομαι καὶ ταύτην, δεόμενος Θεοῦ ὑμῖν συνήθως ἀντιλαβέσθαι πρὸς τὴν τούτων ἀνατροπὴν ἁπάντων· ὅπως, ἐν τῇ αὐτοῦ δυνάμει τὸ ἐπάγγελμα τελειώσαντες, κατὰ πάντα αὐτῷ εὐχαριστήσωμεν.

Doce igitur ex illa Spiritum sanctum in divinitate numerari: etiam illa ipsa confessione refellentur. Quamquam nulla tum de Spiritu sancto fuerat instituta quæstio. Quippe de his quæ singulis temporibus occurrunt, cavere synodi ac decernere solent. Quare cum Arius in Filium maledicta conjiceret, propterea uberiori quadam disputatione argumentum illud est accuratissime tractatum. Verum ex eadem fidei professione animadvertere licet, ne hac in parte quidem contumeliosos illos in Spiritum hæreticos ac Spiritus oppugnatores, et ab ejus sanctitate ac donis alienos, quidquam omnino dicere. Siquidem expositio ipsa veritatem subinde profitetur, nec negat. *Credimus*, inquit, *in unum Deum Patrem omnipotentem*. Ubi vox ista, *Credimus*, non simpliciter accipienda, sed de fide in Deum intelligenda venit. *Et in unum Dominum Jesum Christum*. Neque hoc utcunque dictum, sed ad fidem in Deum referendum. *Et in Spiritum sanctum*. Quod neque simpliciter usurpatum est, sed in unam prædicationem ac gloriam, in unam divinitatis conjunctionem, in unam consubstantialitatem; in perfecta tria, sed unam divinitatem, unam substantiam; unam gloriam, dominationem unam: quod eæ voces, *Credimus*, et *Credimus*, et *Credimus* declarant. Ex quo illorum confutatur oratio. Quid autem in ea sum disputatione longior, cum quæ adversus istos hucusque dicta sunt veritatis studiosis satis esse non dubitem? Quocirca missam et hanc hæresim faciam, et Deum precabor, ut ad omnes ejusmodi profligandas opem nobis afferat, ut illius virtute freti quod suscepimus exsequi et in omnibus gratias habere possimus.

[1] Matth. XII, 32. [2] Matth. XVI, 18.

Digitized by Google

ADVERSUS AERIUM,

Hæresis LV, sive LXXV.

ΚΑΤΑ ΑΕΡΙΟΥ,

ΝΕ' ἡ καὶ ΟΕ'.

I. Aerius quidam ingenti perinde damno in mundum introductus est, furiis quibusdam percitus, et insolentia majorem in modum elatus. Etenim hæresis omnis pessimo ex eorum, qui ab initio usque ad finem exstiterunt, consilio **905** profectæ sunt, sive illos gloriæ cupiditas, aut arrogantia, sive voluptatum libido, sive aliorum æmulatio, sive commotio quædam animi, aut temeritas impulerit. A diabolo porro omnis illa est inflicta cæcitas, non quod hic invitum ac nolentem decipere quempiam possit, sed quod unusquisque peccati sibi causa atque auctor sit, *Ut qui probati sunt*, inquit, *manifesti reddantur*[1]. Aerius iste vero ad hodiernum usque tempus superest, estque secta penitus Arianus. Neque enim aliter atque iste sentit : imo etiam Arium ipsum dogmatum novitate superavit. Quin hac in parte linguam suam procudisse et ad dicendum promptus esse videtur, ut deceptorum hominum exercitum eorumque, quibus et aures pruriunt [2], et animus vanitate arrogantiaque distentus est, multitudinem ad sese pelliciat. Etenim magnam et ille quoque nugarum ac fabularum copiam in humanum genus invexit. Quæ tametsi prudentioribus ridicula videatur, nihilominus plerisque per illam imposuit et in errorem abduxit. Fuit hic Eustathii Sebastiæ episcopi (quæ est in Ponti regione sive minoris Armeniæ) sodalis. Ambo enim monasticum vitæ genus amplexi sunt. Cum autem Eustathius ad episcopatum esset evectus, Aerius, etsi id magnopere cuperet, eo tamen pervenire non potuit. Hinc simultas ex æmulatione conflata. Et quidem Eustathius Aerio plurimum indulgere et addictus esse visus est. Nam et presbyterum hunc postea creavit, et xenodochii, quod ptochotrophium in Ponto vocatur, curam ei commisit. Ejusmodi quippe domicilia præ amore erga hospites ab Ecclesiarum antistitibus excitari solent; in quibus mutilatos et imbecillos collocant, iisque ad victum necessaria pro virili suppeditant.

II. Sed cum nullum succensendi modum faceret Aerius, rixæ ac jurgia in dies ingravescere, ac mutuæ simultates augeri. Ad hæc pessimi quidam rumores et calumniæ adversus Eustathium ab Aerio spargi. Interim Eustathius episcopus evocatum ad sese Aerium mulcere, adhortari, comminari, irasci, supplicare, neque quidquam tamen his rebus efficere. Nam quod ab initio constitutum inchoatumque fuerat, ingentem in mali vim erupit. Postremo relicto mendicorum hospitio discedit Aerius. Quo ex tempore in omnem occasionem intentus **906** velut qui hostem opprimere ac telis appetere studet, versabat se in omnes partes et apud omnes calumniose deinceps Eustathio detrahens : Non is est,

Α'. Ἀέριός τις πάλιν ὡσαύτως τῷ κόσμῳ γεγένηται μέγα κακὸν, ἐμβροντηθεὶς τὴν ἔννοιαν, ἐπαρθεὶς τὸ φρόνημα. Πᾶσα γὰρ αἵρεσις κακοβουλία τῶν γενομένων ἀπ' ἀρχῆς ἄχρι τέλους· ἢ κενοδοξίας ἢ ἐπάρσεως ταῦτα εἰργάσατο, ἢ ἐπιθυμίας ὄρεξις, ἢ ζῆλος πρὸς τοὺς πέλας, ἢ παροξυσμὸς, ἢ προπέτεια. Τὸ δὲ πᾶν ἐκ διαβόλου ἡ τύφλωσις, οὐ τοῦ διαβόλου ἰσχύοντος ἀπατᾷν τὸν μὴ βουλόμενον, ἀλλὰ ἑκάστου ἑαυτῷ παραιτίου γινομένου τῆς περὶ τὴν ἁμαρτίαν ἐργασίας, Ἵνα, φησὶν, *οἱ δόκιμοι φανεροὶ γένωνται*. Οὗτος ὁ Ἀέριος ἔτι καὶ δεῦρο ζῇ ἐν σαρκὶ, καὶ περίεστι τῷ βίῳ, Ἀρειανὸς μὲν τὸ πᾶν. Ἄλλως γὰρ οὐ φρονεῖ ἀλλ' ὡς Ἄρειος, καὶ ἔτι ἐπέκεινα μειζόνως τὰ Ἀρείου ἐπιζητήσας, ὠξυμμένος τε τὴν γλῶτταν, καὶ ἐξωπλισμένος ἐν χείλεσιν ἐν τούτῳ τῷ μέρει, ὅπως ἐξελκύσῃ εἰς ἑαυτὸν ἠπατημένον στρατὸν καὶ πληθὺν τῶν ἀεὶ τὰς ἀκοὰς γαργαλιζομένων, καὶ τὴν διάνοιαν ὑποχαλωμένων. Καὶ γὰρ καὶ αὐτὸς τῷ βίῳ ἐφεύρατό τινα μεγάλην μυθώδη κενοδοξίαν, γελοῖον μὲν ἐμποιοῦσαν τοῖς ἔμφροσιν, ὅμως διὰ τούτου πολλοὺς ἠπάτησε καὶ παρείλκυσεν. Οὗτος γίνεται συσχολαστὴς Εὐσταθίου Σεβαστίου τοῦ τῆς Σεβαστείας Πόντου τε καλουμένης χώρας, ἤτοι μικρᾶς Ἀρμενίας. Ὁμοῦ γὰρ ἦσαν ἀσκοῦντες ὅ τε προειρημένος Εὐστάθιος καὶ ὁ Ἀέριος. Ὅτε δὲ ὁ Εὐστάθιος ἦλθεν εἰς τὴν ἐπισκοπὴν, ἐκεῖνος μᾶλλον ἐπεθύμει, ἀλλ' οὐκ ἔφθασεν εἰς τοῦτο. Ἐντεῦθεν ζῆλος γίνεται. Ἐδόκει δὲ προσλιπαρεῖν ὁ Εὐστάθιος τὸν Ἀέριον. Αὐτίκα ὕστερον καθιστᾷ τοῦτον πρεσβύτερον, τό τε ξενοδοχεῖον αὐτῷ ἐμπιστεύει, ὅπερ ἐν τῷ Πόντῳ καλεῖται (72) πτωχοτροφεῖον. Τοιαῦτα γάρ τινα κατασκευάζουσι κατὰ φιλοξενίαν· καὶ τοὺς λελωβημένους καὶ ἀδυνάτους (73) ἐκεῖσε ποιοῦντες καταμένειν, ἐπιχορηγοῦσι κατὰ δύναμιν οἱ τῶν Ἐκκλησιῶν προστάται.

Β'. Ἐπεὶ οὖν ἡ μῆνις ἀπ' αὐτοῦ οὐ διέλειπε, καθ' ἑκάστην ἡμέραν ηὔξανον οἱ λόγοι, καὶ προέβαινεν ἀναμέσον αὐτῶν ὁ ζῆλος, λόγοι τε οὐκ ἀγαθοὶ καὶ διαβολαὶ ὑπὸ τοῦ Ἀερίου κατὰ Εὐσταθίου ἐγίνοντο. Ὁ δὲ ἐπίσκοπος Εὐστάθιος, μεταχαλούμενος τὸν Ἀέριον, ἐθώπευε, παρῄνει, ἠπείλει, ἐνεβριμᾶτο, παρεκάλει, καὶ οὐδὲν ἤνυε. Τὸ γὰρ ἐξ ἀρχῆς καταβληθὲν εἰς μέγα κακὸν τὸ ἔργον ἤλαυνε. Πέρας γοῦν καταλιπὼν τὸ πτωχοτροφεῖον ὁ Ἀέριος ἀνεχώρησεν. Ἐντεῦθεν τὴν πρόφασιν, ὥσπερ κατὰ ἐχθροῦ βουλόμενός τις [3] εὑρεῖν, ἢ κατὰ πολεμίου ἐπαφεῖναι βέλος, ἀνηρεύνα· καὶ λοιπὸν πᾶσι διαβάλλων τὸν Εὐστάθιον ἔλεγεν· Οὐκέτι τοιοῦτος ὑπάρχει· ἀλλ' ἔκλινεν εἰς χρημάτων συναγωγὴν καὶ εἰς κτῆσιν παντοίαν.

[1] I Cor. xi, 19. [2] II Tim. iv, 3. [3] F. τινά.

(72) *Ὅπερ ἐν τῷ Πόντῳ καλεῖται.* Vide Nazianzeni elegantem illam orat. *Περὶ φιλοπτωχίας*, et Nicetæ ad eam scholion.

(73) *Καὶ τοὺς λελωβημένους καὶ ἀδυνάτους.* Proprie ἀδυνάτους appellant *causarios*. Vide Harpocrationem et Lysiam orat. *περὶ τοῦ ἀδυνάτου*.

Digitized by Google

Ἄτινα ἦν ταῦτα συκοφαντία μὲν παρ' ἐκείνου, τῇ δὲ ἀληθείᾳ τὰς ἐκκλησιαστικὰς χρείας ἔχων μετὰ χεῖρας ὁ Εὐστάθιος, ἄλλως οὐκ ἠδύνατο πράττειν. Καὶ ἦν πιθανὰ τὰ ὑπὸ τοῦ Ἀερίου λεγόμενα. A inquiebat, amplius, qui hactenus fuit, sed ad rem attentus est, et cumulandis opibus totus incumbit. Quæ quidem per summam calumniam ab Aerio jactabantur. Eustathius vero, qui Ecclesiæ negotia tractabat, facere aliter non poterat, ideoque probabiliter hæc ab Aerio dicebantur.

Νομίσειε δ' ἄν τις (74), ἐπειδήπερ, κατὰ Ἀερίου λέγοντες, Εὐστάθιον παρηγάγομεν, μήτι ἄρα καὶ τὸν Εὐστάθιον ἐν ἐπαίνοις ἔχομεν; τὸν μὲν γὰρ βίον αὐτοῦ καὶ τὴν πολιτείαν οὐκ ὀλίγοι ἄνδρες θαυμάζουσιν· εἴθε δὲ καὶ τῇ πίστει ὀρθῶς ἐφρόνησε! Τὸ γὰρ Ἀερίου [1] καὶ αὐτὸς ἀπαρχῆς ἕως τέλους κατέσχε, καὶ οὔτε αἱ θλίψεις τῶν διωγμῶν αὐτὸν διωρθώσαντο. Ἐδιώχθη γὰρ μετὰ τῶν περὶ Βασίλειον καὶ Ἐλεύσιον καὶ λοιπούς. Ἔδοξε δὲ καὶ πρὸς Λιβέριον (75) Ῥώμης τὸν μακαρίτην πρεσβεύειν ἅμα ἄλλοις ἐπι- B σκόποις, καὶ τῇ ἐκθέσει τῆς κατὰ Νίκαιαν γενομένης συνόδου, καὶ τῇ ὁμολογίᾳ τῆς ὀρθοδοξίας ὑπογεγραφέναι. Εἰς ὕστερον δὲ ὥσπερ μνησθείς, καὶ ἐξ ὀνείρων ἀναστάς, τὰ ἑαυτοῦ πάλιν πρῶτα τῆς τῶν Ἀρειανῶν κακοδοξίας ἐπισκεπτόμενος οὐ διέλειπεν. Ὅμως περὶ Ἀερίου ἡμῖν ὁ λόγος ἐστί. Διό αὖθις πρὸς αὐτὸν ἐπιστρεπτέον. Cæterum dubitabit forsitan aliquis, quoniam Aerii istius occasione mentionem Eustathii fecimus, num ipsum tandem Eustathium laudandum arbitremur? nam quod ad ejus vitæ institutum attinet, non paucis admirationem peperit. Qui utinam ad rectam ac sinceram fidem adhæsisset! Verum hic in Arii dogmate a principio ad finem usque perseveravit, nihiloque persecutionum calamitatibus melior factus est. Siquidem cum Basilio et Eleusio ac cæteris persecutione jactatus est; ac videtur et ad Liberium beatæ memoriæ Romanum episcopum cum aliis episcopis legationem obiisse, et expositione fidei, quæ in Nicæna synodo proposita fuerat, ac sinceri dogmatis professioni subscripsisse. Postea vero, velut a somno se revocans ac priorum recordatus, ad Arianam perfidiam, quam initio susceperat, respiciendi finem nullum habuit. Verum ad Aerium, de quo institutus a nobis sermo fuit, revocanda est oratio.

Γ'. Οὗτος ὁ Ἀέριος διὰ τοὺς τοιούτους λόγους σεμνύνεται μὲν ἀποταξίαν ἐν ἀρχῇ· καταλιπὼν δὲ τὸ πτωχοτροφεῖον, παρεῖλκυσε πολὺν χορὸν ἀνδρῶν τε καὶ γυναικῶν. Ἀπηλαύνετο δὲ αὐτὸς μετὰ τῆς αὐτοῦ ἀπὸ τῶν ἐκκλησιῶν καὶ ἀγρῶν καὶ κωμῶν καὶ τῶν ἄλλων πόλεων. Πολλάκις δὲ μετὰ πολλοῦ ὄχλου τοῦ C ἰδίου νιφόμενοι ἀγρόθεν διετέλουν, ὑπαιθροί τε καὶ ὑπὸ πέτρας αὐλιζόμενοι, ἐν ὕλαις καταφεύγοντες. Ἦν δὲ αὐτοῦ ὁ λόγος μανιώδης μᾶλλον ἢπερ καταστάσεως ἀνθρωπίνης· καί φησι· Τί ἐστιν ἐπίσκοπος (76) πρὸς πρεσβύτερον; Οὐδὲν διαλλάττει οὗτος τούτου· μία γάρ ἐστι τάξις καὶ μία, φησὶ, τιμὴ, καὶ ἓν ἀξίωμα. Χειροθετεῖ, φησὶν, ἐπίσκοπος, ἀλλὰ καὶ ὁ πρεσβύτερος. Λουτρὸν δίδωσιν ὁ ἐπίσκοπος, ὁμοίως καὶ ὁ πρεσβύτερος. Τὴν οἰκονομίαν τῆς λατρείας (77) πᾶσι ὁ ἐπίσκοπος, καὶ ὁ πρεσβύτερος ὡσαύτως. Καθέζεται ὁ ἐπίσκοπος ἐπὶ τοῦ θρόνου, καθέζεται καὶ ὁ πρεσβύτερος. Ἐν τούτῳ πολλοὺς ἠπάτησε, καὶ ἀρχηγὸν τοῦτον ἐσχήκασιν. Εἶτά φησι· Τί ἐστι τὸ Πάσχα, ὅπερ παρ' ὑμῖν ἐπιτελεῖται; Ἰουδαϊκοῖς πά- D λιν μύθοις προσανέχετε. Οὐ γὰρ χρὴ, φησὶ, τὸ Πάσχα ἐπιτελεῖν. *Τὸ γὰρ Πάσχα ἡμῶν ἐτύθη Χρι-*

III. Hic igitur propter ejusmodi rationes omnium rerum abdicationem initio præ se tulit; deinde ptochotrophio relicto, magnam vim secum utriusque sexus hominum abduxit, qui omnes ab ecclesiis, agris, pagis et oppidis arcebantur. Ac sæpenumero totus ille cœtus nive perfusus passim per campos sub dio degebat, aut ad prærupta saxorum, silvasque confugiebat. Est autem illius dogma supra hominis captum furiosum et immane. In primis enim, Quanam, inquit, in re presbytero episcopus antecellit? Nullum inter utrumque discrimen est. Est enim amborum unus ordo, par et idem honor ac dignitas. Manus imponit episcopus, imponit et presbyter; baptizat episcopus, idem facit et presbyter; divinum omnem cultum administrat episcopus, non minus id facit et presbyter; episcopus in throno sedet, sedet **907** et presbyter. Ilis in vulgus jactatis plerosque in errorem abduxit, quorum sectæ princeps exstitit. Præterea, Quid est, inquit, Pascha, quod a vobis celebratur? Nimirum ad Judæorum adhuc fabulas adhærescitis; neque enim Paschatis solemnitas

[1] Cor. Ἀρείου.

(74) *Νομίσειε δ' ἄν τις.* De Eustathio Sebasteno adi præter ecclesiasticarum rerum scriptores, Basilium epist. 74, et aliis quibusdam sequentibus. Hunc ab altero ejusdem nominis Eustathio, qui in Gangrensi synodo condemnatus est, diversum esse probat adversus Socratem, Sozomenum, et cæteros in *Annal.* Baronius, ad an. 319.

(75) *Ἔδοξε δὲ καὶ πρὸς Λιβέριον.* Macedoniani sub Valente imperatore ab Arianis oppressi, legatos ad Liberium papam destinant, Eustathium Sebastenum, Silvanum Tarsensem et alios, per quos εἰς τὸ ὁμοούσιον consentientes recepti sunt. Sed ea consilia ab Eudoxio postea disturbata sunt. Vide Socratem lib. III, cap. 11. Eustathius porro Liberii pontificis litteris fretus in Tyranensi concilio restitutus est. Basilius in epist. 72 et 84.

(76) *Καὶ φησὶ· Τί ἐστιν ἐπίσκοπος.* Habes in Aerianis expressam hujus temporis hæreticorum imaginem. Quare cum illorum dogmata, quibus recentiores isti patrocinantur, damnat ac refellit Epiphanius, plenum gravitatis auctoritatisque judicium in eosdem ipsos pronuntiat.

(77) *Τὴν οἰκονομίαν τῆς λατρείας.* Quid sit dicetur ad Expositionem fidei.

Digitized by Google

obeunda : *Quoniam Pascha nostrum immolatus est Christus*[1]. Pergit deinde : Et quæ ratio est, inquit, post obitum mortuorum appellare nomina? Nam ut vivus oret, aut in pauperes bona sua dispenset, quid ex ea re tandem ad mortuum redit? Quodsi superstitum preces iis qui ex hac vita discesserint opitulari possunt ; nemo pie deinceps agat aliquid, neque boni quidquam faciat, sed amicos sibi aliquos quacunque ratione velit adjungat, sive pecuniarum largitione, sive precibus hoc ab illis sub vitæ finem impetret, ut pro se Deum exorent, ut ne illic aliquid incommodi patiatur, nec immanium a se facinorum pœnæ repetantur. Sed neque jejunii, inquit, instituendi ulla ratio est. Hæc enim omnia Judæorum propria sunt, et cuidam servitutis jugo subjecta. Quippe justo nulla lex posita est, sed parricidis ac matricidis duntaxat et id genus aliis[2]. Nam si jejunare omnino decreverim, quacunque libuerit die, sponte et integra libertate jejunabo. Hinc est quod isti Dominica die jejunare potius affectant, quarta vero sextaque feria vescantur. Quanquam sæpenumero quarta feria jejunent, non ulla lege, sed voluntate, ut asserunt, inducti. Porro diebus ipsis Paschatis, quod tempus humi cubando, castimoniam servando afflictandoque corpore, necnon et aridorum ciborum usu, precibus, vigiliis, jejuniis ac reliquis id genus saluberrimis corporis cruciatibus celebrare solemus, illi e contrario jam tum diluculo obsonari solent, et carnibus vinoque distenti cachinnari, ridere, eosque, qui illam Paschatis hebdomadem sanctissimis illis religionibus traducunt, ludibrio habere. Etenim tametsi renuntiare se rebus omnibus profiteantur, minime tamen vitæ illud institutum observant, sed carnibus ac vinolentiæ plus æquo indulgent, nisi forte pauci admodum inter illos sponte sua priorem illam vitæ rationem retineant. Majori enim ex parte largioribus epulis, carnibus ac vino sese ingurgitant, ut non semel diximus. Hæc sunt præcipue, quæ Aerius in hunc mundum evomuit.

IV. Eadem ipsa porro mentem illius ac perfidiam manifeste declarant, quæ in hominum genus improbo artificio per summam insaniam effudit. **909** Adversus quæ ubi paucis disputaverimus, missum illum faciemus. Enimvero totum illud stoliditatis esse plenissimum prudens quisque facile perspicit, velut cum episcopum ac presbyterum adæquare conatur. Hoc enim constare qui potest? Siquidem episcoporum ordo ad gignendos patres præcipue pertinet. Hujus enim est patrum in Ecclesia propagatio. Alter cum patres non possit, filios Ecclesiæ regenerationis lotione producit, non tamen patres aut magistros. Quinam vero fieri potest, ut is presbyterum constituat, ad quem creandum manuum imponendarum jus nullum habeat? Aut quomodo presbyter episcopo dici potest æqualis? Verum Aerium istum nimia quædam procacitas æmulatioque decepit.

A στός. Εἶτα μετέπειτα, Τίνι τῷ λόγῳ μετὰ θάνατον ὀνομάζετε, φησὶν, ὀνόματα τεθνεώτων ; Εὔχεται γὰρ, φησὶν, ὁ ζῶν, ἢ οἰκονομίαν ἐποίησε· τί ὠφεληθήσεται ὁ τεθνεώς ; Εἰ δὲ ὅλως εὐχὴ τῶν ἐνταῦθα τοὺς ἐκεῖσε ὤνησεν, ἄρα γοῦν μηδεὶς εὐσεβείτω, μηδὲ ἀγαθοποιείτω· ἀλλὰ κτησάσθω φίλους τινὰς δι' οὗ βούλεται τρόπου, ἤτοι χρήμασι πείσας, ἤτοι φίλους ἀξιώσας ἐν τῇ τελευτῇ, καὶ εὐχέσθωσαν περὶ αὐτῶν, ἵνα μή τι ἐκεῖ πάθῃ, μηδὲ τὰ ὑπ' αὐτοῦ γενόμενα τῶν ἀνηκέστων ἁμαρτημάτων ἐκζητηθῇ. Ἀλλ' οὔτε νηστεία, φησὶν, ἔσται τεταγμένη. Ταῦτα γὰρ Ἰουδαϊκά ἐστι, καὶ ὑπὸ ζυγὸν δουλείας. Δικαίῳ γὰρ νόμος οὐ κεῖται, ἀλλὰ πατραλοίαις καὶ μητραλοίαις καὶ λοιποῖς. Εἰ γὰρ ὅλως βούλομαι νηστεύειν, οἵαν δ' ἂν αἱρήσομαι ἡμέραν ἀπ' ἐμαυτοῦ, B νηστεύω διὰ τὴν ἐλευθερίαν. Ὅθεν παρ' αὐτοῖς περιλοτίμηται μᾶλλον ἐν Κυριακῇ νηστεύειν, τετράδα δὲ καὶ Προσάββατον ἐσθίειν. Πολλάκις δὲ καὶ τὴν τετράδα νηστεύουσιν, οὐχὶ θεσμῷ, ἀλλ' ἰδίᾳ προαιρέσει, φησίν. Ἔν τε ταῖς ἡμέραις τοῦ Πάσχα, ὅτε παρ' ἡμῖν χαμευνίαι, ἀγνεῖαι, κακοπάθειαι, ξηροφαγίαι, εὐχαὶ, ἀγρυπνίαι τε καὶ νηστεῖαι καὶ πᾶσαι τῶν ψυχῶν αἱ σωτηρίαι τῶν ἁγίων παθῶν, αὐτοὶ ἀπέωθεν ὀψωνοῦσι κρέα τε καὶ οἶνον, ἑαυτῶν τὰς φλέβας γεμίζοντες, ἀναχαγχάζουσι, γελῶντες, χλευάζοντες τοὺς τὴν ἁγίαν ταύτην λατρείαν τῆς ἑβδομάδος τοῦ Πάσχα ἐπιτελοῦντας. Καὶ γὰρ εἰ καὶ ἀποτακτικὸν ἐσχήκασιν οὕτοι τρόπον, οὐκ ἠσκηται παρ' αὐτοῖς· πολὺ δέ τι κρεωφαγιῶν καὶ οἰνοποσιῶν· ἀλλ' C εἰ ἄρα τινὲς σπάνιοι ἐν μέσῳ αὐτῶν ἀπ' ἰδίας προαιρέσεως βούλοιντο τοῦτο. Μᾶλλον δέ εἰσιν οἱ πλείους αὐτῶν κεχρημένοι δαψιλέσιν ἐδωδῶν σαρκοφαγίαις καὶ οἰνοποσίαις, ὡς πολλάκις ἔφην. Ταῦτά ἐστι τὰ παρὰ Ἀερίου τῷ βίῳ ἐξεμεθέντα.

Δ'. Ὑποδεικνύει τοίνυν τὴν ἔννοιαν καὶ τὴν αὐτοῦ ἀπιστίαν, καὶ τὰ δι' αὐτοῦ πάλιν τῷ βίῳ εἰς κακομήχανον τέχνην ἐμβροντηθέντα· εἰς δὲ τὰς πρὸς αὐτὸν ἀντιθέσεις ἐλευσόμεθα, ὀλίγα διηγούμενοι, καὶ οὕτως παρερχόμενοι. Καὶ ὅτι μὲν ἀφροσύνης ἐστὶ (78) τὸ πᾶν ἔμπλεων, τοῖς σύνεσιν κεκτημένοις τοῦτο δῆλον· D τὸ λέγειν αὐτὸν ἐπίσκοπον καὶ πρεσβύτερον ἴσον εἶναι. Καὶ πῶς ἔσται τοῦτο δυνατόν; Ἡ μὲν γάρ ἐστι πατέρων γεννητικὴ τάξις· πατέρας γὰρ γεννᾷ τῇ Ἐκκλησίᾳ· ἡ δὲ, πατέρας μὴ δυναμένη γεννᾷν, διὰ τῆς τοῦ λουτροῦ παλιγγενεσίας τέκνα γεννᾷ τῇ Ἐκκλησίᾳ, οὐ μὴν πατέρας ἢ διδασκάλους. Καὶ πῶς οἷόν τε ἦν τὸν πρεσβύτερον καθιστᾷν, μὴ ἔχοντα χειροθεσίαν τοῦ χειροτονεῖν, ἢ εἰπεῖν αὐτὸν εἶναι ἴσον τῷ ἐπισκόπῳ; Ἤπάτησε δὲ τὸν προειρημένον Ἀέριον ἡ αὐτοῦ ἐρεσχελία καὶ ὁ ζῆλος.

[1] 1 Cor. v, 7. [2] 1 Tim. i, 9.

(78) *Καὶ ὅτι μὲν ἀφροσύνης ἐστὶν.* Disputavit de ea quæstione copiosissime Baronius ad annum 58, ubi difficillimum ex Hieronymi auctoritate nodum dissolvit : qui in epistola 85 *ad Evagrium* nihil olim episcopos inter ac presbyteros fuisse discriminis affirmasse videtur.

Digitized by Google

Ε'. Φέρει δὲ εἰς ἑαυτοῦ πλάνην καὶ τῶν αὐτοῦ ἀκουόντων, ὅτι ὁ Ἀπόστολος γράφει πρεσβυτέροις καὶ διακόνοις, καὶ οὐ γράφει ἐπισκόποις. Καὶ τῷ ἐπισκόπῳ φησί· *Μὴ ἀμέλει τοῦ ἐν σοὶ χαρίσματος, οὗ ἔλαβες διὰ χειρῶν τοῦ πρεσβυτερίου* · πάλιν δὲ ἐν ἄλλῳ τόπῳ· *Ἐπισκόποις καὶ διακόνοις*· ὡς εἶναι, φησὶ, τὸν αὐτὸν ἐπίσκοπον, τὸν αὐτὸν πρεσβύτερον. Καὶ οὐκ οἶδεν ὁ τὴν ἀκολουθίαν τῆς ἀληθείας ἀγνοήσας, καὶ ἱστορίαις βαθυτάταις μὴ ἐντυχὼν, ὅτι, νέου ὄντος τοῦ κηρύγματος, πρὸς τὰ ὑποπίπτοντα ἔγραφεν ὁ ἅγιος Ἀπόστολος. Ὅπου μὲν ἦσαν ἐπίσκοποι ἤδη κατασταθέντες, ἔγραφεν ἐπισκόποις καὶ διακόνοις. Οὐ γὰρ πάντα εὐθὺς ἠδυνήθησαν οἱ ἀπόστολοι καταστῆσαι. Πρεσβυτέρων γὰρ ἐγίνετο χρεία καὶ διακόνων. Διὰ γὰρ τῶν δύο τούτων τὰ ἐκκλησιαστικὰ δύνανται πληροῦσθαι. Ὅπου δὲ οὐχ εὑρέθη τις ἄξιος ἐπισκοπῆς, ἔμεινεν ὁ τόπος χωρὶς ἐπισκόπου. Ὅπου δὲ γέγονε χρεία, καὶ ἦσαν ἄξιοι ἐπισκοπῆς, κατεστάθησαν ἐπίσκοποι. Πλήθους δὲ μὴ ὄντος, οὐχ εὑρέθησαν ἐν αὐτοῖς πρεσβύτεροι καταστα θῆναι, καὶ ἠρκέσθησαν ἐπὶ τῷ κατὰ τόπον μόνῳ ἐπισκόπῳ. Ἄνευ δὲ διακόνου ἐπίσκοπον ἀδύνατον εἶναι. Καὶ ἐπεμελήσατο ὁ ἅγιος Ἀπόστολος διακόνους εἶναι τῷ ἐπισκόπῳ διὰ τὴν ὑπηρεσίαν. Οὕτω τῆς Ἐκκλησίας λαβούσης (79) τὰ πληρώματα τῆς οἰκονομίας, οὕτω κατ' ἐκεῖνο καιροῦ ἦσαν οἱ τόποι. Καὶ γὰρ ἕκαστον πρᾶγμα οὐκ ἀπαρχῆς τὰ πάντα ἔσχεν· ἀλλὰ προβαίνοντος τοῦ χρόνου τὰ πρὸς τελείωσιν τῶν χρειῶν κατηρτίζετο. Neque vero ulla res est, quæ ab initio suis omnibus tempore, sua opportunitatibus omnibus ad perfectionem accessio contigit.

A V. At enim ut tam sibi quam auditoribus imponat, illud objicit : Apostolum presbyteris et diaconis scribere, non episcopis. Item episcopum alloquens, *Noli*, inquit, *negligere gratiam, quæ in te est, quam accepisti per manus presbyterorum collegii* [1] : deinde alio loco *episcopis et diaconis*, ut idem episcopus et presbyter esse videatur. Sed nimirum veritatis iste seriem ignorans, nec in reconditiore historia versatus, non intelligit Apostolum, cum recens adhuc esset Christiani dogmatis propagatio, pro re nata scripsisse; nam ubi jam episcopi constituti fuerant, ad episcopos et diaconos scribebat. Neque enim subinde omnia ab apostolis ordinari poterant. Et quidem presbyteris in primis ac diaconis opus erat; a quibus videlicet ambobus B ecclesiastica negotia administrari possunt. Quare ubi nondum episcopatu dignus aliquis occurrerat, nullus ei loco propositus est episcopus. At ubi et necessitas postulabat, nec eorum, qui episcopatu digni erant, copia deerat, ibi episcopi constituti. Sed cum haud magna multitudo foret, reperiri nulli potuerunt, qui presbyteri crearentur; unde solo episcopo contenti fuerunt. Sine diacono vero episcopus esse non potest. Quare in id Apostolus incubuit, ut ministrandi gratia episcopo diaconi suppeterent. Itaque cum nondum Ecclesia suis omnibus functionibus expleri posset, per illud tempus istiusmodi singulorum locorum status exstitit.

Ϛ'. Εὐθὺς μὲν γὰρ Μωϋσῆς πέμπεται εἰς Αἴγυ- C πτον κατὰ τὴν Παλαιὰν Διαθήκην ῥάβδῳ μόνῃ· ὑπὸ τοῦ Θεοῦ δὲ ἀπεσταλμένος, ἐν τῷ εἰσελθεῖν εἰς Αἴγυπτον, προστίθεται αὐτῷ εἰς βοήθειαν Ἀαρὼν ὁ ἀδελφὸς αὐτοῦ. Εἶτα μετὰ τὸ πιστεῦσαι αὐτῷ τὸν ἀδελφὸν, συνήχθη πρὸς αὐτὸν ἡ γερουσία καὶ οἱ ἀρχηγοὶ τοῦ λαοῦ κατ' ἐκεῖνο καιροῦ. Καὶ μετὰ ταῦτα κρατυνομένου τοῦ ἔργου, καὶ τῆς ἀκολουθίας συναγομένης, διεπέρασε τὴν θάλασσαν. Καὶ οὕπω ἦσαν κατὰ τὸν νόμον, ἕως ὅτε Κύριος αὐτὸν καλεῖ εἰς τὸ ὄρος. Δίδωσι δὲ αὐτῷ τὰς πτύχας, καὶ ὑποδείκνυσιν αὐτῷ σκηνὴν κατασκευάσαι, ἀρχηγούς τε προστήσασθαι, δεκάρχους, πεντηκοντάρχους, ἑκατοντάρχους, χιλιάρχους. Καὶ ὁρᾷς πῶς τὰ πράγματα πλατύνεται; *Ὅρα*, φησὶ, *ποιήσεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέντα σοι ἐν τῷ ὄρει Σινᾶ*. Καὶ ὁρᾷς πῶς πρὸς- D ετέθη τῇ νομοθεσίᾳ ἑπτάμυξος λυχνία, ποδῆρη ἱερατικὰ ἐνδύματα, κώδωνές τε καὶ μανδύαι, ἐπωμίδες τε καὶ κιδάρεις, μίτραι τε καὶ λίθων διαφόρων συνθέσεις, κύαθοι, θυΐσκαι, λουτῆρες, θυσιαστήρια, τρυβλία, μασμαρὼθ, ἅτινά ἐστι διυλιστήρια (80), μιδι-

909 VI. Cujus exemplum habemus in Moyse. Hic enim in Vetere Testamento[2] sola virga instructus in Ægyptum mittitur : quam cum ingrederetur, Aaron ipsius frater divinitus missus ei se ad subsidium adjungit. Deinde postquam ei a fratre fides habita est, seniorum ad illum ac populi per illud tempus principum multitudo convenit. Tum destinato opere vires et incrementa capiente, mare penetravit. Necdum tamen ad legem pervenerant, donec illum Deus ad montem evocaret, cum et tabulas tradidit, et tabernaculum instituere, principes, decuriones, quinquagenarios, centuriones ac tribunos creare docuit. Vides quemadmodum res omnes paulatim amplificatæ fuerint? *Vide*, inquit, *facies omnia secundum exemplar, quod tibi monstratum est in monte Sina* [3]. Animadvertisne, ut ad legislationem candelabrum illud septem ellychniorum additum fuerit, necnon et talares sacerdotis vestes, tintinnabula, palliola, epomides, pilei, baltei, variorum lapillorum contextus, cyathi, mortariola, labra, thuribula, catini, masmarhoth, hoc est cola;

[1] I Tim. IV, 14. [2] Exod. IV, 2 sqq. [3] Exod. XXV, 40.

(79) *Οὕτω τῆς Ἐκκλησίας λαβούσης*. Qui ad Epiphanii mentem diligenter animum adjecerit, non dubitabit, quin οὕπω pro οὕτω huic loco sit aptius.

(80) *Μασμαρὼθ, ἅτινά ἐστι διυλιστήρια*. Nullum ejusmodi vocabulum in Scripturis reperio. Proxima vox huic est מזמרת, inter templi vasa, quæ a Babyloniis direpta commemorantur Jerem. LII, 19. Sed non διυλιστῆρας significat, verum φιάλας, apud LXX. Hieron. *Psalteria*; alii *emunctoria*. Sane שמרים *fæces* sunt. Sed ab ea voce haud scio an משמרות derivari possint pro *colis*, quibus vinum defæcetur. Ita μιδικὼθ idem esse ac κυάθους nondum comperi : quam vocem lib. *De*

Digitized by Google

midicoth, sive cyathi; machonoth, qui sunt bases. A et quæcunque alia lex edisserit, velut cherubini et id genus alia, arca testamenti, vectes, humerarii annuli, tabernaculum, vela, pelles rubricatæ, ansæ et alia id genus, janitores, tubæ ductiles et incurvæ et aureæ, argenteæ, æreæ, corneæ, alia denique ex legis præscripto, velut sacrificiorum et institutionum varia genera : quæ cum initio nondum essent, nonne postquam invecta sunt, suus est ordo rebus attributus? Eadem ratio est illorum, de quibus Apostolus scripsit, quæ tandiu obtinuerunt, donec amplificata est Ecclesia, donec suam ac legitimam ad mensuram pervenit, donec prudenti quadam moderatione justissime est a Patre, Filio et Spiritu sancto temperata. Ex quibus Aerii dogma refellitur. B

κὼθ, ἄτινα καλοῦνται κύαθοι, μαχωνὼθ, αἵτινές εἰσι βάσεις, καὶ ὅσαπερ ὁ νόμος διαλέγεται, χερουβὶμ καὶ τὰ ἄλλα, κιβωτὸς διαθήκης, ἀναφορεῖς τε καὶ δακτύλιοι, σκηνή τε καὶ δέρρεις, καὶ δέρματα ἠρυθροδανωμένα, ἀγκύλαι τε καὶ τὰ ἄλλα, πυλωροὶ καὶ σάλπιγγες ἐλαταὶ καὶ καμπύλαι καὶ χρυσαῖ καὶ ἀργυραῖ, χαλκαῖ, κεράτιναι, καὶ τὰ ἄλλα ὅσαπερ ὁ νόμος ἔφη, θυσίαι διάφοροι, διδασκαλίαι. Ἐπειδὴ ἀπαρχῆς ταῦτα οὐκ ἦν, ἆρα μετὰ τὸ γενέσθαι τὴν τάξιν οὐκ εἴληφε τὰ πράγματα; Οὕτω καὶ τὰ παρὰ τῷ Ἀποστόλῳ γεγραμμένα, ἕως ὅτε ἐπλατύνθη ἡ Ἐκκλησία, ἕως ὅτε εἰς τὸ ἴδιον μέτρον ἐλήλακεν, ἕως ὅτε τὸν κόσμον τῆς συνέσεως δικαιότατα ἐκ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος ᾠκονόμηται. Καὶ ἔπεσεν ὁ τοῦ Ἀερίου λόγος.

Quod autem non idem esse possit cum episcopo presbyter, divinus Apostoli sermo declarat, quo quisnam episcopus, quisve presbyter sit intelligitur : nam ad Timotheum episcopum scribens ita loquitur : *Presbyterum ne objurges, sed hortare velut patrem* [1]. **910** Quid autem attinebat episcopo vetare, ut ne presbyterum objurgaret, nisi majorem ipso potestatem obtineret? Quare deinceps admonet : *Adversus presbyterum cito accusationem ne admiseris, nisi duobus tribusve testibus* [2]. Non alicui ex presbyteris præcepit, ut accusationem contra episcopum non admitteret; aut ut episcopum non objurgaret. Videsne quam non mediocris illius ruina sit, quem diabolus labefactarit? C

Καὶ ὅτι μὲν οὐ δύναται ταυτὸν εἶναι, διδάσκει ὁ θεῖος λόγος τοῦ ἁγίου Ἀποστόλου τίς μὲν ἔστιν ἐπίσκοπος, τίς δέ ἐστι πρεσβύτερος, ὡς λέγει Τιμοθέῳ ἐπισκόπῳ ὄντι· *Πρεσβύτερον μὴ ἐπιπλήξῃς, ἀλλὰ παρακάλει ὡς πατέρα.* Τί εἶχε πρᾶγμα ἐπίσκοπον πρεσβυτέρῳ μὴ ἐπιπλήττειν, εἰ μὴ ἦν ὑπὲρ τὸν πρεσβύτερον ἔχων τὴν ἐξουσίαν; Ὡς καὶ πάλιν λέγει· *Κατὰ πρεσβυτέρου μὴ ταχέως κατηγορίαν δέχου, εἰ μή τι ἐπὶ δύο καὶ τριῶν μαρτύρων.* Καὶ οὐκ εἶπέ τινι τῶν πρεσβυτέρων· Μὴ δέξῃ κατηγορίαν κατὰ ἐπισκόπου· οὐδὲ ἔγραψε [περὶ] τῶν πρεσβυτέρων τινὶ μὴ ἐπιπλήττειν ἐπισκόπῳ. Καὶ ὁρᾷς, ὅτι παντὸς τοῦ ἐκ τοῦ διαβόλου παρασαλευομένου ἡ πτῶσις οὐ μικρά τίς ἐστιν;

VII. Sed hominis reliqua videamus. In primis quod ad Pascha pertinet, de quo testimonium illud protulit : *Pascha nostrum immolatus est Christus* [3], illum ipsum intueamur, cujus ista vox est, utrumnam celebrarit ipse. De eo vero sic scriptum est : *Festinabat, ut celebraret Pentecosten Jerosolymis* [4]. Ecquam vero Pentecosten Paulus ageret, nisi Pascha prius obiisset? (84) Quis est uspiam terrarum, qui non in eo consentiat, quartam sextamve feriam solemni in Ecclesia jejunio consecratam? Quod si ex apostolorum Constitutione repetenda nobis auctoritas est, cur illis quartæ sextæque feriæ jejunium perpetua lege sancitur, excepta Pentecoste? Cur sex Paschatis diebus nihil omnino ad cibum præter panem, salem et aquam adhibendum definiunt? D Quamnam vero celebrari diem et in illucescentem Dominicam dimittere præcipiant, nemini esse potest obscurum. Jam vero utri tandem illorum peritiores sunt? An errore deceptus homuncio, qui nunc tandem emersit, et adhuc hodie superstes est? An qui ante nos testes exstiterunt, quique ante nos eam-

Ζ'. Ἴδωμεν δὲ καὶ τὰ ἄλλα αὐτοῦ, καὶ διασκοπήσωμεν. Καὶ περὶ τοῦ Πάσχα πρῶτον εἴπωμεν, ὡς φησι· *Τὸ Πάσχα ἡμῶν ἐτύθη Χριστός*· ἴδωμεν αὐτὸν τὸν εἰπόντα, εἰ οὐκ ἐπετέλει. Καί φησι· *Ἔσπευδεν, ὅπως ποιήσῃ τὴν Πεντηκοστὴν εἰς Ἱερουσαλήμ.* Ποίαν δὲ τὴν Πεντηκοστὴν ἐπετέλει Παῦλος, εἰ μὴ Πάσχα ἐπετέλεσε; Τίνι δὲ οὐ συμπεφώνηται ἐν πᾶσι κλίμασι τῆς οἰκουμένης, ὅτι τετρὰς καὶ Προσάββατον νηστεία ἐστὶν ἐν τῇ Ἐκκλησίᾳ ὡρισμένη; Εἰ δὲ καὶ χρὴ τὸ τῆς Διατάξεως τῶν ἀποστόλων λέγειν, πῶς ἐκεῖ ὡρίζοντο τετράδα καὶ Προσάββατον νηστείαν διὰ παντὸς χωρὶς Πεντηκοστῆς; Καὶ περὶ τῶν ἓξ ἡμερῶν τοῦ Πάσχα πῶς παραγγέλλουσι μηδὲν ὅλως λαμβάνειν ἢ ἄρτου καὶ ἁλὸς καὶ ὕδατος; Ποίαν τε ἡμέραν ἄγειν, πῶς τε ἀπολύειν εἰς ἐπιφώσκουσαν Κυριακήν, φανερόν ἐστι. Τίς δὲ μᾶλλον ἐπίσταται τούτων; Ὁ ἠπατημένος ἄνθρωπος, ὁ νῦν ἐνδημήσας, καὶ ἕως νῦν ἐν τῷ βίῳ περιὼν, ἢ οἱ πρὸ ἡμῶν μάρτυρες γεγονότες, ἔχοντες πρὸ ἡμῶν τὴν παράδοσιν ἐπὶ τῆς Ἐκκλησίας, καὶ οὗτοι παρειληφότες παρὰ τῶν αὐτῶν πατέρων, τῶν τε αὐτῶν πατέρων πάλιν μεμαθηκότων

[1] I Tim. v, 1. [2] ibid. 19. [3] I Cor. v, 7. [4] Act. xx, 16.

mens. et pond. repetit, pag. 182, ut et antecedentem. Sed κυάθους vocat μεδεκώθ. Verum מנקיות a LXX κύαθοι redduntur.

(84) Luculentus est hic Epiphanii locus, ex quo variorum rituum, quos Catholica ac Romana Ecclesia hodieque retinet, vetustas asseritur. Cujusmodi sunt certorum dierum jejunia, preces pro mortuis et sanctorum perinde ac cæterorum fidelium commemorationes. De quibus aliisque compluribus agit in calce hujus operis, in Expositione fidei catholicæ. Quamobrem in illum ipsum locum opportunius conferetur, si quid ad illustrandam catholicorum dogmatum antiquitatem adnotandum videbitur.

Digitized by Google

παρὰ τῶν πρὸ αὐτῶν γεγονότων, πῶς ἡ Ἐκκλησία, παραλαβοῦσα παρὰ τῶν αὐτῆς πατέρων, ἄχρι καὶ τῆς δεῦρο κατέχει τὴν ἀληθινὴν πίστιν, καὶ τὰς παραδόσεις; Καὶ διαπιπτέτω πάλιν ἡ τούτου ἔννοια ἡ περὶ τοῦ Πάσχα. Εἶτα δὲ εἰ μὴ περὶ τῆς αὐτῆς ὑποθέσεως Τετράδων καὶ Προσαββάτων οἱ αὐτοὶ ἀπόστολοι ἐν τῇ Διατάξει ἔλεγον, καὶ ἄλλως ἐκ πανταχόθεν εἴχομεν ἀποδεῖξαι, ὅμως περὶ τούτου ἀκριβῶς γράφουσι. Παρεῖληφε δὲ ἡ Ἐκκλησία, καὶ ἐν ὅλῳ τῷ κόσμῳ συμπεφώνηται· πρὶν [γὰρ] τοῦ εἶναι Ἀέριον καὶ τοὺς ἀπ' αὐτοῦ Ἀεριανούς. Τάχα γὰρ καὶ κατὰ τοῦτο δικαιότατον ὄνομα εἴληφεν. Ἀέριον γὰρ πνεῦμα ἔσχεν ἐξ ἀκαθαρσίας, ἀπὸ τῶν ἀερίων πνευμάτων τῆς πονηρίας, τὸ ἐν αὐτῷ οἰκῆσαν κατὰ τῆς Ἐκκλησίας.

A dem traditionem in Ecclesia tenuerunt, quam et ipsi a parentibus suis acceperant, et ipsorum parentes a majoribus suis didicerant : quemadmodum Ecclesia, quam a patribus suis accepit rectam ac sinceram fidem, cum traditionibus ad hunc diem observat? Facessat igitur falsa illius de Paschate sententia. Quodsi de quarta sextave feria nullam omnino in Constitutione sua mentionem apostoli fecissent, aliis tamen argumentis licebat uti. Quanquam ea de re est ab illis accuratissime scriptum, idque ipsum ab Ecclesia susceptum communi est consensione firmatum, antequam Aerius ullus cum Aerianis exsisteret. Qui mihi propterea merito id nominis adeptus videtur. Aerium quippe spiritum ex impuritate nactus est, **911** de illo aeriorum nequitiæ spirituum grege, qui in ipso adversus Ecclesiam domicilium posuerit.

Η'. Ἔπειτα δὲ περὶ τοῦ ὀνόματα λέγειν τῶν τελευτησάντων, τί ἂν εἴη τούτου προύργιαίτερον; τί τούτου καιριώτερον καὶ θαυμασιώτερον, πιστεύειν μὲν τοὺς παρόντας, ὅτι οἱ ἀπελθόντες ζῶσι, καὶ ἐν ἀνυπαρξίᾳ οὐκ εἰσίν· ἀλλὰ εἰσὶ, καὶ ζῶσι παρὰ τῷ Δεσπότῃ· καὶ ὅπως ἂν τὸ σεμνότατον κήρυγμα διηγήσοιτο[1], ὡς ἐλπίς ἐστιν ὑπὲρ ἀδελφῶν εὐχομένοις, ὡς ἐν ἀποδημίᾳ τυγχανόντων· ὠφελεῖ δὲ καὶ ἡ ὑπὲρ αὐτῶν γινομένη εὐχὴ, εἰ καὶ τὰ ὅλα τῶν αἰτιαμάτων μὴ ἀποκόπτοι· ἀλλ' οὖν γε διὰ τὸ πολλάκις ἐν κόσμῳ ἡμᾶς ὄντας σφάλλεσθαι ἀκουσίως τε καὶ ἑκουσίως, ἵνα τὸ ἐντελέστερον σημανθῇ. Καὶ γὰρ δικαίων ποιούμεθα τὴν μνήμην, καὶ ὑπὲρ ἁμαρτωλῶν· ὑπὲρ μὲν ἁμαρτωλῶν ὑπὲρ ἐλέους Θεοῦ δεόμενοι, ὑπὲρ δὲ δικαίων καὶ Πατέρων καὶ πατριαρχῶν, προφητῶν καὶ ἀποστόλων καὶ εὐαγγελιστῶν καὶ μαρτύρων καὶ ὁμολογητῶν, ἐπισκόπων τε καὶ ἀναχωρητῶν καὶ παντὸς τοῦ τάγματος, ἵνα τὸν Κύριον Ἰησοῦν Χριστὸν ἀφορίσωμεν ἀπὸ τῆς τῶν ἀνθρώπων τάξεως διὰ τῆς πρὸς αὐτὸν τιμῆς, καὶ σέβας αὐτῷ ἀποδῶμεν, ἐν ἐννοίᾳ ὄντες, ὅτι οὐκ ἔστιν ἐξισούμενος ὁ Κύριος τινὶ τῶν ἀνθρώπων, κἂν τε μυρία καὶ ἐπέκεινα ἐν δικαιοσύνῃ ὑπάρχῃ ἕκαστος ἀνθρώπων. Πῶς γὰρ οἷόν τε εἴη τοῦτο; Ὁ μὲν γάρ ἐστι Θεὸς, ὁ δὲ ἄνθρωπος· καὶ ὁ μὲν ἐν οὐρανῷ, ὁ δὲ ἐπὶ τῆς γῆς διὰ τὰ ἐπὶ γῆς λείψανα, πάρεξ τῶν ἀναστάντων καὶ συνεισελθόντων ἐν τῷ νυμφῶνι, ὡς φησι τὸ ἅγιον Εὐαγγέλιον· *Πολλὰ δὲ σώματα τῶν ἁγίων ἀνέστησαν, καὶ συνεισῆλθον αὐτῷ εἰς τὴν ἁγίαν πόλιν.* Ἁγίαν δὲ πόλιν λέγει ποίαν ταύτην; Πληροῦται γὰρ κατ' ἀμφοῖν ὁ λόγος εἰς τὴν ἐνταῦθα, καὶ εἰς τὴν ἄνω. Ὅτι μὲν γὰρ εἰς τὴν ἐνταῦθα Ἱερουσαλὴμ συνεισῆλθον αὐτῷ πρῶτον, τοῦτο δῆλον· πρὶν δὲ τοῦ ἀναβῆναι τὸν Σωτῆρα εἰς τὸν οὐρανὸν, οὐδεὶς γὰρ ἀναβέβηκεν ἕως ὅτε αὐτῷ συνανῆλθον. *Οὐδεὶς γὰρ ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ Υἱὸς τοῦ ἀνθρώπου.* Ἀλλὰ περὶ τούτων ἐν τῷ τόπῳ γενόμενοι τὰς δύο λέξεις ὑπεδείξαμεν. Εἰ δέ τις ἐρεῖ, ὅτι ἄρα εἰς τὴν Ἱερουσαλὴμ εἰσῆλθον, μαθέτω, ὅτι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τῶν θυρῶν κεκλεισμένων παρέστη ὁ Κύ-

VIII. Quod vero spectat ad ritum illum, quo mortuorum nomina pronuntiantur, quid eo esse potest utilius? quid opportunius, aut vero admiratione dignius? Nempe ut qui adsunt certissime sibi persuadeant mortuos vivere, nec in nihilum redactos esse, sed exsistere adhuc atque apud Dominum vivere; tum ut religiosissimum illud dogma prædicetur, quo qui pro fratribus precantur, bene de illis sperare constat, quasi peregre profectis. Cæterum quæ pro mortuis concipiuntur preces, iis utiles sunt, tametsi non omnes culpas exstinguant. Verum ex eo prosunt, quod plerumque, dum adhuc in terra degimus, sponte aut inviti titubemus, ut id, quod perfectius est, significetur. Nam et justorum pariter et peccatorum mentionem facimus : peccatorum quidem, ut iis a Domino misericordiam imploremus; justorum autem et Patrum ac patriarcharum, prophetarum, apostolorum, evangelistarum, martyrum, confessorum, episcoporum, anachoretarum ac cœtus illius universi, ut Dominum Jesum Christum singulari quodam honore prosequentes, ab cæterorum hominum ordine segregemus, debitumque cultum illius majestati tribuamus, dum illud cum animo nostro reputamus : non esse Dominum cum ullis mortalibus adæquandum, quamvis singuli infinita quadam, aut etiam ampliore justitia præditi sint. Nam quæ potest esse comparatio, cum ille Deus, hic homo sit : ille in cœlo, hic in terra, propter relictas ibidem corporis reliquias, versetur, exceptis iis qui a mortuis excitati in thalamum simul ingressi sunt, ut in Evangelio narratur : *Multa vero corpora sanctorum resurrexerunt, et introierunt in sanctam civitatem*[2]? De quanam vero sancta civitate loquitur? Nam ad utramque, tam præsentem videlicet, quam cœlestem illam, locus iste pertinere potest. Et quidem terrenam hanc Jerusalem primum illos ingressos esse nemini dubium est. At priusquam Salvator in cœlum ascenderet, ascenderat nemo, donec illi cum eo pariter evecti sunt : *Nemo enim ascendit in cœlum, nisi qui de cœlo decendit*

[1] F. διηγήσοιντο. [2] Matth. xxvii, 52, 53.

Digitized by Google

Filius hominis [1]. Verum duas ea de re sententias suo loco proposuimus. Quodsi quis Jerusalem ingressos esse dicat, scire debet illa die clausis januis illic astitisse **912** Dominum, *ubi erant discipuli congregati*, iisdemque dixisse: *Pax vobis* [2].

IX. Sed his omissis eo, unde diverteram, redeo ac necessario facere illud Ecclesiam dico, quæ traditum sibi ritum illum a majoribus acceperit. Potest vero quisquam maternam sanctionem, aut legem patris evertere? quemadmodum a Salomone scriptum est: *Audi, fili, sermones patris tui, et ne repellas leges matris tuæ* [3]. Quibus Patrem, hoc est unigenitum Deum cum Spiritu sancto declarat partim scripto, partim sine scripto docuisse; matrem vero nostram Ecclesiam decreta quædam habere penes se, quæ dissolvi evertique nequeunt. Quæ quidem cum in Ecclesia constituta sint, præclara quidem ac penitus admiranda, ex hoc ipso capite veterator ille convincitur. Sed nos, eo relicto, velut scarabæo quodam, aut cantharide, vel bupreste, quod est insecti quoddam genus, ac solido Ecclesiæ dogmate Deique virtute confracto, ad insequentes hæreses cum eodem Dei præsidio transeamus.

A ριος ἔνθα ἦσαν οἱ μαθηταὶ συνηγμένοι, καὶ φησιν αὐτοῖς· Εἰρήνη ὑμῖν.

Θ'. Εἶτα δὲ περὶ τούτου αὖθις ἐπιλήψομαι τῆς ἀκολουθίας, ὅτι ἀναγκαίως ἡ Ἐκκλησία τοῦτο ἐπιτελεῖ, παράδοσιν λαβοῦσα παρὰ πατέρων. Τίς δὲ δυνήσεται θεσμὸν μητρὸς καταλύειν, ἢ νόμον πατρός; ὡς τὰ παρὰ τῷ Σολομῶντι εἰρημένα· Ἄκουε, υἱὲ, λόγους πατρός σου, καὶ μὴ ἀπώσῃ θεσμοὺς μητρός σου· δείξας, ὅτι ἐγγράφως τε καὶ ἀγράφως ἐδίδασκεν ὁ Πατὴρ, τουτέστιν ὁ Θεὸς ὁ μονογενὴς, καὶ τὸ ἅγιον Πνεῦμα· ἡ δὲ μήτηρ ἡμῶν ἡ Ἐκκλησία εἶχε θεσμοὺς ἐν αὐτῇ κειμένους, ἀλύτους, μὴ δυναμένους B καταλυθῆναι. Τεταγμένων τοίνυν τῶν ἐν τῇ Ἐκκλησίᾳ θεσμῶν καὶ καλῶς ἐχόντων καὶ τῶν πάντων θαυμασίων γινομένων, ἐλήλεκται πάλιν καὶ οὗτος ὁ πλάνος. Καὶ τοῦτον δὲ παρελθόντες ὥσπερ κάνθαρον, ἢ κανθαρίδα, ἢ τὸν καλούμενον βούπρηστιν κνώδαλον καταθλάσαντες τῷ ἐκκλησιαστικῷ ἐδραιώματι καὶ τῇ τοῦ Θεοῦ δυνάμει, ἐπὶ τὰς ἑξῆς πάλιν ἴωμεν, τὸν Θεὸν βοηθὸν ἐπικαλούμενοι.

ADVERSUS ANOMŒOS,

Quæ est hæresis LVI, sive LXXVI.

I. Præter hos Anomœi quidam exstiterunt, recens in lucem editi, quorum princeps Aetius diaconus fuit; qui ad eum dignitatis gradum ob ineptias ac nugas suas a Georgio Alexandrino promotus est, eo videlicet ipso, qui Arianorum pariter ac Meletianorum episcopus, Juliano imperante, ut antea docuimus, in camelum impositus, tota urbe ignominiose traductus est. Ac primum ab gentilibus circumseptus ac multa perpessus, atque ad eum quem diximus modum circumductus et fustibus percussus totaque propemodum urbe tractus, in iis suppliciis exstinctus est; ac post obitum concrematus, et cum multis pecudum ac bestiarum ossibus in cinerem redactus atque in ventos dispersus, talem exitum vitæ consecutus est. De quo sic objicere nobis quispiam potest: Cum hæc a gentilibus passus sit, nonne martyrium obiisse videri potest? Verum si pro veritate certamen ejusmodi subiisset, et a gentilibus ob invidiam, vel Christiani **913** nominis professionem hæc ipsi forent inflicta supplicia, procul dubio inter martyres et quidem primarios collocandus videretur. Sed hæc minime propter Christi confessionem sustinuit: quin potius ob omnem illam injuriam ac violentiam, qua episcopatus sui tempore, quoquo eum tandem modo gesserit, civitatem omnem ac populum oppressit, cum præsertim civibus paterna

ΚΑΤΑ ΑΝΟΜΟΙΩΝ,

Πεντηκοστὴ ἕκτη, ἡ καὶ ἑπτακοστὴ ἕκτη.

Α'. Ἀνόμοιοι πάλιν τινές εἰσι καλούμενοι· οὗτοι δὲ πρόσφατοι. Ἔσχον δὲ ἀρχηγὸν Ἀέτιόν τινα διάκονον, προαχθέντα διὰ τὴν αὐτοῦ (82) φλυαρίαν ὑπὸ Γεωργίου τοῦ Ἀλεξανδρέως, τῶν Ἀρειανῶν ἅμα καὶ C Μελετιανῶν γεγονότος ἐπισκόπου, καὶ ἐν χρόνοις Ἰουλιανοῦ, ὡς ἄνω μοι προδεδήλωται, τὴν πόλιν πομπεύσαντος ἐπὶ καμήλου· καὶ πρῶτον μὲν πολλὰ ὑπὸ τῶν Ἑλλήνων συγκλεισθέντος καὶ πεπονθότος, πομπεύσαντός τε, ὡς ἔφην, καὶ ξύλοις παισθέντος, ἔπειτα δὲ συρέντος ὅλην σχεδὸν τὴν πόλιν, καὶ οὕτως ἀποθανόντος, καὶ μετὰ θάνατον καέντος, καὶ μετὰ πολλῶν ὀστέων κτηνῶν καὶ ζώων εἰς τέφραν συναχθέντος. καὶ μετέπειτα τοῖς ἀνέμοις ὑπ' αὐτῶν λικμηθέντος, καὶ οὕτως τὸ πέρας ἐσχηκότος. Λέξειε δ' ἄν τις περὶ τοῦ οὕτως τετελευτηκότος· Οὐκοῦν ἐμαρτύρησεν ὑπὸ Ἑλλήνων ταῦτα πεπονθώς; Καὶ εἰ μὲν ὑπὲρ ἀληθείας αὐτῷ ἦν ὁ ἀγὼν, καὶ ὑπὸ Ἑλλήνων διὰ φθόνον καὶ τὴν εἰς Χριστὸν ὁμολογίαν τὰ τοιαῦτα αὐτῷ συμβέβηκεν, ὄντως ἐν μάρτυσι καὶ οὐκ ἐν μικροῖς ἐτέτακτο· οὐκ ἦν δὲ τὸ αἴτιον διὰ τὴν εἰς Χριστὸν ὁμολογίαν, ἀλλὰ δι' ἣν ἐν τῇ ἑαυτοῦ δῆθεν ἐπισκοπῇ καλουμένῃ πολλὴν βίαν τὴν πόλιν τε καὶ τὸν δῆμον διέθετο, πῇ μὲν ἁρπάζων τοὺς ἀνθρώπους τὰ ὑπὸ τῶν γονέων αὐτῶν κληρονομήματα. Καὶ ἵνα μὴ διαβάλλωμεν τὸν ἄνδρα· πολλὰ γάρ ἐστι τὰ ὑπ' ἐκείνου τοῖς Ἀλεξανδρεῦσι γενόμενα, πῶς μὲν τὴν νίτρον [4] ἅπασαν ἐξέλαβε (83), πῶς δὲ τὰ ἕλη τὰ τῆς

[1] Joan. III, 13. [2] Joan. XX, 19. [3] Prov. I, 8. [4] γρ. τὴν τρίτην.

(82) *Προαχθέντα διὰ τὴν αὐτοῦ.* Constans est in ea opinione, quam supra proposuit, ut Aetium, quem a Leontio Antiocheno cæteri diaconum ordinatum asserunt, a Georgio Alexandrino id dignitatis consecutum existimet.

(83) *Πῶς μὲν τὴν νίτρον ἅπασαν ἐξέλαβε.* *Nitrariæ egregiæ Ægyptiis*, ait Plinius lib. XXXI, cap. 10. Hinc Nitria Ægypti præfectura, a nitri copia, ut refert Sozomenus lib. VI, cap. 30. Horum igitur ac reliquorum vectigalium redemptor fuerat Georgius: quod ἐκλαβεῖν appellat Epiphanius. Neque enim aliter interpretari ista possumus.

Digitized by Google

παπύρου καὶ τοῦ καλάμου, καὶ τὰς λίμνας τοῦ ἁλὸς διοικεῖν καὶ εἰς ἑαυτὸν ἀποφέρεσθαι ἐπενόησεν. Ὡς πᾶσα αἰσχρότης βίου κέρδους διὰ πολλῆς μηχανῆς, ἄχρι καὶ λεπτῶν πραγμάτων, παρ' αὐτῷ οὐκ ἠμέλητο. Ὡς καὶ κλίνας ἐπενόησε (84) τοῖς σώμασι τῶν ἐξοδευόντων ποιῆσαι ἐν ἀριθμῷ τινι· καὶ ἄνευ τῶν ὑπ' αὐτοῦ ἐπιτεταγμένων οὐκ ἐξεκομίζετο σῶμα τῶν τελευτώντων, ἐπιπλεῖστον δὲ τῶν ξένων· οὐ διὰ φιλοξενίαν, ἀλλὰ, καθὼς ἔλεγον, διὰ πορισμὸν βιώδη. Εἴ τις γὰρ ἔθαπτε δι' ἑαυτοῦ σῶμα, κίνδυνον ὑφίστατο. Οὕτως δὲ ὑφ' ἑκάστου τῶν ἐκφερομένων κέρδος τι αὐτῷ προσεφέρετο. Καὶ σιωπῶ τὰ ἄλλα λέγειν (85), ὅσα ὁ ἀνὴρ ἐν τρυφαῖς καὶ ἄλλοις ἐκομίζετο καὶ ἐν ἀπηνότητι. Διὰ γοῦν ταῦτα πάντα τὴν εἰς αὐτὸν μῆνιν κεκρατηκότες Ἀλεξανδρέων παῖδες, Ἕλληνες δὲ μάλιστα, τοῦτο αὐτὸν διέθεντο τὸ τέλος. Ἐμοὶ δὲ γέγονε πρόφασις περὶ τούτου λέγειν, ὡς, ἐνηχηθέντες τὴν τοῦ Κωνσταντίου τελευτήν, εὐθὺς οὕτως αὐτὸν ἀπώλεσαν οἱ αὐτοὶ Ἀλεξανδρεῖς, δι' οὐδὲν ἕτερον [ἢ περὶ τούτου μοι γεγένηται ὑπόθεσις], ἀλλὰ διὰ τὸν Ἀέτιον τὸν ὑπ' αὐτοῦ κατασταθέντα διάκονον.

A bona ac possessiones eriperet. Neque vero calumniari hominem volumus; variis enim hic Alexandrinos incommodis affecit, velut cum nitrarias omnes officinas redemit, una cum papyri calamique paludibus, nec non et salinaria omnia stagna, quæ conducere et ad sese transferre studuit: cujus tantæ præterea sordes avaritiæ fuerunt, ut etiam vilissimis ex rebus illiberalem omnem quæstum summa ope ac contentione captaret. Nam inter cætera lecticariorum, ad efferenda mortuorum cadavera, certum numerum instituit: neque cuiquam sine his, quos huic officio præposuerat, mortuum licebat exportare, peregrinum maxime. Quod non hospitalitatis amore faciebat, sed lucri, uti dixi, pecuniæque gratia. Quodsi quis mortui corpus per B sese sepeliret, in periculum vocabatur. Igitur ex unoquoque cadavere quæstus aliquid ad ipsum redibat. Mitto cætera, in primisque luxum ejus omnem, una cum cæteris vitiis ac crudelitate præsertim. Quibus de causis, cum Alexandrini ac gentiles præsertim vetus in illum odium jampridem foverent, ejusmodi illum genere mortis affecerunt. Quem ad ejus casum commemorandum et atrocissimum illud supplicium, quo statim atque audita Constantii mors est, ab Alexandrinis interemptus est, nulla alia occasione sum deductus, quam quod de Aetio disputandum nobis esset, qui ab illo diaconus est ordinatus.

Β'. Οὗτος ὁ Ἀέτιος κατὰ τὸν κοσμικὸν λόγον ἀπαίδευτος ἦν ἕως τῆς τελείας αὐτοῦ ἡλικίας, ὡς ὁ λόγος. Ἐπενόησε δὲ, ὑποβὰς καὶ σχολάσας ἐν Ἀλεξανδρείᾳ Ἀριστοτελικῷ [τινι] φιλοσόφῳ καὶ σοφιστῇ, καὶ τὰ τῆς διαλεκτικῆς ὅθεν ἐκείνων μαθών, οὐδὲν ἕτερον πλὴν C σχηματοποιεῖν τὴν περὶ τοῦ Θεοῦ λόγου ἀπόδοσιν. Σχολαίτερον ἐπεχείρει ὁρθρίζων ἅμα καὶ ἐνδελεχῶς ἄχρις ἑσπέρας εἰς τοῦτο καθεζόμενος· φημὶ δὲ εἰς τὸ διὰ γεωμετρίας τινὸς καὶ διὰ σχημάτων περὶ Θεοῦ λέγειν τε καὶ ὁρίζειν, διδάσκων τε καὶ τελῶν. Οἷα δὲ Ἀρειανὸς βαθύτατος, καὶ τὴν Ἀρείου ἔχων μανιώδη διδασκαλίαν, περισσοτέρως τις λυμεὼν γέγονε τούτοις κατατριβόμενος, καὶ κατὰ τοῦ Υἱοῦ τοῦ Θεοῦ καὶ κατὰ τοῦ ἁγίου Πνεύματος τὴν γλῶσσαν αὐτοῦ καθ' ἑκάστην ἡμέραν ὀξύνας. Οὗτος δὲ κατηγορεῖται ὑπό τινων, καὶ τῷ αὐτῷ Κωνσταντίῳ δηλοῦται, καὶ ὑφίσταται ἐξορίαν ἐν τοῖς τοῦ Ταύρου μέρεσιν· ἐν ᾧ τόπῳ πάντα τὰ τῆς αὐτοῦ κακοδιδασκαλίας ἐπλάτυνε, καὶ ἐφώρασεν εἰς μέσον φέρων μετὰ παῤῥησίας, ἀποτραχύνων τὸ μέτωπον ἐν ἀναισχυντίᾳ περιττοτέρᾳ, τὰς D ἐξεμέσεις τῆς αὐτοῦ κακοδιδασκαλίας ἀπαραλείπτως ὑπέδειξεν. Ἐτόλμησε γὰρ εἰπεῖν, ἀνόμοιον τὸν Υἱὸν τῷ Πατρὶ ὑπάρχειν, καὶ οὐ ταυτὸν εἶναι τῇ θεότητι πρὸς τὸν Πατέρα· καὶ οὐδ' ὅτι ἡμεῖς τῷ ὁμοιώματι ἐπερειδόμεθα. Ὑπὲρ γὰρ τὴν ὁμοίωσιν οἴδαμεν τὸν

II. Hic igitur Aetius ad adultam ætatem usque exterarum disciplinarum, uti narrant, fuit omnino rudis. Tandem vero cum Alexandriæ Aristotelico cuidam philosopho ac sophistæ navasset operam, ab eoque dialecticam didicisset, totus in illud incubuit, ut divinarum rerum rationem omnem quibusdam figuris explicaret. Id quod summo in otio a prima luce ad vesperam usque sedens pertinaci opera contendebat: nimirum ut geometricas figuras divinas ad res tractandas, **914** definiendas docendasque transferret. Atque ut sese in Arianorum sectam altius immerserat, et insanam Arii doctrinam hauserat, illorum velut afflictu quodam attrituque longe pestilentior evasit, et adversus Dei Filium ac Spiritum sanctum linguam suam in dies exacuit. Sed a nonnullis ad Constantium delatus, in subjectam Tauro monti regionem relegatur: ibi perniciosam suam doctrinam longe lateque propagavit, ac palam et audacter perfrictiorique quam antea fronte acerbissimum erroris illius, quem evomuerat, virus in medium sine ulla intermissione protulit. Ausus est enim dissimilem Patri Filium, nec eumdem divinitate esse cum illo profiteri: atqui ne nos quidem similitudine ipsa magnopere nitimur, quippe qui in Filio, si

(84) Ὡς καὶ κλίνας ἐπενόησε. Quod a catholicis imperatoribus proba ac laudabili lege constitutum Constantinopoli quidem maxime a Constantino; nam a decanis et lecticariis publice elata sunt corpora, quos et κοπιατάς et *vespillones* nominant, de quibus in calce operis hujus. At Georgius Arianus, mortalium omnium sordidissimus, ex ea re lucrum ac compendium captabat.

(85) Καὶ σιωπῶ τὰ ἄλλα λέγειν. Verbum κομίζεσθαι aliter fortassis interpretandum, quam ut in Latinis nostris exprimitur: nimirum quæstum ex re qualibet fecisse Georgium, utputa ex lautitiis et cupediis, quæ Alexandriæ vendebantur, maxime in εὐδαιμόνων λαύρᾳ, de qua ad Arian. hær. dictum est, tum cæteris ex rebus. Quibus accedunt quæ per summam crudelitatem exigebat; nam Alexandrinorum episcoporum magna Alexandriæ potestas fuit. De Dioscori Alexandrini itidem episcopi iniquis ac tyrannicis exactionibus multa sparsim exstant in Chalced. synodo.

Digitized by Google

cum Patre conferatur, similitudine quiddam amplius agnoscimus, eo quod idem divinitate sit, et æqualis, nec ullo modo diversus. Cæterum etsi pleraque assimilari Deo dicantur, non tamen, si de æqualitate loquamur, eadem cum divinitate sunt : sic enim homo ad imaginem Dei similitudinemque factus [1], non idem cum illo æqualitate est; sic regnum cœlorum grano sinapis simile est [2], non tamen granum illud idem est cum regno, nec ejusdem cum illo naturæ particeps est. Idem præterea regnum modo fermenti simile [3], modo decem virginum [4], modo patrisfamilias [5] asseritur : quod quidem de similitudine, non eadem substantia par est accipi. Filius autem cum et Patri similis sit, et plus quam similis, quod idem æqualisque sit, non solam in eo similitudinem comprobare omni ope studemus, sed eumdem æqualemque monstrare, perinde ac Deum de Deo et ex Patre Filium, nec ab ejus substantia diversum, sed ab ipso genitum, quod ipsum de Spiritu sancto non minus affirmamus. At egregius ille Aetius, ne similem quidem Patri Filium pronuntiare voluit. Quanquam nos non sola similitudine freti constitutum fidei dogma ac Trinitatis cultum honoremque suscipientes, illud unum profitemur. Nam et argentum stanno simile est, et aurum æri, et plumbum ferro, et pretiosi lapides vitro; nec similitudo ipsa naturam, sed expressionem atque effigiem demonstrat.

A Υἱὸν πρὸς τὸν Πατέρα, ὡς ταυτὸν τῇ θεότητι καὶ ἴσον, καὶ οὐδ' ὅλως ἠλλοιωμένον. Ἔστι γὰρ πολλὰ ἀφωμοιωμένα τῷ Θεῷ, ἀλλ' οὐ ταυτὸν, ἴσα ὑπάρχοντα τῇ θεότητι· ὡς καὶ ὁ ἄνθρωπος κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν, ἀλλ' οὐ ταυτὸν τῷ Θεῷ πρὸς ἰσότητα. Καὶ ὁμοία ἡ βασιλεία τῶν οὐρανῶν κόκκῳ σινάπεως, ἀλλ' οὐ ταυτὸν τῇ βασιλείᾳ, οὐδ' ὅλως μετέχον τι τῆς αὐτῆς καὶ ὁμοίας ζύμης. Καὶ ὁμοία δέκα παρθένοις, καὶ ἀνδρὶ οἰκοδεσπότῃ ὡς πρὸς ὁμοίωσιν, ἀλλ' οὐ κατὰ ταυτότητα. Τοῦ δὲ Υἱοῦ ὁμοίου ὄντος τῷ Πατρὶ καὶ ὑπερομοίου, διὰ τὸ ταυτὸν εἶναι πρὸς τὸν Πατέρα καὶ ἴσον Πατρὶ, οὐ τὸ ὅμοιον συνιστᾷν ἡμῖν μόνον ἐπιμελὲς πεφιλοτίμηται, ἀλλὰ ταυτὸν καὶ ἴσον, ὡς Θεὸν ἐκ Θεοῦ, καὶ Υἱὸν ἐκ Πατρὸς, καὶ οὐκ ἀλλοῖον τῆς οὐσίας, ἀλλ' ἐξ αὐτοῦ γεγεννημένον· οὗτω καὶ περὶ τοῦ ἁγίου Πνεύματος. Τούτῳ δὲ τῷ γενάδᾳ Ἀετίῳ οὐδὲ τὸ ὅμοιον πρὸς Πατέρα τὸν Υἱὸν ἀξιοῦν ἔδοξεν. Οὐ τῷ ὁμοίῳ δὲ αὐτοὶ ἐπερειδόμενοι μόνον τὴν σύστασιν τῆς πίστεως, καὶ τὸ γεραίρειν τὴν Τριάδα ἀληθῶς ἐνιστάμενοι ὁμολογοῦμεν. Καὶ γὰρ καὶ ἄργυρος κασσιτέρῳ ὁμοιοῦται, καὶ χρυσὸς χαλκῷ, καὶ μόλιβδος σιδήρῳ, καὶ λίθοι τίμιοι ἐξομοιοῦνται ὑέλῳ, καὶ οὐ τὸ ὅμοιον τὴν φύσιν δηλοῖ, ἀλλὰ τὸ ἀπείκασμα.

III. Quod autem ad Scripturam attinet, quæ Filium Dei invisibilis imaginem appellat, nos sacrarum Litterarum vim divino beneficio penitus assecuti, **915** quæ sic Pharisæos compellat : *Nescitis Scripturas, neque virtutem* [6], duplicem hanc habitudinem esse novimus. Verumtamen explicandi gratia, et abusione quadam ex humano illud more transferimus. Quippe et hominis imago quoque dicitur; neque tamen similis est. Nam altera coloribus duntaxat effigiata, altera eamdem ex generatione substantiam obtinet, cum genitus Filius quamdam generis sui notam ac formam comparatione Patris accipiat : tum in eo vero non effigies modo cernitur, sed et natura eadem et substantia adeoque vera illius expressio. Igitur unigenitus Dei Filius idem cum divinitate ac majestate Patris est, et æqualis germana quadam imagine ac similitudine, quæ nulla ratione discrepet, tanquam Filius a Patre reipsa, et cum eadem substantia genitus. Idem porro de Spiritu sancto statuere nos oportet quod a Patre procedat, tametsi non generetur, id quod unigeniti Filii ratio minime patitur. Sed Aetius veritatis professioni vehementius repugnare studens, ne Filii quidem cum Patre similitudinem fateri voluit. In quo ab Arianis cæteris dissentit, qui a Luciano et Origene erroris occasionem nacti sunt, et cum Asterio quodam sophista versati sunt; qui in persecutione Maximiani Christianam fidem ejuGʹ. Ἐνταῦθα δὲ ἡμεῖς καὶ περὶ τῆς Γραφῆς ὁμολογούσης τὸν Υἱὸν εἰκόνα Θεοῦ τοῦ ἀοράτου ὑπάρχειν, τὴν δύναμιν τῆς θείας Γραφῆς ἐκ θείας δωρεᾶς ἠκριβωκότες, τῆς φησάσης Φαρισαίοις· *Οὐκ οἴδατε τὰς Γραφὰς, οὐδὲ τὴν δύναμιν τοῦ Θεοῦ*· ἐπιστάμεθα οὖν διττὴν οὖσαν ταύτην τὴν σχέσιν. Τὴν ἀπόχρησιν δὲ ὡς ἀπὸ ἀνθρώπου λαμβάνοντες πρὸς παράστασιν φράσεως δηλοῦμεν. Καὶ γὰρ καὶ ἀνθρώπου εἰκὼν λέγεται, καὶ οὐχ ὁμοία. Ἡ μὲν γάρ ἐστι διὰ χρωμάτων ἀπεικαζομένη, ἡ δὲ διὰ τῆς γεννητικῆς ὁμοουσιότητος, ὡς τοῦ γεννωμένου Υἱοῦ πρὸς τὸν Πατέρα χαρακτηρίζοντος τὸ γένος· ἀπεικονίσματος δὲ λοιπὸν εὑρισκομένου ταυτότητός τε καὶ ὁμοουσιότητος καὶ ἐκτυπώματος. Καὶ ἔστιν ἡμῖν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ ταυτὸν μὲν τῇ τοῦ Πατρὸς θεότητι καὶ ἀξίᾳ, καὶ ἴσος διὰ τῆς ἀληθινῆς εἰκόνος καὶ ὁμοιώσεως οὐ παρηλλαγμένης, ἀλλ' ἀπαραλλάκτου, ὡς Υἱὸς ἐκ Πατρὸς ἀληθινῶς καὶ ὁμοουσίως γεγεννημένος. Οὕτω καὶ ἐπὶ τοῦ ἁγίου Πνεύματος, διὰ τὸ ἐκ Πατρὸς ἐξελθεῖν, εἰ καὶ οὐ γεγέννηται, διὰ τὸ τοῦ Υἱοῦ μονογενές. Οὗτος δὲ ὁ Ἀέτιος, περισσοτέρως βουληθεὶς ἀντιστῆναι τῇ τῆς ἀληθείας ὁμολογίᾳ, οὐδὲ τὸ ὅμοιον Υἱοῦ πρὸς Πατέρα πειρᾶται ὁμολογεῖν. Οἱ μὲν γὰρ ἄλλοι τῶν Ἀρειανῶν, τῶν ἀπὸ Λουκιανοῦ τε καὶ Ὠριγένους λαβόντες τὴν πρόφασιν, γεγονότες ἅμα Ἀστερίῳ τινὶ (86) ἀπὸ σοφιστῶν ὄντι, ἐκπεσόντι δὲ ἐν τῷ διωγμῷ τῷ ἐπὶ Μαξιμιανοῦ γεγονότι· τινὲς μὲν γὰρ αὐτῶν, ὡς ἐν ταῖς ἄνω μοι αἱρέσεσι δεδήλωται,

[1] Gen. I, 27. [2] Matth. XIII, 31. [3] ibid. 33. [4] Matth. XXV, 1. [5] Matth. XX, 1. [6] Marc. XII, 24.

(86) *Γεγονότες ἅμα Ἀστερίῳ τινί.* De quo Socrates lib. I, cap. 36, Sozom lib. II, cap. 31. Meminit et Athanasius lib. *De synodis*. Hic quod in persecutione sacrificasset, ordinari, quod apprime cupiebat, non potuit.

Digitized by Google

ὅτι κτίσμα τὸν Υἱὸν τοῦ Θεοῦ ἕκαστος τῶν προειρημένων ὡρίσατο, καὶ τὸ Πνεῦμα τὸ ἅγιον κτίσμα κτίσματος ἐδίδαξαν· τινὲς δὲ ἔλεγον ὅμοιον εἶναι τὸν Υἱὸν τῷ Πατρὶ, εἰ καὶ κτίσμα αὐτὸν ὡρίσαντο. Οὗτος δὲ τὸ πᾶν τῆς ἐκείνων μὲν εἰρωνείας, ἰδίας δὲ ἀσεβείας ἀπεκάλυψε τηλαυγῶς τὸ τοῦ δόγματος πρὸς τὸν Κύριον ἀπηνές τε καὶ ἀναίσχυντον. A

ravit : nam cum illorum nonnulli, ut in superioribus hæresibus ostendimus, Filium Dei creaturam, Spiritum vero sanctum creaturæ creaturam esse docuerint, alii qui commune illud de creatura tenerent, Filium Patri similem esse confessi sunt. At Aetius iste omnem illorum cavillationem cum impietate sua propalam præ se ferens, immane contra Dominum et impudentissimum dogma proposuit.

Καὶ ὡς μὲν ἔχει ἡ ἀλήθεια, δικαιότατα πρὸς τοὺς τὸ κτίσμα παρεισφέροντας ἀποτείνεται ἡ τούτου τοῦ Ἀετίου τε καὶ Ἀνομοίου λεγομένου τοῦ λόγου ἀκριβολογία. Πᾶν γὰρ τὸ κτιστὸν ἀνόμοιον τυγχάνει τῷ κεκτικότι, κἂν τε κατὰ χάριν ἀφομοιοῖτο· καὶ ὁ κτίσας τῷ κεκτισμένῳ ἀνόμοιος ὑπάρχει, εἰ καὶ χρώμασι διαφόροις αὐτὸ κοσμεῖν πειράσοιτο· εἰ μή τι ἂν πρὸς ἀπεικασμὸν καὶ ἀπεικόνισμα κατὰ μίμησιν μόνον θεωρίας ἐστὶ τὸ ἐκτυπούμενον. Καὶ ὡς μὲν πρὸς Ἀρειανοὺς τοὺς κτιστὸν νομίζοντας τὸν Υἱὸν τοῦ Θεοῦ καὶ τὸ ἅγιον Πνεῦμα ἴσχυσεν ἂν ὁ τούτου λόγος, ὡς καὶ ὕστερον ὑπ' αὐτῶν τῶν Ἀρειανῶν (87), φημὶ δὲ τῶν περὶ Εὐδόξιον καὶ Μηνόφιλον καὶ ἄλλους, καὶ ἀποσύνακτος γενόμενος διήλεγχεν ἐπὶ τοῦ βασιλέως τότε· ὅτι Ὁποίως αὐτοὶ ἔχουσιν, ἐγὼ ἔχω, ὡς καὶ αὐτοὶ πάντες· ἀλλ' ὃ ἐν ἐμοὶ ἀληθὲς, αὐτοὶ κρυπτάζουσι· καὶ ὃ ἐγὼ τηλαυγῶς ὑποφαίνω καὶ ὁμολογῶ, οὗτοι πάντες τὰ αὐτὰ λέγουσι, κρυπτάζονται δὲ, τοῦ τότε [1] βασιλέως. Οὐκ ἐναντίως ἔχοντος πρὸς τὴν Ἀρειανὴν δραματουργίαν, ἀλλὰ δῆθεν εὐσεβεῖν νομίζοντος. Τὸ μὲν γὰρ κτίσμα ὁμολογεῖν τὸν Υἱὸν τοῦ Θεοῦ παραιτούμενος, ἠγανάκτει, καὶ εἰς ὑπερορισμὸν κατέταξεν, ὡς ἄνω προδεδήλωται. B C

Atque, ut ingenue fatear, Aetii hujus, sive Anomœi subtilis illa ratio illos recta ac merito petit qui Filium Dei creaturam esse defendunt. Etenim quidquid creatum est, creatori suo dissimile est, tametsi per gratiam nonnihil assimiletur ; et creator ipse rei a se creatæ dissimilis est, quamvis variis eam coloribus perpolire contendat, nisi effigiem quamdam et adumbrationem in eo, quod expressum est, inesse dicamus, quæ ad contemplationis imitationem pertinet. Quare adversus Arianos, qui Dei Filium creatum esse putant, illius procedebat ratio, **916** unde postea, cum ab Arianis ipsis, hoc est Eudoxio et Menophilo ac reliquis, communione privatus esset, eosdem coram imperatore redarguit, asserens idem se profiteri ac sentire cum illis omnibus : Verum, inquiebat, quod penes me verum est, isti dissimulant; et quod ego præ me fero ac palam confiteor, illi omnes non diffitentur, sed fraudulenter obtegunt. Etenim qui tum imperabat, ab Ariana illa tragœdia nequaquam abhorrebat, sed in ea tuenda pietatem ac religionem inesse sibi persuaserat. Idemque Filium creaturam esse dici molestius ferebat, proindeque Aetium in exsilium relegari jussit, ut antea narravimus.

Δ'. Ἐντεῦθεν ἀρχὴ τῆς αἱρέσεως γεγένηται· καὶ ἀπὸ τῆς μιᾶς ὑποθέσεως εἰς πολλὴν κακῶν φορὰν ἁρθεὶς ὁ ἀνὴρ τὴν διάνοιαν, δεινῶς κατέτρωσεν ἑαυτοῦ τὴν ψυχὴν καὶ τῶν [αὐτῶν] αὐτῷ πεισθέντων. Ἐφαντασιάσθη γὰρ οὗτος ὕστερον εἰπεῖν αὐτός τε καὶ οἱ ὑπ' αὐτοῦ μεμαθητευμένοι, ὅτι « Οὕτως, » φησὶ, « τὸν Θεὸν ἐπίσταμαι τηλαυγέστατα, καὶ τοσοῦτον αὐτὸν ἐπίσταμαι, καὶ οἶδα, ὥστε μὴ εἰδέναι ἐμαυτὸν, ὡς Θεὸν [μᾶλλον] ἐπίσταμαι. » Ἄλλα δὲ ὅσα περὶ τούτου ἀκηκόαμεν, καθὼς δεινῶς ὁ διάβολος κατ' αὐτοῦ ἐμηχανήσατο, ψυχὰς ἀνθρώπων δελεασθέντων ἀπολέσαι. Καὶ γὰρ οὐκ ἄγεται αὐτοῖς περὶ βίου σεμνότητος, οὐ περὶ νηστειῶν, οὐ περὶ ἐνταλμάτων Θεοῦ, οὐ περί τινος ἑτέρου τῶν εἰς ζωὴν ἀνθρώποις ἐκ Θεοῦ προστεταγμένων, ἢ μόνον πρόχειρος αὐτοῖς ὁ λόγος δι' ἑνὸς ῥήματος τὸ πᾶν· ὡς εἴ τις, ἀπὸ νηὸς ῥίψας, καὶ τὴν πᾶσαν ἐκβολὴν τοῦ παντὸς φόρτου ποιήσας, κατάσχῃ δὲ ἔν τι τῶν ἐν τῷ πλοίῳ ἐμβεβλημένων, κεράμου τέ φημι ἢ τινος ἑτέρου, ὡς δύνασθαι δι' ἑνὸς σκεύους τὸν πάντα πόντον διανήξα- D

IV. Hinc novæ hæresis primordia conflata sunt, atque ex hoc uno argumento multiplicem ad malorum segetem hæretici hominis sublatus animus, tam sibi quam suis gravissimam plagam inflixit. Qui quidem omnes tantam ad cæcitatem insolentiamque provecti sunt, ut illud vulgo jactarent : « Tam perspicue Deum novi, ac tantam illius notitiam sum consecutus, ut ne meipsum quidem melius quam Deum noverim. » Sunt et alia quam plurima, quæ de eodem accepimus, quemadmodum per illum diabolus majorem in modum id egerit, ut captatas hominum animas in exitium traheret. Etenim nulla apud illos cura sanctitatis est; aut jejuniorum, aut mandatorum Dei cæterarumve rerum, quæ hominibus divino mandato præscriptæ sunt. Atque ad omnia unum in promptu verbum illis est : in quo perinde illis accedit ac naviganti alicui, qui ejectione mercium omnium facta, quidpiam eorum, quæ in navem imposita sunt, retinuerit, puta fictile aliquod vas, aut alterius generis,

[1] F. Ἀλλὰ τοῦ τότε.

(87) *Ὕστερον ὑπ' αὐτῶν τῶν Ἀρειανῶν.* Ab iis videlicet episcopis, qui ex utroque concilio, Ariminensi ac Seleuciensi, Constantinopolim ad Constantium missi erant : quibuscum disputavit Aetius. Sozomenus lib. IV, cap. 22.

Digitized by Google

cujus præsidio totum mare nando trajicere ac salutem comparare sibi possit; qui si aliquo fortasse casu exciderit, neque ex illo vaso, quem sperabat exitum consequi potuerit, tum vero fluctibus haustus totum hoc negotium cum salute pessundabit: sic Aetius ejusque sectatores Anomœi quod in Evangelio dictum a Domino legitur afferentes in medium, verbis quidem ipsis utuntur, sed eorum vim cum recte non intelligant, utrique vehementer aberrant. Cum enim occurrens iis aliquis divinorum præceptorum mentionem injicit, ex illius **917** auctoritate dicti subjiciunt: « Nihil aliud a nobis flagitare Deum, quam ut cognoscamus ipsum, quemadmodum Christus declaravit his verbis: *Da ipsis, Pater, habere in seipsis vitam. Hæc est autem vita, ut cognoscant te solum verum Deum, et quem misisti Jesum Christum*[1]. » Nam et nonnullos referentes audivimus, quod de illo se palam audisse testificarentur, cum quidam ob stuprum feminæ illatum accusarentur, et ab aliis damnarentur, nihil illum commotum, sed factum illud risu ac ludibrio prosequentem dixisse, nullius hoc esse momenti. Corporis enim hanc esse necessitatem ac functionem, quemadmodum aurem nonnunquam scalpimus (quanquam ea recensere non sine rubore possumus quæ impurus ille jactabat), sed ut, inquiebat, pinnula, vel festuca aurem scalpimus, atque hoc modo pruritus desinit, sic et id naturaliter nobis evenit, neque quisquam ea re facienda peccat.

V. Hæc et alia tum ejusmodi narrabat, ac dissolute et nequiter docebat, ut vel ex ipsis factis, cujusmodi fuerit ille, constet, nosque ipsi Domini verbis, velut luce quadam, collustremur, qui sic admonet: *Attendite a falsis prophetis, qui veniunt ad vos in vestimentis ovium, intrinsecus autem sunt lupi rapaces. A fructibus eorum cognoscetis eos. Nunquid colligunt de spinis uvas, aut de tribulis ficus*[2]? Sic igitur stolidissima illius in omnibus audacia hinc et illinc redarguitur: utpote qui contra Dominum ipsum effrenatum os attollere non dubitavit, in eumque sine ullo pudore maledicta conjecit, ut ex ipsis petulantiæ ac dissolutæ libidinis fructibus prudentiores quique periculum illius facientes ab iisdem illis colligendis abstineant. Neque enim e spinis uva demeti potest, ut ex depravata doctrina sanctitas oriatur. Verum hæc de homine illo ab aliis accepta didicimus: in illius porro dogmatibus cum multa sint furiosæ adversus Dominum ejus insolentiæ consentanea, pauca hoc loco de multis proferam, unaque ad ea refutanda dicam, quæ Dominus dicenda concesserit. Sane quidem ejusmodi est Anomœi illius in stabiliendo dogmate calumnia, nihil ut aliud præter sententiarum umbras **918** ac similitudines consectetur, quæ tametsi ex Scripturis ipsis afferantur, longe tamen alium sensum continent, ut cum aliam omnino vim et potestatem habeant, ab illo tamen contrariam ad mentem detorqueantur.

A σθαι, καὶ σωτηρίαν ἑαυτῷ προσπορίσασθαι· σφαλέντος δὲ τοῦ τοιούτου, καὶ οὐχ ὡς ὑπελάμβανε περὶ τοῦ μετὰ χεῖρα σκεύους τὸ πέρας εὑρόντος, ὕστερον ὑποβρυχίου γεγονότος, ἐκπεσεῖν τῆς πάσης πραγματείας τε καὶ σωτηρίας· οὕτω καὶ οὗτος ὁ Ἀέτιος καὶ οἱ ἐξ αὐτοῦ Ἀνόμοιοι, εἰς μέσον φέροντες τὸ ῥητὸν τὸ ὑπὸ τοῦ Κυρίου ἐν τῷ Εὐαγγελίῳ εἰρημένον, τὴν μὲν λέξιν ὑφηγοῦνται, τὴν δὲ αὐτῆς δύναμιν οὐκ ὀρθῶς κατέχοντες, σφάλλεται καὶ σφάλλονται. Ὅταν γὰρ αὐτοῖς περιτύχοιέ τις, καὶ περὶ ἐντολῶν ὑπομνήσειε, τοῦτο φάσκουσιν, ὡς ἔφη τὸ ῥητὸν, ὅτι « Οὐδὲν ἕτερόν ἐστιν ὃ ζητεῖ Θεὸς παρ' ἡμῶν, ἀλλ' ἵνα γινώσκωμεν αὐτὸν μόνον, ὡς καὶ ὁ Χριστὸς ἔφη, φησὶν, ἐν τῷ λέγειν αὐτόν· *Δὸς αὐτοῖς, Πάτερ, ἔχειν ἐν ἑαυτοῖς ζωήν. Αὕτη δέ ἐστιν ἡ ζωὴ, ἵνα γινώσκωσί*
B *σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν.* » Ἀκηκόαμεν γὰρ καί τινων λεγόντων, ὡς παρ' αὐτοῦ ἐναργῶς ἀκηκόασιν, ὧς τινες κατηγοροῦντο ἐπὶ ἀτοπήματι γυναικὸς ἁδόντες[3], καὶ κατεγινώσκοντο ὑπ' αὐτῶν. Ὁ δὲ οὐδὲ περὶ τούτων χαλεπῶς ἔφερεν· ἀλλὰ καὶ μάτην ἐχλεύαζε, φάσκων μηδὲν εἶναι τὸ τοιοῦτον. Σωματικὴ γάρ ἐστιν ἡ χρεία καὶ ἡ ὑπηρεσία· ὥσπερ γὰρ, φησὶ, περὶ τὸ οὖς κνηθόμεθα (καὶ αὐτὸς μὲν αἰδοῦμαι λέγειν ὅσαπερ ἐκεῖνος ἀκάθαρτος διηγήσατο), λαβόντες δὲ, φησὶ, πτερὸν ἢ κάρφος, τὸ οὖς κνηθόμεθα, καὶ οὕτω παυόμεθα τῆς περὶ τὴν ἀκοὴν κνησμονῆς· οὕτω καὶ τοῦτο, φησὶ, συμβαίνει κατὰ φύσιν· καὶ εἴ τις ἐπιτελέσειεν, οὐχ
C ἁμαρτάνει.

Ε'. Καὶ ὅσα τοιαῦτα ὁ ἀνὴρ διηγούμενος, ὑδαρῶς τὰ πάντα καὶ κακῶς ἐδίδασκεν· ἵνα ἐξ αὐτῶν τῶν ἔργων ὀφθῇ, τί μὲν οὗτός ἐστιν· οἱ δὲ τοῦ Κυρίου λόγοι σαφῶς ἡμῖν καταυγάσωσιν, ὡς ἔλεγε· *Προσέχετε ἀπὸ τῶν ψευδοπροφητῶν, οἵτινες ἔρχονται πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες. Ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς. Μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν σταφυλας,*
D *ἢ ἀπὸ τριβόλων σῦκα;* Οὕτω καὶ ἡ τούτου κατὰ πάντα τῆς ἀνοησίας τόλμα ἐντεῦθεν καὶ ἐκεῖθεν διελέγχεται· ὡς μὲν κατὰ τοῦ Δεσπότου αὐτοῦ ἀνέτεινε τὸ στόμα ἀθυρογλωττῶν, εἰς τὸν ἑαυτοῦ Κύριον βλασφημεῖν μὴ αἰσχυνόμενος, ἵνα καὶ ἐκ τῶν καρπῶν τῆς αὐτοῦ ἀκολασίας καὶ ὑδαρότητος οἱ συνετοὶ δοκιμάσαντες μὴ δρέψωνται τῶν αὐτῶν καρπῶν. Οὐ γὰρ δύναται ἐξ ἀκανθῶν σταφυλὴ τρυγᾶσθαι, ἵνα καὶ ἀπὸ τῆς κακοδιδασκαλίας ἡ σεμνότης ὀφθείη. Ἀλλὰ ταῦτα μὲν περὶ τὸν ἄνδρα γεγονότα ἀκηκόαμεν καὶ συμβεβηκότα· διὰ δὲ τῶν λόγων αὐτοῦ ἀκόλουθα εἰς μανίαν ἄρσεως κατὰ τοῦ Κυρίου τολμηθείσης, ὡς ἔφην, πολλὰ μὲν ἔστιν, ὀλίγα δὲ ἀπὸ τῶν πλειόνων παραθήσομαι. Πρὸς αὐτὰ δὲ ἃ ὁ Κύριος δίδωσι πρὸς ἀνατροπὴν, καὶ αὐτοὶ λέξομεν. Καὶ ἔστιν ἡ τούτου τοῦ Ἀνομοίου τῆς πίστεως ἐρεσχελία, καὶ τῶν λόγων ἀπεικασμοὶ οὗτοι, ἐκ Γραφῶν μὲν λεγόμενοι, οὐχ οὕτως δὲ κατὰ τὸν νοῦν ἔχοντες, ἀλλὰ ἄλλως τὴν δύναμιν ἔχοντες, ἀπ' αὐτοῦ δὲ οὕτως λαμβανόμενοι.

[1] Joan. xvii, 3. [2] Matth. vii, 15 16. [3] F. ἁλόντες.

Digitized by Google

Ϛ'. Φάσκει δὲ εὐθὺς ἐν ἀρχῇ, ὅτι « Οὐ δύναται τὸ ἀγέννητον ὅμοιον εἶναι τῷ γεννητῷ· καὶ γὰρ κατὰ τὸ ὄνομα διαλλάττει· τὸ μὲν γάρ ἐστιν ἀγέννητον, τὸ δὲ γεννητόν. » Τὸ δὲ πᾶν ἐστιν ἠλίθιον, καὶ εἰς μανίαν τρέψαν τὸν ἄνδρα. Εἰ γὰρ ζητήσομεν τῷ ἀγεννήτῳ γεννήτορα, ἵνα μὴ τὴν περὶ Χριστοῦ δόξαν ἀληθῆ ἀπολέσωμεν, εὑρεθήσεται οὐκέτι εἷς ὁ Πατὴρ, οὐδὲ Πατὴρ πατρὸς, ἀλλὰ ἄπειροι οἱ πατέρες πατέρων ζητούμενοι, καὶ οὐκέτι εἷς Θεός ἐστιν ὁ ὢν ἀεὶ, καὶ πρὸ αὐτοῦ μηδὲν ἐσχηκὼς, καὶ ἀεὶ διατελῶν, καὶ μένων· ἐξ οὗ ὁ μονογενὴς ἀληθινὸς Υἱὸς γεγέννηται, καὶ ἔστι, καὶ τὸ ἅγιον αὐτοῦ Πνεῦμα ἐξ αὐτοῦ· ἀλλ' ἔσονται οἱ ζητούμενοι πολλοὶ θεοὶ, καὶ λοιπὸν τὰ πάντα ἀπάτη ἔσται, καὶ οὐκ ἀλήθεια. Δεῖ δὲ καὶ ὡς ἔστιν, ἕνα εἰδέναι Θεὸν, Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐξ οὗ καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἀπὸ Πατρὸς ἐκπορευόμενον, καὶ τοῦ Υἱοῦ λαμβάνον. Καὶ αὕτη ἐστὶν ἡ μία θεότης, εἷς Θεὸς, εἷς Κύριος, Πατὴρ καὶ Υἱὸς καὶ ἅγιον Πνεῦμα· οὐ συναλοιφή τις ὢν ὁ Υἱὸς τῷ Πατρὶ, οὐδὲ τὸ ἅγιον Πνεῦμα, ἀλλ' ὁ Πατὴρ Πατὴρ, καὶ ὁ Υἱὸς Υἱὸς, καὶ ἅγιον Πνεῦμα ἅγιον Πνεῦμα· τρία τέλεια, μία θεότης, εἷς Θεὸς, εἷς Κύριος, ὡς καὶ πολλάκις ἐν πάσαις αἱρέσεσιν οὕτω τὴν περὶ Θεοῦ ἀπεδώκαμεν δοξολογίαν. Οὐκοῦν ἐπειδὴ εἷς ἐστι Θεὸς, καὶ οὐκ ἔνι ὑπολαβεῖν ἕτερον παρὰ τὸν ὄντα, θαυμαστῶς καὶ ἀγέννητός ἐστιν ὁ Πατὴρ καὶ ἄκτιστος, καὶ ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ ἐξ αὐτοῦ γεννηθεὶς οὐκ ἀνόμοιος αὐτῷ κατὰ πάντα τρόπον τυγχάνει, ἀλλὰ ταυτὸν τῷ Πατρὶ καὶ ἴσος κατὰ πᾶσαν ἀξίαν, κἂν τε ὁ μὲν γεγέννηται, ὁ δὲ ἀγέννητός ἐστιν. Εἰ μὲν γὰρ ὅλως γεγέννηκεν ἐξ αὐτοῦ τὸν Υἱὸν, ἀδύνατον μὴ εἶναι ἴσον τῷ Πατρὶ καὶ ὅμοιον. Πᾶν γὰρ τὸ γεννῶν ὅμοιον ἑαυτῷ γεννᾷ· καὶ οὐ μόνον ὅμοιον, ἀλλ' ἴσον τῇ ταυτότητι. Ἄνθρωπος μὲν γὰρ ἄνθρωπον γεννᾷ, καὶ Θεὸς Θεόν. Καὶ ὁ μὲν γὰρ ἄνθρωπος ἐκ σωμάτων συμπλοκῆς, ὁ δὲ Θεὸς ἀνεκδιηγήτως μόνος Μονογενῆ γεγέννηκε, καὶ οὐ κατά τινα ῥῆσιν, οὐδὲ συστολὴν, οὐδὲ πλατυσμόν. Ἀλλὰ πνεῦμα ὢν ὁ Πατὴρ ἐξ αὐτοῦ ἀνάρχως καὶ ἀχρόνως τὸν Υἱὸν ἐγέννησεν, ὅμοιον αὐτῷ κατὰ πάντα, καὶ ἴσον, ὡς λέγει τὸ ἅγιον Εὐαγγέλιον, ὅτι *Ἐζήτουν αὐτὸν ἀποκτεῖναι οἱ Ἰουδαῖοι· ὅτι οὐ μόνον ἔλυε τὸ Σάββατον, ἀλλ' ὅτι καὶ Υἱὸν Θεοῦ ἑαυτὸν ἔλεγεν, ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ.* Πῶς γὰρ οὐχ ὅμοιος τῷ Πατρὶ καὶ ἴσος κατὰ πάντα, ὁ ἐν αὐτῷ ἔχων τὸ ζῆν, καὶ λέγων· *Ὥσπερ ὁ Πατὴρ ἐγείρει τοὺς νεκροὺς, οὕτω καὶ ὁ Υἱὸς ἐγείρει τοὺς νεκρούς;* Καὶ λέγων· *Ὁ ἐωρακώς ἐμὲ ἑώρακε τὸν Πατέρα·* οὐ δύναται διηλλαγμένος εἶναι, ὁ δι' ἑαυτοῦ τὸν Πατέρα σημαίνων· καὶ ὁ λέγων, ὅτι *Ὁ γινώσκων ἐμὲ γινώσκει τὸν Πατέρα·* καὶ, *Ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα·* ὡς αὐτοῦ οὐκ ἄλλου ὄντος παρὰ τὸν Πατέρα, ὡς καὶ ὁ Πατὴρ καὶ ὁ Υἱὸς σημαίνει. *Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν.* Εἰ μὲν γὰρ οὐκ ἦν ὁ Υἱὸς ὅμοιος τῷ Πατρὶ, πῶς λοιπὸν ὁ ἄνθρωπος κατ' εἰκόνα καὶ καθ' ὁμοίωσιν ἐγένετο; Οὐ γὰρ εἶπεν ὁ Πατήρ· Ποιήσωμεν ἄνθρω-

VI. Ergo ita statim initio disputat : « Non posse geniti simile esse quod non est genitum, cum vel appellatione ipsa dissideant, eo quod unum ingenitum est, alterum genitum. » Verum totum illud sane quam ineptum est, idque ipsum hominem ad insaniam compulit. Nam si ei quod ingenitum est genitorem quæramus, ut ne veram de Christo opinionem amittamus, non unum amplius Patrem esse reperiemus, neque patris Patrem; sed infiniti numero patrum patres exsistent; ac non jam unus Deus erit, qui semper fuit, quique prius se nihil habuit ac perpetuo manet : a quo unicus verusque Filius genitus est, et exsistit, ab eodemque productus est sanctus ipsius Spiritus; sed qui quærentur complures erunt dii : itaque ad fallaciam relabentur omnia, et a veritate penitus aberrabunt. Quamobrem unus nobis, ut revera est, intelligendus est Deus, Pater Domini nostri Jesu Christi [1], ex quo Spiritus sanctus est, qui a Patre procedit [2] et a Filio accipit [3]. Hæc est una divinitas, unus Deus, unus Dominus, Pater, et Filius, et Spiritus sanctus. In quo nulla est Filii cum Patre Spiritusve sancti confusio, sed et Pater Pater est, et Filius Filius, et Spiritus sanctus Spiritus sanctus : perfecta tria, una divinitas, unus Deus, unus Dominus, quemadmodum sæpe in hæresibus refutandis divinum numen prædicandum celebrandumque docuimus. Qua re cum et unus Deus sit, nec alium præter hunc animo concipere possimus, admirabili tamen ratione, et ingenitus atque increatus Pater est, et unicus Dei Filius ab ipso genitus nulla ratione dissimilis illius est, sed idem cum Patre, et æquali in omnibus dignitate gaudens, tametsi genitus iste, ille vero sit ingenitus. Etenim si Filium omnino genuit, fieri non potest, ut non Patri æqualis sit ac similis. Quidquid enim gignit, simile sibi gignit; neque simile tantum, sed idem atque æquale prorsus. Exempli gratia hominem homo gignit, et Deus Deum : ille copulatione corporum, hic inexplicabili quodam modo unus unicum Filium genuit, sine ullo profluvio, vel contractione, **919** vel dilatatione. Pater enim cum sit spiritus, ex seipso nullo vel initio, vel tempore Filium genuit, sibi in omnibus similem et æqualem, ut ex Evangelii auctoritate constat : *Quærebant*, inquit, *illum interficere Judæi, quia non modo solvebat Sabbatum, sed etiam Filium Dei seipsum dicebat, æqualem se faciens Deo* [4]. Et vero quomodo non in omnibus Patri similis est et æqualis, qui in seipso vitam habet atque ita loquitur : *Quemadmodum Pater suscitat mortuos, ita et Filius suscitat mortuos* [5]? Deinde : *Qui videt me, videt et Patrem* [6] : non potest is esse diversus, qui per sese Patrem significat; tum qui ista dicit : *Qui cognoscit me, cognoscit et Patrem* [7]; et : *Qui videt me, videt et Patrem :* tanquam non alius ipsemet a Patre sit; id quod tam Pater quam Filius indicat his verbis :

[1] II Cor. I, 3. [2] Joan. XV, 26. [3] Joan. XVI, 14, 15. [4] Joan. V, 18. [5] ibid. 21. [6] Joan. XIV, 9. [7] ibid. 7.

Digitized by Google

Faciamus hominem ad imaginem nostram et ad similitudinem [1]. Atqui nisi Filius Patri similis esset, quinam ad imaginem et similitudinem esset homo factus? Non enim dixit Pater : Faciamus hominem ad imaginem meam, aut ad imaginem tuam, sed *ad imaginem nostram*. Porro *nostram* cum dicit, æqualitatem Filii cum Patre similitudinemque declarat; nec eam solum, sed idem ipsum in omnibus, nec discrepantem esse significat.

A πον κατ' εἰκόνα ἐμὴν, ἢ κατ' εἰκόνα σὴν, ἀλλὰ *κατ' εἰκόνα ἡμετέραν*. Ἀπὸ δὲ τοῦ *κατὰ ἡμετέραν* λέγειν, τὸ ἴσον τοῦ Πατρὸς ἐν τῷ Υἱῷ ἀπέδειξε καὶ τὸ ὅμοιον· οὐ μόνον, ἀλλὰ καὶ ταυτὸν ἐν ἅπασι, καὶ μὴ παρηλλαγμένον.

VII. Quomodo vero non æqualis aut similis esse potest, qui, ut jam dixi, sic loquitur : *Ego in Patre, et Pater in me est* [2]? Quod non modo in Evangelio ipse dixit, sed et Isaias ex sancti Spiritus afflatu vaticinans Filium in Patre esse cognovit, nec ab eodem alienum aut diversum : idque illius verba demonstrant [3]. Quæ sic in Hebræo concepta sunt : *Phthoou sarin, viaboton sadich, somer emmunio, iesrosmooch, thesar salom salom, chibac batou, bētub baldonai addoth, chibaia adonai sodolemim.* Quæ sic Aquila reddit : *Aperite portas, ingrediatur gens justa, custodiens fidem, opificium firmatum, custodia pacis, quoniam in ipso confidunt. Confidite Domino in sæculum, quoniam in Domino Dominus, qui firmavit sæcula.* Septuaginta vero : *Aperite portas, ingrediatur custodiens veritatem, et apprehendens veritatem, et custodiens pacem,* **920** *quoniam in te speraverunt, Domine, usque in sæculum, Deus magnus, æternus.* Quo in loco animadvertat lector apud Septuaginta, *Dominus*, et, *magnus*, scriptum esse, pro eo quod est, *in Domino*. Quam multa eadem de re præterea dici possunt! Sed vereor ne longius disputando progrediar. Quippe omnia sacris in Litteris perspicua sunt, si quis pia mente ad divini verbi cognitionem accesserit; neque diaboli impulsu in scipso concepto, in altissimam mortis voraginem præcipitem sese commiserit. Quemadmodum infelix iste cum sectatoribus suis facere instituit; qui supra omnes, quotquot ante ipsos contumeliosi in Deum ejusque fidem exstiterunt, ad oppugnandam veritatem aggressi sunt. Maneat igitur dissimilem Patris esse non posse Filium; neque tamen in eo admodum acquiescimus. Nam non solum similis, sed et æqualis est, idemque divinitate, æternitate, virtute. Nam illum ταυτοούσιον non appellamus, hoc est eamdem cum Patre substantiam; ne vox ista a nonnullis usurpata Sabellianum ad dogma trahatur. Sed eumdem divinitate, et substantia, et virtute prædicamus, Patri ac Spiritui sancto in omnibus æqualem. Quare ὁμοούσιον, id est consubstantialem vocamus ex sacrosanctæ fidei præscripto, ut particula ὁμοῦ perfectas esse personas significet : quandoquidem Filius ex Patre, perfectus ex perfecto; perfectus itidem Spiritus sanctus est.

Z'. Πῶς δὲ δύναται μὴ εἶναι ἴσος, καὶ μὴ ὅμοιος, ὡς καὶ ἤδη εἰπών [4], ὁ λέγων, ὅτι *Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί;* Οὐ μόνον γὰρ αὐτὸς ἐν τῷ Εὐαγγελίῳ λέγει τοῦτο, ἀλλὰ καὶ Πνεύματι ἁγίῳ προφητεύων Ἡσαΐας ἔγνω τὸν Υἱὸν ἐν τῷ Πατρὶ καὶ μὴ ἀλλότριον τοῦ Πατρὸς, μηδὲ παρηλλαγμένον, ὡς ἔχει τὸ ῥητὸν, ὃ ταύτην ἔχει τὴν ἀκολουθίαν· ἀπὸ μὲν τοῦ Ἑβραϊκοῦ οὕτως (88)· *Φθόου σααρεὶμ, οὐϊαβωτῶν σαδὶκ, σωμὴρ ἐμμουνεὶω, ιεσροσμοὼχ, θεσὰρ σαλὼμ σαλὼμ, χιβὰκ βατόου, βετοὺβ βαλδωναὶ ἀδδὼθ, χιβαΐα ἀδωναὶ σωδωλεμεὶμ*· ἀπὸ δὲ τῆς ἑρμηνείας Ἀκύλα οὕτως· *Ἀνοίξατε πύλας, εἰσελθέτω ἔθνος δίκαιον, φυλάττον πίστιν, πλάσμα ἐστηριγμένον, φύλαξις εἰρήνης, ὅτι ἐπ' αὐτῷ πεποίθασι. Πεποίθατε ἐπὶ τῷ Κυρίῳ ἕως αἰῶνος· ὅτι ἐν τῷ Κυρίῳ Κύριος ὁ στερεώσας τοὺς αἰῶνας·* παρὰ δὲ τοῖς Ἑβδομήκοντα οὕτως· *Ἀνοίξατε πύλας, εἰσελθέτω φυλάσσων ἀλήθειαν, καὶ ἀντιλαμβανόμενος ἀληθείας, καὶ φυλάσσων εἰρήνην, ὅτι ἐπὶ σοὶ ἤλπισαν, Κύριε, ἕως τοῦ αἰῶνος, ὁ Θεὸς ὁ μέγας, ὁ αἰώνιος.* Παρατηρείσθω δὲ ὁ ἀναγινώσκων, ὡς [ἀντὶ τοῦ] *Κύριος*, καὶ τὸ, *ὁ μέγας*, ἀντὶ τοῦ, *ἐν Κυρίῳ*, κεῖται παρὰ τοῖς Ἑβδομήκοντα. Καὶ πόσα ἐστὶ [περὶ] τούτου λέγειν! Δέδια δὲ μήπως εἰς ὄγκον πολὺν ἐλάσω [5] περὶ τούτων τῶν λόγων πραγματείαν. Πάντα γὰρ σαφῆ ἐν τῇ θείᾳ Γραφῇ τοῖς βουλομένοις εὐσεβεῖ λόγισμῷ προσέρχεσθαι τῷ θείῳ λόγῳ. καὶ μὴ διαβολὴν ἐνέργειαν [6] ἐν ἑαυτοῖς ἐγκισσήσαντας ἑαυτοὺς καταστρέφειν εἰς τὰ βάραθρα τοῦ θανάτου· ὡς οὗτος ὁ ἐλεεινὸς, καὶ οἱ αὐτῷ πεισθέντες ἄνθρωποι κατὰ τῆς ἀληθείας ἐστρατεύσαντο ὑπὲρ πάντας τοὺς πρὸ αὐτῶν γεγονότας βλασφήμους εἰς Θεὸν, καὶ τὴν αὐτοῦ πίστιν. Καὶ ὅτι μὲν οὐ δύναται ἀνόμοιος εἶναι ὁ Υἱὸς τῷ Πατρὶ, ἀλλ' οὐδὲ τοῦτο [7] ἐπερειδόμενοι ταῦτα ἔφημεν. Ἔστι γὰρ οὐ μόνον ὅμοιος, ἀλλὰ καὶ ἴσος, ταυτὸν τῇ θεότητι, ταυτὸν τῇ ἀϊδιότητι καὶ δυνάμει. Καὶ οὐ λέγομεν ταυτοούσιον, ἵνα μὴ ἡ λέξις παρά τισι λεγομένη Σαβελλίῳ ἀπεικασθῇ. Ταυτὸν δὲ λέγομεν τῇ θεότητι, καὶ τῇ οὐσίᾳ, καὶ τῇ δυνάμει, κατὰ πάντα ἴσον τῷ Πατρὶ, καὶ τῷ ἁγίῳ αὐτοῦ Πνεύματι. Ὁμοούσιον δέ φαμεν, ὡς ἔχει ἡ ἁγία πίστις, ἵνα ἀπὸ τοῦ ὁμοῦ σαφῶς σημανθῇ τὰ τέλεια, ὅτι ὁ Υἱὸς ἐκ Πατρὸς, τέλειος ἐκ τελείου, τέλειον δὲ καὶ τὸ ἅγιον Πνεῦμα.

[1] Gen. I, 26. [2] Joan. XIV, 9. [3] Isa. XXVI, 2-4. [4] Cor. εἶπον. [5] Deest τὴν περί. [6] Reg. καὶ ἐνέρ. Lego διαβολικήν. [7] F. τούτῳ.

(88) Ἀπὸ *μὲν τοῦ Ἑβραϊκοῦ οὕτως*. Hebraice ita concipitur : פתוח שערים ויבא גוי צריק שומר אמנים יצר סמוך הצור שלום שלום בי בך בטוח ביהיה עדי עד כי ביה יהוה צור עלמים Ex quibus Hebraica Græce scripta corrigenda sunt. Velut pro οὐϊαβωτῶν, leg. οὐϊβὼ γωΐ. Mox pro βετούβ leg. βετοῦ· pro ἀδδὼθ, ἀδδὲ ὠδ. Item pro σωδωλεμεὶμ leg. σωρολεμεὶμ. In Græco vero Aquilæ pro φύλαξις εἰρήνης, forte scribendum φυλάξεις εἰρήνην.

Digitized by Google

Η'. Ἀπὸ μιᾶς, καὶ δευτέρας, καὶ τρίτης μαρτυρίας οὗτοι φωραθήσονται. Εἰ γὰρ ὅλως ὁμολογεῖται, ὑπ' αὐτοῦ γεγεννημένος, ὁμολογηθήσεται εἶναι ἐπάναγκες ὅμοιος τῷ γεγεννηκότι. Δῆλον δὲ, ὅτι ἐν λόγῳ μὲν λέγει τὸ γέννημα, κτίσμα δὲ σαφῶς ἔχει τε καὶ πεπίστευκε· κατὰ χάριν δὲ καλεῖσθαι αὐτὸν Υἱὸν, ὡς ἐδοκίμασεν ὁ ὁριγνώμων[1] τῶν ἐπουρανίων καὶ μεριστὴς τῶν ἀδιαιρέτων καὶ γεωμέτρης τῆς ἡμετέρας εἰς Χριστὸν σωτηρίας. Διαπίπτει δὲ ὁ πάντων τούτων λόγος, τῶν κτισμάτων αὐτὸν παρεισφερόντων, ὡς καὶ ὁ τούτου πεσεῖται. Λέξω γὰρ πρὸς αὐτὸν δικαιότατα· Λέγε μοι, ὦ οὗτος, τί ἂν λέγοις περὶ τοῦ Υἱοῦ τοῦ Θεοῦ; κτίσμα αὐτὸν φάσκεις ἢ γέννημα; Εἰ μὲν γὰρ κτίσμα αὐτὸν λέγεις εἶναι, μηκέτι πιθανῶς παράκρυπτε τὴν λύμην, ὀνόματι γέννημα αὐτὸν καλῶν τοῦ Πατρός. Πᾶν γὰρ τὸ κτιστὸν οὐ γεννητόν· καὶ εἰ γεννητὸν, οὐ κτιστόν. Ἔασον τοίνυν τὸ μήτε λόγῳ λέγειν γεννητόν. Οὐ γὰρ πρέπει σοι ὅλως κἂν ἐνὶ λόγῳ φέρειν τῆς ἀληθείας τὰ ῥήματα ἐπὶ χειλέων. Ἀλλὰ λέγε σου τὸ πᾶν τῆς ἐπιβουλῆς, ἵνα μάθωμεν τίς εἶ, καὶ οὕτως ἀποφύγωμεν ἀπὸ τῆς ἐπιβουλῆς σου, ἀγρευτὰ τῶν ψυχῶν, καὶ ἐπίβουλε τῶν σοι πεποθημένων! Προσκυνεῖς τοίνυν τὸν Υἱὸν τοῦ Θεοῦ, ἢ οὐ προσκυνεῖς; Ναὶ, φησὶ, προσκυνῶ αὐτόν. Θεὸν προσκυνεῖς, ἢ οὐχί; Ναὶ, φησὶ, Θεὸν προσκυνῶ. Ποῖος οὖν Θεὸς ἔσται κτιστὸς παρὰ σοὶ λεγόμενος καὶ προσκυνούμενος; Εἰ μὲν γὰρ τὸν ἕνα ἔκτισεν ὁ προσκυνητὸς Θεὸς, καὶ τοῦτον εὐδόκησε προσκυνεῖσθαι, τὰ δ' ἄλλα πάντα αὐτὸς ὁ κτίσας οὐ βούλεται προσκυνεῖσθαι, ἀλλὰ καὶ αἰτιᾶται τοὺς προσκυνοῦντας τὴν κτίσιν, διὰ νόμου διδάσκων· *Οὐ ποιήσεις σεαυτῷ πᾶν ὁμοίωμα, καὶ προσκυνήσεις αὐτῷ, μήτε ἐν τῷ οὐρανῷ, μήτε ἐπὶ τῆς γῆς, μήτε ἐν τοῖς ὕδασι*· καὶ ὁ Ἀπόστολος φησιν· *Ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα, καὶ ἐμωράνθησαν.*

VIII. Quæ cum ita sint, duobus tribusve testimoniis illorum detegendus error est. Nam si genitum ab illo Filium omnino fateamur, eumdem et genitori similem necessario fatebimur. Perspicuum autem est, cum verbo tenus genitum esse dicat Filium, reipsa creaturam existimare ac credere; ita ut sola Dei gratia Filius appelletur: quæ est cœlestium finitoris illius, et eorum quæ dividi non possunt divisoris, et nostræ per Christum salutis mensoris opinio. Verum omnium istorum oratio facile concidet, qui pro creatura illum nobis obtrudunt, atque in primis hæretici hujus, quem his verbis merito affari posse mihi videor: Dic mihi, quæso, quid de Filio Dei sentias et utrumnam creaturam an fetum ab eodem genitum arbitrere. Nam si creaturam esse statuas, desine virus illud tuum callida dissimulatione tegere, et a Patre genitum illum voce tenus pronuntiare. **921** Etenim quidquid creatum est, genitum esse non potest, et si genitum est, creatum non est. Quamobrem genitum illum verbo nominare desine. Non enim decet te vel ipso sermone veritatis voces exprimere. Quin potius fraudem tuam omnem edissere, ut qui sis cognoscere possimus, ac malitiosum tuum artificium effugere, o captator animarum, eorumque quos diligis, insidiose corruptor. Sed illud abs te quæro, Filium Dei adores, necne. Adoro, inquit. Age, Deum adoras, an non? Ego vero, inquit, adoro. Ubi igitur ille Deus est, quem tu creatum adorandumque prædicas? Nam si unum duntaxat colendus adoratione Deus a se creatum adorari voluit, cætera vero omnia ille ipse, qui condidit, adorari vetat, et eos damnat, qui creatas res adoratione venerantur, cum ita præscribit: *Non facies tibi ullam similitudinem, et adorabis eam, neque in cœlo, neque in terra, neque in aquis*[2]. Sed et Apostolus, *Servierunt*, inquit, *creaturæ potius quam Creatori, et stulti facti sunt*[3].

Πῶς τοίνυν περὶ πάντων κελεύει μὴ προσκυνεῖσθαι; ἆρα οὖν προσωποληψία ἐστὶ παρὰ Θεῷ; Μὴ γένοιτο! Ἐν τῷ γὰρ τὸν ἕνα προσκυνεῖσθαι ἔδειξε παντάπασιν ἄλλον ὄντα παρὰ τὴν κτίσιν τὸν προσκυνούμενον, καὶ ἄλλην τὴν προσκυνουμένην κτίσιν παρὰ τὸν προσκυνητὸν Κύριον, Υἱὸν τοῦ Θεοῦ ἐκ Πατρὸς γεγεννημένον. Διὰ γὰρ τὸ ἐξ αὐτοῦ γεγεννῆσθαι ὅμοιον αὐτῷ, καὶ κατ' αὐτὸν Υἱόν· διὰ τοῦτο γὰρ καὶ προσκυνητὸν παρὰ πᾶσι· δι' αὐτοῦ ἐποίησε τὰ πάντα, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν. Ἐν αὐτῷ γὰρ, φησὶ τῷ ἁγίῳ αὐτοῦ Πνεύματι τῷ ἐξ αὐτοῦ ἐκπορευθέντι, καὶ τοῦ Υἱοῦ λαμβάνοντι, ἐποίησε τὰ πάντα καὶ ἐστερέωσε. *Τῷ γὰρ λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τῷ πνεύματι τοῦ στόματος αὐτοῦ πᾶσα ἡ δύναμις αὐτοῦ.* Ὅταν γὰρ εἴπῃ ὁ Μονογενὴς, ὡς ἄνω μοι εἴρηται· *Ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν*· ἀφώρισεν ἑαυτὸν ἀπὸ τῆς κτίσεως. Ὡς καὶ ὁ Ἀπόστολος φάσκει· *Εἷς Θεὸς, ἐξ οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ*· καὶ

Quæro igitur cur adorari omnia illa prohibeat? Num Deus personarum rationem habet? Minime vero. Quare hoc ipso quod unus adorandus est, alium hunc a creatarum rerum conditione esse significat, et creaturam vicissim, quæ adorari prohibetur, ab adorando Domino Deique Filio, et a Patre genito diversam. Quod enim ab ipso genitus est ejus similis æqualisque Filius, ideo ab omnibus adorandus est: Per hunc omnia fecit, et sine ipso factum est nihil[4]. In ipso, inquam, necnon et sancto suo Spiritu, qui a se procedit, et de Filio accipit, condidit ac firmavit universa. *Verbo enim Domini cœli firmati sunt, et spiritu oris ejus omnis virtus eorum*[5]. Nam cum unicus Dei Filius, ut ante dictum est, ita loquitur: *Ut cognoscant te solum verum Deum, et quem misisti Jesum Christum*[7], a creatarum sese rerum numero segregavit. Quo illud etiam Apostoli pertinet: *Unus Deus, ex quo omnia, et nos per ipsum, et unus Dominus Jesus Christus, per quem omnia, et nos per ipsum*[8]. Videsne quam

[1] F. ὁριγ. [2] F. καὶ ἐν. [3] Exod. xx, 4. [4] Rom. i, 25. [5] Joan. i, 3. [6] Psal. xxxii, 6. [7] Joan. xvii, 3. [8] I Cor. viii, 6.

Digitized by Google

diserte unum Deum, ac Patrem, et unum Dominum ab eodem genitum expresserit? Neque vero ita dixit, Unus Deus, **922** et unus Dominus cum omnibus, quæ ab ipso facta sunt ; sed *unus Dominus per quem omnia*. Quod si unus Dominus est, per quem facta sunt omnia, ille unus ex omnibus esse non potest, sed omnium conditor, creatarum, inquam, rerum omnium effector est.

IX. Jam vero qui a Patre genitus et ab eo productus est Filius, per quem omnia facta sunt, dissimilis omnium est, ut qui creator sit omnium : quandoquidem unus et unus est Deus Pater, *ex quo omnia*, et Dominus Jesus, *per quem omnia*, adeo ut superior dictio vocabulis hisce copuletur, *unus* et *unus*. Hoc autem, *ex quo*, et *per quem* cum illud aperte declaravit, a Patre procedere Filium : tum cæterarum rerum disparem eumdem esse admirabili quadam ratione monstravit, cum ita scripsit : *Per quem omnia*, ut et Patrem esse, et ab eo Filium unigenitum Dominum productum intelligas. Quæ cum Apostolus ex sancti Spiritus afflatu pronuntiaret, necesse non habuit sancti Spiritus mentionem facere : quod non sic accipiendum est, quasi ejusdem ille cum Patre Filioque gloriæ non sit particeps, aut quod in eorum ordinem redigendus sit, quæ a Filio procreata dicuntur. Verum satis illud erat, quod in firmissima illa fidei professione cum Patre Filioque numeratus fuerit, his verbis : *Euntes baptizate in nomine Patris, et Filii, et Spiritus sancti*[1]. Cum igitur Apostolus, vel potius Spiritus sanctus per Apostolum loqueretur, nihil est de ipso perspicue declaratum. Siquidem haud obscura illius erat cognitio, nec de ea Judæi dubitabant. Quare in aliud tempus reservabatur, ne Spiritus sanctus sua se prædicatione commendaret. Quippe Apostolus sancto Spiritu impulsus, uti diximus, de Patre Filioque locutus est, ut ex eo sacrosancta Trinitas indicaretur, quæ et semper exsistit, nec unquam exsistere desinit. Neque vero mirari debes, cum illud audis : *Unus Deus, ex quo omnia, et unus Dominus, per quem omnia*. Cum enim Filium Dominum appellat, non eumdem una Deum esse negavit Apostolus ; similiter quod dixit : *Unus Deus per quem omnia*, eumdem Deum ac Dominum esse nequaquam inficiatus est. Itaque simul Dominus et Deus, et Deus ac Dominus esse credendus est ; neque quidquam est in his, quæ nobis a Deo per apostolos salubriter nuntiata sunt, discrepans ac diversum. Sed nimirum Anomœus **923** ille cum suis relicta veritatis via, ad errorum diverticula traductus est, perperamque divinas sententias intellexit. Ita deinceps ad disputationes, vocularumque disceptationes animo ac mente isti conversi, a veritate resilientes, cœlestibus excideruntA. Qui si evangelicam lucem mentibus suis admittere voluerint, ab unaquaque propemodum dictione refellentur. Nusquam enim unicus Dei Fi-

εἰς Κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα, καὶ ἡμεῖς δι' αὐτοῦ. Καὶ ὁρᾷς μὲν, πῶς ἔδειξεν ἕνα Θεὸν τὸν Πατέρα, ἕνα δὲ Κύριον τὸν ἐξ αὐτοῦ γεγεννημένον; Καὶ οὐκ εἶπεν· Εἷς Θεὸς, καὶ εἷς Κύριος σὺν πᾶσι τοῖς ἐξ αὐτοῦ γεγονόσιν· ἀλλ', *εἷς Κύριος, δι' οὗ τὰ πάντα.* Εἰ δὲ εἷς Κύριος, δι' οὗ τὰ πάντα ἐστὶν, οὐκ ἔστιν εἷς ἐκ πάντων, ἀλλὰ ποιητὴς τῶν ἁπάντων, καὶ κεκτισμένων πάντων κτίστης ὑπάρχων.

Θ'. Τοῦ δὲ Υἱοῦ ἐκ Πατρὸς γεγεννημένου, καὶ ἐκ Πατρὸς τυγχάνοντος, δι' οὗ τὰ πάντα γεγένηται, ἀνόμοιος τοῖς πᾶσίν ἐστιν, οἷα δὴ κτίστης ὢν τῶν ἁπάντων· ἐπειδὴ εἷς καὶ εἷς Θεὸς ὁ Πατὴρ, *ἐξ οὗ τὰ πάντα*, καὶ Κύριος Ἰησοῦς, *δι' οὗ τὰ πάντα*· συνενουμένης τῆς ἄνω λέξεως διὰ τοῦ, *εἷς* καὶ *εἷς*, καὶ διὰ τοῦ, *ἐξ οὗ* καὶ *δι' οὗ*, τὸ μὲν σαφῶς ἐκ Πατρὸς τὸν Υἱὸν δεδήλωκε· τὸ δὲ οὐκέτι τὸν Υἱὸν ἐκ τῶν λοιπῶν εἶναι θαυμαστῶς ἀπεφήνατο, *δι' οὗ τὰ πάντα*, φάσκων, ἵνα δείξῃ Πατέρα ὄντα, καὶ Υἱὸν ὄντα ὑπὸ Πατρὸς ὄντος τὸν μονογενῆ Κύριον. Ἔλεγε δὲ ταῦτα ὁ Ἀπόστολος Πνεύματι ἁγίῳ φερόμενος· διὸ οὐκ ἔσχε χρείαν περὶ Πνεύματός τι δηλῶσαι· οὐχ ὡς μὴ συνδοξαζομένου τοῦ Πνεύματος Πατρὶ καὶ Υἱῷ, οὐδ' ἵνα αὐτὸ ἀπὸ τῶν πάντων σημάνῃ τῶν δι' Υἱοῦ κεκτισμένων. Ἦρκει γὰρ τὸ συναριθμηθῆναι διὰ τῆς βεβαίας ὁμολογίας τοῦ Υἱοῦ, Πατρὶ καὶ Υἱῷ, ἐν τῷ εἰπεῖν, *Ἀπελθόντες βαπτίσατε εἰς ὄνομα Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος.* Φθεγγόμενος γοῦν ὁ Ἀπόστολος, μᾶλλον δὲ τὸ Πνεῦμα τὸ ἅγιον φθεγγόμενον ἐν αὐτῷ, οὐκ ἐδήλου περὶ αὐτοῦ. Σαφὴς γὰρ ἦν ἡ περὶ αὐτοῦ γνῶσις, οὐδὲ ὑπὸ τῶν Ἰουδαίων ἀμφιβαλλομένη. Ἐταμιεύετο δὲ, ἵνα μὴ αὐτοσύστατον εἴη τὸ ἅγιον Πνεῦμα, ὃ ὁ[2] Ἀπόστολος σὺν Πνεύματι ἁγίῳ ἐφέρετο. Καὶ περὶ Πατρὸς ἔλεγε καὶ Υἱοῦ, ἵνα δειχθῇ ἡ Τριὰς ἀεὶ οὖσα, καὶ μηδέποτε διαλείπουσα τοῦ εἶναι. Μὴ θαύμαζε δὲ, ἐὰν ἀκούσῃς· *Εἷς Θεὸς, ἐξ οὗ τὰ πάντα, καὶ εἷς Κύριος, δι' οὗ τὰ πάντα.* Τῷ γὰρ εἰπεῖν τὸν Υἱὸν Κύριον, οὐ πάντως ἠρνήσατο ὁ Ἀπόστολος τὸ εἶναι τὸν Κύριον καὶ Θεόν· καὶ τῷ εἰπεῖν, *Εἷς Θεὸς, δι' οὗ τὰ πάντα*, οὐκ ἠρνήσατο τὸ εἶναι τὸν Θεὸν καὶ Κύριον. Ὁμοῦ γὰρ καὶ Κύριος καὶ Θεὸς, καὶ Θεὸς καὶ Κύριος· καὶ οὐδὲν διαίσει περὶ τῶν εἰς ἡμᾶς ἐν ἀληθείᾳ σωτηριωδῶς ἐκ Θεοῦ διὰ τῶν ἀποστόλων κεκηρυγμένων. Καταλείψας δὲ ὁ αὐτὸς Ἀνόμοιος καὶ οἱ ἐξ αὐτοῦ γεγονότες τὴν ὁδὸν τῆς ἀληθείας, ἐτράπησαν, κακῶς τὰς Θεοῦ ῥήσεις ἐπινοοῦντες. Καὶ λοιπὸν εἰς διαλογισμοὺς καὶ εἰς διαλογὰς λέξεων παρεκτρέψαντες τὸν νοῦν, ἀπεπήδησαν τῆς ἀληθείας, καὶ ἐξέπεσον τῶν ἐπουρανίων. Πᾶσα γὰρ λέξις ἐλέγξει αὐτοὺς, ἐὰν θέλωσι τὸν ἑαυτῶν νοῦν δοῦναι εἰς φωτισμὸν τοῦ Εὐαγγελίου. Οὐδαμοῦ γὰρ ὁ Μονογενὴς λέγει, καίτοι γε ἐν σαρκὶ παραγενόμενος, ὅτι Ὁ κτίσας με Πατὴρ ἀπέσταλκέ με· οὐδὲ ὁ Σωτὴρ[3] που ἐν τῷ Εὐαγγελίῳ διελέχθη, οὐδὲ ἐν Παλαιᾷ Διαθήκῃ, ὅτι Ἔκτισα ὑμῖν τὸν Υἱὸν, ἀλλ', *Ὁ Πατήρ με ἀπέστειλε*· καὶ, *Ἐκ τοῦ Πατρὸς ἐξῆλθον, καὶ ἥκω*· καὶ, *Ὃν εἰς τὸν κόλπον*

[1] Matth. xxviii, 19. [2] F. ὁ δέ. [3] Cor. Πατήρ.

Digitized by Google

τοῦ *Πατρός*· καὶ, *Ὁ Λόγος ἦν πρὸς τὸν Θεόν*, καὶ *Θεὸς ἦν ὁ Λόγος*. Καὶ πολλὰ ἔστι περὶ τῆς ἡμῶν σωτηρίας κατανοῆσαι, καὶ μὴ συναρπάζεσθαι ἀπὸ τῆς τοῦ διαβόλου τούτου κυβευτικῆς διδασκαλίας. Ὁ γὰρ διάβολος, βουλόμενος ἀπολέσαι τὸ τῶν ἀνθρώπων γένος, φθόνῳ κατεχόμενος πρὸς τὴν τοῦ ἀνθρώπου δόξαν, μηχανὰς ἐπενόησε διαφόρους· τὸ πρῶτον μὲν διὰ τῆς ἀγνοίας, τὸ δεύτερον δὲ διὰ τῆς εἰδωλολατρείας, ἄλλοτε δὲ διὰ κακοτροπίας, νυνὶ δὲ εἰσύστερον διὰ τῆς πλάνης καὶ ἀπάτης τῶν αἱρέσεων· ἵνα πανταχόθεν καταστρέψῃ τὸν ἄνθρωπον ἀπὸ τῶν ἐπουρανίων.

A lius, etiam post assumptam hominis carnem, ita locutus est : Qui creavit me Pater misit me ; neque aut in Evangelio, aut in Vetere Testamento Pater unquam ad eum modum disseruit : Creavi vobis Filium ; sed, *Misit me Pater*[1] ; et : *Exivi a Patre, et vado*[2] ; item : *Qui est in sinu Patris*[3] ; et : *Verbum erat apud Deum, et Deus erat Verbum*[4]. Infinita sunt, quæ de salutis nostræ mysteriis animo concipi possunt, ne nos diaboli istius præstigiarum artificiique plena doctrina circumveniat. Quippe diabolus perdendi generis humani cupidus, ejusdemque gloriæ invidens varias admovit machinas, primum ignorantiæ, tum idololatriæ, post hæc improbitatis : hoc vero deinceps tempore hæreticæ calliditatis et erroris, ut quacunque ratione posset hominem e cœlo dejiceret.

Γ'. Πόσα οὖν ἰσχύσει ὁ νοῦς τῆς ἡμῶν μετριότητος εἰπεῖν πρὸς σὲ, ὦ Ἀνόμοιε! Καλῶς γὰρ Ἀνόμοιος τυγχάνεις, ὁ καὶ ἀπὸ τῶν ἀνθρώπων τοὺς τρόπους καὶ τὴν διάνοιαν παρεκτρέψας τῶν τὴν σύνεσιν τοῦ Θεοῦ κεκτημένων, καὶ τὴν πίστιν ἐχόντων τῆς ἀληθείας. Οὐ γὰρ εἰς ἀγαθὸν προκόψας ἀνόμοιος γέγονας ἀνθρώποις, ἀλλ' ἐκ τῆς ὁδοῦ τῆς ἀληθείας παρεκκλίνας, ἀνόμοιος ἐγένου τῶν υἱῶν τῆς τοῦ Θεοῦ Ἐκκλησίας, πρόφασιν λαβὼν τὸν Υἱὸν τοῦ Θεοῦ τὸν κατὰ τὸν αὐτοῦ Πατέρα ὄντα, καὶ ἀνόμοιον Πατρὶ λέγων, σὺ ἀνόμοιος γέγονας, κληρωθεὶς τοῦτο τὸ ὄνομα, μηκέτι ὅμοιος ὑπάρχων τῶν ἐν Θεῷ σωζομένων.

X. Quam multa vero sunt, o Anomœe, quæ B adversus tuum illud dogma ingenii nostri mediocritati suppetunt! Præclare vero Anomœus, hoc est *dissimilis*, appellaris : quippe qui ab hominibus Dei sapientia, veraque fide præditis, moribus ac mente dissideas. Non enim ex eo quod progressus in virtute feceris, cæterorum hominum dissimilis evasisti, sed cum ab veritatis via deflexeris, ab Ecclesiæ Dei filiis diversus es factus ; cumque Dei Filium, qui Patri suo æqualis est, Patris nihilominus dissimilem esse voluisti, tute ipse dissimilis fuisti : et hoc nomen merito es consecutus, eo quod cæterorum qui divina ope salutem obtinent, similis esse desiisti.

Ἵνα δὲ μὴ περὶ τὰς αὐτοῦ ζητήσεις κατατριβόμενος ἀναλίσκω χρόνον, ἀφ' ὧν λέξεων αὐτὸς ὑφηγήσατο, διαλεκτικῶς γράφων τισὶ, φέρε τὰ κατ' αὐτὸν διελέγξωμεν. Ἔδοξε γὰρ διαλεκτικήν τινα ὑποφαίνειν πλάνην ἐν αὐτῷ τῷ αὐτοῦ συντάγματι, τῷ οὐδ' ἕνα λόγον ἔχοντι πίστεως τῆς ἀφελεστάτης καὶ ἀκεραιοτάτης, καὶ ἐν Πνεύματι ἁγίῳ καὶ πράῳ κεκοσμημένης. Ὅλον δὲ διόλου τὸ δοκοῦν αὐτοῦ πονημάτιον τὸ εἰς ἡμᾶς ἐλθὸν ἐν πρώτοις κατέταξα, ἵνα ἀπ' αὐτοῦ ποιησώμεθα πρὸς αὐτὸν τὴν λοιπὴν ἀνατροπὴν τῆς διαλέξεως.

Verum ne in persequendis illius quæstionibus C tempus conteram, age ex ipsiusmet verbis, quæ in nonnullis ad quosdam disputationibus scripsit, ad illum confutandum aggrediamur. Etenim illo in opere, unde hæc excerpta sunt, disputationem quamdam erroris plenam instituit ; nec in eo libro vel minima vox est, quæ cum integra simplicique fide, **924** quam sanctus ac mansuetus ille Spiritus ordinavit, cohærere videatur. Sed primo loco lucubratiunculam illius, quæ ad manus nostras pervenit, ascribendum putavimus, ut ex ipsiusmet scriptis adversus illum disputare, et eum refellere possimus.

Καὶ ἔστι τόδε τὸ συνταγμάτιον τοῦ Ἀνομοίου Ἀετίου.

Sequitur Aetii Anomœi opusculum.

ΙΑ'. Ἐπειδὴ ἐν καιρῷ (89) τοῦ ἐπενεχθέντος ἡμῖν διωγμοῦ ὑπό τῶν χρονιτῶν, τινὲς τῶν προειρημένων, σφετερισάμενοι μετὰ καὶ ἄλλων πολλῶν πονημάτιον σπουδασθὲν ἡμῖν ἰδιαζόντως περὶ ἀγεννήτου Θεοῦ καὶ γεννητοῦ, παρενθήκαις τε καὶ ἀφαιρέσεσι διαφθείραντες ἐξέδωκαν, τὴν ἀκόλουθον ἀμείψαντες

XI. Quoniam persecutionis illius tempore, quam D contra nos temporarii quidam homines excitarunt, nonnulli ex iis quos diximus, inter alia multa, opusculum quoddam privatim a nobis elucubratum de ingenito Deo ac genito subripientes, plerisque additis, aut detractis, interpolatum ac depravatum

[1] Joan. XII, 49. [2] Joan. XVI, 28. [3] Joan. I, 18. [4] ibid. 14.

(89) *Ἐπειδὴ ἐν καιρῷ τοῦ ἐπενεχθέντος*. Ex hoc Actii opusculo verissimum esse senties, quod de eodem Socrates, Sozom. et paulo ante Epiphanius noster asseverabat, nempe sophisticis argutiis et cavillationibus fretum Actium fucum veritati fecisse. Sed cur χρονίτας vocat eos a quibus damnatus est, nimirum Arianos ipsos ? Epiphanius quidem in Responsione, dum χρονιτῶν vocabulum in ipsos retorquet Anomœos, aitque catholicam Ecclesiam temporalem dici non posse, quod ab æterno fuerit, ita videtur accepisse, quasi χρονίτας adversarios suos Actius appellaverit, quod illorum fides nova esset ac nupera. Hoc utrum intellexerit Actius, non facile dictu est. An potius χρονίτας dixit, hoc est temporarios, minimeque stabiles, neque in suscepta fide constantes, qui ad imperatoris nutum et gratiam sese ac credulitatem suam accommodarent ? Cujusmodi Acacius, Eudoxius, ac cæteri fuerunt, qui Actium, cui hactenus faverant, metu imperatoris damnarunt. Sane πρόσκαιρος, *temporalis*, Matth. XIII, 21, appellatur ille, qui suscepto Dei verbo in persecutione desciscit.

Digitized by Google

ediderunt, perturbata insuper ordinis serie; atque illud idem postea litterarum quidam ad nos studiosus attulit, necesse habui, utpote illius auctor, recensitum ac repurgatum opus istud ad vos mittere, quicunque pietatis athletæ utriusque sexus estis, ut intelligatis, nihil non in eo ex sacrarum Litterarum germano esse sensu prolatum. Cujus quidem præsidio eos omnes, qui contradicere voluerint, paucis quibusdam breviter objectis, prohibere poteritis, ne de ingenito Deo ac genito sermonem impudenter instituant, ac temporarios illos in primis, quos attigi. Porro hanc disputationem in capita versuum in modum ita digessimus, ut et objectiones alias ex aliis, et quæstionum dissolutiones necteremus : quo et ad comprehendendum faciliora et planiora, quibus utimur, argumenta vobis essent. Ab ingenito vero Deo disputandi initium fecimus.

A ἀγωγήν· ἦλθε δὲ μετὰ ταῦτα αὐτὸ εἰς ἡμᾶς, τινὸς τῶν σπουδαίων ἡμῖν αὐτὸ προσκεκομικότος· ἠναγκάσθην οἷα πατὴρ αὖθις διακαθάρας ἐκπέμψαι ὑμῖν τὸ σύγγραμμα, ὦ πάντες εὐσεβεῖς ἀθληταί τε καὶ ἀθλήτριαι, ὅπως ἂν εἰδέναι ἔχοιτε, κατ' ἔννοιαν τῶν ἁγίων Γραφῶν εἰρῆσθαι ἡμῶν τὸ λόγιον· δι' οὗ πάντα ἄνθρωπον ἀντιλέγειν ὑμῖν ἐπιχειροῦντα περὶ ἀγεννήτου Θεοῦ καὶ γεννητοῦ παύειν ἀναισχυντεῖν συντόμοις ἐπιφοραῖς δυνήσεσθε· πάντων δὲ μάλιστα τοὺς προειρημένους, ἐν εἴδει τῶν στιχηρῶν ἐπ' ἀπόρησιν ἀπορήσεως, καὶ λύσιν λύσεως, διὰ τὸ εὐπερίδρακτον καὶ σαφὲς τῶν ἐπιχειρημάτων, ποιησάμενος τὴν ἀρχὴν περὶ ἀγεννήτου Θεοῦ.

I. Si ingenitus Deus, quod genitum est, facere ingenitum potest, siquidem substantia omnis ingenita est, neutra, quod ad eam conditionem attinet, nullius ut dominatui subsit, ab altera discrepabit. Quinam igitur dici potest mutari quidem alteram, alteram mutare, cum ex nulla subjecta materia quidquam Deo producere minime permittant?

B Α'. Εἰ δυνατόν ἐστι τῷ ἀγεννήτῳ Θεῷ τὸ γεννητὸν ἀγέννητον ποιῆσαι, εἰ πᾶσα οὐσία ἐστὶν ἀγέννητος, οὐδοποτέρα διοίσει τῆς ἄλλης κατὰ τὸ ἀδέσποτον. Πῶς οὖν ἄν τις φαίη τὴν μὲν μεταβάλλεσθαι, τὴν δὲ μεταβάλλειν, οὐκ ἐπιτρεπόντων τῷ Θεῷ ὑφιστᾷν ἐκ μὴ ὑποκειμένης ὕλης;

II. Si ingenitus Deus causa est omni præstantior, erit etiam generatione ipsa præstantior : si, inquam, causis omnibus antecellit, generationi itidem antecellet. Neque enim aut ab altera natura, ut esset, accepit, aut illud ipse sibi contulit.

Β'. Εἰ πάσης αἰτίας κρείττων ὑπάρχει ὁ ἀγέννητος Θεὸς, διὰ τοῦτο καὶ γενέτεως κρείττων ἂν εἴη· εἰ δὲ κρειττων ἐστὶ πάσης αἰτίας, δηλονότι καὶ γενέσεως. Οὔτε γὰρ παρ' ἑτέρας φύσεως εἴληφε τὸ εἶναι, οὔτε αὐτὸς ἑαυτῷ τὸ εἶναι παρέσχεν.

925 III. Jam vero, si ipse sibi, ut esset, minime contulit, non propter ullam naturæ imbecillitatem, C sed quod causa sit omni superior, quis subsistentem naturam ab ea quæ subsistentem produxerit, nihil in substantia discriminis habere fatebitur, cum ejusmodi subsistentia generationem omnem excludat?

Γ'. Εἰ δὲ αὐτὸς ἑαυτῷ τὸ εἶναι μὴ παρέσχεν, οὐ διὰ τὸ ἀσθενὲς τῆς φύσεως, ἀλλὰ διὰ τὸ ὑπερδεβηκέναι πᾶσαν αἰτίαν· πόθεν ἄν τις τὴν ὑποστᾶσαν πρὸς τὴν ὑποστήσασαν φύσιν τὸ ἀπαράλλακτον εἰς οὐσίαν ἔχειν συγχωρήσειε, οὐ προϊεμένης[1] τῆς τοιαύτης ὑποστάσεως γένεσιν;

IV. Si perpetuo ac sine ullo fine Deus in ingenita natura persistit, ac si genita soboles sine ullo fine genita est, prava illa de homoousio et homœousio sententia profligabitur. Cum illud interim in utriusque naturæ dignitate remaneat, ut, quod ad substantiam attinet, comparari inter se nequeant.

Δ'. Εἰ ἀτελευτήτως ὁ Θεὸς διαμένει ἐν ἀγεννήτῳ φύσει, καὶ ἀτελευτήτως τὸ γέννημα γέννημά ἐστιν, ἡ τοῦ ὁμοουσίου καὶ τοῦ ὁμοιουσίου κακοδοξία παρεισφθαρήσεται. Ἵσταται δὲ τὸ ἐν οὐσίᾳ ἀσύγκριτον ἑκατέρας φύσεως ἀξιώματι.

V. Si ingenitus substantia Deus est, quod genitum est non distractione quadam substantiæ genitum est, sed ab substantia, a qua productum D est, manavit. Quippe eamdem substantiam genitam simul et ingenitam esse, nulla cum pietate conjuncta ratio patitur.

Ε'. Εἰ ἀγέννητός ἐστιν ὁ Θεὸς τὴν οὐσίαν, οὐκ οὐσίας διαστάσει τὸ γεννητὸν ἐγεννήθη, ἀλλ' ἐξ οὐσίας ὑποστησάσης αὐτό. Τὴν γὰρ αὐτὴν οὐσίαν καὶ γεννητὴν εἶναι καὶ ἀγέννητον οὐδεὶς λόγος εὐσεβὴς ἐπιτρέπει.

VI. Si genitum est illud ipsum, quod est ingenitum, quid etiam prohibet, quod genitum est, ingenitum fuisse? Siquidem natura omnis ad id, quod cognatum sibi est, magis quam ad alienum peregrinumque festinat.

Ϛ'. Εἰ τὸ ἀγέννητον ἐγεννήθη, τί κωλύει τὸ γεννητὸν ἀγέννητον γεγονέναι; Μᾶλλον γὰρ τοῦ ἀνοικείου ἐπὶ τὸ αὐτῆς οἰκεῖον ἐπείγεται πᾶσα φύσις.

VII. Si totus non est ingenitus Deus, nihil est quod obstet, quominus secundum substantiam ge-

Ζ'. Εἰ μὴ ὅλος ὁ Θεὸς ἀγέννητός ἐστιν, οὐδὲν κωλύει τὸ γεγεννηκέναι οὐσιωδῶς. Εἰ δὲ ὅλος ἐστὶν

[1] Cor. προσιεμένης.

Digitized by Google

ἀγέννητος, οὐκ οὐσιωδῶς εἰς γένεσιν διέστη, ἐξουσίᾳ δὲ ὑπέστησε τὸ γέννημα.

nuerit. Sin totus ingenitus est, non est secundum substantiam generatione distractus, sed ex substantia sua genitam illam a se sobolem produxit.

Η'. Εἰ ὅλος ἐστὶ γεννητικὸς ὁ ἀγέννητος Θεὸς, οὐκ οὐσιωδῶς τὸ γεννηθὲν ἐγεννήθη, ὅλης ἐχούσης τῆς οὐσίας αὐτοῦ τὸ γεννᾷν, ἀλλ' οὐ τὸ γεννᾶσθαι.

VIII. Si ingenitus Deus totus est genitali vi præditus, quod genitum est secundum substantiam, non est genitum, cum toti illius substantiæ non ut generetur, sed ut generet, insitum sit.

Θ'. Εἰ δὲ μετασχηματισθεῖσα ἡ οὐσία τοῦ Θεοῦ γέννημα λέγεται, οὐκ ἀμετάβλητος ἡ οὐσία αὐτοῦ, τῆς μεταβολῆς ἐργασαμένης τὴν Υἱοῦ ἰδιοποίησιν.

IX. Quod si in aliam formam commutata Dei substantia soboles dicitur, non erit illa ipsa Dei substantia mutationis expers, cum propria Filii conditio mutatione constituta sit.

Ι'. Εἰ δὲ εἴη καὶ ἀμετάβλητος, καὶ γενέσεως κρείττων ἡ οὐσία τοῦ Θεοῦ, τὸ κατὰ τὸν Υἱὸν ἕως ψιλῆς προσηγορίας ὁμολογηθήσεται.

X. Quod si divina substantia mutationis est omnis expers, et generatione superior, quidquid ad Filium pertinet, sola duntaxat appellatione profitebimur.

ΙΑ'. Εἰ σπερματικῶς ἦν ἐν τῷ ἀγεννήτῳ Θεῷ τὸ γέννημα, μετὰ τὴν γέννησιν ἔξωθεν προσλαβὼν, ὡς ἂν εἴποι τις, ἠνδρώθη. Τέλειος οὖν ἐστιν ὁ Υἱὸς, οὐκ ἐξ ὧν ἐγεννήθη, ἀλλ' ἐξ ὧν προσέλαβε. Τὰ γὰρ συγγενικῶς προσλαμβάνοντα, ὡς ἐξ ἐκείνων συνεστῶτα, τὸ τοῦ τελείου ὄνομα διαφόρως προσίεσθαι πέφυκε.

XI. Si in ingenito Deo genita soboles, velut semine quodam, continebatur, post generationem aliqua re extrinsecus assumpta, confirmata corroborataque fuerit. Quamobrem non ex iis quæ generatione sortitus est, sed ex **926** ascititiis illis habet Filius, ut perfectus absolutusque sit. Nam quæcunque naturaliter accessionem aliquam capiunt, utpote ex illis ipsis constituta, perfecti nomen diversa quadam ratione solent admittere.

ΙΒ'. Εἰ τέλειον ἦν γέννημα ἐν ἀγεννήτῳ, γέννημά ἐστι, καὶ οὐκ ἐξ ὧν ὁ ἀγέννητος αὐτὸ ἐγέννησεν. Γεννητὴν γὰρ φύσιν ἐν ἀγεννήτῳ οὐσίᾳ οὐκ ἐνδέχεται εἶναι· τὸ γὰρ αὐτὸ εἶναί τέ ἐστι, καὶ μὴ εἶναι. Γέννημα γὰρ ἀγέννητον οὐκ ἔστι, καὶ ἀγέννητον ὂν γέννημα οὐκ ἦν, τοῦ ἀνομοίου μέρους ἐπὶ Θεοῦ βλασφημίας τύπον καὶ ὕβριν ἐπέχοντος.

XII. Si perfecta in ingenito genita soboles erat, genita soboles est non ex iis, quæ cum ab ingenito gigneretur obtinuit. Nam genita natura in ingeniti substantia esse non potest; esset enim simul idem et non esset. Nam quod genitum est, ingenitum non est, et quod ingenitum est, genitum non fuit. Quippe dissimilem aliquam Deo partem affingere, maledicti in divinum Numen ac contumeliæ speciem præfert.

ΙΓ'. Εἰ ἀγεννήτου φύσεως ὑπάρχων ὁ Θεὸς ὁ παντοκράτωρ, γεννητῆς φύσεως οὐκ οἶδεν ἑαυτὸν, ὁ δὲ Υἱὸς, γεννητῆς φύσεως ὑπάρχων, τοῦτο γινώσκει ἑαυτὸν, ὅπερ ἐστί· πῶς οὐκ ἂν εἴη τὸ ὁμοούσιον ψεῦδος, τοῦ μὲν γινώσκοντος ἑαυτὸν ἀγέννητον, τοῦ δὲ γεννητόν;

XIII. Si ingenita natura præditus Deus omnipotens genitæ naturæ conditionem in sese non agnoscit; Filius vero, genitam naturam habens, ejusmodi se, qualis est, agnoscit, nonne tota illa consubstantialis ratio mendax est ac falsa, cum alter ingenitum sese, genitum alter agnoscat?

ΙΔ'. Εἰ μὴ τὸ ἀγέννητον τὴν ὑπόστασιν τοῦ Θεοῦ παρίστησιν, ἀλλ' ἐπινοίας ἐστὶν ἀνθρωπίνης τὸ ἀσύγκριτον ὄνομα, χάριν τοῖς ἐπινοήσασι γινώσκει ὁ Θεὸς, διὰ τὴν ἀγέννητον ἐπίνοιαν τὴν ὑπεροχὴν τοῦ ὀνόματος οὐ φέρων ἐν οὐσίᾳ.

XIV. Si ingeniti vox Dei substantiam minime significat, sed incomparabile illud nomen ab humanis ingeniis excogitatum est, Deus ob istud ipsum ingeniti commentum iis, qui repererint, gratiæ debitor est, cum tanto nomini respondentem excellentiam in essentia sua non habeat.

ΙΕ'. Εἰ ἔξωθεν ἐπιθεωρεῖται τῷ Θεῷ ἀγέννητον, οἱ ἐπιθεωρήσαντες τοῦ ἐπιθεωρηθέντος εἰσὶν ἀμείνους, κρεῖττον ὄνομα τῆς φύσεως αὐτῷ πορισάμενοι.

XV. Si ingeniti conditio Deo extrinsecus affingitur, qui affingunt ei ipsi, cui affingitur, antecellunt, cum præstantius, quam natura patiatur, ei nomen attribuant.

ΙϚ'. Εἰ μὴ εἴχῃ ἡ ἀγέννητος φύσις γενέσει, τοῦτ' ἔστιν ὃ λέγεται. Εἰ δὲ εἴχῃ γενέσει, τὰ τῆς γενέσεως πάθη τῆς ὑποστάσεως τοῦ Θεοῦ εἴη ἄμεινον.

XVI. Si ingenita natura generationi minime cedit, habemus, quod volumus. Sin generationi cedat, generationis affectiones divinæ substantiæ præstabunt.

ΙΖ'. Εἰ τὸ γέννημα ἄτρεπτον τὴν φύσιν ἐστὶ, διὰ τὸν γεννήσαντα, τὸ ἀγέννητον οὐσία ἐστὶν ἄτρεπτος, οὐ διὰ γνώμην, ἀλλὰ διὰ τὸ ἐν οὐσίᾳ ἀξίωμα.

XVII. Si genita soboles natura ob generantem immutabilis est, quod ingenitum est, substantia quædam immutabilis est, non arbitrio, aut voluntate cujusquam, sed insita quadam substantiæ dignitate.

ΙΗ'. Εἰ τὸ ἀγέννητον οὐσίας ἐστὶ δηλωτικὸν, εἰ-

XVIII. Si ingeniti vox substantiam exprimit,

Digitized by Google

merito ab geniti substantia velut membrum divisionis oppositum discernitur. Sin autem nihil omnino vocabulum illud ingeniti significat, multo minus geniti vox aliquid exprimit. Nihil autem quomodo nihilo in divisione respondebit?

XIX. Quod si ipsa ingeniti pronuntiatio **927** pronuntiationi geniti opponitur, cum secundum pronuntiationem silentium subsequatur, Christianorum spes modo exsistet, modo esse desinet, in diversa pronuntiatione posita; non in naturis, quæ ita sese habeant, quemadmodum nominum ipsa significatio declarat.

XX. Si ingenitum nihil ad substantiæ dignitatem amplius confert, quam genitum, Filius sola vocabuli pronuntiatione superatus præstantiores sese appellantes ipsos agnoscet; non eum, qui ipsius Deus appellatur, et Pater.

XXI. Si ingenita substantia generationi præstat, insitam in sese habens excellentiam, suapte natura ingenita est substantia. Neque enim cui libitum est, pro eo quod libitum est, generationi antecellit, sed quod ita natura comparatus est. Quare cum Deus per sese ingenita sit substantia, rationi nulli permittit, sibi ut generationem affingat; sed inquisitionem omnem ac ratiocinationem ad res genitas amandat ac rejicit.

XXII. Si ingeniti vox privationem in Deo significat, neque quidquam omnino sit ingenitum, quænam ratio ab eo, quod non est, nihil possit auferre? Sin exsistens quidpiam sonat, quis ab eo quod est, idipsum quod est, hoc est ipsum a semetipso secernat?

XXIII. Cum privationes ablationes sint affectionum, quod in Deo est ingenitum, vel affectionis privatio est, vel affectio privationi contraria. Igitur si affectionis privatio est, quomodo id quod non inest Deo tanquam insit tribuitur?

XXIV. At si affectio quædam est ingenitum, genitam substantiam exsistere ante, ac velut substerni necesse est, ut affectione illa ad eam accedente, ingenita nominetur.

XXV. Si vero genita substantia ingenitæ particeps fuit, affectionis jactura facta conditionem amisit ingeniti. Quare substantia quidem genita fuerit, ingenitum autem affectio.

XXVI. Quod si genita soboles transitum quemdam significat, non dubium est affectionem indicare certam, sive quadam e substantia mutatione conformata sit, sive hoc ipsum est genita soboles, quod dicitur.

XXVII. Si tam ingenitum, quam genitum affectio sit; substantiæ quidem affectionibus priores; affectiones porro **928** ut substantiis posteriores, sic iisdem anteponendæ fuerint.

XXVIII. Si ingenitum geniti causa est, eique confert ut exsistat; genitum vero causam ipsam substantiæ suæ notione comprehendens, substan-

A κότως πρὸς τὴν τοῦ γεννήματος οὐσίαν ἀντιδιαστέλλεται. Εἰ δὲ μηδὲν σημαίνει τὸ ἀγέννητον, πολλῷ μᾶλλον οὐδὲν δηλοῖ τὸ γέννημα. Μηδενὶ μηδὲν [1] πῶς ἀντιδιασταλείη;

Ιθ'. Εἰ δὲ ἡ ἀγέννητος προφορὰ πρὸς τὴν γεννητὴν προφορὰν ἀντιδιαστέλλεται, σιωπῆς τὴν ὑποφορὰν διαδεχομένης, γίνεσθαι συμβαίνει καὶ ἀπογίνεσθαι τὴν τῶν Χριστιανῶν ἐλπίδα, ἐν διαφόρῳ προφορᾷ κειμένην, ἀλλ' οὐκ ἐν φύσεσιν οὕτως ἐχούσαις, ὡς ἡ τῶν ὀνομάτων βούλεται σημασία.

B Κ'. Εἰ μηδὲν πλέον νέμει εἰς ὑπεροχὴν οὐσίας τὸ ἀγέννητον πρὸς τὸ γέννημα, προφορᾷ μόνον ὑπερεχόμενος ὁ Υἱός, βελτίους ἑαυτοῦ γνώστεται τοὺς προσαγορεύσαντας, οὐ τὸν προσαγορευθέντα Θεὸν αὐτοῦ καὶ Πατέρα.

ΚΑ'. Εἰ ἡ ἀγέννητος οὐσία κρείττων ἐστὶ γενέσεως, οἰκοθεν ἔχουσα τὸ κρεῖττον αὐτὸ, οὐσία ἐστὶν ἀγέννητος. Οὐ γὰρ βουλόμενος, ὅτι βούλεται, γενέσεώς ἐστι κρείττων, ἀλλ' ὅτι πέφυκεν. Αὐτὸ οὖν ὑπάρχουσα οὐσία ἀγέννητος ὁ Θεὸς, οὐδενὶ λόγῳ ἐπιτρέπει καθ' ἑαυτῆς γένεσιν ἐπινοῆσαι, ὠθοῦσα φέρεσθαι κατὰ τῶν γεννητῶν πᾶσαν ἐξέτασιν καὶ πάντα λογισμόν.

C ΚΒ'. Εἰ στερήσεώς ἐστι δηλωτικὸν ἐπὶ Θεοῦ τὸ ἀγέννητον, μηδὲν δὲ εἴη τὸ ἀγέννητον· ποῖος λόγος ἂν ἀφαιρέσειε τοῦ μὴ ὄντος μηδέν; Εἰ δὲ ὂν σημαίνει, τίς ἂν χωρήσειε ὄντας ὅπερ ἐστὶν αὐτό γε αὐτοῦ;

ΚΓ'. Εἰ αἱ στερήσεις ἕξεών εἰσιν ἀφαιρέσεις, τὸ ἐπὶ Θεοῦ ἀγέννητον ἤτοι στέρησίς ἐστιν ἕξεων, ἢ ἕξις στερήσεως. Ἀλλ' εἰ μὲν στέρησίς ἐστιν ἕξεως, πῶς ἂν τὸ μὴ πρόσον τῷ Θεῷ συναριθμηθήσεται;

ΚΔ'. Εἰ δὲ ἕξις ἐστὶ τὸ ἀγέννητον, ἀνάγκη προϋποθέσθαι γεννητὴν οὐσίαν, ἵν' οὕτως, ἕξιν προσλαβοῦσα, ἀγέννητος ὀνομάζηται.

D ΚΕ'. Εἰ δὲ ἡ γεννητὴ ἀγεννήτου οὐσίας μετέσχεν, ἕξεως ὑπομείνασα ἀποβολὴν, ἀγεννησίας ἐστέρηται. Εἴη ἂν οὖν οὐσία μὲν γεννητὴ, τὸ δὲ ἀγέννητον ἕξις.

ΚΣ'. Εἰ δὲ τὸ γέννημα παρόδου ἐστὶ δηλωτικὸν, δῆλον, ὅτι ἕξεώς ἐστι σημαντικὸν, ἄν τε μεταπέπλασται ἐξ οὐσίας τινὸς, ἄν τε τοῦτό ἐστιν ὃ λέγεται γέννημα.

ΚΖ'. Εἰ τὸ ἀγέννητον ἕξις, καὶ τὸ γεννητὸν ἕξις, αἱ μὲν οὐσίαι τῶν ἕξεων πρῶται, αἱ δὲ ἕξεις τῶν οὐσιῶν, εἰ καὶ δεύτεραι, ἀλλ' οὖν γε προτιμότεραι.

ΚΗ'. Εἰ δὲ τὸ ἀγέννητον τοῦ γεννητοῦ αἴτιόν ἐστι τοῦ εἶναι, σημαίνων [2], γέννημα συνεισφέρον τῇ ἑαυτοῦ οὐσίᾳ τὸν αἴτιον, οὐσίας ἐστὶ δηλωτικὸν τὸ

[1] F. μηδενὶ δὲ μηδέν. [2] Vide infra in Refutat. 21.

Digitized by Google

γέννημα, ἀλλ' οὐχ ἕξεως, τῆς ἀγεννήτου φύσεως οὐδὲν ἑαυτῇ συνεισαγούσης· πῶς οὐκ ἂν εἴη οὐσία, ἀλλ' ἕξις ἡ ἀγέννητος οὐσία;

tiam ipsam, non affectionem exprimat, cum ingenita natura nihil ipsa secum includat, nonne substantia potius quam affectio quædam debet videri?

ΚΘ'. Εἰ πᾶσα οὐσία ἐστὶν ἀγέννητος, οἷα ἡ Θεοῦ τοῦ παντοκράτορος, πῶς ἂν τὴν μὲν παθητὴν ἐρεῖ τις, τὴν δὲ ἀπαθῆ; Εἰ δὲ φύσεως ἀποκληρώσει ἀγεννήτου ἡ μὲν διαμένει ποσότητος καὶ ποιότητος, καὶ, ἁπλῶς εἰπεῖν, πάσης μεταβολῆς ἀμείνων, ἡ δὲ παθῶν ἐστιν ὑπεύθυνος, συγχωρηθεῖσα τὸ ἀπαράλλακτον εἰς οὐσίαν ἔχειν, τῷ αὐτομάτῳ ἐπιτρέψαι φίλον τὰ κατὰ τὰς προειρημένας· ἢ τόγε οὖν ἀκόλουθον τὴν μὲν ποιοῦσαν ἀγέννητον εἰπεῖν, γεννητὴν δὲ τὴν μεταβαλλομένην.

XXIX. Si substantia omnis ingenita sit, cujusmodi est omnipotentis Dei, quid attinet hanc quidem passionibus obnoxiam, illam vero earumdem expertem dicere? Quod si quadam ingenitæ naturæ sorte ac conditione, quantitatis, et qualitatis, et, ut uno verbo dicam, mutationis omnis expers altera est, altera vero passiones admittit, et nihilominus eidem immutabilitas est concessa, necesse est ut quæ commemoratis hisce naturis insunt, aut casu quodam fortuito accidisse dicantur, aut, quod consentaneum est, eam ipsam quidem quæ agit, ingenitam; quæ vero patitur ac mutatur, genitam appellemus.

Λ'. Εἰ τῆς γενομένης ἡ ἀγέννητος φύσις ἐστὶν αἰτία, τὸ δὲ ἀγέννητον μηδὲν εἴη αἴτιον[1]· πῶς ἂν εἴη αἴτιον τὸ μηδὲν τοῦ γεγονότος;

XXX. Si genitæ naturæ causa est ingenita, ingenitum vero, quod principium dicitur, nihil omnino sit, quinam potest id quod nihil est ejus, quod productum est, esse principium?

ΛΑ'. Εἰ τὸ ἀγέννητον στέρησις, ἡ δὲ στέρησις ἕξεως ἀποβολή ἐστιν, ἡ δὲ ἀποβολὴ παντελῶς ἀπόλλυται, ἢ μεθίσταται ἐφ' ἕτερον· πῶς οἷόν τε ἕξει μεθισταμένῃ κατονομάζεσθαι τὴν οὐσίαν τοῦ Θεοῦ ἀγεννήτῳ προσηγορίᾳ;

XXXI. Si ingenitum privatio quædam est; est autem privatio affectionis amissio, amissio porro penitus e medio tollitur, aut in alterum commutatur, quonam pacto affectione illa transeunte, aut pereunte, hoc est ingeniti appellatione Dei substantia cognominabitur?

ΛΒ'. Εἰ τὸ ἀγέννητον δηλοῖ στέρησιν μὴ προσοῦσαν τῷ Θεῷ, πῶς ἀγέννητον εἶναι λέγομεν, γεννητὸν δὲ μὴ εἶναι;

XXXII. Si ingenitum privationem, quæ Deo non inest, significat, cur ingenitum esse, genitum vero non esse dicimus?

ΛΓ'. Εἰ ψιλὸν ὄνομά ἐστιν ἀπὸ Θεοῦ τὸ ἀγέννητον, ἡ δὲ ψιλὴ προφορὰ τὴν ὑπόστασιν τοῦ Θεοῦ ἐπαίρει κατὰ πάντων τῶν γεννητῶν· τιμιωτέρα ἄρα ἐστὶν ἡ ἀνθρώπων προφορὰ τῆς τοῦ παντοκράτορος ὑποστάσεως, ἀσυγκρίτῳ ὑπεροχῇ καλλωπίσασα Θεὸν παντοκράτορα.

XXXIII. Si ingenitum nuda in Deo est appellatio, adeo ut supra creatarum rerum omnium conditionem sola pronuntiatio divinam substantiam extollat, consequens est hominum pronuntiationem omnipotentis Dei substantia præstantiorem videri: quæ quidem ipsam incomparabilis excellentia dignitatis exornet.

ΛΔ'. Εἰ παντὶ γεννητῷ αἰτία συγκεκλήρωται, αἴτιος δὲ ἡ ἀγέννητος φύσις, οὐκ αἴτιον δηλοῖ τὸ ἀγέννητον, ἀλλ' ὑπόστασιν σημαίνει.

XXXIV. Si cum eo omni, quod genitum est, implicata est, et conjuncta causæ notio, causa vero est, ingenita natura, cum ingenitum dicimus, non causam aliquam, sed substantiam exprimimus.

ΛΕ'. Εἰ πᾶν τὸ γεγονὸς ὑφ' ἑτέρου γέγονεν, ἡ δὲ ἀγέννητος ὑπόστασις οὔτε ὑφ' ἑαυτῆς οὔτε ὑφ' ἑτέρας γέγονεν· ἀνάγκη οὐσίαν δηλοῦν τὸ ἀγέννητον.

929 XXXV. Si quidquid productum est, ab altero productum est, ingenita vero hypostasis nec a se ipsa, nec ab alia producta est, ingeniti vocabulo substantia ipsa significetur oportet.

ΛϚ'. Εἰ τῇ τοῦ γεννήματος οὐσίᾳ συμφαίνεται ὡς αἰτία ἡ ἀγέννητος ὑπόστασις, κατὰ πάσης αἰτίας τὸ ἀπαράλλακτον ἔχουσα, αὐτουσία ἐστὶν ἀσύγκριτος, οὐκ ἔξωθεν συνεμφαίνουσα τὸ ἀπρόσιτον, αὐτὸ δὲ ὑπάρχουσα, ἀσύγκριτος καὶ ἀπρόσιτος. Ἔστι δὴ καὶ ἀγέννητος.

XXXVI. Si ingeniti substantia, tanquam causa, ingenita hypostasis declaratur, quæ præ omni causarum genere immutabilitate prædita est, eadem per sese substantia incomparabilis est, non velut extrinsecus ascitam qualitatem illam præ se ferens, nihil ut ad ipsam possit accedere, sed id ex sese habet, uti nihil cum ipsa conferri, aut ad eam accedere possit. Unde et per semet est ingenita.

ΛΖ'. Εἰ ὑπεράγει πάσης φύσεως ὁ Παντοκράτωρ, διὰ τὸ ἀγέννητον ὑπεράγει, ὅπερ ἐστὶν αἴτιον τοῖς γεννητοῖς διαμονῆς. Εἰ δὲ μὴ ἔστιν οὐσίας δηλωτικὸν

XXXVII. Si omnipotens Deus naturam omnem excellit, eo ipso quod ingenitus est, excellit. Quæ proprietas causa est genitis omnibus stabilitatem

[1] γρ. ἄρτιον.

Digitized by Google

constantiamque tribuens. Sin autem ingenitum substantiam non exprimit, a quo tandem genitarum rerum natura seipsam ut conservet accipiet?

XXXVIII. Si nihil eorum, quæ visum effugiunt, semetipso sativa quadam vi prius est, atque definita naturæ sorte continetur : qui fieri potest, ut ingenitus Deus, ab omni sortitione liber, suam ipsius substantiam modo in genita sobole inferioris cujusdam ac secundæ conditionis, modo in ingenito primariæ esse videat, ita ut prioris insit ac posterioris ordo?

XXXIX. Si in ingenita natura perseverat Deus, detrahendum hoc illi est, ut generari se, atque ingenitum esse cognoscat. Quod si illi detur, ut per geniti ingenitique conditionem illius natura traducatur, substantiam ipse suam ignorat, cum ab utraque, geniti scilicet atque ingeniti, qualitate distrahatur.

XL. Si vero genitum conditionis ingeniti particeps est, et in geniti natura perpetuo manet, necesse est, ut se imperfecta in natura constitutum esse cognoscat, et illam ingeniti communionem ignoret. Neque enim idem de seipso et ingenitæ substantiæ et genitæ notitiam informare potest.

XLI. Si ingeniti proprietas levis est ac minimi facienda, quod in mutationem proclivis sit, immutabilis substantia naturæ quædam dignitas est, cum ingenita substantia omnium confessione causis omnibus antecellat.

XLII. Si ingenitum causam nullam penitus habet, sintque ingenita complura, **930** immutabili natura constabunt. Neque enim velut attributa communis cujusdam ac peculiaris naturæ conditione participesque facta, altera molita est, altera producta.

XLIII. Si substantia omnis ingenita est, nihil a se invicem hac ex parte differunt, quod neutra dominationi subjecta sit alterius. Quare quinam affirmari potest, mutari unam, alteram mutare, cum Deo minime permittant, ut ex nulla subjecta substantia producat.

XLIV. Si omnis substantia ingenita est, perinde et nulla variabilis est. Quod si variari natura non potest, agere ac pati, ad fortuitum quemdam casum referenda sunt.

XLV. Quod si multa sint ingenita et invariabilia, nullo certo a se invicem numero discrepabunt. Neque enim comprehendi numero poterunt, quæ vel absolute, vel aliqua ex parte differant; cum differentia omnis determinatæ causæ in ingenita natura velut attributam sortem significet.

XLVI. Si [verba] ingenitus et Deus pro uno eodemque sumantur, ingenitus ingenitum genuit. Sin diversum quiddam, ingeniti ac Dei vocabula, declarant, nequaquam absurdum est, Deum a Deo genitum esse, cum uterque ab ingenita substantia originem duxerit.

XLVII. Si ante Deum nihil omnino fuit, uti re-

A τὸ ἀγέννητον, πόθεν ἂν ἡ τῶν γεννητῶν φύσις ἕξει τὸ διασώζεσθαι;

ΑΗ'. Εἰ οὐδὲν τῶν ἀοράτων αὐτὸ αὑτοῦ σπερματικῶς προϋπάρχει, διαμένει δὲ ἐν φύσει ἀποκεκληρωμένῃ· πῶς ἂν ὁ ἀγέννητος Θεὸς, ἐλεύθερος ἀποκληρώσεως ὑπάρχων, νῦν μὲν τὴν ἑαυτοῦ οὐσίαν δευτέραν ἐν γεννήματι ὁρᾷν [1], νῦν δὲ προτέραν ἐν ἀγεννήτῳ, κατὰ τὴν τοῦ πρώτου καὶ δευτέρου τάξιν;

ΑΘ'. Εἰ διαμένει ἐν φύσει ἀγεννήτῳ ὁ Θεὸς, τὸ ἐν γενέσει καὶ ἀγεννησίᾳ ἑαυτὸν εἰδέναι ἀφῃρήσθω. Συγχωρουμένου δὲ ἐν ἀγεννήτῳ καὶ γεννητῷ τὴν ἑαυτοῦ οὐσίαν παρατείνειν, αὐτὸς ἑαυτοῦ ἀγνοεῖ B τὴν οὐσίαν περιαγόμενος ὑπὸ γενέσεως καὶ ἀγεννησίας.

Μ'. Εἰ δὲ καὶ τὸ γεννητὸν μετείληφε μετουσίας ἀγεννήτου, ἐν δὲ γεννητοῦ φύσει ἀτελευτήτως διαμένειε, εἰ [2] μὲν δὴ ἀτελῆ φύσει γινώσκει αὐτὸν, ἀγνοῶν δηλονότι τὴν ἀγέννητον μετουσίαν. Οὐ γὰρ οἷόν τε αὐτὸν περὶ ἑαυτοῦ καὶ ἀγεννήτου οὐσίας γνῶσιν ἔχειν καὶ γεννητῆς.

ΜΑ'. Εἰ δὲ εὐκαταφρόνητόν ἐστι τὸ ἀγέννητον διὰ μεταβολῆς ἐπιτηδειότητα· ἀξίωμα φύσεώς ἐστιν, οὐσία ἀμετάβλητος, τῆς ἀγεννήτου οὐσίας πάσης αἰτίας κρείττονος ὡμολογημένης.

C ΜΒ'. Εἰ τὸ ἀγέννητον πάσης αἰτίας ἐξῄρηται, εἷς δὲ πολλὰ ἀγέννητα· ἀπαράλλακτον ἕξουσι τὴν φύσιν. Οὐ γὰρ ἂν, μὴ ἀποκληρώσει φύσεως τινὸς κοινοῦ καὶ ἰδίου μετειληφυῖα, ἡ μὲν ἐποίει, ἡ δὲ ἐγίνετο.

ΜΓ'. Εἰ πᾶσα οὐσία ἐστὶν ἀγέννητος, οὐδοποτέρα διοίσει τῆς ἄλλης κατὰ τὸ ἀδέσποτον. Πῶς οὖν ἄν τις φαίη τὴν μὲν μεταβάλλεσθαι, τὴν δὲ μεταβάλλειν, οὐκ ἐπιτρεπόντων τῷ Θεῷ ὑφιστᾷν ἐκ μὴ ὑποκειμένης οὐσίας;

ΜΔ'. Εἰ πᾶσα οὐσία ἐστὶν ἀγέννητος, πᾶσά ἐστιν ἀπαράλλακτος. Τῆς δὲ οὐσίας τὸ ἀπαράλλακτον ἐχούσης, τὸ ποιεῖν καὶ τὸ πάσχειν αὐτομαθισμῷ ἀναθετέον.

D ΜΕ'. Πολλῶν δὲ ὄντων ἀγεννήτων καὶ ἀπαραλλάκτων, ἀναριθμήτως διοίσουσιν ἀλλήλων. Οὐ γὰρ ἂν εἴη ἀριθμητὰ τὰ διεστῶτα ἢ καθόλου, ἢ κατά τι, πάσης διαστάσεως ἀποκληρώματί [3] τινα ἐμφαινούσης, [ἔτι] ἀποτεταγμένης ἀγεννήτου φύσεως.

ΜϚ'. Εἰ τὸ *ἀγέννητος* καὶ τὸ *Θεὸς* ἐκ παραλλήλου τὸ αὐτὸ δηλοῖ, ἀγέννητον ἀγέννητος ἐγέννησεν. Εἰ δὲ ἕτερόν τι δηλοῖ τὸ ἀγέννητον, ἕτερον δὲ τὸ Θεὸς, οὐκ ἄτοπον δὲ τῷ Θεῷ Θεὸν γεγεννηκέναι, ἑκατέρου τὴν ὕπαρξιν λαβόντος ἐξ ἀγεννήτου οὐσίας.

MZ'. Εἰ δὲ τὸ πρὸ τοῦ Θεοῦ μηδὲν εἴη, ὥσπερ οὐκ

[1] Cor. ὁρᾷ. [2] Cor. ἐν ᾧ ἀτελεῖ. [3] γρ. ἀποκληρώματα.

Digitized by Google

ἔστι, τὸ Θεὸς καὶ τὸ ἀγέννητον ταυτὸν δηλοῖ, οὐ προσιεμένου τοῦ γεννήματος τὸ ἀγέννητον. Διὸ οὐδὲ τὸ συνεκφωνεῖσθαι τῷ Θεῷ καὶ Πατρὶ αὐτῷ ἀνέχεται.

Ἐρρωμένους καὶ ἐρρωμένας ὑμᾶς ὁ ὢν αὐτογέννητος Θεὸς, ὁ καὶ μόνος ἀληθινὸς Θεὸς προσαγορευθεὶς ὑπὸ τοῦ ἀποσταλέντος Ἰησοῦ Χριστοῦ, ὑποστάντος τε ἀληθῶς πρὸ αἰώνων, καὶ ὄντος ἀληθῶς γεννητῆς ὑποστάσεως, διατηρήσει ἀπὸ τῆς ἀσεβείας, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, δι' οὗ πᾶσα δόξα τῷ Πατρὶ καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πεπλήρωται τὸ σύνταγμα τῶν Ἀετίου.

Καὶ ἔστι τῶν εἰς ἡμᾶς ἀπὸ μέρους ἐλθόντων αὐτοῦ φθοριμαίων λέξεων, ὡς ἔφην, ἡ ἀρχὴ παρ' ἡμῶν ἀνατρεπομένη αὕτη. Τριακόσια γὰρ ὁμοῦ κεφάλαια ὁμοιότροπα τούτοις φασὶν αὐτὸν πεποιηκέναι, πάσης βλασφημίας ἔμπλεα. Ἐνταῦθα δὲ ὡς ἀπολλυμένου σώματος ἑρπετοῦ καὶ σαπέντος, ἐπηδόλου [1] τινὸς σπουδαίου ἀναλεξαμένου τῶν τοῦ ἑρπετοῦ λειψάνων τὰ ὀστέα εἰς λύμην τινῶν, ἣν καυχᾶται ἐπιβουλὴν πεποιηκέναι, τισὶ γράφων δῆθεν, ὡς κατὰ φιλοκαλίαν περιέχει τὸ συνταγμάτιον, οὗ ἡ ἀρχὴ οὕτως, οὗ εἵνεκεν καὶ αὐτοὶ τῆς τοῦ Θεοῦ ἐνεργείας τὰ λατικὰ τῶν λόγων τῆς θείας Γραφῆς ἀναλεξάμενοι ἀπ' ἀρχῆς ἄχρι τέλους, ἀνατρεπτικὴν ἀντίδοτον, κατασκευάσωμεν τοῖς βουλομένοις ἰαθῆναι τῆς αὐτοῦ ἰοβολίας, ἀντικρὺς ἑκάστης λέξεως ἀνατροπὰς παραθησόμενοι τῶν αὐτῶν συλλογιστικῶν κεφαλαίων οὕτως·

A vera nihil exstitit, Deus et ingenitum idem plane significant, cum genita soboles ingenitum non admittat. Unde cum Deo ac Patre suo simul appellari sese non patitur.

Deus ille, qui a nullo alio genitus est, quique solus verus Deus ab Jesu Christo, qui ab eo missus erat, appellatus est, Christo, inquam, qui revera ante sæcula omnia exstitit, estque sine dubio genita substantia, sanos vos, sanasque et incolumes ab impietate custodiat, in Christo Jesu Domino nostro: per quem omnis gloria Patri et nunc et semper, et in sæcula sæculorum. Amen.

Hactenus Aetii opusculum.

Hoc igitur perniciosissimarum Aetii sententiarum, quarum ad nos particulæ quædam pervenerunt, principium est nostra hac disputatione refellendum; ferunt enim trecenta ab illo conscripta **331** capitula istorum similia, ac contumeliis divinum in Numen referta. Hic autem perinde ac si quis emortui cujusdam ac putrefacti serpentis peritus ac studiosus artifex reliquias atque ossa legerit, ita pestiferæ illius doctrinæ partem, quam ad homines decipiendos scripto illo suo ad quosdam dato commisit, ac de eo tanquam egregio aliquo opere gloriatur, hujus, inquam, partem lucubratiuncula illa continet, cujus initium descripsimus. Quibus de causis et nos ex Scripturis sacris divina quædam atque efficacissima remedia ab initio ad finem usque collegimus, ex quibus antidotum quoddam confecimus in eorum gratiam, qui ab illius veneno ac peste curari voluerit. Ac singulorum propemodum verborum ex syllogisticis illis capitulis confutationem istiusmodi subjecimus:

B

C

Τὰ Ἀετίου τοῦ Ἀνομοίου.

Ἐπειδὴ τοῦ ἐπενεχθέντος ἐν καιρῷ ἡμῖν διωγμοῦ ὑπὸ τῶν χρονιτῶν, τινὲς τῶν προειρημένων σφετερισάμενοι μετὰ καὶ ἄλλων πολλῶν πονημάτιον σπουδασθὲν ἡμῖν ἰδιαζόντως περὶ ἀγεννήτου Θεοῦ καὶ γεννητοῦ, παρενθήκαις τε καὶ ἀφαιρέσεσι διαφθείραντες ἐξέδωκαν, τὴν ἀκόλουθον ἀμείψαντες ἀγωγὴν, ἦλθε δὲ μετὰ ταῦτα τοῦτο εἰς ἡμᾶς, τινὸς τῶν σπουδαίων ἡμῖν αὐτὸ προσκεκομικότος· ἠναγκάσθην οἷα πατὴρ αὖθις διακαθάρας ἐκπέμψαι ὑμῖν τὸ σύγγραμμα, ὦ πάντες εὐσεβείας ἀθληταί τε καὶ ἀθλήτριαι, ὅπως ἂν εἰδέναι ἔχοιτε κατ' ἔννοιαν τῶν ἁγίων Γραφῶν εἰρῆσθαι ἡμῶν τὸ λογίδιον, δι' οὗ πάντα ἄνθρωπον ἀντιλέγειν ὑμῖν ἐπιχειροῦντα περὶ ἀγεννήτου Θεοῦ καὶ γεννητοῦ παύειν ἀναισχυντεῖν συντόμοις περιτροπαῖς [2] δυνήσεσθε· πάντων δὲ μᾶλλον τοὺς προειρημένους χρονίτας, ἐν εἴδει τῶν στιχηρῶν ἐπαπόρησιν ἀπορήσεως διαστήσας καὶ λύσιν λύσεως, διὰ τὸ εὐπερίδρακτον καὶ σαφὲς τῶν ἐπιχειρημάτων ποιησάμενος τὴν ἀρχὴν περὶ ἀγεννήτου Θεοῦ.

Aetii Anomœi præfatio.

Quoniam persecutionis illius tempore, quam contra nos temporarii quidam homines excitarunt, nonnulli ex iis quos diximus, inter alia multa, opusculum quoddam privatim a nobis elucubratum de ingenito Deo ac genito subripientes, plerisque additis, aut detractis, interpolatum ac depravatum ediderunt, perturbata insuper ordinis serie; atque illud idem postea litterarum quidam ad nos studiosus attulit, necesse habui, utpote illius auctor, recensitum ac repurgatum opus istud ad vos mittere, quicunque pietatis athletæ utriusque sexus estis, ut intelligatis nihil non in eo ex sacrarum Litterarum germano esse sensu prolatum. Cujus quidem præsidio eos omnes, qui contradicere voluerint, paucis D quibusdam breviter objectis, prohibere poteritis, ne de ingenito Deo ac genito sermonem impudenter instituant, ac temporarios illos in primis, quos attigi: porro hæc disputationis capita versuum in modum ita digessimus, ut et objectiones alias ex aliis et quæstionum dissolutiones necteremus: quo et ad comprehendendum faciliora et planiora, quibus utimur, argumenta vobis essent: ab ingenito vero Deo disputandi initium fecimus.

Ἀνατροπή.

Α'. Κατὰ λέξιν τῆς διαλεκτικῆς σου κομπίας καὶ συλλογιστικῆς ματαιοπονίας τὴν ἀνατροπὴν ποιήσο-

Confutatio.

I. Tuam illam ex dialecticorum et disputandi artificum officina profectam vanam et insolentem

[1] γρ. ἐπιβόλου. [2] γρ. περιτομαῖς.

Digitized by Google

orationem, sic ad verbum **932** refellam, nullam ut ex infinitis illis dictionibus majorem minoremve prætereundo dissimulem. Ac primum quod ad tuæ factionis athletas viros ac feminas scribis, temporarios quosdam opusculi illius, quod præ manibus habebas, et in quo rem omnem interrogationibus comprehenderas, partem subripuisse, vel ex hoc ipso tuo scripto convinci potes, ad teipsum potius, discipulosque tuos, ne erroris socios appellem, nomen istud pertinere. Etenim sacrosancta Dei fides ac religio, cum ab initio atque ab ultima vetustate exstitit, licet non obsolescat aut inveteretur unquam, tum perpetuo stat, solidissimo fundamento nixa : cujus Dominus extra tempus omne constitutus est. Quocirca neque ipsa tempori subjacet, sed cum angelis versatur assidue, sanctosque per singulas generationes exornat. Tu vero temporarius multo magis appellandus es, qui et in errorem abductus es, et fastu arrogantiaque distentus, et gregis tui pecudes passim per dumis ac spinis consita pascua propulisti. Nemo enim eadem tecum ex veteribus sensit, o Aeti, temporarios scriptis tuis lacessens, temporarius ac recens ipse. Sed in ipso statim operis aditu, cum te lucubratiunculam de ingenito Deo ac genito scripsisse narras, adeo illustri principio (ut tam inusitata novorum vocabulorum licentia commemoranda, tuam omnem homines in admirationem adduxisti.

II. Equis est vero Christianorum omnium, qui salutarem Dei doctrinam obtinent, qui hac ipsa derelicta conflictis tuis fabulis ac nugis inductus, æterno Deo ejusque Spiritu sancto neglecto, ad tuas partes transire malit, ac de genito Deo disputantem audiat, ut et ipse inter stultos numeretur, et creaturam loco Creatoris adorare condiscat, *qui est benedictus in sæcula. Amen* [1]? Nos enim creatum non habemus Deum, aut factum, sed increatum, et a nullo conditum, a Patre vero sine initio ullo ac tempore genitum. Quidquid in hac geniti voce calumniæ struxeris, et ambigue usurparis, eam abs te dictionem non admittam, tametsi ne ita quidem accipias, ut Patre inferior factus esse dicatur : **933** *Neque enim e spinis colligunt uvas, neque ex tribulis ficus*, neque ab eo qui errorem secutus est, sanum ac sincerum dogma proficisci potest. Quare Dominus ipse silentium dæmonibus indixit, qui se Christum esse fatebantur [2]. Quod autem ad sacrarum Litterarum sententiam exactum esse libellum illum asseris, dic, amabo te, quænam divinæ Scripturæ pars factum Deum adorandum esse docuerit? Quod enim ingenitus sit Deus, dubitat nemo. Ac tametsi nominatim illud in Scripturis expressum non fuerit, nihilominus ut de Deo constanter ita cogitemus ac profiteamur, cum recta piaque ratio, tum prudentia ipsa persuadet. Addis vero, quo athletæ illi tui, vel erroris potius socii, facilius intelligant, quemadmodum brevi atque ex-

A μαι, μὴ ὑπερβαίνων, μηδὲ ἐν δευτέρῳ τιθέμενος τῶν δοκουσῶν σοι μειζόνων, ἢ καὶ βραχέων λέξεων τὸ ἀμύθητον. Καὶ πρῶτον μὲν ἐπεὶ ἄνω γράφων τοῖς τοῦ σοῦ πληρώματος ἀθληταῖς καὶ ἀθλητρίαις, ἔφησθα χρονίτας τινὰς σφετερισαμένους ἅπερ μετὰ χεῖρας εἶχες τοῦ πονηματίου ἐρωτηθείσης τῆς παρὰ σοὶ λέξεως, σὲ μᾶλλον τοῦτο τὸ ὄνομα κεκτημένον, καὶ τοὺς ἀπὸ σοῦ μεμαθητευμένους, ἵνα μὴ εἴπω πεπλανημένους, διελέγξειεν. Ἡ μὲν γὰρ Θεοῦ ἁγία πίστις ἀπαρχῆς οὖσα καὶ ἀεί, ἀρχαΐζουσα καὶ μὴ παλαιουμένη, ἔστιν ἀεί, καὶ ἡδραίωται ταύτης ὁ θεμέλιος, καὶ ὑπάρχει, ἔχουσα τὸν αὐτῆς Δεσπότην ἄχρονον. Διὸ οὐδὲ αὐτὴ χρονικὴ ὑπάρχει, ἀλλ' ἀεί ἐστι μετ' ἀγγέλων ἐμπολιτευομένη, καὶ ἁγίους κατὰ γενεὰν καὶ γενεὰν κοσμοῦσα. Σὺ δὲ μᾶλλον χρονικὸς B ὑπάρχεις, βουκοληθεὶς ὑπὸ τῆς πλάνης, καὶ ἐπαρθεὶς κατὰ τὴν διάνοιαν, καὶ τὸ σὸν βόσκημα τῆς ἀγέλης χυδαίως εἰς νομὴν ἀκανθώδη παρεμπλέξας. Οὐδεὶς γὰρ κατὰ σὲ τῶν παλαιῶν ἐφρόνησεν, ὦ Ἀέτιε, ὁ κατὰ χρονικῶν γράφων, αὐτὸς χρονικὸς ὑπάρχων, καὶ οὐκ ἀρχαΐζων. Εὐθὺς δὲ ἐκ πρώτης ἐπιβολῆς, ὡς ἔφης πονημάτιον γεγραφέναι, εἰπὼν περὶ ἀγεννήτου Θεοῦ καὶ γεννητοῦ, ἐξέπληξας τὸν βίον ἐν τῇ τοσαύτῃ σου φωτεινῇ ἐπιβολῇ τοῦ λόγου, ἵνα οὕτως περιγέλαστόν σου ποιήσωμαι τὸν λόγον τῆς διαλέξεως τῆς τοσαύτης σου καινοτομουμένης ὀνοματοποιίας.

illam disputationem ludibrio traducam), summam

Β'. Τίς γὰρ τῶν τὸ σωτήριον τοῦ Θεοῦ κήρυγμα C κεκτημένων Χριστιανῶν παίδων τοῦτον [3] καταλείποι, προτραπεὶς ὑπὸ σοῦ διὰ τῆς μυθώδους σου πλάνης, ἐάσας Θεὸν ἀεὶ ὄντα, καὶ τὸ ἅγιον αὐτοῦ Πνεῦμα ἀεὶ ὄν, καὶ ἐλθὼν ἀκούσει παρὰ σοῦ περὶ γεννητοῦ Θεοῦ, ἵνα καὶ αὐτὸς ἐν μωροῖς καταλεχθείη, διδασκόμενος προσκυνεῖν τὴν κτίσιν παρὰ τὸν κτίσαντα, ὃς ἐστιν εὐλογημένος εἰς τοὺς αἰῶνας. Ἀμήν; Οὐκ ἔχομεν γὰρ ἡμεῖς κτιστὸν Θεὸν, οὐ ποιητὸν, ἀλλ' ἄκτιστον καὶ ἀγέννητον, ἐκ Πατρὸς γεγεννημένον ἀνάρχως καὶ ἀχρόνως. Κἂν τε γὰρ σοφίζῃ τὸ γεννητὸν, γεννητὸν ὁμωνύμως καλεῖν βουλόμενος, οὐ δέξομαί σου τὴν λέξιν, κἂν τε οὐχ οὕτως νοήσῃς, ἠλαττωμένως παρὰ τὸ ἐκ Πατρὸς γεγεννῆσθαι. Ἐξ ἀκανθῶν γὰρ οὐ συλλέγουσι σταφυλὰς, οὔτε ἐκ τριβόλων σῦκα· οὐδὲ ἐξ ἀνδρὸς πεπλανη- D μένου ὀρθὸς ἂν ὑπολειφθείη λόγος. Ἐφίμου γὰρ καὶ ὁ Κύριος τοὺς δαίμονας Χριστὸν αὐτὸν ὁμολογοῦντας. Κατ' ἔννοιαν δὲ τῶν θείων Γραφῶν φάσκεις εἶναι τὸ λογίδιον· λέγε μοι, ποία Γραφὴ θεία ἐδίδαξε προσκυνεῖσθαι Θεὸν ποιητόν; Καὶ ὅτι μὲν Θεὸς ἀγέννητός ἐστι, παντὶ τῳ σαφὲς εἴη. Ἀλλ' οὐδὲ τοῦτο ὀνομαστὶ ἔγκειται ἐν τῇ θείᾳ Γραφῇ· ἀπὸ δὲ ὀρθοῦ καὶ εὐσεβοῦς λογισμοῦ, καὶ αὐτῆς τῆς συνέσεως περὶ Θεοῦ τοῦτο νοεῖν καὶ λέγειν ἀραρότως ἔχει. Λέγεις δὲ, ἵνα εἰδέναι ἔχοιεν οἱ ὑπὸ σοῦ ἀθληταί τε καὶ ἀθλήτριαι καλούμενοι, πεπλανημένοι δὲ μᾶλλον, πῶς πρὸς ἕκαστον ἀποκριθῶσι διὰ συντόμου καὶ εὐπεριδράκτου λόγου στιχηρῶν τρόπον τὰ

[1] Rom. I, 25. [2] Matth. VII, 16; Luc. IV, 41. [3] Cor. τοῦτο.

Digitized by Google

κεφάλαια ὑπὸ σοῦ συντεθεῖσθαι. Διὸ αὐτὰ τὰ δοκοῦντά σου ἰσχυρὰ ῥήματα καὶ σοφιστικὰ, ἃ πρὸς τοὺς μείζους εἰς ἀντιλογίαν ἐξήσκηταί σοι, μᾶλλον δὲ ἵνα πρὸς τὴν ἀλήθειαν ἐπάρῃς στόμα, ἡμεῖς οἱ εὐτελεῖς καὶ ἰδιῶται, καὶ οὐ μείζους, ἀλλὰ βραχύτεροι πολλῷ τῶν ἐν τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ ποιησόμεθα, ὡς προεῖπον, τὴν ἀνατροπὴν τῆς ἀσυστάτου ταύτης καὶ σφόδρα εὐτελοῦς φλυαρίας.

A pedita oratione unicuique objectioni respondeant versuum more te singula capita digessisse. Quamobrem hæc ipsa tua, ut quidem existimas, firmissima, sed sophistica argumenta, quæ ad confutandos præstantiores quosque elaborasti, ut os tuum superbe contra veritatem extolleres, hæc nos, inquam, viles et idiotæ, neque ex primariorum illorum numero, sed plerisque, qui in sancta Dei Ecclesia censentur, inferiores, refutare, ut diximus, aggredimur, ac tuam illam inconditam abjectissimamque loquacitatem refellere.

Γ'. Καὶ ἕως ὧδε ἐχέτω σου ἡ κατὰ τοῦ προοιμίου ἀντίθεσις τῆς ἡμῶν βραχύτητος. Ἀρχὴν δὲ αὖθις τῶν ὑπὸ σοῦ κεφαλαίων καθεξῆς κατατάξας, ἀντικρυς ἑκάστης λέξεως καὶ κεφαλαίου ἀντιπαραθήσομαι τὰς ἐκ τῶν θείων Γραφῶν, καὶ ἐξ ὀρθοῦ λογισμοῦ ἀντιῤῥήσεις τε καὶ ζητημάτων παρὰ σοὶ λογικῶν ἀνατροπάς· ὅπως οἱ Θεοῦ δοῦλοι καὶ ἀληθεῖς ἀθληταὶ, ἐντυχόντες, καὶ κατανοήσαντες τὴν πᾶσάν σου ἀτοπίαν, καταγελάσωσι, λέγοντες· *Ἡ ὑπερηφανία τῆς καρδίας σου ἐποίησέ σοι ταῦτα. Σὺ γὰρ εἶπας ταῦτα ἐν τῇ διανοίᾳ σου· Ἀναβήσομαι εἰς τὸν οὐρανὸν, καὶ ἐπάνω τῶν ἀστέρων τοῦ οὐρανοῦ θήσομαι τὸν θρόνον μου. Καθιῶ ἐν ὄρει ὑψηλῷ· ἐπὶ τὰ ὄρη τὰ ὑψηλὰ τὰ πρὸς βορρᾶν ἀναβήσομαι ὅμοιος τῷ Ὑψίστῳ. Νυνὶ δὲ εἰς ᾅδου καταβήσῃ, εἰς τὰ θεμέλια τῆς γῆς,* καὶ τὰ ἑξῆς.

III. Sed adversus tuum illud proœmium hactenus disputatum est. Venio nunc ad illud tuorum capitum principium, quod ubi proposuero, adversus unamquamque vocem et caput suam refutationem e sacris Litteris, ac recta ratione depromptam, hoc est logicarum omnium tuarum quæstionum dissolutionem opponam. Ut cum Dei servi, iidemque veriores athletæ, ex iis nostris quam absurda sit doctrina tua didicerint, irrideant, et illud usurpent: *Superbia cordis tui hæc tibi fecit. Tu enim dixisti hæc in cogitatione tua: Ascendam in cœlum, et supra stellas cœli ponam thronum meum. Sedebo in monte excelso supra montes arduos. ad aquilonem ascendam supra nubes, et ero similis Altissimo. Nunc vero ad inferos descendes, ad fundamenta terræ*[1], etc.

ΚΑΙ ΕΣΤΙΝ Η ΑΡΧΗ ΤΩΝ ΑΕΤΙΟΥ ΚΕΦΑΛΑΙΩΝ ΑΥΤΗ.

934 *INCIPIUNT AETII CAPITA.*

Α'. Εἰ δυνατόν ἐστι τῷ ἀγεννήτῳ Θεῷ τὸ γεννητὸν ἀγέννητον ποιῆσαι.

I. Si ingenitus Deus potest quod genitum est ingenitum facere.

Ἀνατροπὴ Α'.

Ἡρῶτον μὲν τὸ εἰς Θεὸν λογίσασθαι ἀδύνατον ἀσεβὲς ἦν μόνον τε ἀπρεπὲς τῇ αὐτοῦ θεότητι, καὶ αὐτὸ οὐκ ἀδυνάτου ὄντος αὐτοῦ ποιεῖν, ἀλλ' ἀπρεποῦς οὔσης τῆς φαυλότητος Θεῷ, ᾧ οὐδὲν ἀδύνατον· ἀλλὰ διὰ τὸ φαῦλον ἀδύνατον εἶναι τῇ ἐνθέῳ αὐτοῦ δυνατῇ ἀγαθότητι, καὶ αὐτῷ ἀγαθῷ ὄντι.

Confutatio I.

In primis esse aliquid, quod Deus facere nequeat, impium est cogitare, et quidem aliquid est duntaxat, quod Deum minime deceat: non quod ad illud faciendum satis virium non habeat, sed quod malitia verbi gratia, Deum, cui nihil impossibile est, minime deceat; eo quod malum omne divinæ illius ac potentissimæ bonitati, ipsique adeo, qui bonus est, impossibile sit.

Καὶ ἄλλως· Εἰ τὸ γεννητὸν ἀγέννητον παρὰ Θεῷ ἀγαθὸν εἰς ἔργον νομισθείη, ἀδυνάτως δὲ ἔχει τὸ εἰς ἀγαθὸν γινόμενον ἀγαθῶς ἐπιτελέσαι· τοῦτο ἤττα περὶ τὸν δυνατὸν εἴη, βουλομένου τὸ προχριτέον ἐργάσασθαι, καὶ μὴ δυναμένου. Εἰ δὲ τὸ ἀγέννητον ἀγαθὸν, τὸ γεννητὸν δὲ ἐν τῇ ἰδίᾳ τάξει ἀγαθῶς γεγέννηται, ἀγαθῆς οὔσης ἐξ ἀγαθοῦ Θεοῦ τῆς τάξεως τοῦ γεννητοῦ, καὶ παρ' αὐτῷ νομισθείσης, οὐκ ἂν ποιήσειε τὸ καλῶς γεννητὸν ἀγέννητον, ἐπειδὴ καλῶς νενόμισται αὐτῷ τὸ οὕτως εἶναι καλόν. Ἐπεὶ οὖν τοῦ καλοῦ οὐχὶ διὰ τὸ ἀδύνατον οὐ μεταβάλλεται ἡ τάξις, ἀλλὰ διὰ τὸ ἀγαθῶς οὕτως εἶναι· ἀγαθὸς ἄρα ὁ ἀγέννητος Θεὸς, ἀγαθὰ δὲ τὰ ἐξ αὐτοῦ γενόμενα ἐν τῇ ἰδίᾳ τάξει, μὴ λαβόντα ἀγεννήτου ὄνομα. Οὐ γὰρ Θεοὺς κτιστοὺς ἐποίησεν, ἵνα θάτερον θατέρῳ παρεκτεινόμενον ἀφανίζῃ διὰ τῆς ἐπωνυμίας τὸ ἀνώνυμον τοῦ μείζονος πρὸς τὸ ἧττον. Εἰ μὲν γὰρ ὁ μὲν ἔστι Θεὸς ἀγέννητος, ὁ δὲ Θεὸς γεννητὸς, τῶν φύσεων

Præterea: Si quod factum ac genitum est, ingenitum reddi facto ipso bonum judicaret Deus, neque tamen istud boni bene perficere posset, tum demum præpotens ille Deus viribus destitutus esse videretur; qui quod præstantius est moliri cupiens, nequaquam posset assequi. Verum cum et quod ingenitum est, bonum sit, et quod genitum est, suo in ordine bene sit genitum, quoniam genitarum rerum conditio bona est, et a bono Deo profecta, nec aliter ab eo ipso judicatur, nunquam ille quod præclare genitum est, ingenitum facere volet: quandoquidem ita se rem habere bonum esse, idem ille persuasum habet. Quamobrem cum boni conditio nullo modo mutetur, non quod id illi impossibile sit, sed quod bene ad eum modum constituta sit, bonus utique factus a nullo Deus est, bona itidem, quæ ab eo sunt in ordine suo facta, tametsi ingeniti appellatione careant. Non enim creatos deos

[1] Isa. xiv, 13-15.

Digitized by Google

condidit, ut alterum cum altero comparatum appellatione ipsa superioris supra inferiorem excellentiam, quæ nulla appellatione comprehendi potest, obscuret et exstinguat. Nam si Deus alter a nullo factus, alter factus est, cum nulla sit inter naturas communio, fieri non potest, ut secundum naturam nominis illius dignitatem communem habeat, nisi forte abusione quadam et gratia, hoc est participatione quadam, fieri dicatur, ut ejusmodi beneficio inferiorem dives afficiat. Nam ille quidem sibi nunquam superioris nomen imposuerit, ut qui se ab illa naturæ dignitate appellationeque alienum prorsus intelligat. Sane illud, o Aeti, merito tibi aliquis objecerit: *Deus erat Verbum*[1], neque Verbum Deus factum est. Quinam vero nobilissimam appellationem natura sibi vindicabit, aut æquabitur Patri, si quid ad Christi dignitatem accesserit? **935** Aut illud quanam ratione amputari poterit, *Deus erat*, cum vox, *erat*, nullum vel levissimam temporis divisionem admittat? Proinde scire te illud oportet, Deum initio carentem, et a nullo factum similem sibi Deum a seipso genuisse adeoque in omnibus æqualem. Quem quidem minime creasse dicitur, ne, si creatus esset ideoque dissimilis foret, diversitate, varietateque sua Dei appellationem e medio tolleret. Etenim fieri non potest, ut qui generat dissimilem sui inæqualemque producat, aut ut genitus generantis sit dissimilis. Quocirca naturalem utriusque identitatem retinet id, quod evangelico testimonio fertur, in quo ita scriptum est: *Omnia quæ Patris sunt mea sunt*[2], hoc est, Deus est Pater, ego itidem Deus; vita est Pater, ego etiam vita; et cætera omni quæ Patri, Filio et Spiritui sancto in una divinitate conveniunt, cum nihil sit in Trinitate diversum, a manifeste nobis subsistentis sine ullo initio ac tempore, paterni Verbi ac similiter subsistentis Spiritus sancti, qui ex Patre Filiique propriis oritur, perfecta nobis oblata cognitio sit atque omni ratione firmata.

A ἀκοινωνήτων οὐσῶν, ἀδύνατόν ἐστι κοινωνῆσαι κατὰ φύσιν τῷ τοῦ ὀνόματος ἀξιώματι, ἀλλ' εἰ ἄρα καταχρηστικῇ τινι χάριτι, καὶ αὐτὸ κατὰ συμμετοχὴν τοῦ πλουσίου χαριζομένου τῷ ἥσσονι. Ὁ δὲ ἥσσων οὐκ ἂν ποτε εἰς τὸ τοῦ μείζονος ὄνομα ἑαυτὸν καλέσειε, παντάπασι γινώσκων ἀλλότριον ἑαυτὸν ὄντα τοῦ κατὰ φύσιν ἀξιώματός τε καὶ ὀνόματος. Λέξειε δ' ἄν τίς σοι, ὦ Ἀέτιε, τὸ, *Θεὸς ἦν ὁ Λόγος*· καὶ οὐκ ἐγένετο Θεὸς ὁ Λόγος. Πῶς ἕξει τὸ κατὰ φύσιν τῆς εὐγενείας[3] ὄνομα, ἢ πῶς ἰσωθήσεται, εἴπερ τι γέγονε τῷ τοῦ Χριστοῦ ἀξιώματι; Ἢ πῶς τὸ, *Θεὸς ἦν*, ἐκκοπήσεται, χρόνου μὴ ἐπιδεχομένου τοῦ *ἦν* διαίρεσιν ἐργάσασθαι, κἂν ἐν τῷ τυχόντι; Γνώσῃ δὲ, ὅτι ἄναρχος Θεὸς, καὶ ἀγέννητος Θεὸς ἐγέννησεν ἐξ αὐτοῦ Θεὸν ὅμοιον ἑαυτῷ, οὐ μόνον, ἀλλὰ καὶ ἴσον κατὰ πάντα. Καὶ οὐκ ἔκτισεν, B ἵνα μὴ, ἀνόμοιος ὁ κτισθεὶς γενόμενος, ἀφανίσῃ τὸ τοῦ *Θεὸς* ὄνομα διὰ τῆς διαστάσεως τῆς παραλλαγῆς. Ἀδύνατον γὰρ τὸν γεννῶντα ἀνόμοιον καὶ ἄνισον γεννᾷν ἑαυτοῦ, καὶ τὸν γεγεννημένον ἀνόμοιον εἶναι τοῦ γεγεννηκότος. Διὸ ἐνταῦθα περιλήψεται τῆς ταυτότητος τὸ κατὰ φύσιν ἐξ εὐαγγελικῆς μαρτυρίας, ὅτι *Πάντα τὰ τοῦ Πατρὸς ἐμά ἐστι*, τουτέστι· Θεὸς ὁ Πατὴρ, Θεὸς ἐγώ· ζωὴ ὁ Πατὴρ, ζωὴ ἐγώ· καὶ τὰ ἑξῆς, πάντα ὅσα πρέπει Πατρὶ, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι ἐν μιᾷ θεότητι, μηδὲν τῆς Τριάδος παρηλλαγμένον ἐχούσης· σαφῶς ἡμῖν ἀνάρχως καὶ ἀχρόνως τοῦ ἐνυποστάτου Λόγου τοῦ Πατρὸς, καὶ τοῦ ἐνυποστάτου Πνεύματος τοῦ ἁγίου ἐκ Πατρὸς, καὶ τὸν τοῦ Υἱοῦ, ἡμῶν ἐν γνώσει τελείᾳ ἡσφαλισμέ- C νου.

AETII CAPUT II.

Si unigenitus Deus causa est omni præstantior, erit etiam generatione ipsa præstantior. Si, inquam, causis omnibus antecellit, generationi identidem antecellet. Neque enim aut ab altera natura ut esset accepit, aut illud ipse sibi contulit.

Confutatio II.

Si ingenitus causa est omni præstantior, ab ipso porro genitus haud illo digne genitus est, nec æqualis, et tamen excellenti illa Patris appellatione continetur, summam genitori genitus ignominiam affert, qui alterius, quam creatæ res cæteræ, nominis dignitate gaudeat, neque ut cætera illa, quæ facta sunt, conditori suo cultum et honorem adhibeat. Nam alia quidem, quæ extra illum sunt, conditori suo decus honoremque tribuunt; cui nec æqualia sunt, nec eadem cum illo appellatione censentur, sed servilis conditionis sunt, atque ad Creatoris gloriam producta: quo nimirum ex illustribus illis, et egregiis ejus qui illustribus hisce rebus conditis superior est, dignitatem excellentiamque proportione quadam contemplemur. **936** At vero alter,

[1] Joan. I, 1. [2] Joan. XVI, 15. [3] *γρ.* ἀγενείας.

ΑΕΤΙΟΥ ΚΕΦΑΛΑΙΟΝ Β'.

Εἰ πάσης αἰτίας κρειττων ὑπάρχει ὁ ἀγέννητος Θεὸς, διὰ τοῦτο καὶ γενέσεως κρειττων ἂν εἴη. Εἰ δὲ κρειττων ἐστὶ πάσης αἰτίας, δηλονότι καὶ γενέσεως. Οὔτε γὰρ παρ' ἑτέρας φύσεως εἴληφε τὸ εἶναι, οὔτε αὐτὸς ἑαυτῷ τὸ εἶναι παρέσχε.

Ἀνατροπὴ Β'.

Εἰ πάσης αἰτίας κρειττων ὑπάρχει ὁ ἀγέννητος Θεὸς, ὁ δὲ γεννητὸς ἐξ αὐτοῦ ἀναξίως αὐτοῦ γεγέν- D νηται, καὶ οὐ κατ' ἰσότητα καὶ ἐν τῷ τοῦ Πατρὸς προκριτέῳ ὀνόματι ἔστηκεν· ἀτιμίαν τῷ γεγεννηκότι τὸ γέννημα περιποιεῖται, ἑτέρου ὀνόματος παρὰ τὰ γεγονότα κτίσματα ἔχον τὸ ἀξίωμα, καὶ οὐ κατὰ τὰ γεγονότα τὴν τιμὴν τῷ πεποιηκότι περιποιούμενον. Τὰ μὲν γὰρ ἐκτὸς αὐτοῦ δόξαν τῷ κεκτικότι περιποιεῖται, οὐκ ὄντα ἴσα τῷ πεποιηκότι, οὐδὲ ὀνόματι τοῦ πεποιηκότος καλούμενα, ἀλλὰ δοῦλα γενόμενα εἰς δόξαν τοῦ πεποιηκότος, ἵνα ἀπὸ τῶν ἐνδόξων ἐκ τῶν ὑπὲρ τὰ ἔνδοξα γεγονότα τὸ προκριτέον, καὶ ὑπὲρ αὐτὰ ὂν ἀναλόγως θεωρῆται· ὁ δὲ οὐκέτι τῇ τούτων ὀνομασίᾳ κικλησκόμενος, τῇ δὲ προκριτέου ὁμοουσιότητι ἐκ τοῦ τετάχθαι συνηνωμέ-

Digitized by Google

νως ἔχων τὸ ἀξίωμα, εἰ διοίσει τοῦ προκριτέου τὴν παραλλαγὴν, καὶ τῷ προκριτέῳ ἔλαττον ἀξίωμα περιποιήσεται, διαλλαττομένης τῆς κατὰ τὸ προκριτέον τοῦ γεννήματος ἐπικοινωνίας. Διὸ ὅμοιος ἐξ ὁμοίου, καὶ ἴσος ἐξ ἴσου ἡμῖν ὁ βλαστὸς, οὐκ ἀπὸ σωματικῆς ἐννοίας τῇ πίστει κατείληπται, ἀλλ' ὡς Θεὸς ἐκ Θεοῦ, φῶς ἐκ φωτὸς, καὶ Λόγος Πατρὸς ἐνυπόστατος, σωζομένης τῆς ἀμεταθέτου τοῦ προκριτέου δόξης, ἐν τῷ τὸ προκριτέον οὐκ αὐτὸ ἑαυτοῦ αἴτιον, ἀλλ' ἀπ' αὐτοῦ τὸ ἴσον γεννῶν ἀχράντῳ καὶ ἀκαταλήπτῳ οὐσίᾳ, ὁμοουσίως τὸ οὐσιῶδες καὶ ἐνυπόστατον θεῖον γέννημα· οὗπερ εἰκών ἐστιν οὐκ ἄψυχος, ἀλλὰ Πατρὸς χαρακτηρίζουσα γένος, ὥς φησι ἡ θεία Γραφὴ, ἐπὶ τῇ ἰσότητι τοῦ γεννήτορος τὸ γέννημα τάττουσα, *Εἰκὼν*, φάσκουσα, *τοῦ ἀοράτου Θεοῦ*. Καὶ ἵνα μή τις νομίσῃ διάφορον εἶναι τὴν εἰκόνα τῆς ταυτότητος, αὐτὸς ὁ Πατὴρ, τὴν διόρθωσιν τῆς ἡμετέρας ζωῆς προνοῶν, πρὸ τούτου τοῦ λόγου ἔφησε τὸ, *Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν*· οὐ διοίσας ἑαυτὸν παρὰ τὸν Υἱὸν, ἀλλὰ δυϊκὴν καὶ ὁμώνυμον λέξιν ἐπειπὼν τὸ, *Ποιήσωμεν ἄνθρωπον*· ἵνα δύο σημάνῃ, ἑαυτόν τε καὶ τὸν Υἱὸν, ἢ καὶ εἴποιμι καὶ τὸ ἅγιον Πνεῦμα. Καὶ τὸ ἐπὶ τῇ ἰσότητι τῆς εἰκόνος, τὸ μὴ διὰ δύο λόγων παρενθεὶς, εἰκόνα μίαν ἔφη· ἡμετέραν δὲ τὸ δυϊκὸν ἀπεφήνατο· τὸν δὲ γινόμενον ἄνθρωπον οὐ τῇ τοῦ ἑνὸς εἰκόνι, ἀλλὰ τῇ τῶν δύο ὁμοιότητί τε καὶ ἰσότητι εἰκόνα γινόμενον, ἵνα πάντη σαφὲς εἴη τὸ πρακτέον, ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι μένον ἐν ταυτότητι, καὶ μὴ ἀλλοιούμενον. Οὐ γὰρ παρ' ἑτέρας φύσεως εἴληφεν ὁ Πατὴρ, ἢ ὁ Υἱὸς, ἢ τὸ ἅγιον Πνεῦμα, ἢ δέδωκεν ἑτέρᾳ φύσει συμμετοχὴν τῆς ἑαυτοῦ φύσεως καὶ ἀξιώματος· οὔτε κατά τινα τομὴν ἢ ἀπόῤῥοιαν τὸ εἶναι ἐξ αὐτοῦ τὸν Μονογενῆ, καὶ τὸ ἅγιον Πνεῦμα ἀλλοίωσιν τῆς φύσεως ἐξειργάσατο· ἀλλὰ καθάπερ ἐξαρχῆς προκριτέα φύσις ἀγέννητος καὶ ἄκτιστος ἀεὶ ἦν, οὕτως ἀεὶ ἐξ αὐτοῦ προκριτέον γέννημα, καὶ ἅγιον Πνεῦμα ἡμῖν σαφῶς κεκήρυχε, καὶ οὐκ ἐνηλλαγμένως.

qui nec communi cæterorum appellatione continetur, et pro eo quod excellenti illi consubstantialis est, ejusmodi dignitate præditus est, ut in eodem cum illo ordine collocetur, si quam habeat ab eximio illo præstantique varietatem, necesse est ut de ejusdem dignitate aliquid imminuat, hoc ipso quod excellentissimi illius in genito splendoris communio varietatis aliquid ac diversitatis habeat. Quare similem illum e simili, et æqualem ex æquali fetum, non pro captu corporeæ alicujus intelligentiæ Christiana fide concipimus, sed tanquam Deum ex Deo, lumen de lumine, ac Verbum Patris subsistens, adeo ut excellentis illius interim atque eximii gloria salva integraque retineatur, hoc ipso quod ille sui ipsius minime principium asseritur, sed æqualem sibi sobolem purissima et incomprehensibili substantia consubstantialique modo, hoc est substantia et hypostasi præditum produxisse Filium: qui quidem non animæ expers illius imago sit, sed paternum genus exprimat, ut Scriptura testatur, quæ genitum Filium æqualem genitori constituit. *Imago*, inquit, *invisibilis Dei* [1]. Ac ne quis imaginis notionem ab identitate ipsa differre crederet, ipsemet Pater, uti nos certo dirigeret, ante prolatam illam sententiam ita locutus est: *Faciamus hominem ad imaginem nostram et ad similitudinem* [2]. In quo non seipsum a Filio discrevit, sed similem vocem, et ad duos pertinentem usurpare voluit, *Faciamus hominem:* qua duos exprimeret, seipsum videlicet ac Filium, aut insuper et Spiritum sanctum. Atque ut imaginis æqualitatem ostenderet, diversa duo vocabula inserere noluit; sed unicam duntaxat commemoravit imaginem nostram autem ea voce, quæ ad duos spectaret, protulit. Porro creatum hominem non ad unius imaginem expressum, sed amborum similitudinis et æqualitatis effigiem esse significavit, ut illud aperte declararet, quidquid excellentiæ est, in Patre, Filio ac Spiritu sancto idem atque unum esse, neque varium ac multiplex.

Non enim aut ab altera natura Pater, Filius et Spiritus sanctus accepit, aut in alteram naturam naturæ dignitatisque suæ communionem transtulit; neque velut sectione quadam, aut profluvio divinæ illi naturæ varietatem attulit unigeniti Filii Spiritusque sancti productio. Sed quemadmodum ab initio præstantissima illa natura a **937** nullo facta creatave semper exstitit: ita semper præstantissimam ex seipsa sobolem una cum sancto Spiritu, sine ulla diversitate produxisse nobis apertissime prædicavit.

ΚΕΦΑΛΑΙΟΝ ΑΕΤΙΟΥ Γ'.

Εἰ δὲ αὐτὸς ἑαυτῷ τὸ εἶναι μὴ παρέσχεν, οὐ διὰ τὸ ἀσθενὲς τῆς φύσεως, ἀλλὰ διὰ τὸ ὑπερβεβηκέναι πᾶσαν αἰτίαν· πόθεν ἄν τις τὴν ὑποστᾶσαν πρὸς τὴν ὑποστήσασαν φύσιν τὸ ἀπαράλλακτον εἰς οὐσίαν ἔχειν συγχωρήσειεν, οὐ προσιεμένης τῆς τοιαύτης ὑποστάσεως γένεσιν;

AETII CAPUT III.

Jam vero si ipse sibi minime ut esset contulit, non propter ullam naturæ imbecillitatem, sed quod causa sit omni superior, quis productam naturam ab ea, quæ produxerit, nihil in substantia discriminis habere fatebitur, cum ejusmodi substantia generationem omnem excludat?

Ἀνατροπὴ Γ'.

Α'. Χρή σε, ὦ Ἀέτιε, ἄνω προσέχοντα, καὶ σεαυτοῦ τὸ ἐλλεινὸν κατανοοῦντα, ἐπέχειν τῆς ἑαυτοῦ τολμηρᾶς διανοίας τὸ περιττὸν τῆς ἀσεβείας· ἵνα καὶ ἡμεῖς μὴ συμμαινόμενοι τῇ τοσαύτῃ ἀφοβίᾳ ἡτ-

Confutatio III.

I. Multo tu, o Aeti, consultius faceres, si superioribus ac cœlestibus rebus intentus, et infelicitatem tuam agnoscens, temerariæ mentis insignem illam impietatem compesceres, ne et nos ipsi, velut

[1] Col. I, 15. [2] Gen. I, 26.

Digitized by Google

iisdem furiis perciti, tantæ audaciæ succubuisse A videamur, sed tibi potius ac nobis ipsis quæ pietati sunt consentanea consuluisse. Cum enim necessariis in rebus, ac Deo convenientibus dissimilem hunc et inæqualem ei quem genuit constituas, idque magno sane errore, sed falsa quadam pietatis specie confingere videare, in hoc ipso tamen, quod Deo indignissimum est, iis quæ divinitatem ejus minime decent, similem prædicas. In primis enim in tam altas de Deo cogitationes sese committere impietatis vel furiosæ potius mentis ille fructus est. Nam cum hæc usurpas : Sui ipsius esse causam; aut, Ipse sibi ut esset contulisse; utraque illa pessima suspicione temetipsum confixisti; cum id de Deo velut palpando ac tentando perquisisti : quemadmodum fuerit, utrumnam semper exstiterit, B ac num sibi ipsi ut esset tribuerit, an casu illud obtinuerit. Equidem non sine metu quodam et horrore meipsum tuum ad illud pessimum argumentum accommodo. Fac itaque modum, si potes, ut et ipsi facere possimus, quibus idoneum illud ac religiosum videtur, Deum semper intelligere ac semper illum exstitisse credere. In quo quidem stolide locutus ac ratiocinatus, quasi Deo honorem maximum haberes, dixisti nec ipsum sibi ut esset contulisse. Verum siquidem, ut instituis, a dictionibus et syllogismis pendet fidei salus, **938** quæ in infimis miserrimisque corporibus simile aliquid ejus, quod narras, inveniri potest), nec creatarum quidem rerum ulla suimetipsius causa C est, aut a seipsa ut esset obtinuit, idque, si a bestiis ad homines, et ab iis ad angelos progredi volueris, verum esse comperies. Nihil enim eorum, quæ facta sunt, sibi ut exsisteret concessit, sed ab eo solo, quod est, exsistendi initium accepit. Quamobrem cave ejusmodi rationibus, quibus argute concludere tete putas, ad id quod majus ac præstantius est, præter naturam te ac violenter extendas. Hoc enim si feceris, omnino viribus defectus excides. Quandoquidem unicus Dei Filius æqualis est ac similis Deo Patri, licet hoc dignitatis habeat, ut ab eo productus sit ac genitus. Nihil enim hoc ipsum ab æqualitate Patris abhorrebit, uti nec a similitudine. Nam nihil eorum quæ facta sunt, sibi ut esset contulit; quemadmodum præstantissimus ille, atque omni ex parte perfectus ab nullo initium olim habuit, eo quod nunquam esse cœperit. Semper enim exstitit exsistitque semper, tametsi in identitate maneat, neque sibi ut esset tribuerit. In quo non ambiguæ voces quærendæ sunt, sed sincera ac pietati consentanea adhibenda consideratio.

II. Præterea, cum sic ipse disputes : Quodsi D ipse sibi ut esset minime tribuerit, non propter ullam naturæ imbecillitatem, sed quod sit omni causa superior; velim et ipse illud intelligas : non ad imbecillitatem ullam Filii nomen pertinere, sed eo potius, quod cum genitore pariter conveniens sibi consubstantialis decus obtineat. Quoniam sicut Patrem in primis decet causam omnem excellere : ita unico Dei Filio, et ab uno Patre cum uno Spiritu sancto procedenti una eademque divinitas con-

τημένοι ὁπολῃφθῶμεν, ἀλλὰ σοί τε καὶ ἑαυτοῖς τὰ πρὸς εὐσέβειαν συμβουλεύοντες. Δοκῶν γὰρ ἐν τοῖς ἀναγκαίοις καὶ ἐν τοῖς Θεῷ πρέπουσιν ἀνόμοιον καὶ ἄνισον τὸν Θεὸν τῷ ἐξ αὐτοῦ γεγεννημένῳ ἀπὸ πολλῆς πλάνης κατὰ εὐσεβῆ τινα ποίησιν ἐξελθεῖν [1], Θεὸν μᾶλλον ἐν τοῖς ἀπρεπωδεστάτοις ὅμοιον αὐτὸν κηρύττεις τοῖς μὴ πρέπουσι τῇ αὐτοῦ θεότητι. Καὶ πρῶτον μὲν τὸ διανοηθῆναι ἐπὶ Θεοῦ τὸν τοσοῦτον βυθὸν τῆς διανοίας [2], ἀσεβείας ἐστὶ καρπὸς, καὶ μᾶλλον μανιώδους διανοίας. Τὸ γὰρ εἰπεῖν, Ἑαυτοῦ αἴτιον, ἢ τὸ, Αὐτὸς ἑαυτῷ εἶναι τὸ [3] παρέσχεν, ἐν δυσὶν ὑπονοίαις κακαῖς σεαυτὸν περιέπειρας, ἀναψηλαφῶν καὶ ζητῶν περὶ Θεοῦ τὸ, πῶς ἦν, ἆρα ἀεὶ, ἢ ἑαυτῷ τὸ εἶναι, ἢ αὐτομάτως εἶναι. Καὶ δέδια καὶ φρίττω τῷ σῷ κακῷ ἐνθυμήματι παρεκτεινόμενος. Πέπαυσο γὰρ, καὶ παυσόμεθα, ἀρκετῶς καὶ ὁσίως ἔχοντες τὸ ἀεὶ νοεῖν Θεὸν, καὶ πιστεύειν, ὅτι ἦν ἀεὶ Θεός. Καὶ γὰρ καὶ ἐν τούτῳ ἀφρόνως φθεγγόμενός τε καὶ συλλογιζόμενος, ὡς μεγάλως τετιμηκὼς τὸν Θεὸν, ἔφης, ὅτι οὔτε αὐτὸς ἑαυτῷ τὸ εἶναι παρέσχεν· οὐδὲ ἆρα κατὰ σὲ εἰ ἀπὸ λέξεών ἐστι καὶ συλλογισμῶν ἡ τῆς πίστεως σωτηρία, ἔχουσα καὶ ἐν τοῖς ὑποδεεστέροις ἢ οἰκτροῖς σώμασι τὴν τοῦ λόγου ὁροιότητα· οὐδὲν γὰρ τῶν κτισμάτων ἑαυτῷ αἴτιόν ἐστιν, ἢ τὸ εἶναι αὐτὸ ἑαυτῷ παρέσχεν, ἀπὸ κνωδάλων ἄχρις ἀνθρώπου, καὶ ἀπὸ ἀνθρώπων ἄχρις ἀγγέλων. Οὐδεὶς γὰρ τῶν γεγονότων ἑαυτῷ τὸ εἶναι παρέσχεν, ἀλλὰ ἐκ τοῦ ὄντως μόνου τὸ εἶναι ἕκαστον ἔλαβε τὴν ἀρχήν. Ὡς οὖν ἐνταῦθα δι' ὧν ἐνόμισας συλλογίζεσθαι συλλογισθεὶς, μὴ βιάζου παρὰ φύσιν παρεκτείνεσθαι πρὸς μεῖζον. Παραλυθήσῃ γὰρ κατὰ πάντα, τοῦ Μονογενοῦς ἴσου καὶ ὁμοίου ὄντος τῷ Πατρὶ, κἂν τε τοῦ τεχθῆναι, ἤγουν γεννηθῆναι, ἀπὸ Πατρὸς ἔχει τὸ ἀξίωμα. Οὐδὲν γὰρ διοίσει ἐν τούτῳ τῆς πρὸς τὸν Πατέρα ἰσότητος, ὥσπερ οὐδὲ ἀπὸ τοῦ ὁμοίου, τοῦ μὴ δύνασθαι τὰ γεγονότα ἑαυτοῖς παρασχεῖν τὸ εἶναι, ὡς καὶ ὁ προκριτέος καὶ ἐν ἅπασι τέλειος, οὐκ ἀπό τινος ἄνωθεν ἔσχε τὴν ἀρχήν· οὔτε γὰρ ἤρξατο τοῦ εἶναι. Ἦν γὰρ ἀεὶ, καὶ ἀεὶ ἔστι, κἂν τε ἐν ταυτότητι μένοι, καὶ ἑαυτῷ τὸ εἶναι μὴ παράσχοι, οὐ τῶν ὁμωνύμων λέξεων ζητουμένων, ἀλλὰ τῆς κατὰ τὸ ἀκραιφνὲς πρὸς τὸ εὐσεβὲς θεωρίας.

Β'. Καὶ ἄλλως, ἐπεὶ ἔφης· Εἰ δὲ αὐτὸς ἑαυτῷ τὸ εἶναι μὴ παρέσχεν, οὐ διὰ τὸ ἀσθενὲς τῆς φύσεως, ἀλλὰ διὰ τὸ ὑπερβεβηκέναι πᾶσαν αἰτίαν· μάθε καὶ αὐτὸς, ὅτι οὐ διὰ τὸ ἀσθενὲς τοῦ Υἱοῦ ἔσται τὸ ὄνομα, ἀλλὰ διὰ τὸ συμπρέπον τῷ γεγεννηκότι ἔχει τῆς ὁμοουσιότητος τὸ ἐξαίρετον. Ἐπειδὴ γὰρ, ὡς τῷ Πατρὶ τὸ ὑπερβεβηκέναι πᾶσαν αἰτίαν πρεπωδέστατόν ἐστιν, οὕτω καὶ τῷ μόνῳ ἐκ μόνου Πατρὸς σὺν τῷ μόνῳ Πνεύματι ἡ αὐτὴ μία θεότης συμπρέπει, μηδὲ αἴτιον ὑποδέχεσθαι δυναμένη, οὗ

[1] F. ἐξελεῖν. [2] F. ἀνοίας. [3] Leg. τὸ εἶναι.

Digitized by Google

διὰ τὸ ἀσθενὲς, ἀλλὰ διὰ τὸ ὑπερβεβηκέναι πάντα ἀριθμὸν τὸν ἐξ οὐκ ὄντων· μιᾶς οὔσης τῆς θεότητος ἐν ἑνὶ ὀνόματι Τριάδος ἀριθμουμένης, καὶ ἐν μιᾷ σφραγῖδι ὀνομάτων Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος τοῖς φωτιζομένοις κηρυττομένης, καὶ μηδὲν παρηλλαγμένον ἑαυτῆς ἐχούσης, διὰ τῶν ἐν ἀληθείᾳ λόγων ἑτότητα ὀνομασίας πληρούντων, Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος. Ἔφης δὲ πάλιν, ὅτι Ηόθεν ἔν τις τὴν ὑποστᾶσαν πρὸς τὴν ὑποστήσασαν φύσιν, τὸ ἀπαράλλακτον εἰς οὐσίαν ἔχειν συγχωρήσειεν, οὐ προσιεμένης τῆς τοιαύτης ὑποστάσεως γένεσιν; Καὶ οὔτε νενόηκας, ὡς ἑαυτὸν ἀλλοτριώσας ἀπογνώσεως Θεοῦ τῆς ἀληθείας, οὐ Πνεύματι ἁγίῳ τὰ τῆς ἀληθείας διδασκόμενος, ἀλλὰ σοφίᾳ κοσμικῇ τῇ μωρανθείσῃ τὰ ἄνω ἐμβατεύειν πειρώμενος. Ἀκολούθως γὰρ καὶ αὐτὸς ἀκούσεις, ὅτι μεματαίωταί σοι· *Οἶδε γὰρ ὁ Θεὸς τοὺς λογισμοὺς τῶν σοφῶν, ὅτι εἰσὶ μάταιοι.* Ὁ γὰρ γεννῶν τὸν ἐνυπόστατον Λόγον, ἴσον ἑαυτῷ ἐγέννησε, καὶ οὐ παρηλλαγμένον τῆς ἑαυτοῦ θεότητος, οὐ διὰ τὴν τοῦ γεννήματος παραλλαγὴν, ἀλλ' ὅτι ἀπρεπὲς ὅλως ἦν τὸ διανοηθῆναι ἡμᾶς ἀνάξιον ἑαυτὸν[1] καὶ ἄνισον καὶ ὑποδεβηκότα τοῦ γεννήτορος γεγεννηκέναι τὸ γέννημα αὐτὸν τὸν γεγεννηκότα. Διὸ διὰ τοῦ Υἱοῦ καὶ ἐνυποστάτου Λόγου τὰ πάντα γεγονέναι ἔφη· ἵνα αὐτὸν οὐκ ἀπὸ τῶν γεγονότων ἀριθμήσῃ, ἀλλ' ἐν Πατρὶ ὅμοιον καὶ ἴσον ὄντα, διὰ τὸ συμπρέπον τῇ τοῦ Πατρὸς ὀνομασίᾳ εἶναι, ἀεὶ ὄντα τὴν οὐσίαν τῷ ὄντι, οὐ ξένον ὄντα, ἀλλὰ γνήσιον, ὡς Υἱὸν ὁμοούσιον ἐξ αὐτοῦ γεγεννημένον.

venit, quæ nullam sui causam admittat, non ob ullam imbecillitatem, sed quod iis omnibus, quæ ex nihilo facta sunt, antecellat. Nimirum una divinitas est, quæ sub una Trinitatis appellatione numeratur, et in Patris, Filii ac Spiritus sancti nominibus, quibus velut singulari aliquo sigillo firmamur, iis qui baptismo initiantur prædicari solet; ac denique nihil a seipsa diversum continet, cum a veritate profectæ illæ voces Patris, Filii et Spiritus sancti, ejus, quod significant, æqualitatem impleant. Quod vero subjicis: Quis productam naturam ab ea quæ produxerit **939** nihil in essentia discriminis habere fatebitur, cum ejusmodi substantia generationem omnem excludat? Non illud animadvertis, a divinæ veritatis cognitione tua te culpa abalienari, ut qui non a Spiritu sancto veritatem sis edoctus, sed mundi hujus sapientia, quæ fatua stolidaque reddita est[2], subnixus, ad cœlestia te provehere conaris. Quare consequens est, ut et illud audias, frustra te esse: *Novit enim Deus sapientum cogitationes, quoniam vanæ sunt*[3]. Quocirca qui subsistens Verbum genuit, idem æquale sibi genuit, nec a sua divinitate diversum; nec ulla est in genita sobole varietas, cum minime sane deceat, ut illum putemus, indignum seipso et inæqualem et infra conditionem genitoris amandatum suum illum genuisse Filium. Quam etiam ob causam per Filium ac subsistens Verbum omnia esse facta testatus est, ut ipsummet ab factarum rerum numero secerneret doceretque, se in Patre similem atque æqualem esse: quod ipsum Patris appellationi consentaneum est; semper, inquam, exsistentem in substantia sua, non peregrinum, sed germanum, utpote consubstantialem Filium, et a Patre genitum.

ΚΕΦΑΛΑΙΟΝ ΛΕΤΙΟΥ Δ'.

Εἰ ἀτελευτήτως ὁ Θεὸς διαμένει ἐν ἀγεννήτῳ φύσει, καὶ ἀτελευτήτως τὸ γέννημα γεννημά ἐστιν· ἡ τοῦ ὁμοουσίου καὶ ἀνομοιουσίου κακοδοξία παραφανισθήσεται. Ἱστάται δὲ τὸ ἐν οὐσίᾳ ἀσυγκρίτῳ, ἑκατέρας φύσεως ἀπαύστως διαμενούσης ἐν τῷ ἰδίῳ τῆς φύσεως ἀξιώματι.

AETII CAPUT IV.

Si perpetuo ac sine ullo fine Deus in ingenita natura persistit, ac si genita soboles sine ullo fine genita est, prava illa de homoousio et homœousio sententia profligabitur. Cum illud interim in utriusque naturæ dignitate remaneat, ut, quod ad substantiam attinet, comparari inter se nequeant.

Ἀνατροπὴ Δ'.

Εἰ ἀτελευτήτως καὶ ἀπαύστως ὁ Θεὸς διαμένει, ὡς ἔφης, ἐν ἀγεννήτῳ φύσει, φύσις δὲ Θεοῦ ἄϊδιος ἀτελευτήτως ἔχουσα τὸ ἀξίωμα, οὐ διά τι ἕτερον, ἀλλὰ διὰ τὸ αὐτόθεον καὶ αὐτοαΐδιον· ἄρα γε καὶ τὸ γέννημα ὁμοούσιον ἔσται, εἰ παρὰ σοὶ τὸ τοῦ ἀτελευτήτου εἴληφεν ὄνομα, ὡς, παλιμβόλως τῷ Υἱῷ χαρίσασθαι, πιθανῶς ἐφυσιολόγησας. Ἀώσεις γὰρ καὶ ἀναγκαζόμενος ὁμολογῆσαι τὸ τοῦ ἀτελευτήτου ἐν ἅπασιν ἄπλετον καὶ ἀχώρητον ὄνομα. Πῶς οὖν οὐκ ἔσται ὁμοούσιον; Ἐπειδὴ ἔδοξας σκώπτειν, διὰ κακοδόξου ὀνόματος τὴν ἀλήθειαν ἐξυβρίσαι πειρασάμενος, ἐξ αὐτῶν ἐλεγχόμενος, ὧν ἔφης, ῥημάτων. Ἢ γὰρ δώσεις τέλος[4] τῶν ὑπὸ σοῦ παρηλλαγμένων βλασφημουμένων τὴν οὐσίαν, ἢ ἀτελεύτητον αὐτὸν ὁρισάμενος, ἐν ἅπασιν ἀμετάστατον καὶ ἀπαράλλακτον τῆς τοῦ ἀτελευτήτου ἀξίας

Confutatio IV.

Si perpetuo ac sine ullo fine Deus, ut asseris, in ingenita natura permanet, estque sempiterna Dei natura, quæ sine ullo fine dignitatem suam obtinet; nullam ob aliam causam, quam quod per sese Deus, ac per sese sempiternus est: igitur et genita soboles consubstantialis erit, cum indesinentis abs te nomen illi tribuatur, quemadmodum callide ac veteratorie Filio gratificans probabiliter de ejus natura disputasti. Dabis hoc igitur, vel invitus, ut infinitum illud et incomprehensibile nomen indesinentis omnino fateare. Annon igitur consubstantialis erit? Quando ita jocari visus es, dum **940** sacrilega appellatione veritati illudere conatus es, ita tamen ut illa ipsa, quibus usus es, te verba redarguant. Aut enim finem habere statues illum, quem per summam contumeliam substantia

[1] F. ἑαυτοῦ. [2] F. ἔχειν, sed ne sic quidem constat sibi lectio. [3] I Cor. I, 20. [4] Psal. XCIII, 11.

Digitized by Google

discrepare voluisti; aut, si nunquam desinere sentias, eumdem nulla ex parte mutatum, aut diversum ab indesinentis illius dignitate profiteri cogeris. Neque enim veritas patitur, uti Filius finem unquam habiturus existimetur, quoniam *regni ipsius*, ait Scriptura [1], *non erit finis*, eo quod cum Patre ac Spiritu sancto perpetuo regnat. Etenim quidquid initium habet, finem etiam habebit, si ei libuerit, qui illi, quod initium habere dicitur, ut esset, tribuit. Quod quidem cum cæteris in rebus verum sit, dici de Filio non potest. Est enim ab eo semper, qui est, et apud eumdem, nec unquam esse desinit. Quare et consubstantialis erat, et est, eritque perpetuo, solus e solo, nec ulla in re ab illius substantia diversus, sed pro nominum dignitate divinitas in identitate perseverat, non ulla confusione coalescens, neque sibi ipsi, velut principium quoddam, ut sit, tribuens; neque quidquam sui dissimile in seipsam admittens, quæ et est semper, et esse nunquam desinit, sibi ipsi conveniens, in sempiterna dignitate Patris ad Filium, Filii ad Patrem, sancti Spiritus cum Patre et Filio sine ulla interruptione consistens. Neque enim secum ipsa comparari Trinitas potest, quæ omnem dignitatis divisionem respuit.

εἰσάγειν ἀναγκασθήσῃ, τῆς ἀληθείας μὴ παραδεχομένης ἔχειν τὸν Υἱόν, ὅτι *τῆς βασιλείας αὐτοῦ*, φησὶν ἡ Γραφή, *οὐκ ἔσται τέλος*· διὰ τὸ σὺν Πατρὶ βασιλεύειν ἀεὶ καὶ σὺν τῷ ἁγίῳ αὐτοῦ Πνεύματι. Ἐπειδήπερ πᾶν τὸ ἀρχὴν ἔχον, καὶ τέλος ἕξει, εἰ βούλοιτο ὁ εἶναι τῷ τὴν ἀρχὴν εἰληφότι παρεσχημένος· ὅπερ ἐπὶ πᾶσι μὲν ἐνδέχεται, ἐπὶ δὲ τῷ Υἱῷ ἀνένδεκτόν ἐστιν. Ἔστι γὰρ ἀεὶ ἐκ τοῦ ὄντος, καὶ παρὰ τῷ ὄντι ἀεί, τοῦ εἶναι μηδέποτε λήγων. Διὸ καὶ ὁμοούσιος ἦν, [καὶ ἔστι,] καὶ ἔσται, μόνος ἐκ μόνου, καὶ ἐν οὐδενὶ τῇ οὐσίᾳ παρηλλαγμένος, ἀλλὰ κατὰ τὸ ἀξίωμα τῶν ὀνομάτων μενούσης τῆς θεότητος ἐν τῇ ταυτότητι, οὔτε συναλοιφὴν ἔχουσα, οὔτε ἀρχὴν ἑαυτῇ παρέχουσα τοῦ εἶναι, οὔτε δεχομένη τὸ ἀνόμοιον ἑαυτῇ ὑπάρχειν, ἡ ἀεὶ οὖσα, καὶ μηδέποτε τοῦ εἶναι λήγουσα, συμπρέπουσα δὲ αὐτῇ, ἀεὶ ἐν τῷ ἀξιώματι Πατρὸς πρὸς Υἱόν, καὶ Υἱοῦ πρὸς Πατέρα, καὶ ἁγίου Πνεύματος, σὺν Πατρὶ καὶ Υἱῷ ὑπάρχουσα, καὶ μηδέποτε διαλείπουσα. Ἔστι γὰρ ἑαυτῇ ἀσύγκριτος ἡ Τριὰς, διαίρσιν οὐδεμίαν ἐν τῷ ἀξιώματι ὑποδεχομένη.

AETII CAPUT V.

Si ingenitus substantia Deus est, quod genitum est, non distractione quadam substantiæ genitum est, sed ab substantia, a qua productum est, manavit. Quippe eumdem substantiam genitam simul et ingenitam esse nulla cum pietate conjuncta ratio patitur.

ΚΕΦΑΛΑΙΟΝ ΑΕΤΙΟΥ Ε'.

Εἰ ἀγέννητός ἐστιν ὁ Θεὸς τὴν οὐσίαν, οὐκ οὐσίας διαστάσει τὸ γεννητὸν ἐγεννήθη, ἀλλ' ἐξ οὐσίας ὑποστησάσης αὐτό. Τὴν γὰρ αὐτὴν οὐσίαν καὶ γεννητὴν εἶναι καὶ ἀγέννητον οὐδεὶς λόγος εὐσεβὴς ἐπιτρέπει.

Confutatio V.

Sæpenumero hæc ingeniti genitique vocabula nobis obtrusisti, Dei nomen insolenter jactitans, cum in omni genere improbitatis consepultam mentem habeas. Et quidem illud indigenti cuivis in primis optabile est, ut ejus, quo indiget, copiam ad solatium habeat, aut **941** si minus assequi possit, saltem crebro in sermone illud usurpet. Unde et tu, cum impius ac Dei sis expers, quod unum restat, voce tenus proferendo illius nomine tete venditas, quoniam quidem, quod ad ejus timorem, fidem, spem et erga illum charitatem attinet, nunquam illum vere in possessionem habuisti. Alioqui satis esse crederes semel istud eloqui, neque præscriptum ordinem seriemque prætergredi. Manifesta quidem est a Salvatore contra te pronuntiata sententia: *A fructibus eorum cognoscetis ipsos* [2], eo quod cum ovis pelle sis obvolutus, intus rapax es et cum lupo comparatus. Etenim si a Spiritu sancto genitus esses, atque a prophetis apostolisque edoctus, facere te illud oportebat, ut, sacris omnibus codicibus pervolutis, a Genesi ad Estheris tempora, qui sunt septem et viginti libri Testamenti Veteris, et XXII numerantur; tum sacrosanctis IV Evangeliis, et S. Pauli XIV Epistolis, necnon et apostolorum Actis, quæ vel superiora illis tempora, vel poste-

Ἀνατροπὴ Ε'.

Πολλάκις ἡμῖν προῆλθες φέρων, ὦ οὗτος, τὸ ἀγέννητον καὶ γεννητὸν, τὸ τοῦ Θεοῦ ὄνομα φρυαττόμενος, ὁ ἐν πάσῃ ἀνομίᾳ σεαυτοῦ τὴν διάνοιαν ἐνθάψας. Ἐκεῖνο δὲ παντὶ τῷ ἀπόρως ἔχοντί ἐστι ποθητὸν, ἡ τοῦ ἀπορουμένου εὐπορία εἰς παραμυθίαν, καὶ ἐπὶ τοῦ στόματος φέρειν, ἐὰν μὴ εὐποροίη τοῦ τοιούτου. Καὶ σὺ, ἐπειδὴ ἄθεος τυγχάνεις, σέμνυναι κἂν διὰ τοῦ ὀνόματος λέγειν τούτου τὸ ὄνομα, ἐπειδὴ φύσει κατὰ τὸν αὐτοῦ φόβον, καὶ πίστιν, καὶ ἐλπίδα, καὶ πρὸς αὐτὸν ἀγάπην οὐδέποτε αὐτὸν ἐκτήσω. Ἦ γὰρ ἂν ἤρκει σοι ἅπαξ τοῦτο λέγειν, καὶ μὴ ὑπερβαίνειν ὅρον τῶν τεταγμένων τῆς ἀκολουθίας. Σαφὴς γὰρ ἡ παρὰ σοῦ [3], παρὰ τοῦ Σωτῆρος ἡμῖν ἀποφαντικὴ ἀπόδειξις, ὅτι *Ἀπὸ τῶν καρπῶν αὐτῶν γνώσεσθε αὐτοὺς*, τῷ εἶναι μέν σε περιβεβλημένον προβάτου κώδιον, ἔσωθεν δὲ εἶναι ἅρπαγα, καὶ λύκῳ παραβεβλημένον. Εἰ γὰρ ἦς ἐξ ἁγίου Πνεύματος γεγεννημένος, καὶ προφήταις, καὶ ἀποστόλοις μεμαθητευμένος, ἔδει σε διελθόντα ἀπαρχῆς γενέσεως κόσμου ἄχρι τῶν τῆς Ἐσθὴρ χρόνων, ἐν εἴκοσι καὶ ἑπτὰ βίβλοις Παλαιᾶς Διαθήκης εἴκοσι δύο ἀριθμουμένοις, τέταρσι δὲ ἁγίοις Εὐαγγελίοις, καὶ ἐν τεσσαρεσκαίδεκα Ἐπιστολαῖς τοῦ ἁγίου ἀποστόλου Παύλου, καὶ ἐν ταῖς πρὸ τούτων, καὶ σὺν ταῖς ἐν τοῖς αὐτῶν χρόνοις Πράξεσι τῶν ἀποστόλων, καθολικαῖς Ἐπιστολαῖς Ἰακώβου, καὶ Πέτρου, καὶ Ἰωάννου, καὶ Ἰούδα,

[1] Luc. I, 33. [2] Matth. VII, 16. [3] F. περὶ σοῦ, sed Vet. ἡ παρὰ τοῦ Σωτ.

Digitized by Google

καὶ ἐν τῇ τοῦ Ἰωάννου Ἀποκαλύψει, ἔν τε ταῖς Σοφίαις (90), Σολομῶντός τέ φημι καὶ υἱοῦ Σιρὰχ, καὶ πάσαις ἁπλῶς Γραφαῖς θείαις, καὶ ἑαυτοῦ κατα-γνῶναι, ὅτι ὄνομα, ὅπερ οὐδαμοῦ ἐντέτακται, ἦλθες ἡμῖν φέρων, οὐκ ἀπρεπὲς μὲν Θεῷ, ἀλλ' εὐσεβὲς εἰς Θεὸν, τὸ τοῦ ἀγεννήτου ὄνομα, μηδαμοῦ δὲ ἐν θείᾳ Γραφῇ ῥηθέν.

A riora continent; catholicis item Epistolis Jacobi, Petri, Joannis et Judæ, Apocalypsi Joannis; Sapientiæ quoque libris, hoc est Salomonis, filii Sirach, omnibus denique Scripturæ libris percursis, temetipsum damnares; quod ejusmodi nomen, de quo nulla sit usquam mentio, nobis afferre non dubitaveris. Est enim ingeniti nomen minime illud quidem indignum Deo, ut etiam pietatem redoleat, verum nusquam in Scripturis expressum.

Οὐδεὶς γὰρ μεμηνώς ποτε γεννητὸν ἐνενόει Θεόν. Ἀλλ' οὔτε χρείαν ἔσχον εἰπεῖν ἀγέννητον Θεὸν μόνον Πατέρα διὰ τὸν ἐξ αὐτοῦ γεγεννημένον· ἵνα μή τις ἐπὶ τῷ Πατρὶ μόνῳ νομίσῃ τοῦτο πληροῦσθαι, ἀλλὰ καὶ ἐπὶ τῷ Υἱῷ, καὶ ἐπὶ τῷ ἁγίῳ Πνεύματι· τῆς διανοίας τῆς ὀρθῆς, καὶ τοῦ Πνεύματος τοῦ ἁγίου διδάσκοντος πάντας υἱοὺς ἀληθείας ἀφ' ἑαυτῶν μὴ ἐν θαυμασμῷ τοῦτο ἔχειν, ἀλλὰ κατὰ τὸ ἀπαιτούμενον, καὶ ἐν ἑαυτῷ ὑπάρχον τοῦ πρὸς εὐσέβειαν λογισμοῦ περὶ Θεοῦ εἰδέναι. Εἰ δὲ [1], διὰ τὸ ἀγέννητον αὐτὸν εἶναι, συνομολογεῖσθαι δὲ ἀφ' ἡμῶν τοῦτο, ἀπὸ Γραφῆς δὲ μὴ ἔχειν τῆς ὀνομασίας τοῦ λόγου τὴν σύστασιν, ἀλλ' ἀφ' ἑαυτῶν διὰ τῶν λογισμῶν τὴν εὐσέβειαν ταύτην εἰδέναι τὸ οὕτως εἶναι. Εἰς τί γὰρ οὐσίας ἔσται διάστασις τὸ γεννηθὲν, εἰ κατὰ ἀλήθειαν τοῦ γεγεννῆσθαι ἔχει τὸ ὄνομα φυσικῇ τινι καὶ ἀῤῥήτῳ συμπρεπούσῃ τῷ Θεῷ, καὶ τῷ ἐξ αὐτοῦ γεγεννημένῳ ἀχρόνως καὶ ἀνάρχως ἐν ἀληθείᾳ, καὶ οὐ καταχρηστικῇ τινι ὑπονοίᾳ; Ἐντεῦθεν οὐ κτιστὴν φαμεν τὴν οὐσίαν, οὐδὲ ἀλλοτρίαν ὡς ποιητὴν, ἀλλὰ γεννητὴν οὐσιωδῶς, καὶ οὐκ ἀλλοίαν παρὰ τὸν γεγεννηκότα. Διὸ καὶ ἄκτιστος διαμένει, καὶ οὐ ποιηθεῖσα, ἀλλὰ γεννηθεῖσα ἐκ τῆς αὐτῆς οὐσίας Θεοῦ, οὐ χρόνῳ ὑποπίπτουσα. Οὐ γὰρ ὁ γεννήσας ἐν ἀληθείᾳ χρόνῳ ὑπέπεσεν, ἵνα χρονικὴν ὑποστήσεται οὐσίαν. Ὁποῖον γάρ ἐστι τὸ γέννημα, τοιοῦτος ὁ γεννήτωρ· καὶ ὁποῖος ὁ γεννήτωρ, τοιοῦτος καὶ ὁ γεγεννημένος.

Neque vero adeo quis unquam insanus exstitit, genitum ut esse cogitaret Deum; neque ob genitum Filium necesse fuit solum Patrem ingenitum Deum appellare; ne quis in Patre solo verum istud esse sibi persuadeat, sed et Filio ac Spiritui sancto convenire. Recta quippe ratio, et Spiritus sanctus veritatis filios docent non tantopere illud B admirandum esse, sed pro eo atque a nobis exigitur, quodque in nobis piæ rationis inest, de divina majestate sentiendum. Quoniam igitur ingenitus Deus est, idque ultro confitemur omnes, tametsi nullo e Scripturæ loco comprobari hoc appellationis genus potest, sed a nobis ipsis, atque ex pia illa ratiocinatione profectum est: ad eum modum scire nos et existimare consentaneum est. Cur enim in eo quod genitum est, essentiæ divortium aliquod erit, **942** si geniti nomen ei merito congruat, ac naturali quadam, sed inexplicabili ac tam Deo Patri, quam ei qui ab illo citra tempus initiumque genitus est, convenienti ratione, et quidem vere ac proprie, non sola vocis abusione tribuatur? Unde nos neque creatam substantiam, nec alienam, tanquam facta sit, sed C secundum substantiam genitam, nec a genitore putamus alienam. Ob id increata manet, non facta, sed ex ipsa Dei substantia genita, neque tempori subjecta. Quippe genitor ipse tempori nequaquam subest, ut temporariam substantiam producat. Nam cujusmodi est quod gignitur, talis est et genitor; et vicissim qualis genitor est, tale etiam est quod gignitur.

ΚΕΦΑΛΑΙΟΝ ΑΕΤΙΟΥ Ϛ'.

Εἰ τὸ ἀγέννητον ἐγεννήθη, τί τὸ κωλύον τὸ γεννητὸν ἀγέννητον γεγονέναι; Μᾶλλον γὰρ τοῦ ἀνοικείου ἐπὶ τὸ αὐτῆς οἰκεῖον ἐπείγεται πᾶσα φύσις.

AETII CAPUT VI.

Si ingenitum genitum est, quid vetat et quod genitum est ingenitum fieri? Omnis enim natura ad id quod sibi consentaneum est magis quam ad alienum peregrinumque contendit.

Ἀνατροπὴ Ϛ'.

Εἰ τὸ ἀγέννητον ἐποίησε, καὶ οὐκ ἐγέννησεν, ἐπὶ D τῆς μιᾶς ταυτότητος ταττομένης τῆς ὀνομασίας, καὶ θατέρου θατέρῳ μὴ παρεκτεινομένου διὰ τῆς κατὰ ἀλήθειαν ἀντωνυμίας· ἡ δύναμις τῆς σχέσεως ἐπὶ θατέρου διαφωνίᾳ ἔστηκε, μηδὲν πρὸς τὸ ἕτερον ἐπικοινωνοῦσα ἢ μόνον κατὰ τὴν ἐξουσίαν, καὶ τοῦ προκριτέου φύσεως αἰτίου πρὸς πᾶν τὸ ὑπ' αὐτῆς κεκτισμένον. Ἐπειδὴ δὲ ἀναμέσον τοῦ ποιητικοῦ καὶ ποιουμένου, καὶ κτίστου καὶ κτιζομένου, ἄλλη τίς ἐστιν ὀνομασία, ἐγγίζουσα μὲν τῷ ἀγεννήτῳ ὀνόματι, μακρυνομένη δὲ ἀπὸ τοῦ κτίστου ὀνόματος· ἀδύνα-

Confutatio VI.

Si quod ingenitum est fecisse, non genuisse dicatur, ita ut utraque hæc appellatio pro una et eadem accipiatur, neque alterum alteri, velut ex adverso respondens, contrario revera vocabulo sit oppositum, vis habitudinis ipsius in altero disjuncta penitus est, neque quidquam habet cum altero commune, præter potestatis comparationem, quod tanquam causa id omne, quod a se creatum est, naturæ dignitate superet. Jam vero cum inter id quod efficiendi vi præditum est, atque opus effectum, et creatorem creatamque rem alia quæ-

[1] F. δὲ δεῖ.

(90) Ἔν τε ταῖς σοφίαις. Ex hoc loco discant hæretici, quod Epiphanii de iis Libris judicium fuerit, quos illi a Canone rejiciunt: quos quidem tam hic quam alii veteres Patres inter Scripturæ libros et θείας Γραφὰς recipiunt.

Digitized by Google

dam interjecta sit appellatio, quæ ut ad ingeniti nomen accedit, sic a conditoris nomine remotior est: fieri non potest, Aeti, uti confundamus omnia, atque ex ingenio tuo perfectæ appellationis communionem tollamus e medio, quæ habitudini illi convenit, qua cum Patre sempiternus Filius increatusque comparatur. Fieri item non potest, ut ingenita, increataque natura creata sit aliquando, ab eaque creatæ rei conditione, velut pœnitendo, ad priorem illum ingeniti statum postliminio revertatur, quantumvis Aristotelicis tuis jisce infinitis quæstionibus implicare nos studeas, cœlesti ac simplici castaque Spiritus sancti doctrina derelicta.

τὸν ἐστι πάντα συγχέειν, ω Ἀέτιε, καὶ ἀφανίζειν ἀπὸ σαυτοῦ τῆς τελείας κατὰ ἀληθινὴν σχέσιν Υἱοῦ πρὸς Πατέρα ἀεὶ ὄντος καὶ ἀκτίστου ὀνομασίας ἐπικοινωνίαν. Ἀδύνατόν ἐστι τὴν ἀγέννητον καὶ ἄκτιστον κτίσιν[6] κτιστήν ποτε γενέσθαι, καὶ ἀπὸ τοῦ κεκτίσθαι πάλιν μεταμεληθεῖσαν ἀναδραμεῖν ἐπὶ τὴν αὐτῆς ἀγεννησίαν, κἂν τε μυρία ἡμῖν πλέκῃς Ἀριστοτελικὰ ζητήματα, καταλείψας τὴν ἄνωθεν ἁπλῆν καὶ ἀγνὴν καὶ Πνεύματος ἁγίου διδασκαλίαν.

943 AETII CAPUT VII.

Nisi Deus omnino sit ingenitus, nihil ipsum prohibet secundum naturam substantiamque genuisse. Sin penitus est ingenitus, non est secundum substantiam ad generationem distractus, sed quod genuit, potestate ac facultate produxit.

Confutatio VII.

Et totus ingenitus est, increatusque Deus, et qui ab ipso genitus est, increatus, ut et sanctus illius Spiritus, cujus tantopere existimationem elevas, o carnalis et animalis Aeti, spiritaliterque dijudicate [1]. Habet hoc porro, ut ab ipso procedat, singulari quadam et eximia ratione, quæ cum cæteris omnibus, quæ *ex ipso, per ipsum, et ab ipso creata sunt* [2], comparari nequit. Quocirca neque cum iis rebus commune est ei quidquam, nec istæ communem cum illo dignitatem vindicare sibi possunt. Etenim prætervolant ac cedunt omnia, et, ratiocinationibus argumentisque relictis, sacrarum se litterarum auctoritati sententiæque submittunt, quæ istud ipsum pronuntiant: *Nemo novit Filium, nisi Pater; neque Patrem, nisi Filius, et cui revelaverit* [3]. Revelat autem per Spiritum sanctum non iis qui syllogismis se suis et argutiis comprehendere nituntur, sed iis duntaxat qui in se sincere perfecteque crediderint. Nam neque judicia illius perscrutari poteris, neque vias investigare, sicut scriptum est [4], tametsi infinitas nugas effutias, o miserrime ac mei similis homuncio!

ΚΕΦΑΛΑΙΟΝ ΑΕΤΙΟΥ Ζ'.

Εἰ μὴ ὅλως ὁ Θεὸς ἀγέννητός ἐστιν, οὐδὲν κωλύει γεγεννηκέναι οὐσιωδῶς. Εἰ δὲ ὅλως ἐστὶν ἀγέννητος, οὐκ οὐσιωδῶς εἰς γένεσιν διέστη· ἐξουσίᾳ δὲ ὑπέστησε γέννημα.

Ἀνατροπὴ Ζ'.

Καὶ ὅλος Θεὸς ἀγέννητος καὶ ἄκτιστος, καὶ ὁ ἐξ αὐτοῦ γεγεννημένος ἄκτιστος, καὶ τὸ ἅγιον αὐτοῦ Πνεῦμα παρὰ σοῦ σμικρυνόμενον, σαρκικὲ Ἀέτιε καὶ ψυχικὲ, πνευματικῶς ἀνακρινόμενε, μονοειδῶς ἔχον τὸ ἐξ αὐτοῦ ἐξαίρετον, μὴ ἀπειχαζόμενον τοῖς πολλοῖς, *ἐκ τοῦ αὐτοῦ, καὶ δι' αὐτοῦ, καὶ ἀπ' αὐτοῦ κεκτισμένοις*. Διὸ οὔτε κοινωνήσει τοῖς πᾶσιν, οὔτε τις αὐτοῦ τῷ ἀξιώματι ἐπικοινωνήσει. Πάντα γὰρ παρίπταται, καὶ ὑποχωρεῖ, καὶ καταλιμπάνει πᾶσαν αἰτίαν συλλογιστικὴν τῷ ἀπὸ τῆς θείας Γραφῆς διδασκαλικῷ λόγῳ, τῷ, *Οὐδεὶς οἶδε τὸν Υἱὸν εἰ μὴ ὁ Πατὴρ, οὐδὲ τὸν Πατέρα εἰ μὴ ὁ Υἱὸς, καὶ ᾧ ἐὰν ἀποκαλύψῃ*. Ἀποκαλύπτει δὲ δι' ἁγίου Πνεύματος οὐ τοῖς αὐτὸν συλλογιζομένοις, ἀλλὰ τοῖς εἰς αὐτὸν γνησίως καὶ τελείως πεπιστευκόσι. Καὶ γὰρ οὔτε τὰ κρίματα αὐτοῦ ἐρευνῆσαι δυνηθείης, οὐδὲ τὰς ὁδοὺς αὐτοῦ ἐξιχνιάσεις, κατὰ τὸ γεγραμμένον, κἂν τε μυρία ἡμῖν ἔλθῃς φλυαρῶν, ἐλεεινὸν κατ' ἐμὲ ἀνθρωπάριον.

AETII CAPUT VIII.

Si ingenitus Deus generandi vi totus est præditus, quod genitum est, secundum naturam non est genitum, cum tota ipsa natura insitum illud habeat, ut gignat, non ut gignatur. Quodsi commutata Dei essentia, genitum quiddam vocetur, non erit immutabilis, cum ei ipsa mutatio Filii proprietatem efficiat. Sin et mutationis est expers, et omni generatione Dei natura præstantior, quod de Filio asseritur, sola appellatione constabit.

Confutatio VIII.

Non te solum, Aeti, sed et *hæreticum* **944** *omnem post primam correptionem* devitare oportuit [5], ex sancta illa sapientique Pauli sententia. Abs te enim ipso damnatus tibimet exitium, nullo alio cogente, consciscis. Ecquis igitur illius miserebitur, qui

ΚΕΦΑΛΑΙΟΝ ΑΕΤΙΟΥ Η'.

Εἰ ὅλος ἐστὶ γεννητικὸς ὁ ἀγέννητος Θεὸς, οὐκ οὐσιωδῶς τὸ γεννηθὲν ἐγεννήθη, ὅλης ἐχούσης τῆς οὐσίας αὐτοῦ τὸ γεννᾶν, οὐ τὸ γεννᾶσθαι. Εἰ δὲ μετασχηματισθεῖσα ἡ οὐσία τοῦ Θεοῦ γέννημα λέγεται, οὐκ ἀμετάβλητος ἡ οὐσία αὐτοῦ, τῆς μεταβολῆς ἐργαζομένης τὴν Υἱοῦ ἰδιοποίησιν. Εἰ δὲ εἴη καὶ ἀμετάβλητος, καὶ γενέσεως κρείττων ἡ οὐσία τοῦ Θεοῦ, τὸ κατὰ τὸν Υἱὸν ἕως ψιλῆς προσηγορίας ὁμολογηθήσεται.

Ἀνατροπὴ Η'.

Ἔδει μὲν οὖν οὐ μόνον σὲ, Ἀέτιε, ἀλλὰ καὶ *πάντα αἱρετικὸν μετὰ μίαν νουθεσίαν* παραιτεῖσθαι, ὡς ὁ ἅγιος καὶ σοφὸς κελεύει λόγος. Αὐτοκατάκριτος γὰρ τυγχάνεις, ἑαυτῷ τὸν ὄλεθρον ἐπισπώμενος, καὶ οὐχὶ ὑφ' ἑτέρου ἀναγκαζόμενος. Τίς οὖν ἐλεήσει τὸν

[1] I Cor. II, 14. [2] Col. I, 16. [3] Matth. XI, 27. [4] Rom. XI, 33. [5] Tit. III, 10. [6] F. φύσιν.

Digitized by Google

ἑαυτῷ πονηρὸν, καὶ οὐδενὶ ἀγαθὸν τυγχάνοντα ; Ἀλλ' ἵνα μὴ ἐφ' οἷς ἐβλάστησας τῷ κόσμῳ κακοῖς, ἐν σεαυτῷ ἔχων, ὑπολαμβάνοις ὡς περὶ μεγάλων καὶ ἀντιθέτων, ἐπιμενοῦμεν καὶ αὐτοὶ μετὰ μακροθυμίας τῇ διστόμῳ μαχαίρᾳ, τοῦ Χριστοῦ λόγῳ ἐκτέμνοντές σου τὰς ἀκανθώδεις ῥίζας, ἐν τῇ ὑγιαινούσῃ πρὸς Θεὸν τελείᾳ καὶ ἀληθινῇ ὁμολογίᾳ. Δόξα γὰρ τῷ ἐλεήμονι τῷ φωράσαντί σε, ὁποῖος εἶ, τὴν τοῦ Ἰούδα ἐπέχων τάξιν, τοῦ σὺν τοῖς μαθηταῖς μὲν ἀριθμηθέντος, ἀφορισθέντος δὲ, οὐ Χριστοῦ ἔχοντος τὸν νοῦν, ἀλλ' ἐκ τοῦ Σατανᾶ ὑποδεξαμένου τὴν πρὸς τὸν Δεσπότην αὐτοῦ ἐπαρνησιθεΐαν. Ψιλῇ γὰρ λέξει ὡμολόγησας τὸν Υἱὸν τοῦ Θεοῦ ἔχειν ἐν τῇ διανοίᾳ. Καὶ τίς ἐστι χρεία περὶ τῆς πρὸς σὲ λαλιᾶς, ὁπότε παντάπασιν ἀλλότριος Χριστιανῶν ὑπάρχεις, προφητῶν τε καὶ ἀποστόλων, καὶ εὐαγγελιστῶν, μαρτύρων τε καὶ πάντων τῶν ἁγίων ; τῶν ἐλέγξαι σε εἰς ἡμέραν κρίσεως ἑτοίμως ἐχόντων· ὅτι ἄχρι θανάτου στρεβλούμενοι ὑπέμειναν, μαστιζόμενοι, ξεόμενοι, θηρσὶ καὶ πυρὶ παραβληθέντες καὶ φόνῳ μαχαίρας, ἵνα Υἱὸν Θεοῦ ὄντα καὶ ἐξ αὐτοῦ ἀληθινῶς γεγεννημένον μὴ ἀρνήσωνται. Γεννητικὸς γὰρ ὁ Πατὴρ μόνου Μονογενοῦς, καὶ οὐχ ἑτέρου τινὸς ἔτι μετὰ τὸν ἕνα, καὶ ἀνομβρητικὸς Πνεύματος ἁγίου, καὶ οὐχ ἑτέρου Πνεύματος. Κτίστης δὲ καὶ ποιητὴς τῶν ὑπ' αὐτοῦ γενομένων καὶ ἀεὶ γιγνομένων. Διὸ οὐκέτι πολλῶν υἱῶν γεννωμένων, οὔτε πολλῶν πνευμάτων ἐξ αὐτοῦ ἐκπορευομένων, τῆς αὐτῆς θεότητος ἀεὶ ἐν τῇ Τριάδι μενούσης καὶ δοξαζομένης καὶ μηδέποτε προστιθεμένης, μήτε ληγούσης, μήτε ὑπολειφθείσης ποτὲ, ὡς μὴ οὖσης. Διὸ καὶ οὐχ ἕως ψιλῆς ὀνομασίας ἐπὶ τῷ γεννήματι ἵσταται τὸ ἀξίωμα· ἐπεὶ ἂν πολλοὺς ἀδελφοὺς μετ' αὐτὸν ἔσχεν ὁμοίους αὐτῷ, ὡς ἐπὶ τῷ εἰρημένῳ· *Υἱοὺς ἐγέννησα καὶ ὕψωσα*· καὶ ἐπὶ τῷ, *Ὁ τεκοκὼς βώλους δρόσου*· καὶ ἐπὶ τῷ, *Ἀφ' οὗ πᾶσα πατριὰ ἐν οὐρανῷ καὶ ἐπὶ γῆς ὀνομάζεται*· καὶ ἐπὶ τῷ, *Οὐχ εἷς Πατὴρ πάντων ὑμῶν;* καὶ ἐπὶ τῷ, *Ἡαῖς μου Ἰακώβ*· καὶ ἐπὶ τῷ, *Πρωτότοκός μου Ἰσραήλ*. Οὗτοι γὰρ πάντες, ψιλῇ λέξει τὸ τῆς ἀναγωγῆς ἀπὸ τοῦ μὴ εἶναι εἰς τὸ εἶναι προκεκοφότες, οὐ κατ' οὐσίαν τῇ ἀληθινῇ ἵστανται ὀνομασίᾳ, ἀλλὰ ψιλῶς καὶ κατὰ χάριν, οὔτε ψιλῇ ὀνομασίᾳ ὀνομαζομένου [1], ἀλλὰ κατὰ ἀλήθειαν ἀπὸ τοῦ ἑνὸς διὰ τοῦ ἑνὸς, σὺν τῷ ἐξ αὐτοῦ ἐκπορευομένῳ, τοῦ αὐτοῦ λαμβάνοντι.

A sibi ipsi malus, nemini alteri bonus est [3] ? Sed ne pessima illa dogmata, quæ in mundo te auctore pullularunt, magnificum quiddam et ejusmodi esse censeas, ut veritati contradicere possint, in hoc ipsum patienti incumbemus animo, ut ancipiti gladio [4], hoc est Christi verbo, spinosas tuas radices excidamus, ac salubrem, perfectam ac sinceram fidei confessionem opponamus. Magnas itaque misericordi Deo gratias agere debemus, qui cujusmodi sis indicare nobis voluit, tu, inquam, qui Judæ locum vicemque sustines : qui cum inter discipulos censeretur, ab eorum numero segregatus est, quod Christi mente nequaquam præditus e Satanæ afflatu nefariam illam ejurandi Dei voluntatem expressit. Ita et tu verbis tenus Filium B Dei habere te in animo profiteris. Quid autem pluribus tecum colloqui necesse est, cum sis ab omni cœtu Christianorum alienus, prophetis nimirum, apostolis, evangelistis, martyribus, cæteris denique sanctis ? qui te extremo illo judicii die palam redarguent, quod ad mortem usque quæstiones, flagella, lanienas, bestias, ignes, postremo gladium sustinuerint, ut ne Dei Filium et ab ipso revera procedentem abnegarent. Pater enim unum duntaxat Filium, non alterum ab eo potest gignere, idem et Spiritum sanctum, non alterum ab eo Spiritum suapte vi atque ex sese produxit. At eorum quæ ab ipso facta sunt, et perpetuo fiunt, creator est ac conditor. Quocirca neque plures adhuc generantur filii, neque plures ab eo C procedunt spiritus. Sed divinitas ipsa in Trinitate manet, ac prædicatur, nec ad eam ulla fit accessio, neque desinit unquam, neque quasi nusquam sit destituitur. Unde non in appellatione sola ejus quod genitum est, dignitas consistit. Alioqui quam plurimos post se fratres ac sui similes haberet, ut ex illo loco constat : *Filios genui, et exaltavi* [5] ; item : *Qui genuit stillas roris* [6] ; tum illud : *Ex quo omnis paternitas in cœlo et in terra nominatur* [7] ; deinde : *Nonne unus Pater est omnium vestrum* [8] ? **945** item : *Filius meus Jacob* [9] ; et : *Primogenitus meus Israel* [10]. Nam isti omnes accommodata per tropum Filii voce, cum nondum essent, eo ut essent progressi sunt. Ideoque nequaquam vera ac solida secundum naturam appellatione censentur, sed minus proprie ac gratiæ beneficiique loco id illis tribuitur : ita tamen ut præter appellationem ipsam insit aliquid, propterea quod ab uno et per unum revera procreata sunt, necnon et a Spiritu sancto, qui ab ipso procedit, et ex ipso accipit.

ΚΕΦΑΛΑΙΟΝ ΛΕΤΙΟΥ Θ'.

Εἰ σπερματικῶς ἦν ἐν τῷ ἀγεννήτῳ Θεῷ τὸ γέννημα, μετὰ τὴν γέννησιν ἔξωθεν προσλαβόν, ὡς ἂν εἴποι τις, ἠνδρώθη. Τέλειος οὖν ἐστιν ὁ Υἱὸς οὐκ ἐξ ὧν ἐγεννήθη, ἀλλ' ἐξ ὧν προσέλαβε. Τὰ γὰρ συγγενικῶς προσλαμβάνοντα, ὡς ἐξ ἐκείνων συνεστῶτα, τὸ τελείου ὄνομα διαφόρως προῖεσθαι [2] πέφυκεν.

AETII CAPUT IX.

Si in ingenito Deo genitus Filius velut quodam semine continebatur, idem ubi genitus est, extrinsecus accessione facta ad virilem, ut ita dixerim, ætatem adolevit. Itaque perfectus est Filius non ex ipsa generatione, sed ex eo quod illi postmodum accrevit : nam quæ cognatas res ad sui incrementum asciscunt, tanquam ex illis constantia, diverso modo perfecti nomen admittunt.

[1] F. ὀνομαζόμενοι. [2] F. προσίεσθαι. [3] Eccli. XIV, 5. [4] Hebr. IV, 12. [5] Isa. I, 2. [6] Job XXXVIII, 28. [7] Ephes. III, 15. [8] Matth. XXIII, 9. [9] Isa. XLI, 8. [10] Exod. IV, 22.

Digitized by Google

Confutatio LX.

I. Nisi corporis expertem genitorem confiteamur, quantascunque voles tragœdias excitato. Quibus neminem tu quidem perterres, sed mentem tuam a veræ fidei professione perturbatione illa dejicis. Igitur perfectus e seipso Deus perfectum genuit Filium, non alium præter naturam. Neque enim genitore est indignus, nec externam ullam accessionem desiderat. Nihil quippe secundum Dei substantiam majus ac præstantius esse potest; quod istud ipsum, quod ad perfectionem accedere dicitur, cum indigente communicet. Nam qui perpetuo expers corporis exsistit, peræque exsistentem apud ipsum, perfectumque perfectus genitali quadam vi semper ac vere produxit, Deus, inquam, spiritus spiritum genuit, Verbum Dei subsistens. Est vero cum primis, Aeti, tuum illud commentum ridiculum, qui cœlestia perscrutari, ac quid de divinis rebus existimandum sit, syllogismis et argutis ratiocinationibus investigare studes, cum ei qui e nihilo condidit universa, et ad unum perfecte eadem elaborare illa potest, quique nullius incrementi et accessionis eget, et illa legibus suis ac decretis astrinxit, Verbum affingis istiusmodi, quod augmentum divinitatis admittat, neque saltem cum creatis ab ipso rebus adæquari pateris. **946** Quas cum perfectas initio absolutasque molitus est, tum quæ ex ipsis pullulant accessione opus habere sapientiæ suæ decreto constituit: cujusmodi sunt quæ deinceps nata sunt, nascunturque quotidie, veluti cœlum, terra, aqua, aer, sol, luna, sidera et quæ ex aquis oriuntur, ad ipsum hominem usque. Igitur neque cœlum imperfectum, neque terram mancam defectamque condidit, sed perfectam hanc, perinde atque cœlum; tametsi minime aspectabilem ipsam inconditamque fabricarit, propter expolitionem et ornatum illum, quem postmodum erat effecturus; sed et aquam ac lumen illud ante omnia procreatum edidit, ac per verum, increatum ac vitale lumen universa produxit, tum demum cætera quæ e terra propagantur, adjecit. Ante omnia vero firmamentum ipsum creavit. Horum omnium porro nihil imperfectum, sed absoluta omnia constituta sunt. *Producat*, inquit, *terra herbam virentem, seminans semen ad similitudinem in terra, et lignum fructiferum, cujus semen in ipso sit ad similitudinem in terra*[1]. Animadvertisne quam nullam subinde quæ produeta sunt accessionem incrementumque desideraverint, sed virili, ut ita dicam, robore prædita, et adulta statim Dei mandato prodierint? Quæcunque vero homini subjecta sunt, aut insunt in eo, solo adhuc semine contenta, necdum perfecta illius dominatui commissa sunt, ut is bene de se meritum ignorare non posset; qui et rebus omnibus ut sint impertitur, et omnibus superior est, ac singula opera sua pro illius opportunitatibus commodisque dilargitur.

II. Quamobrem occulta rerum semina continentem ei terram tradidit, eamque fundamenti ac basis, ut ita dicam, vice substravit, ac velut ma-

[1] Gen. I, 11.

Ἀνατροπὴ Θ'.

Α'. Εἰ μὴ ὁμολογεῖτο ἀσώματος ὢν ὁ γεννήτωρ, πάντα παρὰ σοὶ δραματουργείσθω. Δραματουργήσας δὲ, οὐκ ἄλλον τινὰ πτύρεις, σεαυτοῦ δὲ τὸν νοῦν θολοῖς ἀπὸ τῆς ἀληθινῆς ὁμολογίας. Ἐξ αὐτοῦ γὰρ Θεὸς τέλειος ὢν, τέλειον Υἱὸν ἐγέννησεν, οὐχ ἕτερον παρὰ τὴν φύσιν. Οὐ γὰρ ἀπρεπής ἐστι πρὸς τὸν γεννήτορα, οὔτε ἔξωθεν ἐπιδεόμενος προσλήψεως. Οὐ γάρ τί ἐστι μεῖζον μετὰ τὴν τοῦ Θεοῦ οὐσίαν, ὅπως τῷ ἐνδεομένῳ μεταδοῦναι τῆς προσλήψεως πρὸς τελειότητα δυνηθείη. Ὁ γὰρ ὢν ἀεὶ ἀσώματος, τὸν ὄντα ἀσώματον παρ' αὐτῷ τῷ ὄντι ἀεὶ γεννητικῶς, τέλειον ὁ τέλειος ἀεὶ ὄντως γεγέννηκε, πνεῦμα ὢν Θεὸς, καὶ πνεῦμα ὄντα τὸν ἐνυπόστατον Λόγον γεγεννηκώς. Τὸ ὅλον γὰρ ἠλίθιον εἴη παρὰ σοὶ τῷ Ἀετίῳ, τῷ ἐμβατεύοντι καὶ τὰς κατὰ Θεὸν δόξας ἐρευνῶντι ἐκ συλλογισμῶν καὶ σοῦ φιλολογιστικῆς ἐννοίας, ὅτι τῷ ποιήσαντι τὰ πάντα ἐξ οὐκ ὄντων, καὶ δυνηθέντι τελείως τὰ πάντα ὑπὸ ἓν ἐργάσασθαι, μηδὲν χρείαν ἔχοντι προσληπτικῆς ἐπιδόσεως, θεσμῷ δὲ ταῦτα πεδήσαντι, ἀδρυντικὴν οὐσίαν προσληπτικῆς θεότητος ἐπιδεόμενον ἐπιφημίζεις Λόγον, καὶ οὔτε ἐξισοῖς τοῖς ὑπ' αὐτοῦ κεκτισμένοις. Ἀπαρχῆς γὰρ τελείως αὐτὰ ποιήσας προσλήψεως ἐπιδεόμενα, τὰ ἐξ αὐτῶν ἔτι βλαστάνοντα ὥρισε νόμῳ σοφίας· ἅτινά ἐστι ταῦτα, ἐν οἷς ἐστι τὰ καθεξῆς γενόμενά τε καὶ γινόμενα· ὡς οἷον εἰπεῖν, οὐρανὸν, γῆν, ὕδωρ, ἀέρα, ἥλιον, σελήνην, ἄστρα καὶ τὰ ἐκ τῶν ὑδάτων γεγεννημένα, ἕως καὶ αὐτοῦ τοῦ ἀνθρώπου. Οὐκ οὐρανὸν ἀτελῆ ἐποίησεν, οὐ γῆν ἀτελεστάτην, ἀλλὰ τελείαν μὲν τὴν γῆν, τέλειον δὲ τὸν οὐρανόν· ἀόρατον δὲ καὶ ἀκατασκεύαστον τότε, δι' ἣν ἔμελλε ποιεῖν διακόσμησιν· ὕδωρ δὲ ἅμα καὶ φῶς τὸ πρωτόκτιστον, διὰ τοῦ ἀληθινοῦ φωτὸς τὰ πάντα ποιήσας, τοῦ ἀκτίστου καὶ ζωοποιοῦ· ἔπειτα δὲ τὰ ἐκ τῆς γῆς φυέντα· καὶ πρὸ τούτου τὸ στερέωμα. Οὐχ ἡμιτελές τι ἐγίνετο, ἀλλὰ πάντα ἐν τελειότητι· *Ἐξαγαγέτω γὰρ ἡ γῆ βοτάνην χόρτου, σπεῖρον σπέρμα καθ' ὁμοιότητα ἐπὶ τῆς γῆς, καὶ ξύλον κάρπιμον, οὗ τὸ σπέρμα αὐτῶν ἐν αὐτῷ καθ' ὁμοιότητα ἐπὶ τῆς γῆς.* Καὶ ὁρᾷς, ὡς οὐδεμιᾶς εὐθὺ τὰ γεγονότα ἐπεδέετο προσληπτικῆς ἐπιδόσεως, ἀλλ' ἀνδρεῖα, ὡς εἰπεῖν, καὶ τέλεια διὰ τοῦ προστάγματος εὐθὺς εὑρίσκεσθαι[1]; Τῷ δὲ ἀνθρώπῳ ἐπιδοθέντα ὑπ' αὐτὸν ὄντα, καὶ ἐν αὐτῷ σπερματικῶς εἰς δεσποτείαν, οὐ τέλεια παρεδόθη, διὰ τὸ εἰδέναι τὸν ἄνθρωπον πάντοτε τὸν εἰεργετοῦντα, καὶ τὸ εἶναι πᾶσι παρέχοντα, ἐπὶ πάντων δὲ ὄντα, καὶ τὰς ἐπιδόσεις ἑκάστης ποιήσεως πρὸς σύστασιν τῶν αὐτῷ χρησιμευόντων παρέχοντα.

Β'. Παρέδωκεν αὐτῷ σπερματικῶς τὴν γῆν ὑποβάθραν, ὡς εἰπεῖν, προστησάμενος, καὶ ὡς μήτραν αὐτῷ παραδεδωκὼς, ἵνα ἀπὸ τῆς προβολῆς τῶν κατὰ

[1] Cor. εὑρίσκεται.

Digitized by Google

τὸ τέλειον ὑπὸ Θεοῦ γεγονότων, τὰ σπερματικῶς δι' ἑαυτοῦ μετὰ συνέσεως ἐπὶ γῆν καταβαλλόμενα, ὡς οἷόν τε ξύλων καὶ ἄλλων γεννημάτων, αὐτὸς μὲν λεπτομερῶς, ὡς ψηφῖδα παρὰ τῶν τελείων ἐρανισάμενος, ταύτην εἰς γῆν ἐνθεματίζων τὰ τῆς ἐπιδόσεως τοῦ τελείου Θεοῦ πρὸς αὔξησιν προσδέχηται, ἵνα αὐξηθείη ἔξωθεν τὰ ὑπ' αὐτοῦ ἐνσπερματιζόμενα· ἵνα μὴ, ἀγνοήσας τὸν ἐπιχορηγὸν τῆς ἐπιδόσεως, αὐτὸν νομίσῃ δημιουργὸν, καὶ ἐκπέσῃ τῆς ἀληθείας. Εἰ γὰρ καὶ ἐφύτευσε Νῶε ἄμπελον, οὐ γέγραπται, ὅτι ἦν φυτουργός· ἀλλ', *Ἐγένετο ἀνὴρ γεωργός*. Ἕτερος γάρ ἐστιν ὁ τὰ αὐθεντικὰ παρέχων τοῖς ἐσομένοις, ἕτερος δέ ἐστιν ὁ τὸ εἶναι παρ' αὐτοῦ εἰληφὼς ἄνθρωπος, καὶ τὴν ἐκείνου γεωργίαν πεπιστευμένος· ἵνα ὁ μὲν γεωργῇ τὰ ἐπιδόσεως εἰς τελείωσιν ἐπιδεόμενα, ὁ δὲ τὴν τελειότητα παρέχοι διὰ τῆς αὐτοῦ ἐπιδόσεως τῶν ὑπ' αὐτοῦ ἐκτισμένων, καὶ [ἐπιδόσεως] εἰς τελειότητα αὐξανομένων. Οὕτω καὶ ἐπὶ τῶν ζώων καὶ ἐπὶ τῶν πετεινῶν· οὕτω καὶ ἐπὶ τῶν κτηνῶν καὶ ἑρπετῶν καὶ ἐναλίων, πάντα ἐν ἀρχῇ τέλεια γέγονε διὰ τοῦ προστάξαντος. Βουλήσει δὲ σοφίας νῦν ἐπιδόσεως δεῖται διὰ τὴν τοῦ ἐπὶ γῆς δεσπόζοντος ἀνθρώπου κατ' ἔννοιαν ὠφέλειαν, εἰς τὸ ἐπιγινώσκειν τὸν ἐπάνω πάντων Θεὸν, τὸν χορηγὸν τῶν σπερματικῶν καὶ τῆς ἐπιδόσεως τῶν αὐξήσεων, ὄντα Θεὸν καὶ Κύριον. Διόπερ τὰ μὲν κατ' οὐρανὸν, καὶ οὐ διὰ χειρῶν ἀνθρώπου σπειρόμενα ὄντα, καὶ οὐ γεννῶντα οὐδὲ γεννώμενα, εἴασεν ὁ Θεὸς ἐν τελειότητι. Οὐ γὰρ ἐνέσκηπτον τῇ διανοίᾳ τοῦ ἀνθρώπου εἰς ἐπιβουλὴν καὶ τῦφον κενοδοξίας, ὡς οἷον ἐπὶ ἡλίου εἰπεῖν, καὶ σελήνης καὶ ἄστρων. Οὔτε γὰρ διὰ τὸ γεννᾶσθαι τὴν σελήνην, ἢ φθίνειν, ἢ αὔξειν, ἀλλοιοῦται τὸν τρόπον, ἀλλὰ διὰ τὸ καιρῶν εἶναι σύστασιν καὶ ἐπιχορηγίαν, ὧν Θεὸς τοῖς φωστῆρσι διετάξατο.

tricem obtulit, ut quæ ab iis rebus propagata sunt, quas Deus perfectas produxit, cum velut semina quædam proprio labore et industria in terram deposuerit : cujusmodi sunt arborum ac cæterorum id genus semina; cum hæc, inquam, singillatim, velut calculum, a perfectis illis operibus mutuatus in terram demiserit, a perfecto Deo incrementum accipiant, paulatimque quæ ille conseverit adolescant, ne si illum ipsum, cujus ista beneficio succrescunt, ignoraverit, auctorem se ac conditorem arbitretur, et a veritate prorsus excidat. Licet enim Noemum legamus plantasse vitem [2], non tamen scriptum est stirpis hujus conditorem illum fuisse; **947** sed hoc duntaxat : *Vir erat*, inquit, *agricola* [3]. Nam alius est is qui futuris rebus naturalem vim ac præcipua quæque pro sua potestate largitur, alius qui ab ipso ut esset accepit homo, commissamque sibi ab eodem agriculturam suscepit. Ut et ille quæ ad perfectionem obtinendam progressionem requirunt, excolat, et hic, conditis a se rebus largiendis, ea quæ ejusmodi accessione gliscunt, ad maturitatem perfectionemque perducat. Quod quidem perinde in animalium et volucrum genere ac pecudum, serpentum pisciumque contigit; nam omnia principio imperantis Dei voluntate perfecta prodierunt; nunc autem ejusdem sapientiæ decreto progressionibus suis et incrementis augescunt. Quod ad hominis, qui in terra dominatur, fructum animi utilitatemque pertinet, quo is summum illum Deum, a quo tam semina ipsa, quam eorum incrementa proficiscuntur, Deum ac Dominum agnoscat. Proinde quæcunque in cœlo sunt, quæque hominum manu non seruntur, ac neque gignunt, nec ab aliis gignuntur, ea Deus perfecta reliquit. Neque enim humanæ mentes damni ex iis aliquid capere poterant, aut ad arrogantiam excitari, ut in sole, luna cæterisque sideribus apparet. Nam ex eo quod luna nascatur, aut decrescat, augeaturve, nulla illius in mores mutatio redundat.

Πῶς οὖν τὰ σωματικὰ Θεὸς καὶ τὰ φθίνοντα καὶ τὰ φθινόμενα θελήσας εὐθὺς τέλεια εἰργάσατο, ὃν δὲ ἐξ αὐτοῦ ἐγέννησεν, ἵνα ἐξ ἑνὸς τὸν ὄντα ἀεὶ γεννητικῶς παρὰ τῷ ὄντι ἐπιδόσεως ἐγέννα ἐπιδεόμενον; Ἡέπαυσο οὖν, ὦ Ἄετιε, κενὰς ἡμῖν καὶ Ἀριστοτελικὰς λέξεις φέρων, ἀρκετῶς ἐχόντων ἡμῶν, καὶ μὴ ἀπατωμένων τὴν [1] τοῦ Κυρίου ἡμῶν ἀληθινὴν διδασκαλίαν, τὴν λέγουσαν τὸ, *Ἐκ τοῦ Πατρὸς ἐγὼ ἐξῆλθον, καὶ ἥκω*, καὶ οὐ καταχρηστικῶς ἐχούσης τῆς λέξεως τὴν δύναμιν, ἀλλὰ τελειότητος καὶ ἀξίας Θεοῦ σημαινούσης τὴν οὐσίαν.

Jam vero qui fieri potest, ut corporea illa ac corruptioni subjecta Deus subinde perfecta voluntate sua procrearit, eum vero, quem e seipso genuit, unum ex uno, quique apud exsistentem perpetuo per generationem exsistat, accessionis ac progressionis egentem produxerit? Desine igitur, Aeti, Aristotelicas illas tuas voces et inanes obtrudere; nobis enim citra ullum erroris periculum certissima Christi doctrina sufficit, cum ita loquitur : *Ego exivi a Patre, et vado* [4]; cujus dictionis vis non in abusione ulla consistit, sed divina perfectione ac dignitate præditam naturam significat.

ΚΕΦΑΛΑΙΟΝ ΑΕΤΙΟΥ Ι'.

Εἰ τέλειον ἦν τὸ γέννημα, ἐν ἀγεννήτῳ γέννημά ἐστι, καὶ οὐκ ἐξ ὧν ὁ ἀγέννητος αὐτὸ ἐγέννησε. Γεννητὴν γὰρ φύσιν ἐν ἀγεννήτῳ οὐσίᾳ οὐκ ἐνδέχεται εἶναι· τὸ γὰρ αὐτὸ εἶναί τέ ἐστι καὶ μὴ εἶναι. Γέννημα γὰρ ἀγέννητον οὐκ ἔστι, καὶ ἀγέννητον ὂν γέννημα οὐκ ἦν· τοῦ ἀνομοίου μέρους ἐπὶ Θεοῦ βλασφημίας τύπον καὶ ὕβριν ἐπέχοντος.

AETII CAPUT X.

Si perfecta sit genita soboles, eadem in ingenito erit, non ex iis quæ cum ab ingenito gigneretur obtinuit. Nam genita natura in ingenita substantia esse non potest; esset enim simul idem, et non esset. Nam quod genitum est, ingenitum non **948** est, et quod ingenitum est, genitum non fuit: quippe dissimilem aliquam Deo partem affingere, maledicti in eum ac contumeliæ speciem præfert.

[1] Deest κατὰ τὴν. [2] Gen. IX, 20. [3] ibid. [4] Joan. XVI. 28.

Digitized by Google

Confutatio X.

Instat oppositis rationibus et argumentis Aetius, dialecticis vocibus humano ingenio fabricatis comprehendere Deum cupiens, ac certissimam evidentis fidei spem dictionum suarum argutiis mutilare contendens. Itaque dissimile vocabulum dissimiliter committit, et dictiones alias aliis ad evertendum inserit, ut ea ratione conficiat, Filium Patris esse dissimilem; quod fieri nullo modo potest. Quare suis ipse syllogismis ac rationibus capietur. Sic enim disputat : « Si perfecta sit genita soboles, eadem in ingenito erit, non ex iis quæ cum ab ingenito gigneretur obtinuit. Nam genita natura in ingenita substantia esse non potest; esset enim simul idem, et non esset. Nam quod genitum est, ingenitum non est, et quod ingenitum est, genitum non fuit. Quippe dissimilem aliquam Deo partem tribuere maledicti in eum ac contumeliæ speciem præfert. » Ex quibus falsa illius ac mendaciis referta convincitur oratio; idque perspicue constat, dissimilem Patris esse Filium non posse, neque perfectæ divinitati illius inæqualem. Etenim quæ omnino velut coactus eloquitur, ea sententiæ suæ contraria disserit, dum assidue genitum et ingenitum nobis obtrudit : unde et quod ad creatum increatumque spectat, illud una discere debet, alterum cum altero nullam dignitatis communionem habere; quæ in eo posita est, ut totum sit adoratione prosequendum. Si enim quod dissimile est cum eo, cujus dissimile est, adæquatum, penitus sit adorandum, unus ab universis nihil ex illa oratione discrepaverit. Tum enim conditionum illa dissimilitudo in suo ordine ac dignitate contineri non poterit; tametsi unum illud cæteris, quæ dissimilia sunt, splendore ac gloria antecellere dicatur ob eorum dissimilitudinem, quæ cum uno consociari compararique non possunt. Quamobrem eo tandem res recidet, ut sol, luna, sidera, terra atque iis etiam inferiora quæque adoranda videantur; neque id uni cum uno Spiritu præcipuum ac peculiare sit, quæ est una Trinitas, divinitas una et singulariter adoranda. Quapropter si hoc modo colligere ista licet, cum rei veritate consentaneum erit quod dicitur. **949** Neque enim unum Verbum reliquorum simile est; neque Filius unus aliis omnibus, qui per allegoriam sic appellantur, æqualis. Nam inter alios minime censetur, sed per eum isti procreati sunt. Ita quod impossibile initio proposuit Aetius, quodque contumeliæ in Deum ac maledicti speciem habebat, ob illam quam affinxerat Deo partem (quæ quidem non differentiæ, sed æqualitatis pars est, adeo ut non sit partienda divinitas, quæ perfectissima semper est in tribus perfectis consistens, una divinitas); hoc, inquam, ipsum, quod de dissimili injecit, ad veritatem catholicæ fidei corroborandam plurimum contulit, ut ne illorum errori fidem habeamus, quos perperam ad temerariam gentilium opinionem ac superstitionem adhærescere convincimus, et omnem creaturam adorandam esse profiteri, quantumvis Patri sit dissimilis, qui adoratur in Filio, et Filio, qui adoratur in Patre, cum sancto Spiritu, cui gloria sit in sæcula.

[1] F. τὸν Υἱόν. [2] F. ἀνόμοιον.

Ἀνατροπὴ Γ.

Ἀντιθέτως παρεισάγει Ἀέτιος, ἐκ συλλογιστικῶν ὀνομασιῶν ἀνθρωπίνης ἐπινοίας Θεὸν καταλαβεῖν βουλόμενος· καὶ ὡς ἐκ λέξεων ἀκρωτηριάζειν πειρᾶται τῆς ἐναργοῦς πίστεως τὴν βεβαίαν ἐλπίδα, ἀνόμοιον ἀνομοίως συγκρούσας, καὶ λέξιν λέξει ἀνατροπικῶς παρενθείς· ὡς ἐκ τούτου βιάζεσθαι τὸ ἀνόμοιον τοῦ Πατρὸς πατέρα [1] σημαίνειν· ὅπερ ἐστὶν ἀδύνατον. Ἐξ αὐτῶν γὰρ, ὡς ἐδίδαξε τὸν κόσμον, συλλογισμῶν καὶ αὐτὸς συλλογισθήσεται. Φάσκει γάρ· « Εἰ τέλειον ἦν τὸ γέννημα, ἐν ἀγεννήτῳ γεννήματί ἐστι, καὶ οὐκ ἐξ ὧν ὁ ἀγέννητος αὐτὸ ἐγέννησε. Γεννητὴν γὰρ φύσιν ἐν ἀγεννήτῳ οὐσίᾳ οὐκ ἐνδέχεται εἶναι· τὸ γὰρ εἶναί τέ ἐστι, καὶ μὴ εἶναι. Γέννημα γὰρ ἀγέννητον οὐκ ἔστι· καὶ ἀγέννητον ὂν γέννημα οὐκ ἦν· τοῦ ἀνομοίου μέρους ἐπὶ Θεοῦ βλασφημίας τύπον καὶ ὕβριν ἐπέχοντος. » Ὥστε ἐξ ἅπαντος ἐλέγχεσθαι τὰ τῆς παραποιήσεως μέρη τῶν λόγων, ὡς οὐκ ἐνδέχεται ἀνόμοιον εἶναι τὸν Υἱὸν τῷ Πατρὶ, οὐδ' ἄνισον τῆς αὐτοῦ τελείας θεότητος. Εἰ γὰρ ὅλως φάσκει βεβιασμένως, καθ' ἑαυτοῦ δὲ ἐπιστρέφει ῥητὰ, ἃ διηγεῖται, τὸ γεννητὸν καὶ ἀγέννητον ἀεὶ φάσκων· ἀπὸ τούτου μαθέτω τὸ κτιστὸν καὶ ἄκτιστον, ὅτι οὐκ ἐνδέχεται ἐπικοινωνεῖν τοῦτο τούτῳ πρὸς τὸ ἀξίωμα, ὅπερ ἐστὶ τὸ ὅλον προσκυνητόν. Εἰ γὰρ ὅλως προσκυνητὸν τὸ ἀνόμοιον τῷ ἀνομοίῳ ἐξισούμενον, οὐκέτι διοίσει λόγος τὸν ἕνα ἀπὸ τῶν ὅλων· τῆς ἀνομοίας οὐ δυναμένης ἐν τάξει τοῦ αὐτῆς ἀξιώματος τάττεσθαι, κἂν τε ἐν δόξῃ ὑπερβάλλοιτο τὸ ἀπὸ πάντων ἓν ὄντων ἀνομοίων πρὸς [τὴν] τὸν ἕνα διὰ τὴν μὴ ἐπικοινωνοῦσαν τῷ ἑνὶ πάντων πρὸς τὸν ἕνα ἀνομοιότητα. Καὶ ἔσται λοιπὸν καὶ ἥλιος καὶ σελήνη καὶ ἄστρα καὶ γῆ καὶ τούτων ἔτι τὰ ὑποδεδηκότα προσκυνητά· καὶ οὐκέτι ὁ εἷς σὺν τῷ ἑνὶ Πνεύματι, ὅπερ ἐστὶ μία Τριὰς, καὶ μία θεότης, καὶ μία προσκύνησις. Ἆρα οὖν, εἰ τοῦτο διὰ τοῦτο συλλογιστέον, ἔσται μὲν αὐτὸ ἐν ἀληθείᾳ, ἐπειδὴ οὐχ ὅμοιος ὁ εἷς Λόγος τοῖς πᾶσι λόγοις, οὐδὲ εἷς ὁ Υἱὸς τοῖς πᾶσι κατὰ ἀναγωγὴν κεκλησκομένοις ἴσος; Οὐ γάρ ἐστι σὺν τοῖς πᾶσιν, ἀλλὰ δι' οὗ οἱ πάντες. Τὸ γοῦν ἀδυνάτως παρ' αὐτῷ τῷ Ἀετίῳ ταχθὲν ἐξ ὑπαρχῆς, καὶ εἰς ὕβριν ἐπέχον τύπον βλασφημίας διὰ τὸ μέρος, ὃ ἔφη ἐν Θεῷ ὄν (ὅπερ οὐ διαφορᾶς μέρος ὑπάρχει, ἀλλ' ἰσότητος, καὶ οὔτε μεριζομένης τῆς θεότητος, ἀλλ' ἀεὶ οὔσης τελειοτάτης, τρία ὄντα τέλεια, μία θεότης)· μᾶλλον δὲ εἰς σύστασιν τῆς ἐν ἀληθείᾳ πίστεως τὸ ἀνόμοιον ἡμῖν ἐπησφαλίσατο, εἰς τὸ μὴ νομίζειν, μήτε πείθεσθαι τοῖς παρὰ ἀξίαν Ἑλλήνων πταίειν προπετείας προλήψει κατεγνωσμένοις τὴν πᾶσαν κτίσιν προσκυνητέον εἶναι, τὴν ἀνοιαν [2] οὖσαν πρὸς τὸν προσκυνούμενον Πατέρα ἐν Υἱῷ, Υἱὸν ἐν Πατρὶ σὺν ἁγίῳ Πνεύματι, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας.

[1] F. τὸν Υἱόν. [2] F. ἀνόμοιον.

Digitized by Google

ΑΕΤΙΟΥ ΚΕΦΑΛΑΙΟΝ ΙΑ'.

Εἰ ἀγεννήτου φύσεως ὑπάρχων ὁ Θεὸς ὁ παντοκράτωρ, γεννητῆς φύσεως οὐκ οἶδεν ἑαυτόν· ὁ δὲ Υἱὸς, γεννητῆς φύσεως ὑπάρχων, τοῦτο γινώσκει ἑαυτὸν, ὅπερ ἐστί· πῶς οὐκ ἂν εἴη τὸ ὁμοούσιον ψεῦδος, τοῦ μὲν γινώσκοντος ἑαυτὸν ἀγέννητον, τοῦ δὲ γεννητόν;

Ἀνατροπὴ ΙΑ'.

Ἔφησεν Ἀέτιος, καὶ ἀπεφήνατο ὁ διαστολεὺς καὶ ὁροθέτης ἐπὶ φύσεως Θεοῦ διαλαμβάνων, ἄνθρωπος ὢν τῇ φύσει, καὶ τὰ ὑπὲρ φύσιν βουλόμενος εἰδέναι, εἰδέναι δὲ οὐ κατὰ ἀκολουθίαν Γραφῆς, ἀλλ' ἐκ συλλογισμῶν βροτείων διανημάτων, ὅτι « Ἀγεννήτου φύσεως ὑπάρχων ὁ Θεὸς ὁ παντοκράτωρ, γεννητῆς φύσεως οὐκ οἶδεν ἑαυτόν. » Πάντοτε δὲ ἀεὶ καὶ ἀπαρχῆς τοῦ λόγου, οὐκέτι κατὰ τοὺς παλαιοὺς Ἀρειανοὺς, κἂν ἀποκεκρυμμένως Υἱὸν βούλεται λέγειν τὸν Μονογενῆ. Ἐν πᾶσι δὲ θεωρήσατε, υἱοὶ τῆς ἀληθείας, ὡς παντάπασι βούλεται αὐτὸν ἀλλότριον εἶναι τοῦ Πατρὸς, καὶ οὐδ' ὅλως μετέχοντα θεϊκῆς οὐσίας ἐξ ὧν πάντοτε τολμηρῶς ἀποφθέγγεται. Τὸ γὰρ λέγειν, ὅτι αὐτὸν ἀγέννητον γινώσκει, καὶ γεννητικῆς φύσεως οὐκ οἶδεν ἑαυτὸν, μάτην παρ' αὐτῷ καὶ τὸ κἂν διὰ ψιλῆς λέξεως Υἱὸν τὸν Υἱὸν καλεῖσθαι. Ἀνατραπήσεται δὲ αὐτοῦ ὁ λόγος. Καὶ γὰρ ἀγέννητός ἐστιν ὁ Πατὴρ, καὶ ἐγέννησεν ἀϊδίως τὸν Μονογενῆ, φύσεως ὢν ἑαυτῇ πρεπούσης, τῷ ἕνα μόνον τὸν Μονογενῆ γεγεννηκέναι, καὶ Πνεῦμα ἐνηνοχέναι, τὸν μόνον μόνῳ ἐπὶ Μονογενεῖ γεννήτορα· ὃς τῷ ἀνάρχως γεγεννημένῳ Υἱῷ συνυπάρχει, πνεῦμα ὢν, Πνεῦμα γεγεννηκὼς, καὶ οὐ σῶμα ὢν σωματικῶς διαστελλόμενον, οὐδὲ φθεῖνον καὶ αὔξον καὶ τομὴν ὑφιστάμενον. Διὸ παρὰ τοῖς ἄλλοις πᾶσι τοῖς γεγεννηκόσι καὶ γεννωμένοις ἀλλ'[1] ἐπὶ πολλῶν ἐπιδέχεται ἡ χρεία· ἐνταῦθα δὲ οὐχ ὅμοιον τοῖς οὖσι πᾶσιν ἡ τοῦ ἑνὸς πρὸς τὸν ἕνα ἀξία. Διὸ καὶ αὐτὸς ὁ γεννηθεὶς ἐξαιρέτως ἐκ τοῦ ἐκπλήκτως γεννήσαντος, ὥσπερ ἀπὸ τοῦ ἀγεννήτου γεγέννηται συμπρέπων τῷ γεννήτορι, καὶ αὐτὸς οὐ γεννᾷ, οὐκέτι κατὰ τὴν οὐσίαν φημὶ, ἵνα ἀπὸ τοῦ μηκέτι γεννᾷν κατ' οὐσίαν, καὶ ἀπὸ τοῦ τὸν Πατέρα μὴ γεγεννῆσθαι, ἐξ ἑκατέρων μερῶν ἡ πᾶσα δόξα τοῦ ἀξιώματος σώζηται ἐν τῇ μιᾷ ἑνότητι τῆς ἀξίας Θεοῦ, Πατρὸς τελείου καὶ Υἱοῦ τελείου καὶ τελείου Πνεύματος ἁγίου. Καὶ διὰ τοῦτο τὸ ὁμοούσιον οὐ ψεῦδος οἶδεν ἡ θεία Γραφὴ, οὐδὲ ὁ εὐσεβὴς λογισμὸς ὁ περὶ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος εὐσεβῶς μεμαθηκὼς, τὸ δοξάζειν καὶ προσκυνεῖν ἐκ Θεοῦ λαβὼν τὴν χάριν.

AETII CAPUT XI.

Si ingenita natura præditus Deus omnipotens, genitæ naturæ conditionem in sese non agnoscit; Filius vero genitam naturam habens ejusmodi, se, qualis est, agnoscit : nonne tota illa consubstantialis ratio mendax est ac falsa, cum alter ingenitum sese, genitum alter agnoscat?

Confutatio XI.

Aetius ille, qui in divina natura discrimen constituere ac terminos quosdam definire disputando conatus est, cum natura conditionis esset humanæ, quique ea quæ naturam omnem superant, non ex sacrarum auctoritate Litterarum, sed ex humanis ratiocinationibus comprehendere studuit, sic, inquam, ille pronuntiavit : « Omnipotentem Deum, cum natura sit ingenitus, genitum se natura nequaquam intelligere. » Quod quidem ita perpetuo, et ab ipso initio sermonis asseruit, ut a veteribus Arianis dissideat, licet Filium unigenitum appellare dissimulando voluerit. Illud vero, veritatis filii, ubique diligenter attendite : quemadmodum a Patre eumdem abalienare penitus studeat, nec ullo modo divinæ substantiæ participem esse ex his ostendat, quæ identidem temere pronuntiare **950** non dubitat. Nam cum Patrem asserat ingenitum sese cognoscere, neque naturalem in se generandi facultatem esse scire, frustra Filium vel vocabulo tenus Filium appellat. Verum facile ejus oratio refutabitur. Nam et ingenitus est Pater; et unigenitum ab æterno genuit, cum naturam habeat ejusmodi, quæ sibi ipsi conveniens sit : siquidem unum ac solum unigenam Filium genuit, Spiritumque produxit solus cum Unigenito solo genitor; qui cum Filio sine ullo initio genito simul exsistit, et cum spiritus sit, Spiritum genuit. Neque vero corpus est, quod corporeo more distrahatur, aut corrumpatur augeaturve, vel sectionem patiatur. Quamobrem etsi in cæteris omnibus quæ gignunt aut gignuntur, aliud necessitas ipsa conditionis ferat, tamen hic unius ad unum comparata dignitas dissimile quiddam est ab aliis sortita. Unde et genitus ipse eximia quadam ratione a Patre, qui admirabiliter genuit, tanquam ab ingenito genitus est, genitoris naturæ consentaneus. Idem ipse porro, quod quidem ad naturam attinet, non amplius generat, ut ex eo quod nihil ipse natura substantiaque gignat, Pater vero a nullo sit genitus, divinæ amplitudinis gloria in una ac singulari Dei dignitate servetur, Patris videlicet perfecti, perfecti Filii ac perfecti Spiritus sancti. Quæ cum ita sint, ipsa consubstantialis ratio falsa ex Scripturis ostendi minime potest, neque pia ac religiosa mens repudiare velut confictam potest, quod de Patre, ac Filio sanctoque Spiritu pie instituta fuerit, eamdemque celebrare et adorare posse Trinitatem, divino sit beneficio consecuta.

ΚΕΦΑΛΑΙΟΝ ΑΕΤΙΟΥ ΙΒ'.

Εἰ μὴ τὸ ἀγέννητον τὴν ὑπόστασιν τοῦ Θεοῦ παρίστησιν, ἀλλ' ὑπονοίας ἐστὶν ἀνθρωπίνης τὸ ἀσύγκριτον ὄνομα, χάριν τοῖς ἐπινοήσασι γινώσκει ὁ Θεὸς,

AETII CAPUT XII.

Si ingeniti vox Dei substantiam minime significat, sed incomparabile istud nomen ab humanis ingeniis excogitatum est, Deus ob illud ipsum in-

[1] *F.* ἄλλ'.

Digitized by Google

geniti commentum iis qui repererint, gratiæ debitor est, cum tanto nomini respondentem excellentiam in essentia sua non habeat.

δι᾽ τὴν ἀγέννητον ἐπίνοιαν τὴν ὑπεροχὴν τοῦ ὀνόματος οὐ φέρων ἐν οὐσίᾳ.

Confutatio XII.

Ingeniti vox, ut adversus Aetium contendimus, nec inficiari possumus, tametsi in sacris Litteris minime reperiatur, **951** pie tamen est excogitata. Ergo ingenitum Patrem appellamus, ac confitemur : genitum vero Filium asserimus, et creatum fuisse negamus. Nam cum Filium genitum esse constituerimus, quin a Deo Patre substantiam acceperit, negare non possumus. Nam generatione ipsum produxit, non creavit. Ac tu perperam et oblique genitum illud et ingenitum accipiens, detorquere temetipsum studes (neque enim quidquam aliud efficis), tum de humanis ratiocinationibus et arguta oppugnatione disputationeque tua, hoc est de humana stultitia, commode illud e sacris Litteris exaudire potes : Prompta est hominis mens in mala impensius, jam inde ab adolescentia[1]. Nos autem et illud contra te dicere possumus : multo id increato Deo indignius, et indecentius esse, creare quidquid est conditum, aut qui a nullo factus est facere. Etenim si, quod Aetius asserit, ingenitum generare nequaquam decet, consequens est, nec increatum creare quidquam, neque qui a nullo factus est, quæ erant condenda procreasse. Quocirca cum creatæ res oculis subjiciantur, ac bona pars naturæ subsistentis appareat, nec illud deceat, increatus ut illam Deus creaverit, ne si incomparabile illud ad eorum quæ facta sunt, mutabilem conditionem abjiciatur, non modo non decorum sit, sed ex ipsius Aetii sententia vel maxime dedeceat, eo res tandem adducitur, ut alter Deus increatus, alter creatus, qui ad sui similitudinem creare cætera possit, quærendus merito videatur. Jam vero cum hic ipse creatus Deus, et creandi potestate præditus, a se ipso non exstiterit, sed creatus ponatur, quærendus iterum alter ille fuerit, a quo tanquam a principio profectus sit. Deinde etiam alius post ipsum excogitandus. Ex quo profundissimus iste error ad ingentem dogmatum et sententiarum absurditatem postremo deducitur. Neque enim consistere animus uspiam poterit; sed illud e Scripturis implebit : *Stulti facti sunt Dei servi. Et fatuus omnis homo redditus est a scientia*[2]. Neque enim sibi ipsi quisquam vivit, aut moritur[3]; neque quidpiam cognoscit ullus, sine ope Dei, qui veram nobis fidem patefecit, ac dixit : *Hic est Filius meus dilectus; ipsum audite*[4] : ac sine illius quem genuit auxilio, qui suum nobis Patrem declaravit his verbis : *Ego a Patre exivi, et venio*[5]. Porro neque ex hominum appellatione Deus illud incomparabile **952** sortitus est; neque ob idem incomparabile, veri ac subsistentis Dei Verbi,

Ἀνατροπὴ ΙΒ'.

Καὶ ἀγέννητον, ὡς ἔφαμεν πρὸς τὸν Ἀέτιον ἀποτεινόμενοι, [καὶ] οὐκ ἀρνούμεθα, κἂν τε ἐν θείᾳ Γραφῇ μὴ ἐμφέρηται, εὐσεβῶς ἐπινενόηται. Ἀγέννητον δὲ φάσκοντες τὸν Πατέρα, καὶ ἀγέννητον ὁμολογοῦμεν· γεννητὸν δὲ τὸν Υἱὸν οὐκ ἀρνούμεθα, ἀλλ᾽ οὐχὶ κτιστόν· οὔτε γὰρ, ἐὰν τὸν Υἱὸν γεννητὸν ὁρισώμεθα, ἐκ Θεοῦ Πατρὸς τὴν οὐσίαν ἔχειν ἀρνεῖσθαι δυνάμεθα. Γεννητῶς γὰρ ἐγέννησε, καὶ οὐκ ἔκτισεν. Ὡς γὰρ λοξῶς πάντα ἐπὶ τοῦ γεννητοῦ καὶ ἀγεννήτου διανοούμενος παρεκτρέπειν ἑαυτὸν βούλει (οὐ γάρ τι ἕτερον), οὕτως καὶ αὐτὸς ἀκούεις ἐξ ἀνθρωπίνων συλλογισμῶν καὶ ἀντιθέσεως συλλογιστικῆς, ἀνθρωπείας τε ματαιοφροσύνης, τὸ, Ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπὶ τὰ πονηρὰ ἐπιμελῶς ἐκ νεότητος. Λέξομεν καὶ αὐτοί, ὅτι πολλῶν[6] μᾶλλον ἀπρέπεια Θεῷ τῷ ἀκτίστῳ τὸ κτίζειν τὰ κτισθέντα, καὶ τῷ ἀποιήτῳ τὸ ποιεῖν. Οὐ γὰρ ἐνδέχεται τὸν ἄκτιστον κτίζειν τὰ κτισθέντα, [καὶ τῷ ἀποιήτῳ τὸ ποιεῖν· οὐ γὰρ ἐνδέχεται τὸν ἄκτιστον κτίζειν,] καὶ τὸν μὴ γενόμενον ποιεῖν τὰ ἐσόμενα, εἰ οὐ πρέπει τῷ ἀγεννήτῳ τὸ γεννᾷν κατὰ τὸν Ἀετίου λόγον. Τῶν δὲ κτίσεων ὁρωμένων, καὶ τοῦ πλείστου μέρους τῆς οὐσίας ὑποστάσεως φαινομένης, Θεῷ δὲ τῷ ἀκτίστῳ τὸ ὑπ᾽ αὐτοῦ κεκτίσθαι μὴ πρεπούσης, ἵνα μὴ τὸ ἀσύγκριτον ἐπὶ μεταβολὴν τῶν γενομένων παρενεχθὲν ἀντὶ τοῦ πρέποντος παρὰ τῷ Ἀετίῳ ἀπρεπὲς μᾶλλον νομισθείη, ζητηθήσεται λοιπὸν ἕτερος ὢν Θεὸς ὁ ἄκτιστος, ἕτερος δὲ ὁ κτισθείς, καὶ κτίζειν ἀναλόγως ἑαυτῷ δυνάμενος. Τοῦ δὲ κεκτισμένου καὶ τὸ κτίζειν ἔχοντος, αὐτομάτου μὴ ὄντος, ἀλλὰ κεκτισμένου, ζητηθήσεται καὶ ἕτερος ὁ τούτου αἴτιος γεγονὼς, καὶ ἀπὸ τούτου ἄλλος ἐπινοηθήσεται. Καὶ πολλὴ ἔσται ἡ τοῦ βυθοῦ τῆς πλάνης ἡ ματαιολογία τῶν νοημάτων, τῆς διανοίας μηκέτι εὐσταθούσης, ἀλλὰ πληρούσης τὸ εἰρημένον· *Ἐμωράνθησαν οἱ δοῦλοι τοῦ Θεοῦ· καὶ ἐμωράνθη πᾶς ἄνθρωπος ἀπὸ γνώσεως.* Οὐ γάρ τις ἑαυτῷ ζῇ, οὐδὲ ἑαυτῷ ἀποθνήσκει· οὐδέ τις γνώσεται οὐδὲν πάρεξ τοῦ Θεοῦ, τοῦ ἀποκαλύψαντος ἡμῖν τὴν ἀληθινὴν πίστιν αὐτοῦ, λέγοντος· *Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, καὶ αὐτοῦ ἀκούετε·* καὶ τοῦ ἐξ αὐτοῦ γεγεννημένου ἀποκαλύψαντος ἡμῖν τὸν Πατέρα αὐτοῦ, καὶ λέγοντος· *Ἐγὼ ἐκ τοῦ Πατρὸς ἐξῆλθον, καὶ ἥκω.* Καὶ οὔτε ἀπὸ ὀνομασίας ἀνθρώπων τὸ ἀσύγκριτον ἔσχε Θεὸς, οὔτε διὰ τὸ ἀσύγκριτον ἡ ἀξία τοῦ ἀληθινοῦ ἐνυποστάτου Θεοῦ Λόγου, καὶ ἐκ Πατρὸς ἀνάρχως ὁμοουσίως γεγεννημένου, παρεκτραπήσεται· οὔτε ὁποτέρου τῶν ὀνομάτων χάριν ἔχοντος ἐπινοίαις ἀνθρώπων. Οὐδὲν γὰρ προσλαμβάνεται τὸ Θεῖον ἀξιώματος ἢ προσθήκης· αὐτὸ δὲ Θεῖον πᾶσι παρέχει ἐκ τοῦ αὐτοῦ πληρώματος, ἀεὶ ἐν ταυτότητι μένοντος, καὶ μὴ ἐλαττουμένου, ἀλλ᾽ ἐν τῇ ἰδίᾳ φέ

[1] Gen. VI, 5. [2] Jer. XIV, 10; LI, 17. [3] Rom. XIV, 7. [4] Matth. XVII, 5. [5] Joan. XVI, 28. [6] Cor. πολλῷ.

Digitized by Google

ροντος ἀεὶ οὐσίᾳ τοῦ ὀνόματος; καὶ δυνάμεως, καὶ οὐσίας τὸ ἀξίωμα.

et a Patre sine ullo initio eadem in substantia geniti dignitas abrogabitur. Neutrum enim istorum nominum ingeniis hominum, vel inventis acceptum ferendum est. Quippe divina natura novam nullam dignitatem accessionemve potest admittere : quin potius ex eo quod plene in sese abundanterque continet, omnibus suppeditat, eodem in statu permanens, nec ullo modo diminuta, ac demum nominis illius ac potestatis et substantiæ dignitatem in natura sua complectitur.

ΚΕΦΑΛΑΙΟΝ ΑΕΤΙΟΥ ΙΓ'.

Εἰ ἔξωθεν ἐπιθεωρεῖται τῷ Θεῷ ἀγέννητον, οἱ ἐπιθεωρήσαντες τοῦ ἐπιθεωρηθέντος εἰσὶν ἀμείνους, κρεῖττον ὄνομα τῆς φύσεως αὐτῷ πορισάμενοι.

AETII CAPUT XIII.

Si ingeniti conditio Deo extrinsecus affingitur, qui eam affinxerunt ei ipsi cui affingitur, præstant, cum præstantius quam natura patiatur, ei nomen attribuant.

Ἀνατροπὴ ΙΓ'.

Γ'. Ἔστι γὰρ ὡς ἀληθῶς ὁ Πατὴρ ἀληθινὸς Θεός, B ὡς μαρτυρεῖ ὁ Υἱός, ὁ εἰδὼς τὸν Πατέρα· καὶ ἀληθινὸν φῶς ὁ Υἱός, ὁ γινωσκόμενος ὑπὸ τοῦ Πατρὸς, καὶ μαρτυρούμενος· καὶ Πνεῦμα ἀληθείας τὸ Πνεῦμα, τὸ οὐκ ἀλλότριον ὄν, ἀλλ' ἀπὸ Πατρὸς ἐκπορευόμενον, καὶ τοῦ Υἱοῦ λαμβάνον. Ταῦτα δὲ ἀφαιρεῖται πᾶσάν σου τῶν λόγων, Ἀέτιε, συλλογιστικὴν μυθολογίαν. Καὶ οὐκ ἐνδέχεται ἡμᾶς προτρέψασθαι μαθητὰς γενέσθαι Ἀριστοτέλους τοῦ σοῦ ἐπιστάτου, καὶ ἐάσαι τὸν τῶν ἐν Πνεύματι Θεοῦ πεφωτισμένων ἁλιέων ἀγραμμάτων ὄντων κατὰ τὸν λόγον, καὶ ἰδιωτῶν. κηρύκων δὲ ὄντων τῆς ἀληθείας ἐν δυνάμει Θεοῦ, ᾗ κατηξίωνται. Οὐ γὰρ ἐν λόγῳ συλλογιστικῷ ἡ βασιλεία τῶν οὐρανῶν, καὶ ἐν λόγῳ κομπαστικῷ, ἀλλ' ἐν δυνάμει καὶ ἀληθείᾳ. Καὶ γὰρ ἀρκετῶς εἰκάσαμεν [5] ἐξ ἀρχῆς τοῦ λόγου σου τοῦ περὶ στερήσεως ἕξεων καὶ θέσεων καὶ γεννητὴν οὐσίαν καὶ ἀγέννητον οὐσίαν προσλαμβάνουσαν, καὶ μὴ προσλαμβάνουσαν, καὶ μεθ' ἕξεως ἕξεως ἀπομένουσαν ἀποβολὴν, καὶ περὶ οὐσίας καταπλεκομένης γεννητῆς, ἕξεως δὲ ἀγεννήτου· καὶ γέννημα λεγόμενον ἐν παρόδῳ, σημαινομένου δὲ ἐν ἕξει μόνῃ, καὶ ἕξεως δηλωτικὸν μεταπλαζομένου ἐξ οὐσίας τινὸς, κἂν τε λεγομένου γεννήματος, ὡς ἔφης. Αὐτὰ γὰρ περὶ τῶν αὐτῶν τὸ διανόημά σου λαλεῖ, μηδὲν παραιτοῦν [6] κατὰ τῶν αὐτῶν φέρεσθαι φθεγγόμενον.

965 AETII CAPUT XXI.

Si tam ingenitum, quam genitum affectio sit, substantiæ quidem affectionibus priores, affectiones porro uti natura posteriores, sic iisdem anteponendæ sunt. Quod si ingenitum geniti causa est, eique confert ut exsistat; genitum vero causam ipsam substantiæ sua notione complectens, substantiam ipsam, non affectionem exprimit, cum ingenita natura nihil ipsa secum includat; nonne substantia potius quam affectio quædam debet videri?

ΚΕΦΑΛΑΙΟΝ ΑΕΤΙΟΥ ΚΑ'.

Εἰ τὸ ἀγέννητον ἕξις, καὶ τὸ γεννητὸν ἕξις, αἱ D μὲν οὐσίαι τῶν ἕξεων πρῶται, αἱ δὲ ἕξεις τῶν οὐσιῶν, εἰ καὶ δεύτεραι, ἀλλ' οὖν γε προτιμότεραι. Εἰ δὲ τὸ ἀγέννητον τοῦ γεννητοῦ αἴτιόν ἐστι, τοῦ εἶναι σημαινομένου, γέννημα συνεισφέρον τῇ ἑαυτοῦ οὐσίᾳ τὸν αἴτιον, οὐσίας ἐστὶ δηλωτικὸν τὸ γέννημα, ἀλλ' οὐχ ἕξεως, τῆς ἀγεννήτου φύσεως οὐδὲν ἑαυτῇ συνεισαγούσης· πῶς οὐκ ἂν εἴη οὐσία, ἀλλ' ἕξις, καὶ ἡ ἀγέννητος φύσις;

Confutatio XXI.

I. De affectionibus cum de divina natura, perinde ac de inferioribus Deo disputat, iterum agere instituit Aetius, ut animadvertere potestis, veritatis studiosi omnes. In quo nonnulla priora facit, alia

Ἀνατροπὴ ΚΑ'.

Α'. Ἐξέων διαληπτικὸν λόγον ἐπὶ Θεοῦ τε καὶ μετὰ Θεὸν κατασκευάζειν πάλιν ἡμῖν πειρᾶται Ἀέτιος, ὡς ὁρᾶτε, φίλοι τῆς ἀληθείας. Καὶ τὰ μὲν πρῶτα τίθησι, τὰ δὲ δεύτερα. Ἐπὶ Θεῷ δὲ λαμβάνειν

[1] Hebr. xi, 6. [2] Joan. xvi, 26. [3] Joan. xvi, 14, 15. [4] I Cor. iv, 20. [5] F. ἠκούσαμεν. [6] F. πέρα τοῦ.

Digitized by Google

πρῶτα ἢ δεύτερα οὔτε θέμις λέγειν. Ἅμα γὰρ ἐν Θεῷ τὰ πάντα πρόσεστι, καὶ προσθήκης οὐ δέεται. Διὸ καὶ τὸ γέννημα οὐκ ἀπὸ χρόνου νοεῖσθαι εὐσεβὴς χωρεῖ λόγος. Θεῷ γὰρ Πατρὶ, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι, τουτέστι τῇ Τριάδι τῇ οὔσῃ ὅπερ ὁ ὢν Θεὸς, καλεῖται Πατὴρ ὁ ὤν, καὶ Υἱὸς ὁ ὢν πρὸς τὸν ὄντα ὤν, γεγεννημένος ἀνάρχως καὶ ἀχρόνως· ὡς τὸ, *Παρὰ σοὶ πηγὴ ζωῆς*· καὶ τὸ, *Ἐν τῷ φωτί σου ὀψόμεθα φῶς*· καὶ τὸ, *Ὁ ὢν εἰς τὸν κόλπον τοῦ Πατρός*· καὶ τὸ, *Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ Λόγος*· καὶ περὶ τοῦ ἁγίου Πνεύματος ὡσαύτως· *Τὸ Πνεῦμά μου ἐφέστηκεν ἐν μέσῳ ὑμῶν*. Καὶ ὁρᾷς, ὅτι οὐδὲν πρόσφατον ἐν τῇ Τριάδι; Διὸ οὔτε ἕξις πρὸ ἕξεως, οὔτε ἕξις πρὸ οὐσίας. Ἕξιν δὲ οὐ κατὰ τὰς σφαλερὰς λεγομένας ἕξεις, τροπὴν ἐχούσας ἐν ἑκάστῳ τῶν τὰς θετικὰς ἕξεις ἐχόντων· εἰ καὶ ἔξιν περὶ Θεοῦ λέγειν ἀναγκάσεις ἡμᾶς, ὦ Ἀέτιε, καὶ οὔτε τι ἐν Θεῷ προτιμότερον, οὔτε μεταγενέστερον, ἀλλ' ὅσα πρέπει τῷ ἀξιώματι πρὸς δοξολογίαν, τῇ μὲν μιᾷ θεότητι καὶ μία δοξολογία, καὶ μία τιμὴ, *ἵνα τιμῶσι τὸν Υἱὸν, ὥσπερ τιμῶσι τὸν Πατέρα*· καὶ ἵνα μὴ βλασφημῶσι τὸ Πνεῦμα διὰ τὸν τῆς ἀπειλῆς λόγον, τὸν μὴ τὴν ἁμαρτίαν αὐτοῖς συγχωροῦντα ὧδε, καὶ ἐν τῷ μέλλοντι αἰῶνι· ὡς πρεπόντως [ἐστὶν] οὐδὲν διηλλαγμένως ἐστὶ περὶ τὴν Τριάδα νοεῖν, ἢ εὐσεβεῖν, ἢ δοξάζειν. Ἐν Πατρὶ δὲ τὸ Πατὴρ, ἐν Υἱῷ δὲ τὸ Υἱὸς, ἐν ἁγίῳ Πνεύματι τὸ [1] οὕτως λέγειν, καὶ οὕτως ἐν ἀληθείᾳ δοξάζειν, ὅπερ πρεπόντως τῇ μιᾷ Τριάδι προσκυνητῶς τὸ σέβας νέμειν, ἡ ἀληθινὴ πίστις, καὶ τὸ ἀξίωμα γινώσκειν. Καὶ οὔτε τὸ ἀγέννητον τοῦ γεννητοῦ δέεται, εἰς τὸ συνεισφέρεσθαι ἑαυτῷ τῇ οὐσίᾳ, ἵνα αἴτιον οὐσίας αὐτῷ γένηται δηλωτικὸν τὸ γέννημα· οὔτε ἕξις τῆς ἀγεννήτου φύσεως ἡ οὐσία τοῦ γεγεννημένου ἐστὶν, ἢ λέγεται.

posteriora. Atqui priora ulla in Deo, vel posteriora constituere ne sermone quidem licet. Etenim simul in Deo insunt universa, nec accessionem aliquam desiderat. Quocirca cum genitam sobolem dicimus, nihil omnino temporarium pietas admittit. Nam in sanctissima Trinitate, hoc est Deo Patre, Filio et Spiritu sancto, qui est Deus exsistens, Pater exsistens vocatur, necnon et exsistens Filius cum exsistente comparatus, ab eoque citra initium ullum tempusque genitus, ut ex iis Scripturæ locis intelligimus: *Apud te est fons vitæ* [4]. Item: *In lumine tuo videbimus lumen* [5]; et: *Qui est in sinu Patris* [6]. Item: *In principio erat Verbum, et Verbum erat apud Deum, et Deus erat Verbum* [7]. Similiter et de Spiritu sancto: *Spiritus meus consistit in medio vestri* [8]. Vides quam nihil in Trinitate sit recens? Unde nec substantia affectionem, nec substantiam antecedit affectio. Cæterum affectionem cum dicimus, non fluxas illas, et caducas intelligimus, quæ in unaquaque earum rerum, quæ adventitiis rebus afficiuntur, vires suas ac mutationes exerceant; utcunque nos a te coacti affectionis vocabulum ad divina transferimus. Nihil est igitur in Deo vel antecellens, vel ætate posterius; sed ea duntaxat insunt, quæ dignitati illius ad laudem prædicationemque congruunt. Nimirum uni ac singulari divinitati, una laus, et singularis honor attribuendus est, *Ut honorent Filium, sicut honorant Patrem* [9]; et ut ne contumeliosum quiddam in Spiritum jaciant; **966** interminationem illam veriti, qua istiusmodi scelus, uti par est, nec in præsenti sæculo, nec in futuro condonandum edicitur [10]. Quare nihil in Trinitate cogitare diversum, neque salva pietate sentire, aut opinari licet. Verum et in Patre Patrem, et in Filio Filium, et in Spiritu sancto Spiritum sanctum agnoscere nos oportet. Hunc in modum profiteri, et ita ex rei veritate judicare necesse est; pro eo ac consentaneum est, uni Trinitati adorationis præbere cultum, et illius majestatem agnoscere. Itaque nec ingenitum opus habet genito, ut aliquid naturæ suæ conferat; ejusque, dum ipsam declarat, quodammodo causa censeatur; neque geniti substantia ingenitæ naturæ est, aut dicitur affectio.

Β'. Οὐδενὸς γὰρ ἡ Τριὰς δεῖται, οὔτε προσθήκην τινὸς λαμβάνει. Οὔτε γὰρ ἐπειδὴ αὐτὴ ἡ Τριὰς ἦν ἀεὶ, καὶ οὐδὲν ἦν τῶν κεκτισμένων, παρὰ τοῦτο ἀποκληρώσεως ἕνεκεν, ἢ προσληπτικῆς τινος ὀνομασίας, ἢ προσθήκης τῷ ἀξιώματι ἑαυτῷ ἐπενόησεν ὁ Πατὴρ, δι' οὗ [2] μὲν κτίσας οὐρανὸν καὶ γῆν, καὶ πάντα ὁρατά τε καὶ ἀόρατα, καὶ τῷ Πνεύματι αὐτοῦ ἐστερέωσε πᾶσαν τὴν δύναμιν αὐτῶν τῶν ὑπ' αὐτοῦ κεκτισμένων, ἵνα ἐκ τοῦ κεκτίσθαι τὰ κεκτισμένα, καὶ δημιουργηθῆναι τὰ γεγονότα ἐπισυνεισφορὰ γένηται τῷ κτίστῃ ἀκούοντι, καὶ δημιουργῷ Πατρὶ προσληπτικῶς [3] νοηθείη τῷ Υἱῷ, δι' οὗ καὶ ἀφ' οὗ τὰ κεκτισμένα γεγένηται, ἢ τῷ ἁγίῳ Πνεύματι, ἐν ᾧ τὰ ἐστερεωμένα ἐστερέωται. Καὶ γὰρ οὐ τραπεὶς ἀπὸ ἕξεως εἰς ἕξιν Θεὸς, καὶ τῇ φύσει καὶ τῇ οὐσίᾳ ἀλλοιωθεὶς, ὡς κατ' ἔννοιαν καὶ

II. Quippe Trinitas rei nullius indiget, nec ullius accessionem postulat. Cum enim Trinitas ab æterno fuerit, cum nihil adhuc creatarum rerum exsisteret, non idcirco tamen, quo velut sortito sibi aliquid cederet, aut novæ alicujus appellationis, vel ad dignitatem suam accessionis compos fieret, rerum omnium procreationem in animum induxit Pater: adeo ut cœlum, terramque, et aspectabilia omnia, eaque quæ visum fugiunt, per Filium crearet, omniaque quæ condiderat Spiritu suo corroboraret, quo ex illa conditarum rerum creatione, operumque fabricatione aliquid in Patris utilitatem redundaret, qui creator et artifex nominaretur; vel accessisse intelligeretur ad Filium; per quem, et a quo creatæ res productæ sunt; vel denique ad Spiritum sanctum, qui eadem,

[1] Deest Πνεῦμα λέγειν. [2] F. υἱοῦ. [3] Deest forte ἢ. [4] Psal. xxxv, 10. [5] ibid. [6] Joan. i, 18. [7] ibid. i. [8] Agg. ii, 6. [9] Joan. v, 23. [10] Matth. xii, 32.

Digitized by Google

illa confirmavit. Non enim ab affectione aliqua A converſus in alteram Deus, et natura, substantiaque mutatus velut cogitabundus, aut ad aliam sententiam traductus, quæ molitus est effecit : quippe qui in sese fabricandi vim habuerit semper, eamque perfectam, nec ullis gloriæ incrementis augendam. Quocirca quemadmodum, cum de creatis rebus agimus, tale quiddam de Deo suspicari nefas, quasi divinæ essentiæ gloriæque majestas ejus affectionis dignitatisque sit, quæ aliquid extrinsecus vindicare sibi possit : ita et refellendus erit Aetius, qui ratiocinationibus suis divinam naturam comprehendere cupiens, ingeniti, genitique proprietatibus abutitur ea disputatione, quam de affectione, et substantia nobis obtrudit : cum illud in confesso sit, creatas res omnes esse re- B vera; neque tamen ob ullum commodum aut incrementum **967** gloriæ a Deo, qui nulla re opus habet, excogitatas fuisse ; non secus atque in unico Dei Filio, ejusque sancto Spiritu nefas est cum creatarum rerum conditione illos adæquare. Dici enim istud nullo modo potest. At vero rationibus, syllogismisque suis nos aggreditur Aetius, de cœlestibus rebus garriens, et audacter ad superiora contendens, atque ab inferioribus creaturis petitis argumentis nos oppugnans, cum tamen suis illis disputationis argutiis nihil omnino promoveat. Hominum quippe sapientia præterit : humana ratiocinandi vis ac subtilitas consepulta jacet : *Exibit*, inquit, *spiritus ejus, et revertetur in pulverem suum* [1]. Syllogismorum, inquam, acumina omnia hominum ingeniis excogitata prætereunt, hominesque pariter, cum illa Aetii ratiocinatione, et affectato contra fidem calliditatis artificio. Manet autem ea, quam syllogismis suis circumvenire conatur, fides, spes et charitas, uti scriptum est [2].

μετάβολον [3] εἰργάσατο τὰ εἰργασμένα. Εἶχε γὰρ ἐν ἑαυτῷ τὸ ἀεὶ δημιουργικὸν καὶ τέλειον, καὶ μηδεμιᾶς ἐπιδεόμενον προσλήψεως δόξης. Καὶ ὥσπερ ἐπὶ τῶν κτισμάτων οὐ δεῖ διανοούμενόν τινα περὶ Θεοῦ προσληπτικῆς ἕξεως, καὶ ἀξίας εἶναι τὸ ἀξίωμα τῆς οὐσίας, καὶ δόξης Θεοῦ· οὕτως ἀνακρουσθήσεται Ἀέτιος, βουλόμενος Θεὸν συλλογίζεσθαι κατὰ τὸ ἀγέννητον, καὶ γεννητὸν, κατὰ τὸν ἕξεως καὶ οὐσίας αὐτοῦ ἐπιφερόμενον ἡμῖν λόγον. Ὁμολογουμένων πάντων τῶν κεκτισμένων εἶναι ἀληθῶς· καὶ οὐχ ἕνεκεν προσλήψεως δόξης Θεῷ τῷ ἀνενδεεῖ ἐπινοηθέντων· ὥσπερ καὶ ἐπὶ τοῦ Μονογενοῦς καὶ ἐπὶ τοῦ ἁγίου αὐτοῦ Πνεύματος οὐ τὸ ἴσον ἔστι λέγειν τῶν κτιστῶν· ἀνένδεκτον γὰρ τοῦτο λέγειν. Ἀλλ' ἐπειδὴ συλλογισμοὺς ἥκει φέρων ἡμῖν Ἀέτιος μεταρσιολεκτῶν, καὶ πρὸς τὰ ἄνω τολμηρῶς ἀποτεινόμενος, ἀπὸ δὲ τῶν κάτω ἀντισυλλογιζόμενος κτισμάτων, καὶ αὐτὸς μηδὲν εὑρισκόμενος κατὰ τὸν συλλογιστικὸν αὐτοῦ λόγον. Ἥ τε γὰρ σοφία ἀνθρώπων παρέρχεται, ἥ τε συλλογιστικὴ λέξις ἀνθρώπων θάπτεται. *Ἐξελεύσεται γὰρ τὸ Πνεῦμα αὐτοῦ, καὶ ἐπιστρέψει εἰς τὸν χοῦν αὐτοῦ.* Τὰ γὰρ συλλογιστικὰ πάντα τῶν ἀνθρώπων παρέρχεται, καὶ οἱ ἄνθρωποι μετὰ καὶ τῆς συλλογιστικῆς. Ἀετίου, καὶ κατὰ πίστεως τεχνικῆς ἐπιτηδεύσεως. Μένει δὲ ἡ ὑπ' αὐτοῦ συλλογιστικὴ [4] πίστις, καὶ ἐλπὶς, καὶ ἀγάπη, κατὰ τὸ γεγραμμένον.

AETII CAPUT XXII.

Si substantia omnis ingenita sit, cujusmodi est omnipotentis Dei, quid attinet hanc quidem passionibus obnoxiam, illam vero expertem asseverare? Quod si attributione quadam ingenitæ naturæ, altera quantitate, qualitate, atque omni prorsus manet mutatione superior; altera affectionibus obnoxia, quæ tamen ipsa, ut immutabili substantiæ conditione sit, beneficio quodam alterius sit adepta. Si hæc, inquam, ita se habeant, aut casu, ac fortuito id contigisse dicendum est; aut illud consequens est, ut et ea quæ agit, ingenita, et quæ mutationem patitur, genita censeatur.

ΚΕΦΑΛΑΙΟΝ ΑΕΤΙΟΥ ΚΒ'.

Εἰ πᾶσα οὐσία ἐστὶν ἀγέννητος, οἷα ἡ Θεοῦ παντοκράτορος, πῶς ἂν τὴν μὲν παθητὴν ἐρεῖ τις, τὴν δὲ ἀπαθῆ; Εἰ δὲ φύσεως ἀποκληρώσει ἀγεννήτου, ἡ μὲν διαμένει ποσότητος καὶ ποιότητος, καὶ, ἁπλῶς εἰπεῖν, πάσης μεταβολῆς ἀμείνων, ἡ δὲ παθῶν ὑπεύθυνός ἐστι, συγχωρηθεῖσα διὰ τὸ [5] ἀπαράλλακτον εἰς οὐσίαν ἔχειν, τῷ αὐτομάτῳ ἐπιτρέψαι τὸν φιλοῦντα κατὰ τὰ προειρημένα· ἢ τό γ' οὖν ἀκόλουθον, τὴν μὲν ποιοῦσαν ἀγέννητον εἰπεῖν, γεννητὴν δὲ τὴν μεταβαλλομένην.

Confutatio XXII.

I. Neque substantiam omnem ingenitam esse dicimus; nec omnem a Deo genitam, quoniam qui D Filium suum genuit, et a se ipso Spiritum sanctum emisit, illum, inquam, Spiritum, qui eorum quæ Filii sunt, particeps fuit, non omnes, sed unum duntaxat genuit : unde et unigenitus est; et unum emisit a se ipso; unde Spiritus sanctus. Per unum porro creavit, et in uno confirmavit omnes, quorum alii generandi vim habent, et post primam creationem deinceps generantur; alii sic creati sunt, ut neque gignant, neque gignantur.

Ἀνατροπὴ ΚΒ'.

Α'. Οὐ πᾶσαν οὐσίαν εἶναι λέγομεν ἀγέννητον, οὐδὲ πᾶσαν ἐκ Θεοῦ γεννητήν· ὅτι ὁ γεννήσας τὸν ἐξ αὐτοῦ γεγεννημένον, καὶ ἀποστείλας ἐξ αὐτοῦ τὸ ἅγιον Πνεῦμα αὐτοῦ, Πνεῦμα τῶν Υἱοῦ μετέχον, οὐ πάντας ἐγέννησεν, ἀλλ' ἕνα· διὸ Μονογενής· καὶ ἓν ἐξ αὐτοῦ ἀπέστειλεν· διὸ ἅγιον Πνεῦμα. Ἔκτισε δὲ διὰ τοῦ ἑνὸς, καὶ ἐστερέωσεν ἐν τῷ ἑνὶ τοὺς πάντας· τοὺς μὲν γεννῶντας, καὶ μετὰ κτίσιν γεγεννημένους, τοὺς δὲ κτισθέντας, μήτε γεννῶντας, μήτε γεγεννημένους. Πολὺ δὲ ἀφέστηκεν ἡ ἄκτιστος τῆς Τριάδος οὐσία τῶν ἀπὸ τῆς Τριάδος κτισθέντων, καὶ

[1] Psal. CXLV, 4. [2] I Cor. XIII, 13. [3] F. μεταβολήν. [4] F. συλλελογισμένη. [5] F. δεῖ τό.

Digitized by Google

οὐκ ἀπὸ τῆς Τριάδος γεννηθέντων. Διὸ ἔχει ἡ Τριὰς τὸ ἀπαθὲς καὶ ἀπαράλλακτον, τὰ δὲ πάντα τὰ μετὰ τὴν Τριάδα πάθει ὑποκείμενα· εἰ μή τι ἂν δωροῖτο ὁ ἀπαθὴς τὸ ἀπαθὲς διὰ τῆς ἀφθαρσίας, οἷς βούλεται κατὰ δωρεὰν χαρίσασθαι ἀφθόνως. Οὐκ ἔχουσι δὲ τὸ ἄφθαρτον ἐξ ἀσωμάτου φύσεως, ἀλλ' ἐξ ἀφθονίας τοῦ ἀγαθοῦ καὶ ἀπαθοῦς Θεοῦ. Καὶ γὰρ οὔτε τὸ παθεῖν τὸν Μονογενῆ ἐν σαρκὶ πάθος περιποιεῖται τῇ αὐτοῦ θεότητι, καίτοι γε ἐξ ἀληθινῆς ὁμολογίας πιστευόμενον ἀπὸ τῆς ἀληθινῆς πίστεως, ὅτι πέπονθεν ὁ ἀπαθὴς Θεὸς ὢν Λόγος. Ἔμεινε δὲ ἐν ἀπαθείᾳ ὁ αὐτὸς μὴ τραπεὶς τὴν φύσιν, μήτε ἠλλοιωμένος. Διὸ σοφία ὤν, καὶ Θεὸς ἀπαθὴς ὤν, καὶ εἰδὼς, ὅτι διὰ πάθους σώζει τοὺς τὰ πάθη ἔχοντας τοῦ θανάτου, οὐ πρέσβυν ἀπέστειλεν, οὐκ ἄγγελον, οὔτε ἔστιν ὡς τοὺς πρὸ αὐτοῦ προφήτας· ἀλλ' αὐτὸς Κύριος ἦλθε, καὶ τὸ παθητὸν λαβὼν ἐν ἑαυτῷ ἀληθινῶς πέπονθε, τῆς θεότητος αὐτοῦ ἀπαθοῦς μενούσης. Οὐ γὰρ ἡ ἔνσαρκος παρουσία ἤμβλυνε τὴν δύναμιν τῆς αὐτοῦ θεότητος. Εὑρίσκεται γὰρ ἐν τῇ αὐτοῦ θεότητι τὰ τοῦ Θεοῦ ἐνεργῶν, καὶ μὴ ἀπὸ σαρκὸς ἀποκλειόμενος, ἀνέμῳ μὲν ἐπιτιμῶν, καὶ κλύδωνι, καὶ θαλάσσῃ, Λάζαρον δὲ αὐθεντίᾳ ἰδίᾳ καλῶν, καὶ ἄλλα μυρία, καὶ ἐπέκεινα τούτων ποιῶν· ὃς καὶ συνεχώρει μὲν τὰ κατὰ τὸ εὔλογον τῇ σαρκὶ, ὡς καὶ διαβόλῳ πειράζειν, καὶ ἀνθρώποις παίειν, καὶ τοῖς συλλαμβάνουσι τὸ ἁλίσκειν· ἵνα ἐν τῷ παθητῷ ὁ ἀπαθὴς πάθῃ, ἀπαθὴς μένων ἐν τῇ ἰδίᾳ θεότητι ὤν, οὐκ ἀλλότριος τοῦ ἀπαθοῦς Θεοῦ, ἑκουσίως δὲ ποιῶν τὰ πάντα κατὰ τὸ ἔκπληκτον αὐτοῦ μυστήριον· ὡς καὶ ὁ Πατὴρ Θεὸς σὺν αὐτῷ τῷ Μονογενεῖ, καὶ τῷ Πνεύματι αὐτοῦ τῷ ἁγίῳ, Τριὰς οὖσα ἀεὶ τελεία, καὶ ἀπαθὴς, μία θεότης περιέχει τὰ πάντα, εἷς Θεὸς, μία κυριότης τοῦ αὐτοῦ Θεοῦ περιέχοντος τὰ ὅλα.

A Verum increata Trinitatis **968** substantia longe ab his omnibus abest, quæ ab ipsa Trinitate creata sunt, non genita. Ideo Trinitatis illud proprium est, ut neque pati quidquam, neque commutari possit[1]: cætera omnia, ubi a Trinitate discesseris, pati aliquid possunt; nisi forte expers ille affectionis omnis similem quemdam statum per incorruptionem, quibus libuerit, singulari quodam beneficio large benigneque concesserit. Quem quidem incorruptionis statum non ex incorporea aliqua natura, sed ex boni, et affectionis omnis expertis Dei largitate consequuntur. Quod autem unicus Dei Filius in carne sit passus, nullam istud in ipsius divinitatem passionem transfundit. Quanquam illud recta fides, ac sincera professio docet, B Dei Verbum, quod per sese pati nihil potest, nihilominus esse passum. Idem porro eadem ipsa patiendi nihil in conditione permansit, nec in natura sua mutationis aliquid aut diversitatis expertus est. Quamobrem ille qui sapientia, ac Deus erat passionis omnis expers, cum patiendo sciret se eos liberaturum esse, qui mortem patiebantur, non legatum ullum, non angelum misit, non prophetas denique, cujusmodi adventum suum antecesserant, sed ipsemet Dominus venit, ac perpessionem ita in se ipso, vereque sustinuit, ut interim expers passionis divinitas ipsa permaneret. Cujus quidem vim ac potentiam nihil incarnatio ipsa diminuit. Nam eumdem in divinitate sua, quæ Dei propria sunt, præstantem sine ullo carnis impedimento C cernimus: velut cum ventos, mare, et fluctus increpat[2]; cum Lazarum propria auctoritate evocat[3]; et infinita alia prodigiosa ac stupenda molitur. Quanquam interim quidquid erat consentaneum corpori tribuebat. Nam et diabolo tentare permisit[4], et hominibus cædere, et his, qui comprehendebant capere, ut in patibili natura passionis expers pateretur, et interim in sua divinitate passionis expers maneret, non alienus a passionis experte Deo, sed omnia singulari quodam et admirabili mysterio suapte voluntate suscipiens. Quemadmodum et Pater Deus cum Unigenito ipso, ac Spiritu sancto: quæ quidem perfecta, et passionis expers Trinitas, unaque divinitas universa complectitur, Deus unus, ac dominatus unus continentis omnia Dei.

Β'. Καὶ οὐ διὰ τὸ περιέχειν τὰ πάντα πάθει ὑποπίπτει, τῶν ἐμπεριεχομένων ὑπὸ πάθος πιπτόντων. Ἐντὸς γὰρ πάντων ἐστὶ, καὶ ἐκτὸς τῶν ὅλων πάντων Θεὸς, ἀμιγὴς πρὸς τὰ πάντα· ὅθεν οὐδὲ διὰ τὸ εἶναι πάντη, οὐδὲ διὰ τὸ ἐκτὸς εἶναι πάντων, οὐδὲ διὰ τὸ περιέχειν τὰ πάντα, οὐδὲ διὰ τὸ ἐν αὐτῷ τὰ πάντα κινεῖσθαι, πάθος εἰσοίσει τῷ ἀπαθεῖ Θεῷ· ὥσπερ οὐδὲ διὰ τὸ γεγεννηκέναι τὸν Μονογενῆ, οὐδὲ τὸν Μονογενῆ γεγεννῆσθαι, οὐδὲ διὰ τὸ ἅγιον αὐτοῦ Πνεῦμα ἐξ αὐτοῦ ἀπεστάλθαι, πάθος εἰσοίσει τῇ ἁγίᾳ Τριάδι. Οὔτε γὰρ παθητὸν τὸ ἅγιον Πνεῦμα, ἐν εἴδει περιστερᾶς κατιὸν περὶ τὸν Ἰορδάνην· οὔτε ὁ Μονογενὴς ὑπὸ Ἰωάννου βαπτιζόμενός τε καὶ ψηλαφώμενος· οὔτε ὁ Πατὴρ ἄνωθεν βοῶν φωνῇ ἀκουστικῇ ἀνθρώποις, ὅτι *Οὗτός μού ἐστιν ὁ Υἱὸς, αὐτοῦ ἀκούετε.* Ἀπαράλλακτος τοίνυν ὁ Υἱός· καὶ ὁ μὲν Πατὴρ ἀγέννητος, ὁ δὲ Υἱὸς γεννητὸς, ἀπα-

II. Neque vero quod continere dicatur omnia, idcirco patiendi conditioni subjicitur, licet quæ ab ipso comprehenduntur ei legi subjaceant. Est enim D intra omnia, et extra omnia universorum Deus, neque tamen cum ulla re concretus, ac permistus: ex quo fit ut, neque quod ubique sit, neque quod extra omnia sit, neque quod comprehendat omnia, **969** neque quod in ipso universa moveantur, ob id pati quidpiam existimandus sit, immunis ab omni patiendi conditione Deus. Sicut nec idipsum, quod unicum Filium genuit, quodque unicus ille genitus est, aut quod sanctus ejus Spiritus emissus est ab ipso, ullam sanctissimæ Trinitati affectionem inferet. Quippe nec Spiritus ipse sanctus pati quidquam potest, qui columbæ specie ad Jordanem descendit; nec Unigenitus a Joanne baptizatus et contrectatus; sed neque Pater ejusmodi de

[1] Matth. xii, 32. [2] Luc. viii, 24. [3] Joan. xi, 43. [4] Matth. iv, 1 sqq.

Digitized by Google

cœlo voce personans, quam homines exaudire possent : *Hic est Filius meus, ipsum audite*[1]. Quare nihil a Patre diversus est Filius. Et quidem Pater ingenitus est, Filius genitus, nec ullo modo patibilis ; Spiritus vero sanctus citra passionem ullam processit ; cætera omnia creatione producta sunt, ac perfecta ipsa Trinitas in quantitate sua, et increata appellatione remanet : sic ut neque commutetur quod melius est, neque quod gignitur ulla patiendi lege coerceatur. Cui quidem neque genitor obnoxius fuit. Non enim corporeum est genitum illud, sed Spiritus e Spiritu, et ex Patre Filius. Ita etiam et Spiritus sanctus ab ipso progressus est, Spiritus Patris, Spiritus Christi, non creatus, non genitus, non germanus frater, non avus, non nepos ; siquidem incomparabilis Patris, Filii ac Spiritus sancti natura cogitationem omnem ac mentem superat, non hominum solum dixerim, verum etiam angelorum. Non enim mutationem ullam unicus Dei Filius admisit, nec ipsius Pater, neque sanctus ejus Spiritus, eo quod Unigenitus per sese passionis expers in carne sit passus ; Spiritus vero sanctus columbæ se specie videndum objecerit ; ac postremo Pater ipse voce de cœlo missa citra passionem ullam hominum auribus insonuerit. Non secus atque angeli, cœlestes orbes, terra, cæteraque, quæ Deus condidit, omnia nullam auctori suo mutationem affectionemque tribuerunt. Sed hæc omnia stupendum quoddam sunt, horrendumque mysterium, uti scriptum est : *O altitudo divitiarum, sapientiæ et scientiæ Dei*[2] !

A Θῆς, καὶ τὸ Πνεῦμα ἀπαθῶς προελθόν. Τῶν δὲ ἄλλων κτιστῶν ὄντων, τῆς τελείας Τριάδος διαμενούσης ἐν τῇ ποσότητι καὶ ἀκτίστῳ ὀνομασίᾳ, οὔτε τοῦ ἀμείνονος μεταβαλλομένου, οὔτε τὸ γεννηθὲν πάθει συνεχόμενόν ἐστιν. Οὔτε γὰρ ὁ γεννήσας πάθει συνεσχέθη. Οὐ γὰρ σωματικὸν τὸ γέννημα, ἀλλὰ Πνεῦμα ἐκ Πνεύματος, καὶ Υἱὸς ἐκ Πατρός. Ὡσαύτως καὶ τὸ ἅγιον Πνεῦμα ἐξ αὐτοῦ, Πνεῦμα Πατρὸς, Πνεῦμα Χριστοῦ, οὐ κτιστὸν, οὐ γεννητὸν, οὐ συνάδελφον, οὐ προπάτορον, οὐκ ἔγγονον, τῆς ἀσυγκρίτου οὐσίας Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος, ὑπερβαινούσης πᾶσαν ἔννοιαν καὶ πάντα νοῦν, οὐ μόνον εἴποιμι ἀνθρώπων, ἀλλὰ καὶ ἀγγέλων. Οὐ γὰρ μεταβολὴν ἐπεδέξατο ὁ Μονογενὴς, οὐδὲ ὁ αὐτοῦ Πατὴρ, οὐδὲ τὸ ἅγιον αὐτοῦ Πνεῦμα, τὸ τὸν[3] B Μονογενῆ ἀπαθῆ ὄντα ἐν σαρκὶ παθεῖν· καὶ τὸ ἅγιον αὐτοῦ Πνεῦμα ἐν εἴδει περιστερᾶς, καὶ τὸ τὸν Πατέρα φθογγὴν εἰς ἀκοὴν ἀνθρώπων ἀπορρῆξαι ἄνωθεν ἀπαθῶς· ὥσπερ οὐ μεταβολὴν, καὶ πάθος περιεποιήσαντο οἱ κτισθέντες ἄγγελοι, καὶ οὐρανοὶ, καὶ ἡ γῆ, καὶ τὰ πάντα τῷ αὐτὰ πεποιηκότι. Ἀλλὰ τὸ πᾶν ἐστιν ἔκπληκτον μυστήριον, κατὰ τὸ εἰρημένον· *Ὦ βάθος πλούτου, καὶ σοφίας, καὶ τῆς γνώσεως Θεοῦ !*

AETII CAPUT XXIII.

Si genitæ substantiæ causa sit ingenita, ingenitum vero, quod principium dicitur, nihil omnino sit, quomodo potest id quod nihil est, ejus, quod productum est, esse principium ?

970 *Confutatio XXIII.*

Ingenita substantia non eodem, quo ad cætera omnia comparata modo, sed alio quodam sensu dicitur, cum ad unicam sobolem refertur, vel ad Spiritum sanctum, qui ab ipsa progreditur ; neque vero principium est ejusmodi, quale est quod exsistit cum nondum exsistente comparatum. Quippe non ex nihilo genitus est Filius, neque non exsistens est, qui genuit, vel qui ab ipso procedit Spiritus sanctus ; cæterorum vero causa est exsistens ipsum. Quapropter suapte gloria ac splendore prædita semper est sacrosancta Trinitas, quæ dignitatis suæ appellationi cuique consentanee semper exsistit. Nam per ipsam, et non extra, quæ facta sunt, cum non essent, producta sunt. Ideo neque solus per sese Pater causa est conditarum rerum, sed Pater, et Filius, et Spiritus sanctus procreavit omnia. Quod si alienus esset Filius, atque a principio suo nondum exsistens originem habuisset, cum cæteris omnibus ab eo profectus æqualis esset omnibus : unde et Deus non generando, sed procreando principium haberetur, fierique non posset amplius, ut unus genitus, ac Filius, cætera vero creaturæ dicerentur ; sed vel omnia ge-

[1] Matth. xvii, 5. [2] Rom. xi, 33. [3] F. τῷ τόν.

ΚΕΦΑΛΑΙΟΝ ΑΕΤΙΟΥ ΚΓ'.

C Εἰ τῆς γενομένης ἡ ἀγέννητος φύσις ἐστὶν αἰτία, τὸ δὲ ἀγέννητον μηδὲν εἴη, πῶς ἂν εἴη αἴτιον τὸ μηδὲν τοῦ γεγονότος ;

Ανατροπὴ ΚΓ'.

Ἔστι μὲν οὖν καθ' ἑτέραν διάνοιαν, ἀλλ' οὐ κατὰ τὴν ἴσην πρὸς πάντα ἡ ἀγέννητος φύσις, πρὸς τὸ μονογενὲς γέννημα, καὶ πρὸς τὸ ἐξ αὐτῆς ἅγιον Πνεῦμα· οὐκ αἴτιον δὲ, ὡς τὸ ὑπάρχον πρὸς τὸ μὴ ὄν. Ἔστι γὰρ οὐκ ἐξ οὐκ ὄντων ὁ γεννηθεὶς, οὐδὲ μὴ ὢν ἐστιν ὁ γεννήσας, οὐδὲ τὸ ἐξ αὐτοῦ ἅγιον Πνεῦμα· τῶν δὲ ἄλλων ἐστὶν αἴτιον τὸ ὄν. Διὸ σύνεστι τῇ ἰδίᾳ ἀεὶ δόξῃ ἡ ἁγία Τριὰς, ἀεὶ οὖσα ἀναλόγως ἑκάστῳ ὀνόματι τοῦ αὐτῆς ἀξιώματος. Δι' αὐτῆς γὰρ, καὶ οὐκ ἐκτὸς, τὰ γεγονότα γεγόνασιν οὐκ ὄντα. Διόπερ οὐδὲ καθ' ἑαυτὸν ὁ Πατὴρ αἴτιος τῶν γεγονότων ἐστὶν, ἀλλὰ Πατὴρ, καὶ Υἱὸς, καὶ ἅγιον Πνεῦμα ἐποίησε τὰ πάντα. Εἰ δὲ ἦν ἀλλότριος ὁ Υἱὸς, ὡς ἀπὸ αἰτίου οὐκ ὢν, προελθὼν ἂν μετὰ πάντων, καὶ αὐτὸς ἴσος ἐγένετο. Καὶ αἴτιος ἦν ὁ Θεὸς οὐκέτι γεννητικῶς ἀχθέντος, ἀλλὰ κτιστικῶς· καὶ οὐκέτι ἐνεδέχετο τὸν ἕνα λέγεσθαι γέννημα, τὰ δ' ἄλλα κτίσματα, ἀλλ' ἢ τὰ πάντα σὺν αὐτῷ γεννήματα λέγεσθαι, ἢ αὐτὸν σὺν πᾶσι κτίσμα ὁμοίως καλεῖσθαι· καὶ οὐδὲν ἦν ἐξαίρετον, ἐξισουμένου τοῦ ἑνὸς τοῖς πᾶσι κατὰ τὸ μέρος τὸ ἐξ οὐκ ὄντων· οὐ μόνον εἴποιμι ἀγγέλους, τῷ αὐτῶν δὲ ποιητῇ καὶ κτίστῃ μονογενεῖ, ἀλλὰ καὶ ἀνθρώπους, καὶ κτήνη, καὶ

Digitized by Google

ὅσα ἀπειρομεγέθως ἀποδέει τῆς ἐκείνου φύσεως καὶ ἀξιώματος. Ἔστιν ὁ ὢν σὺν τῷ ὄντι ἐξ αὐτοῦ ἀχρόνως ὄντως γεγεννημένος, οὐκ ἐξ οὐκ ὄντων, ἀλλ' ἐξ αὐτοῦ· καὶ ἔστι τὸ ἅγιον αὐτοῦ Πνεῦμα, τὸ οὐκ ἀλλότριον τῆς αὐτοῦ οὐσίας, οὐδὲ ὡς ἐπὶ βοηθείᾳ, κατὰ τὸν Ἀετίου λόγον, Θεῷ προσπεπορισμένον.

A niti nomine continerentur, vel Filius ipse perinde ac cætera creatura diceretur : neque quidquam in eo esset eximium, cum hac ex parte, quod ex nihilo productus foret, unus ille cum cæteris adæquaretur omnibus : adeo ut non modo angeli cum conditore ac creatore suo unico Dei Filio, sed et homines et pecudes adæquentur, ac cætera, quæ ab illius natura ac dignitate infinito intervallo distant. Igitur Filius exsistens cum exsistente Patre æternus est, ab eoque sine tempore, non e nihilo, sed ex ipso revera genitus, estque Spiritus ejus sanctus ab illius natura non alienus; neque velut adjumenti gratia, ut Aetius existimat, a Deo comparatus.

ΚΕΦΑΛΑΙΟΝ ΑΕΤΙΟΥ ΚΔ'.

Εἰ τὸ ἀγέννητον στέρησις, ἡ δὲ στέρησις ἕξεως ἀποβολή ἐστιν, ἡ δὲ ἀποβολὴ παντελῶς ἀπόλλυται, ἢ μεθίσταται ἐφ' ἕτερον· πῶς οἷόν τε ἕξει μεθισταμένῃ ἢ ἀπολλυμένῃ, κατονομάζεσθαι τὴν οὐσίαν τοῦ Θεοῦ ἀγεννήτῳ προσηγορίᾳ;

B

AETII CAPUT XXIV.

Si ingenitum privatio quædam est : est autem privatio affectionis amissio ; amissio porro penitus e medio tollitur, aut in alterum commutatur, quonam pacto affectione illa transeunte aut pereunte, hoc est ingeniti appellatione, Dei substantia cognominabitur?

Ἀνατροπὴ ΚΔ'.

Εἰ ἀπὸ σοῦ καὶ δεῦρο, Ἀέτιε, ἡ περὶ Θεοῦ δόξα ἀπὸ τῶν σῶν συλλογισμῶν εἰς δόξαν Θεῷ πεπόρισται, κατὰ τοὺς ἀνωτάτω ὑπὸ σοῦ λεχθέντας λόγους, καὶ αὐτὸς πρὸς σὲ ἀποτεινόμενος, συγχωροῦντος τοῦ Θεοῦ, τὰ ἴσα σοι καὶ αὐτὸς προσφθέγξομαι· ὅτι μηδενὸς τῶν παλαιῶν ἔν τε τῇ Παλαιᾷ Διαθήκῃ καὶ ἐν τῇ Καινῇ ἁγίων ἀποστόλων ἢ προφητῶν τοῦτο περφρονηκότων, ἀμείνονά σε αὐτὸν καθιστᾷς καὶ αὐτοῦ τοῦ Θεοῦ καὶ ἀσφαλῆ. Ἀπὸ γὰρ σοῦ καὶ δεῦρο προσέλαβε τὸ Θεῖον, ὡς κατὰ τὸν σὸν λόγον, εἰς τὴν αὐτοῦ πίστιν τὴν συλλογιστικήν ταύτην σου τὴν τεχνολογίαν, τὸ περὶ ἀγεννήτου λέγειν στερήσεως, καὶ τὸ γεννητοῦ, καὶ παντελῶς ἀποβολῆς ἕξεως καὶ μεταβολῆς, καὶ περὶ Θεὸν κατονομασίας ἐν τῇ κατὰ τὸν Θεὸν οὐσίας προσηγορίᾳ. Οὔτε γὰρ διὰ τὸ τὸν Θεὸν εἶναι πάντων κτίστην τῶν μετὰ τὸν Μονογενῆ αὐτοῦ καὶ τὸ ἅγιον αὐτοῦ Πνεῦμα, διὰ τῆς τῶν κεκτισμένων συστάσεως τὸ στερητικὸν ἐφευρέθη τῶν οὐ προσόντων Θεῷ, ἢ τὸ ὁμολογητικὸν τῶν ὄντων αὐτῷ προσείληπται, ἵνα τὸ μετέπειτα κτισθὲν τὸ ἄμεινον Θεῷ προσφέρῃ, καὶ ἀκραιφνὲς, διὰ τοῦ ἀπ' ἐκείνου πρὸς ταῦτα στερητικοῦ καὶ ἀμεταβλήτου ἐπινοοῖτο [1]. Ἀλλ' ὅτι ἐστὶν ἀεὶ αὐτὸ ὂν ὅλον δόξα, καὶ ὅλον ἀπερίληπτον ὑπὸ πάντων τῶν ὑπ' αὐτοῦ κεκτισμένων, κατὰ τὸ μέτρον τῶν πρὸς τὴν δοξολογίαν ἐπεκτεινομένων, δοξολογούμενον παρ' ἀγγέλοις μὲν κατὰ τὴν ἀγγέλων γλῶσσαν, τὴν παρὰ τῷ Ἀποστόλῳ προκριτέαν τῶν ἀνθρώπων καταγγελλομένην [2], κατὰ τὴν τῶν ἀνθρώπων γλῶσσαν τὴν ὑποδεδηκυῖαν τῷ μέτρῳ καὶ κατὰ τὴν τῶν ἔτι ὑποδεδηκότων δύναμιν. Καὶ οὐ πάντως ἐν ἑκάστῳ κτίσματι ἀναλόγως ὑποδέδηκεν ἡ δοξολογία, ἢ μεταδέδληται· ἀλλ' ἔστι μὲν ἐν ἑαυτῇ ἀμετάβλητος, στερισκομένη [3] πάσης κτίσεως πρὸς τὸ ἄπειρον ἐπεκτείνεσθαι ἐν δοξολογίᾳ, ὑπερβαινούσης ἀεὶ πάντα νοῦν τῆς ἀνωτάτω οὐσίας, οὐ διὰ τῶν λεγομένων ὑπὸ πάντων ἐξεῖναι αὐτῇ, ἢ τροπὴν, ἢ μεταβολὴν, ἢ προκοπὴν περιποιουμένης. Ἡ γὰρ αὐτὴ θεότης ἀμείνων ἐστὶ, καὶ ἀσύγκριτος, καὶ δεδοξασμένη.

C

D

971 *Confutatio XXIV.*

Si nunc primum a te et a tuis, Aeti, temporibus certa de Deo opinio tuis ex syllogismis est ad ejusdem gloriam honoremque deprompta, quemadmodum antea professus es, ego vero, qui adversus te, Deo opitulante, disputo, eadem, quæ tu dicis, usurpare potero : cum antiquorum nemo tam in Vetere, quam in Novo Testamento, sive ex apostolis, sive ex prophetis ita senserit, tuo te judicio vel ipso Deo præstantiorem esse, et ab errore omni remotum. Etenim abs te primum, et ex hoc tempore Deus, ut asserere videris, tuum illud dialecticæ subtilitatis artificium, velut quamdam fidei suæ accessionem adjecit, utputa totam illam disputationem de ingeniti privatione, deque genito, ac de affectionis amissione perfecta, sive commutatione ac de appellatione Dei, quæ substantiæ ipsius tribuitur. Etenim non idcirco, quod Deus omnium post unicum Filium ac Spiritum sanctum procreator sit, ex conditarum rerum constitutione, aut eorum quæ absunt a Deo, privatio, aut eorum, quæ insunt affirmatio fuit adjuncta, quasi quod postea conditum est præstantius Deo quidquam conciliet, et purum quidpiam ac sincerum ex earum rerum, quibuscum confertur, privatione, et immutabili statu excogitatum fuerit. Sed nimirum id ex eo manavit, quod exsistens ipse totus gloria est, ac totus ejusmodi, ut ab creatis rebus omnibus comprehendi nequeat, quæ pro modulo suo ad ejus se prædicationem intendunt. Qui quidem ut ab angelis propria ipsorum lingua, quam Apostolus hominum linguis anteponit [4], celebratur ac laudibus effertur : ita et humana lingua colitur, quæ inferioris dignitatis est, ac denique etiam ab infimis quibusque rebus pro viribus cujusque prædicatur. Neque vero in singulis creaturis proportione quadam illius gloria prædicatioque minuitur, aut mutationem patitur, sed immutabilis est in sese, idque creatis est rebus omnibus denegatum, ut ad illius infinitatem prædicando possint extendi, cum suprema illa

[1] F. ἐπινοουμένου. [2] Decst παρὰ δὲ τῶν ἀνθρώπων. [3] Vet. περιεσχωμένη. [4] I Cor. XIII, 1.

Digitized by Google

substantia mentem omnem intelligentiamque superet. Quæ ob ea quæ ab omnibus ei tribuuntur, et inesse dicuntur, nullam propterea conversionem, mutationem aut incrementum experitur. Est enim divinitas ipsa longe omnibus præstantior, et incomparabilis, gloriæque plenissima.

972 AETII CAPUT XXV.

Si ingenitum privationem, quæ Deo non inest, significat, cur ingenitum esse, genitum vero non esse dicimus?

Confutatio XXV.

Ingenitum, etsi Deo revera conveniat, nusquam tamen expressum est; nec a propheta ullo, vel apostolo, vel evangelista commemoratum. Neque vero mirum esse deberet, si de Deo affirmatum illud esset. Siquidem pius de Deo sensus olim istud ipsum e naturali quadam lege hauserat. Tu vero, Aeti, vocabulum istud studio novitatis inculcans, velut mirificum quiddam, et inusitatum proposuisse te putas. Quin etiam religiosissimam naturæ legem, necnon et fidei, quam ad meliores homines reddendos divina bonitas indulsit, permiscere ac confundere conatus es, dum ingenito genitum majestate dignitateque par commentus es, ut ille ipse, quem dissimilem adoras, inæqualis ei videatur, quem dissimiliter prædicas. Jam vero, si appellatione sola Patrem adoras, nonnisi per simulationem, et illusionem honorem hunc illi defers: item, si Filium, quem Patri dissimilem agnoscis, adorandum censeas, summam adoratione illa tua perturbationem inducis, cum dissimilem eodem cum eo, cujus est dissimilis, honore afficis. Quodsi, quæ tui dogmatis perfidia est, Filium adorare te neges, statim te omnes redarguent, ut qui nequaquam illum agnoscas, quem adorare omnes et æqualem confiteri debent. Adorabunt enim eum omnes angeli Dei[1]. Eumdem Maria, cum in carne splendidissime resurrexisset[2], ac postremo discipuli omnes adorarunt. Huic enim facti creative appellationem minime convenire, utpote a Patre genito, non ignorant. Itaque exsistentem ab exsistente natum, necnon et Spiritum sanctum adorant. Norunt enim illum ab conditarum rerum natura discrepare. Quippe non factus est, aut creatus, sed a Patre genitus. Quamobrem cum plurimum æstuaveris, ac multum temporis consumpseris, Aeti, ac peregrinas, et inauditas voces invexeris, omnes coram illius tribunali sisti[3]. Ac tum omnis lingua confitebitur, quoniam Dominus Jesus Christus non alienus est a Deo, sed in gloria Dei Patris[4], quemadmodum tam Scriptura, quam catholica fides habet.

973 AETII CAPUT XXVI.

Si ingenitum nuda in Deo est appellatio, adeo ut supra creatarum rerum omnium conditionem sola pronuntiatio divinam substantiam extollat, consequens est hominum pronuntiationem omnipotentis Dei substantia præstantiorem videri; quæ quidem ipsam incomparabilis excellentia dignitatis exornet.

Confutatio XXVI.

Neque nudum in Deo nomen est ingenitum, ne-

A ΚΕΦΑΛΑΙΟΝ ΑΕΤΙΟΥ ΚΕ'.

Εἰ τὸ ἀγέννητον δηλοῖ στέρησιν μὴ πρισοῦσαν Θεῷ, πῶς ἀγέννητον εἶναι λέγομεν, γεννητὸν δὲ μὴ εἶναι;

Ἀνατροπὴ ΚΕ'.

Ἀγέννητόν ἐστι μὲν οὖν, ἐῤῥέθη δὲ οὐδαμοῦ, οὐκ ἀπὸ τοῦ προφήτου, οὐκ ἀπὸ ἀποστόλου, οὐκ ἀπὸ εὐαγγελιστοῦ. Θαῦμα γὰρ οὐδὲ ἐν τοῦτο ἦν περὶ Θεοῦ λέγειν. Προσῆν γὰρ τῷ εὐσεβεῖ λογισμῷ ὑπ' αὐτοῦ τοῦ κατὰ τὴν φύσιν νόμου. Σὺ δὲ, Ἀέτιε, τοῦτο ἡμῖν καινοτομήσας, λέγειν, ὡς θαῦμα προσεισφέρειν σεαυτῷ νομίζεις. Συνέφυρας δὲ καὶ συνέμιξας τῷ εὐσεβεῖ τῆς φύσεως νόμῳ, καὶ τῷ τῆς πίστεως θεσμῷ, τῷ ἐπὶ προσθήκῃ βελτιώσεως ἐκ Θεοῦ κεχαρισμένῳ, τὸ τῷ ἀγεννήτῳ γεννητὸν ἐπινοῆσαι ἐξισούμενος[5] B τῷ ἀξιώματι, ἵνα ὁ παρὰ σοὶ προσκυνούμενος ἀνόμοιος ἴσος εὑρεθείη τῷ κατὰ σὲ ἀνομοίως κηρυττομένῳ. Εἰ μὲν οὖν προσκυνήσειας τὸν Πατέρα ψιλῇ ὀνομασίᾳ, εἰρωνείᾳ τὴν τιμὴν προσήνεγκας· καὶ εἰ τὸν Υἱὸν προσκυνήσειας, ἀνόμοιον Πατρὶ ἐπιγινώσκων, σύγχυσιν εἰργάσω ἐν τῇ προσκυνήσει, ἀνόμοιον ἀνομοίου ἴσως τιμήσας· εἰ δὲ διὰ τὴν σοῦ πρόληψιν τῆς ἀπιστίας ἀρνήσει προσκυνεῖν Υἱῷ, ἐλεγχθήσῃ ὑπὸ πάντων, οὐκ ἐπιγνοὺς τὸν ὀφειλομένως ὑπὸ πάντων προσκυνούμενον καὶ ἴσον· προσκυνήσουσι γὰρ αὐτῷ πάντες ἄγγελοι Θεοῦ. Καὶ προσεκύνησεν αὐτῷ Μαρία ἐνδόξως ἀναστάντι ἐν σαρκὶ, καὶ πάντες οἱ αὐτοῦ μαθηταί. Οὐ γὰρ ἔχει[6] γεννητοῦ ὀνομασίαν, οὔτε κτιστοῦ, ἐκ Πατρὸς γεγεννημένον, ἴσασι, καὶ προσκυνοῦσιν ὄντα ἐξ ὄντος, καὶ τὸ ἐξ C αὐτοῦ ἅγιον Πνεῦμα. Οἴδασι γὰρ αὐτὸν ἀλλότριον τῇ οὐσίᾳ ἀπὸ τῶν γεγονότων. Οὐ γάρ ἐστι γεννητὸς ἢ κτιστὸς, ἀλλὰ γεννητὸς ἐκ Πατρός. Διὸ περὶ πάντα καμὼν, καὶ πολλοὺς χρόνους ἀναλώσας, Ἀέτιε, καὶ λόγους ξένους παρεισενέγκας προσκυνήσεις αὐτῷ. Δεῖ γὰρ πάντας στῆναι ἐνώπιον τοῦ βήματος αὐτοῦ, καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι Κύριος Ἰησοῦς Χριστὸς, ὁ οὐκ ἀλλότριος Θεοῦ ὤν, ἀλλὰ εἰς δόξαν Θεοῦ Πατρὸς, κατὰ τὸ γεγραμμένον καὶ πεπιστευμένον.

D ΚΕΦΑΛΑΙΟΝ ΑΕΤΙΟΥ ΚΣ'.

Εἰ ψιλὸν ὄνομά ἐστιν ἐπὶ Θεοῦ τὸ ἀγέννητον, ἡ δὲ ψιλὴ προφορὰ τὴν ὑπόστασιν τοῦ Θεοῦ ἐπαίρει κατὰ πάντων γεννητῶν· τιμιωτέρα ἄρα ἐστὶν ἡ ἀνθρώπων προφορὰ τοῦ παντοκράτορος, ὑποστάσεως ἀσυγκρίτῳ ὑπεροχῇ καλλωπίσασα Θεὸν τὸν παντοκράτορα.

Ἀνατροπὴ ΚΣ'.

Οὔτε ψιλὸν ὄνομα ἐπὶ Θεοῦ ἐστι τὸ ἀγέννητον, οὔτε

[1] Deut. xxxii, 43 juxt. LXX; Psal. xcvi, 7; Hebr. i, 6. [2] Matth. xxviii, 1 sqq. [3] II Cor. v, 10. [4] Philipp. ii, 11. [5] F. ἐξισούμενον. [6] F. ἔχειν γεννητοῦ.

Digitized by Google

τοῖς κτιστοῖς κατὰ τὴν οὐσίαν ἐπικοινωνοῦν. Διὸ οὔτε τὰ κτίσματα ψιλῆς ὀνομασίας ἐστὶ σημαντικά. Μέσον δὲ ἀγεννήτου καὶ κτιστοῦ ἄλλου ὀνόματος ἐπιζητουμένου, ὅπερ ἐστὶν Υἱὸς, καὶ οὐ κτιστὸς, τίνι ἂν τὸ ἐξαίρετον ἀποδοτέον; Καὶ εἰ μὲν τοῖς κεκτισμένοις τὸ ἐπικοινωνοῦν δῶμεν, οὐδοποτέρου τῶν λεγομένων ψιλῆς ὀνομασίας ὀνομαζομένου, ὡς ἐπὶ τοῦ ἀγεννήτου καὶ κτίζοντος, καὶ κτιστῶν γεγονότων, ὡς οὐ ψιλῆς ἐνδεχομένης ὀνομασίας· οὕτως ἐπὶ τοῦ γεννητοῦ καὶ Υἱοῦ, μὴ ψιλῆς ἐνδεχομένης ὀνομασίας, τὸ μάτην συκοφαντούμενον σύγχυσιν δηλώσει παρὰ τῷ Ἀετίῳ συλλογιζόμενον, διὰ τὸ μὴ συνεξισοῦσθαι τῷ Υἱοῦ ὀνόματι, τῆς κτιστῆς ἐν ἀληθείᾳ οὐσίας, καὶ οὐ ψιλῆς ὀνομασίας· ἐπειδήπερ οὐ ψιλὴν ἐπιδέχεται καὶ αὐτὸς ὁ Υἱὸς τὴν περὶ Υἱοῦ ὀνομασίαν. Οὐκ ὄντος δὲ ἀνυπάρκτου, οὔτε κατὰ ψιλὴν ὀνομασίαν λεγομένου τοῦ Υἱοῦ μονογενοῦς, καὶ τοῦ ἁγίου Πνεύματος, τῇ τοῦ Πατρὸς συνῆπται δόξῃ, καὶ οὐ συγκέχυται τῇ τῶν κτισμάτων ὀνομασίᾳ. Οὔτε γὰρ ἐπάρσεως δεῖται ἡ θεότης ὡς μὴ οὖσα, οὔτε ὕψους ἐστὶν ἐνδεομένη, κἂν τε παρά τινων τῶν ἐν ἀγνοίᾳ ὄντων μὴ ὑψοῖτο, οὔτε διὰ τῆς τινων προφορᾶς ἡ θεότητος οὐσία συνίσταται. Οὔτε γὰρ καυχήσεται ἡ τῶν ἀνθρώπων ἢ ἄλλων προφορὰ, ὡς Θεῷ ἐνδεεῖ δόξαν περιποιουμένη, ἢ καλλωπίζουσα Θεὸν παντοκράτορα, Θεὸν προσκυνητὸν, Θεὸν ἐπίσταται [1], καὶ κτίστην, καὶ δημιουργὸν ἴδιον. Οὔτε γὰρ ἑαυτὴν ὑπερένδοξον ἡγεῖται, καὶ κοσμήτριαν τοῦ ἰδίου αὐτῆς δημιουργοῦ· ἐπεὶ ἂν ἑαυτὴν προσκυνητὴν ἡγήσαιτο, οὐ μὴν προσκυνοῦσα τὸν προσκυνούμενον. Καὶ μάτην κατὰ πάντων λόγον κινεῖ ὁ σὸς λόγος, Ἀέτιε.

enim, opinor, tam exquisito se splendore præditam posse. Alioqui semetipsam adorandam esse crederet, adversus omnes tua, o Aeti, contendit oratio.

A que cum creatis rebus naturæ communionem habet. Quare neque naturæ nudam appellationem significant. Jam vero cum inter ingenitum ac creatum medium aliquod vocabulum quæratur, hoc est Filius, minimeque creatus, cuinam eximium illud potissimum tribuendum est? Ac si quidem creaturis commune cum Filio illud ascribamus, cum neutrum vocabulum sola ac nuda appellatione constet; et quemadmodum ingenitus, et creator, et creaturæ non voces meræ sunt, ita genitus, et Filius aliquid præter nomen habeat, nimirum quod per summam calumniam ratiocinando colligit Aetius, mirificam perturbationem et confusionem pariet, quandoquidem cum Filii nomine creaturæ, quæ revera, non appellatione tenus ejusmodi esse dicuntur, adæquari minime possunt; nam et Filius ipse, cum Filius dicitur, non meram id, ac solam appellationem præ se ferre putandum est. Quocirca cum unicus Dei Filius, ut et Spiritus sanctus, neque reapse non exsistat, neque nuda appellatione dicatur, cum Patris gloria conjunctus est, neque cum creatarum rerum appellatione confusus. Nam divinitas neque efferri sese postulat, quasi non sit, neque sublimitatem requirit, licet ab ignaris quibusdam prædicando non attollatur; neque ullius hominis pronuntiatione divinitatis substantia constat. Non enim hominum cæterorumve prolatio gloriari poterit Deo se, velut indigenti, gloriam decusque tribuisse, aut eidem omnipotenti, adorandoque Deo ornamenti aliquid attulisse: quem quidem Deum, et creatorem conditoremque suum agnoscit. Non existimat, ut etiam conditorem suum exornare possit, non cum, quem adorat, veneraretur. Quare frustra

ΚΕΦΑΛΑΙΟΝ ΑΕΤΙΟΥ ΚΖ'.

Εἰ παντὶ γεννητῷ αἰτία συγκεκλήρωται, ἀναίτιος δὲ ἡ ἀγέννητος φύσις· οὐκ αἰτίαν δηλοῖ τὸ ἀγέννητον, ἀλλὰ ὑπόστασιν σημαίνει.

974 AETII CAPUT XXVII.

Si cum eo omni quod genitum est, implicata ex conjuncta causæ notio est, ingenita vero natura causa caret, cum ingenitum dicimus, non causam aliquam, sed substantiam exprimimus.

Ἀνατροπὴ ΚΖ'.

Καὶ παντὶ γεννητῷ αἰτία συγκεκλήρωται, καὶ οὐχ ὁμολογοῦμεν τοῦτο, ὡς ἀπὸ σοῦ μεμαθηκότες. Προορᾷ γὰρ ἡ πίστις τῆς ἀληθείας τοῦτο, καὶ προομολογεῖ, καὶ διδάσκει, ὅτι Θεός ἐστιν ὁ ἀναίτιος πάσης αἰτίας, καὶ ἀμιγὴς, καὶ ἀνυπεύθυνος πάσης ἰσότητος. Διὰ τοῦτο γὰρ καὶ αὐτοὶ οὐ προσκυνοῦμεν πᾶν τὸ ὑποβεβηκὸς τὴν αὐτοῦ τοῦ Θεοῦ οὐσίαν, διὰ τὸ μόνῳ πρέπειν τῷ ἀνυπευθύνῳ τὸ σέβας νέμειν, Πατρὶ τῷ ἀγεννήτῳ, καὶ Υἱῷ τῷ ἐξ αὐτοῦ, καὶ ἁγίῳ Πνεύματι, τῷ ἀπ' αὐτοῦ καὶ διὰ τοῦ Μονογενοῦς. Ἐπειδὴ οὐδὲν ἐν τῇ Τριάδι κτιστὸν, καὶ ὑπὸ αἰτίαν ἐμπίπτον ἐστίν. Οὐ γὰρ ἐξ οὐκ ὄντων τί ἐστιν ἐν τῇ Τριάδι, ὡς καὶ τὰ ἄλλα τὰ ὑπὸ αἰτίαν πεπτωκότα, καὶ αἰτίαν κεκληρωμένα. Διὸ ἀναιτία οὖσα τῆς τοιαύτης αἰτίας ἡ Τριὰς, μόνην ἑαυτὴν ἁπλανῶς ἐδίδαξε προσκυνεῖσθαι· ἐπειδὴ μόνη αὕτη ἀναίτιός ἐστι· τὰ δὲ πάντα ὑπὸ αἰτίαν περιπέπτωκε. Τὰ μὲν γάρ ἐστι γεγονότα καὶ κεκτι-

Confutatio XXVII.

Quod cum omni genito implicatam esse causæ notionem asserris, verissimum quidem est, sed non istud, quasi a te didicerimus, profitemur. Hoc enim vera ipsa fides jamdudum præsenserat, et professa fuerat, ac docuerat Deum causæ esse omnis expertem, nec ulla re permistum, nec ad ullius rei æqualitatem posse demitti. Nam propterea nihil adorandum putamus, quod divina ipsa natura sit inferius: quippe cum ei soli, qui nulli subjectus est, sit ille cultus adhibendus, Patri videlicet ingenito, et Filio, qui ab ipso genitus est, et Spiritui sancto, qui ab eodem per Unigenitum productus est. Quandoquidem nihil in Trinitate creatum, nihil causæ ulli est obnoxium; non enim aliquid in illa est e nihilo productum, velut cætera, quæ causam aliquam sortita, causæque subjecta sunt. Quocirca cum ejusmodi causam nullam Trinitas habeat, se-

[1] F. ἐπιστάτην.

Digitized by Google

metipsam solam sine ullo errore adorandam docuit, quoniam sola causæ omnis est expers, reliqua vero omnia a certa causa proficiscuntur; hæc enim facta procreataque sunt, Pater increatus, Filium habens a se genitum, non creatum, et sanctum Spiritum a se procedentem, non factum. Quæ cum ita sese habeant, neque affectio ulla in adorandum Filium, vel Spiritum sanctum redundet a causa, etiamsi genitorem Filius habeat Patrem, neque creatæ cæteræ res affectionis expertes sunt, quæ ex causæ sortitione oritur, cum sint a Patre, Filio et Spiritu sancto procreatæ. At Unigenitus nihil ex istiusmodi causæ attributione patitur, neque Spiritus sanctus, quemadmodum neque Pater ipse; propterea quod Filius genita soboles est, non creatura. Quare nullam ex eo quod genitus est, affectionem causæ sortitur Filius; nec Spiritus sanctus, cum a Patre procedat. Etenim Pater ex eo, quod genuit, aut emisit e se ipso, cætera vero post Filium ac Spiritum sanctum creavit, affectioni ulli causæ subjectus **975** est, quanquam alia omnia in creando generandove patiantur aliquid. Quapropter Pater, Filius et Spiritus sanctus causam habent nullam. Omnium vero causa est ipsa Trinitas, quæ omnia ista simul creat, ac molitur, nihilque in sese creatum aut fabricatum agnoscit.

σμένα, Πατὴρ δὲ ἄκτιστος, Υἱὸν ἔχων ἐξ αὐτοῦ γεγεννημένον, ἀλλ' οὐ κτιστόν, καὶ ἅγιον Πνεῦμα ἐξ αὐτοῦ ἐκπορευόμενον, καὶ οὐ δεδημιουργημένον. Τούτων δὲ οὕτως ἐχόντων, οὔτε πάθος κεκλήρωται αἰτίου ὁ προσκυνούμενος Υἱὸς, καὶ τὸ ἅγιον Πνεῦμα, κἂν Πατέρα ἔχοι τὸν γεννήτορα, οὔτε τὰ λοιπὰ κτίσματα ἄνευ πάθους εἴη κληρώσεως αἰτία [1], ἀπὸ Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος κεκτισμένα. Σαφῶς δὲ ἄνευ πάθους εἴη ὁ Μονογενὴς κληρώσεως αἰτίας, καὶ τὸ ἅγιον αὐτοῦ Πνεῦμα, ὡς καὶ ὁ Πατὴρ, ὅτι Υἱός ἐστι γέννημα, καὶ οὐ κτίσμα. Καὶ οὐκ ἀπὸ τοῦ γεγεννῆσθαι αἰτία [2] πάθους κληρωθήσεται ὁ Υἱός· οὐδὲ τὸ Πνεῦμα, ἐπειδὴ ἐκ Πατρὸς ἐκπορεύεται, οὔτε γὰρ ὁ Πατὴρ, ἐπειδὴ ἐγέννησε, καὶ ἐξ ἑαυτοῦ ἐξήγαγε, τὰ δ' ἄλλα μετὰ Υἱὸν καὶ Πνεῦμα ἔκτισεν, ὑπὸ πάθος αἰτίας εὑρίσκεται, καίτοι γε τῶν ἄλλων πάντων ἐν τῷ κτίζειν ἢ γεννᾷν πάθει συνεχομένων. Ἀναίτιος γοῦν ὁ Πατὴρ, καὶ ὁ Υἱὸς, καὶ τὸ ἅγιον Πνεῦμα· αἰτία δέ ἐστιν ἡ Τριὰς τῶν ἁπάντων, συγκτίζουσα, καὶ συνδημιουργοῦσα, μηδὲν ἐν αὐτῇ κτιστὸν ἢ δεδημιουργημένον γινώσκουσα.

AETII CAPUT XXVIII.

Si quidquid productum est, ab altero productum est, ingenita vero hypostasis nec a se ipsa, nec ab alia producta est, ingeniti vocabulo substantia ipsa significetur oportet.

Confutatio XXVIII.

Rursum nobis istud Aetius, tanquam novum aliquid et inauditum, objicit, ut dialecticæ istius subtilitatis auctor esse videatur. Quare supervacanee illud unum inculeat, quod in controversiam minime revocatur; neque veritati repugnat, et perpetua Ecclesiæ catholicæ professione tenetur. Quidquid ergo factum est, ab altero factum sit oportet; at ingenita hypostasis neque a seipsa, neque ab alia, quamvis ingeniti nomine substantiam significari necesse sit. Quid enim magis illo necessarium esse potest? Nam hoc substantiæ vocabulum, quod Anomœi et Ariani in ore semper habent, callide ac veteratorie usurpavit Aetius, et ab ipsa coactus veritate confessus est. Itaque cum ingeniti ratio ipsa substantia sit, eademque e seipsa, non e nihilo, sine ulla inquinatione ac passione Unigenitum genuerit, nullo neque tempore, nec initio, Spiritum vero sanctum emiserit e seipsa, non e nihilo produxerit: manifestum est in sancta ac catholica Ecclesia consubstantialem Trinitatem rite prædicari. Quo quidem nomine creata nulla res comprehendi potest, eo quod neque natura, neque cultu, ac veneratione potest aliquid Unigenito, aut Spiritui sancto esse simile. Cætera enim e nihilo creata, nec adoratione prosequenda sunt; Trinitas vero sempiterna. Pater perfectus, Pater est; Filius perfectus, Filius a Patre genitus; Spiritus sanctus, Spiritus perfectus

[1] F. αἰτίας. [2] F. αἰτίαν.

ΑΕΤΙΟΥ ΚΕΦΑΛΑΙΟΝ ΚΗ'.

Εἰ πᾶν τὸ γεγονὸς ὑφ' ἑτέρου γέγονεν, ἡ δὲ ἀγέννητος ὑπόστασις οὔτε ὑφ' ἑαυτῆς, οὔτε ὑφ' ἑτέρας γέγονεν· ἀνάγκη οὐσίαν δηλοῦν τὸ ἀγέννητον.

Ἀνατροπὴ ΚΗ'.

Καὶ τοῦτο πάλιν Ἀέτιος ἥκει φέρων ἡμῖν, ὡς καινόν τι καὶ πρόσφατον ὑφηγούμενος, ἵνα φανῇ διαλεκτικῆς ἐφευρετὴς εἶναι συλλογιστίας ἐκ περισσοῦ, [οὐ] μόνον [3] αὐτὸ τοῦτο δηλῶν, ὅπερ οὐδὲ ἀμφιβάλλεται, οὔτε κατὰ τῆς ἀληθείας, τὸ ἀεὶ ἐν αὐτῷ ἐν τῇ καθολικῇ Ἐκκλησίᾳ ὁμολογούμενον ἐνυπάρχει. Πᾶν γὰρ τὸ γεγονὸς ὑφ' ἑτέρου γίνεται. Ἡ δὲ ἀγέννητος ὑπόστασις οὔτε ὑφ' ἑαυτῆς, οὔτε ὑφ' ἑτέρας γέγονεν· εἰ καὶ ἀνάγκη οὐσίαν δηλοῦν τὸ ἀγέννητον. Καὶ τί τούτου ἀναγκαιότερον; Ὅπερ γὰρ ἀεὶ παρ' αὐτοῖς τοῖς τε Ἀνομοίοις, καὶ Ἀρειανοῖς τὸ τῆς οὐσίας ὄνομα παλιμβόλως ἐξελάθετο Ἀέτιος, σαφῶς ἀναγκαζόμενος ὑπὸ τῆς ἀληθείας ὡμολόγησεν. Οὐσίας τοίνυν οὔσης τῆς ἀγεννησίας, ἐξ αὐτῆς δὲ, καὶ οὐκ ἐξ οὐκ ὄντων ἀχράντως καὶ ἀπαθῶς γεννησάσης τὸν Μονογενῆ ἀχρόνως καὶ ἀνάρχως, καὶ ἐξ αὐτῆς ἐξαγαγούσης τὸ ἅγιον Πνεῦμα, καὶ οὐκ ἐξ οὐκ ὄντων, σαφῶς ἐν τῇ ἁγίᾳ καθολικῇ Ἐκκλησίᾳ ὀρθοδόξως ὁμοούσιος ἡ Τριὰς κηρύττεται, μηδενὸς τῶν κεκτισμένων δυναμένου τῷ ὀνόματι τούτῳ καλεῖσθαι, διὰ τὸ μηδὲ κατὰ φύσιν εἶναί τι ὅμοιον τῷ Μονογενεῖ καὶ τῷ ἁγίῳ Πνεύματι, μήτε κατὰ τὸ σέβας. Τὰ μὲν γάρ ἐστιν ἐξ οὐκ ὄντων κεκτισμένα, καὶ οὐ προσκυνητά· ἡ δὲ Τριὰς ἀεὶ ἔστιν· ὁ Πατὴρ Πατὴρ τέλειος, καὶ ὁ Υἱὸς Υἱὸς τέλειος ἐκ Πατρὸς γεννηθεὶς, καὶ τὸ Πνεῦμα τὸ ἅγιον Πνεῦμα τέλειον *ἐκ Πατρὸς προελθὸν καὶ τοῦ Υἱοῦ λαμβάνον*. Καὶ πάντα ἡμῖν φωτεινὰ τὰ τῆς

[3] Lego ἐκ περισσοῦ μόνον.

Digitized by Google

θείας Γραφῆς, καὶ τὰ τῆς ἁγίας πίστεως, καὶ οὐδὲν A σκολιὸν, ἢ ἐναντίον, ἢ στραγγαλιῶδες.

a Patre procedens[1], *et a Filio accipiens*[2]. Ita Scriptura omnis sacra, et catholica fides clarissima nobis est; neque quidquam inest obliquum, aut contrarium, aut denique tortuosum.

ΑΕΤΙΟΥ ΚΕΦΑΛΑΙΟΝ ΚΘ'.

Εἰ τῇ τοῦ γεννήματος οὐσίᾳ συνεμφαίνεται ὡς αἰτία ἡ ἀγέννητος ὑπόστασις, κατὰ πάσης αἰτίας τὸ ἀπαράλλακτον ἔχουσα, αὐτοουσία ἐστὶν ἀσύγκριτος, οὐκ ἔξωθεν συνυφαίνουσα τὸ ἀπρόσιτον· αὐτὸ δὲ ὑπάρχουσα ἀσύγκριτος, καὶ ἀπρόσιτος, ἐπειδὴ καὶ ἀγέννητος.

AETII CAPUT XXIX.

Si ingeniti substantia, tanquam causa, ingenita hypostasis declaratur, quæ præ omni causarum genere immutabilitate sit prædita, eadem per sese substantia incomparabilis est, non velut extrinsecus ascitam qualitatem illam præ se ferens, nihil ut ad ipsam possit accedere; sed id ex sese habens, uti nihil cum ipsa conferri, aut ad eam accedere possit. Unde et per semet est ingenita.

Ἀνατροπὴ ΚΘ'.

Πολλάκις κατὰ τῶν αὐτῶν Ἀέτιος φέρεται, ὥσπερ καὶ αὐτὸς πολλάκις ἔφην, εἰς κάματον μόνον ἡμᾶς B φέρων, καὶ οὐδὲν περισσότερον. Διὸ καὶ ἐν τῷ παρόντι ἀνάγκην ἔσχομεν τῷ καμάτῳ προσθεῖναι, καὶ τὰ αὐτὰ τοῖς αὐτοῖς δευτερολογεῖν· ἐπειδήπερ καὶ αὐτῷ οὕτως ἔδοξεν. Εἰ γὰρ καὶ τῇ γεννήματος οὐσίᾳ συνεμφαίνεται ἡ ἀγέννητος γεννήσασα, οὐδὲν διοίσει τοῦ ἀξιώματος τοῦ γεννᾶν[1] ὁ γεννήτωρ τὸ γεγεννημένον. Ἐξ αὐτοῦ γὰρ ἐγέννησεν οὐσιωδῶς Πνεῦμα ἐκ Πνεύματος, καὶ οὐ σῶμα ἐκ σώματος. Διὸ ἀσυγκρίτως συνεμφαίνεται συμπρέπων ὁ γεννήτωρ τῷ γεγεννημένῳ, καὶ ὁ γεγεννημένος τῷ γεγεννηκότι. Οὔτε γὰρ προσθήκης δεῖται τὸ Θεῖον, ἵνα ποτὲ Πατὴρ κληθείη, ποτὲ δὲ οὔ· οὔτε ὁ Υἱὸς εὑρεθήσεται ἐκ τοῦ ἄνωθεν συνδέσμου, ποτὲ μὴ ὢν, ἄρτι δὲ ὤν. Διὸ αὐτοουσία ἐστὶν ὁ Θεὸς Πατὴρ, καὶ ὁ Υἱὸς, καὶ ἅγιον C Πνεῦμα, καὶ οὐχ ἑτεροουσία. Οὔτε γάρ ἐστι συνάδελφος, οὔτε ἐστὶν ἐπιγεννητὸς, ἀλλὰ ἀνεκδιηγήτως συμπρέποντος τοῦ Πατὴρ ὀνόματος ὁμοουσίῳ ὄντι τῷ Υἱῷ, καὶ συμπρέποντος[2] τῷ Πατρὶ καὶ Υἱῷ, τὸ ἐξ αὐτοῦ, δι' αὐτοῦ, καὶ τῶν αὐτοῦ, τὸ ἅγιον αὐτοῦ Πνεῦμα. Διὸ τὸ ἀπρόσιτόν ἐστιν ἐν Πατρὶ, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι, πρὸς ἅπαντα, ὅσα ἐστὶν ὑποβεβηκότα ὄντα, καὶ ἐξ αὐτῆς τῆς Τριάδος κτισθέντα. Ἡ δὲ Τριὰς πρὸς ἑαυτὴν οὐκ ἀπρόσιτος. Ἔστι γὰρ ἄκτιστος, καὶ ἀγέννητος, καὶ ἀσύγκριτος. Διὸ οὐ δύναται οὐδὲν ἐξισοῦσθαι Πατρὶ· οὐ συμπροσκυνεῖται αὐτῷ τι τῶν ἐξ οὐκ ὄντων γεγονότων, καὶ οὐχὶ γεγεννημένων. Οὐδενὶ γὰρ τῶν γεγονότων εἶπέ ποτε· *Κάθου ἐκ δεξιῶν μου.* Οὐδὲ μὲν ὁ Μονογενὴς περί τινος εἴρηκεν, ὅτι *Ὁ ὁρακὼς ἐμὲ ἑώρακε τὸν Πατέρα*· καὶ, *Ἐγὼ ἐν τῷ Πατρὶ, καὶ ὁ Πατὴρ ἐν ἐμοί*· καὶ, *Οὐδεὶς οἶδε τὸν Πατέρα, εἰ μὴ ὁ Υἱὸς, καὶ τὸν Υἱὸν, εἰ μὴ ὁ Πατὴρ, καὶ ᾧ ἐὰν ἀποκαλύψῃ.* Ἀποκαλύπτει δὲ διὰ Πνεύματος ἁγίου, τοῦ γινώσκοντος, καὶ διδάσκοντος, καὶ ἀπαγγέλλοντος ἐν κόσμῳ τὰ Υἱοῦ, ἐρευνῶντός τε καὶ τὰ βάθη τοῦ Θεοῦ. Διὰ τοῦτο γάρ φησιν· *Ὁ μὴ τιμῶν τὸν Υἱὸν, καθὼς τιμᾷ τὸν Πατέρα, ἡ ὀργὴ τοῦ Θεοῦ μένει ἐπ' αὐτόν.* Καὶ οὐκ εἶπεν· Ὁ μὴ τιμῶν ἀγγέλους, ὡς τιμᾷ τὸν Πατέρα· οὐδὲ πάλιν εἶπεν· Ὁ μὴ καὶ τὸν Υἱὸν τιμῶν· ἀλλὰ Υἱὸν ὡς τὸν Πατέρα· ὡσαύτως, ὅτι οὐκ

Confutatio XXIX.

Idem saxum perpetuo volvit Aetius, ut a me sæpius est dictum, neque quidquam aliud nisi laborem nobis affert ac tædium. Quamobrem etiam hoc loco novum quemdam laborem adjicere cogimur, eademque repetere: quandoquidem ita illi videtur. Igitur licet ingeniti substantia ingenita, unde producta est, natura significetur, nihil tamen idcirco dignitatis intererit, quod genitor genitum produxisse dicatur. Quippe e se ipso secundum substantiam Spiritum e Spiritu genuit, non corpus e corpore. Unde sine ulla comparatione genitor in geniti notione, et genitus in generante congruenter intelligitur. Neque enim accessione ulla divinum numen opus habet, ut Pater alias vocetur, alias minime vocetur; neque Filius ex sempiterna conjunctione quandoque esse, quandoque non esse reperietur. Quare eadem per se substantia Deus est Pater, et Filius, et Spiritus sanctus, non diversa. Non enim velut frater quidam est Patris Filius, aut posteriore loco genitus; sed inexplicabili quadam ratione fit, ut et Patris appellatio cum Filio consubstantiali congruat; et cum Patre, et Filio, qui ex ipso, et per ipsum, et ex ipsius propriis oritur, Spiritus sanctus conveniat. Inde fit ut Pater, Filius et Spiritus sanctus inaccessus dicatur, hoc est nihil eorum quæ inferioris gradus sunt, et ab ipsa Trinitate creata, ad eam possit pertingere. Trinitas porro ipsa sibi ipsi nequaquam est inaccessa. Est enim increata, non facta, et incomparabilis. Ergo nihil adæquari eum Patre potest; neque cum ipso quidquam earum D rerum communiter adoratur, quæ ex nihilo factæ, minime vero genitæ sunt. Nulli quippe creatarum rerum dixit unquam: **977** *Sede a dexteris meis*[3]. Sed nec unicus Dei Filius de quoquam istud usurpavit aliquando: *Qui videt me, videt et Patrem*[4]; et: *Ego in Patre, et Pater in me est*[5]; item: *Nemo novit Patrem, nisi Filius; et Filium, nisi Pater, et cui revelaverit*[6]. Per Spiritum vero sanctum revelat, qui quæ ad Filium pertinent cognoscit, edocet et in mundum prædicat; imo vero Dei alta, ac profunda scrutatur[7]. Propterea quoque dixit: *Qui non honorat Filium, sicut honorat Patrem, ira Dei manet in*

[1] Leg. τῷ γεννᾶν. [2] Reg. συμπρεπόντως ὄντος. [3] Joan. xv, 23. [4] Joan. xvi, 14, 15. [5] Psal. cix, 1. [6] Joan. xiv, 9. [7] ibid. [8] Matth. xi, 27. [9] I Cor. ii, 10.

Digitized by Google

ipso [1]. Non dixit: Qui non honorat angelos, sicut honorat Patrem; nec ita concedit: Qui non etiam Filium honorat; sed Filium dixit, perinde ac Patrem. Similiter ei, qui in Spiritum blasphemiam dixerit, non remissum iri docet, neque hic, neque in futuro sæculo [2]. Ut videlicet Trinitatem in Patre, Filio et Spiritu sancto esse doceat hujusmodi, ut ad illam nihil accedere, compararive possit.

A ἀφεθήσεται τῷ εἰς τὸ Πνεῦμα βλασφημοῦντι, οὔτε ὧδε, οὔτε ἐν τῷ μέλλοντι αἰῶνι· ἵνα σημαίνῃ τῆς Τριάδος τὸ ἀπρόσιτον καὶ ἀσύγκριτον ἐν Πατρὶ, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι.

AETII CAPUT XXX.

Si omnipotens Deus naturam omnem excellit, eo ipso quod ingenitus est excellit. Quæ proprietas causa est genitis omnibus stabilitatem constantiamque tribuens. Sin autem ingenitum substantiam non exprimit, a quo tandem genitarum rerum natura seipsam ut conservet accipit?

ΚΕΦΑΛΑΙΟΝ ΑΕΤΙΟΥ Λ'.

Εἰ ὑπεράγει πάσης φύσεως ὁ παντοκράτωρ, διὰ τὸ ἀγέννητον ὑπεράγει, ὅπερ ἐστὶν αἴτιον τοῖς γεννητοῖς διαμονῆς. Εἰ δὲ μὴ ἐστιν οὐσίας δηλωτικὸν τὸ ἀγέννητον, πόθεν ἂν ἡ τῶν γεννητῶν φύσις ἕξει τὸ διασώζεσθαι;

Confutatio XXX.

Illud omnino dicendum ac fatendum est, itaque tenendum: omnipotentem Deum naturam omnem excellere, a quo unigenitus Deus, ac Verbum, ejusque Spiritus sanctus ineffabili quadam ratione processit. Quam ob causam caute ac circumspecte creaturæ divinum honorem non ascribimus, ne stultissimi reddamur, sed Trinitatem quæ naturam omnem superat, prædicamus, Filium cum Patre, et ipsius sanctum Spiritum, eo quod a nullo factus aut creatus sit. Etenim nequaquam diversæ naturæ Unigenitus est, aut sanctus Spiritus, sed Deus ex Deo, lumen de lumine. Quinetiam cum omnipotenti Patre unigenitus ipse nominatur omnipotens, ut diserte Scriptura sacra declarat. Unigenitus enim nihil a Patris majestate discrepat, sed omnino congruit. Quod expressis verbis testatur Apostolus, qui Spiritu sancto afflatus de Israelitis ita loquitur: *Quorum*, inquit, **978** *cultus, et testamenta, et patres: ex quibus Christus secundum carnem, qui est super omnia Deus benedictus in sæcula. Amen* [3]. Ob id et adorandus unicus Dei Filius est, et idem Deus, et divinus Spiritus est, sanctus Spiritus, et post sacrosanctam Trinitatem nullus alius Deus est. Igitur omnipotens Pater, et unicus ipsius Filius paternæ dignitati congruens, qui futuri sæculi Pater appellatur [4], quique cum sancto Spiritu nulla interveniente creatione convenit, Trinitas est patefacta omnibus, et cognita, a qua creatæ res omnes, tanquam a causa, profectæ sunt, ita quidem, ut appellatio ipsa causæ sinceram et incomparabilem substantiam significet; cujusmodi est Pater in Filio, Filius in Patre, cum Spiritu sancto, permansio ipsa in sese æternitatem includat: cujus Trinitatis beneficio condita omnia servantur.

Ἀνατροπὴ Λ'.

B Πρέπει λέγειν καὶ ὁμολογεῖν, καὶ οὕτως κατέχειν, ὅτι πάσης φύσεως ὑπερέχει ὁ Παντοκράτωρ, ἐξ οὗπερ ἡμῖν ὁ Μονογενὴς ἀνεκδιηγήτως προῆλθεν ὁ Θεὸς Λόγος, καὶ τὸ ἅγιον αὐτοῦ Πνεῦμα. Καὶ διὰ τοῦτο ἀσφαλῶς οὐ κτίσιν θεολογοῦμεν, ἵνα μὴ μωρανθῶμεν· τὴν δὲ ὑπερβαίνουσαν πᾶσαν φύσιν Τριάδα δοξολογοῦμεν, Υἱὸν σὺν Πατρὶ, καὶ τὸ ἅγιον αὐτοῦ Πνεῦμα· διότι ἀγέννητον καὶ ἄκτιστον. Ἐπειδὴ γὰρ οὔτε ἄλλης φύσεως ὁ Μονογενὴς, καὶ τὸ ἅγιον Πνεῦμα, ἀλλὰ Θεὸς ἐκ Θεοῦ, καὶ φῶς ἐκ φωτὸς, σὺν τῷ παντοκράτορι Πατρὶ καὶ αὐτὸς ὁ Μονογενὴς παντοκράτωρ ἀκούσας, ὡς καὶ σαφῶς ἔχει ἡ θεία Γραφή. Οὐ γὰρ ἀλλοῖός ἐστι παρὰ τὸ τοῦ Πατρὸς ἀξίωμα ὁ Μονογενὴς, συμπρέπων δὲ τῷ τοῦ Πατρὸς ἀξίωματι· ὡς C διαῤῥήδην μαρτυρεῖ μοι ὁ ἅγιος Ἀπόστολος ἐν Πνεύματι ἁγίῳ φήσας περὶ τῶν υἱῶν Ἰσραήλ· Ὧν, φησὶν, *ἡ λατρεία, καὶ αἱ διαθῆκαι, καὶ ὧν οἱ πατέρες· ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν.* Διὰ τοῦτο γὰρ καὶ προσκυνητὸς ὁ μονογενὴς, καὶ Θεὸς ὁ Μονογενὴς, καὶ θεῖον Πνεῦμα, τὸ ἅγιον Πνεῦμα· καὶ μετὰ τὴν ἁγίαν Τριάδα οὐκ ἔστιν ἕτερος Θεός. Ὁ δὲ Πατὴρ παντοκράτωρ, καὶ ὁ Μονογενὴς αὐτοῦ παῖς Ἰησοῦς Χριστὸς συμπρέπων τῷ τοῦ Πατρὸς ἀξιώματι, καὶ Πατὴρ καλούμενος τοῦ μέλλοντος αἰῶνος, συμπρέπων τε καὶ τῷ ἁγίῳ αὐτοῦ Πνεύματι ἀκτίστως, ἀεὶ ἡ Τριὰς φανερουμένη, καὶ γινωσκομένη, ἐξ ἧς Τριάδος τοῖς πᾶσι γεγονόσι τὸ αἴτιον ἔνεστιν, εἴπερ [5] ἐστὶν οὐσίας ἀκραιφνοῦς καὶ D ἀσυγκρίτου δηλωτικὸν, Πατὴρ ἐν Υἱῷ, Υἱὸς ἐν Πατρὶ, σὺν ἁγίῳ Πνεύματι, ἀεὶ τῆς διαμονῆς τὸ ἀΐδιον ἐν ἑαυτῇ ἐχούσης· ἐξ ἧς Τριάδος τοῖς γεγονόσι τὸ διασώζεσθαι πρόσεστιν.

AETII CAPUT XXXI.

Si nihil eorum quæ visum effugiunt, semetipso vi quadam sativa prius est, atque definita quadam naturæ sorte continetur, qui fieri potest, ut ingenitus Deus ab omni sortitione liber suam ipsius substantiam modo ingenita sobole inferioris cujusdam ac secundæ conditionis, modo in ingenito primario esse videat, ita ut prioris insit, ac posterioris ordo?

ΚΕΦΑΛΑΙΟΝ ΑΕΤΙΟΥ ΛΑ'.

Εἰ οὐδὲν τῶν ἀοράτων αὐτὸ ἑαυτοῦ σπερματικῶς προϋπάρχει, διαμένει δὲ ἐν φύσει ἀποκεκληρωμένῃ· πῶς ὁ ἀγέννητος Θεὸς, ἐλεύθερος ἀποκληρώσεως ὑπάρχων, νῦν μὲν τὴν ἑαυτοῦ οὐσίαν δευτέραν ἐν γεννήματι ὁρᾷ, νῦν δὲ προτέραν ἐν ἀγεννήτῳ κατὰ τὴν τοῦ πρώτου καὶ δευτέρου τάξιν;

[1] Joan. v, 23; III, 36. [2] Matth. XII, 32. [3] Rom. IX, 4, 5. [4] Isa. IX, 6. [5] F. ἤπερ.

Digitized by Google

Ἀνατροπὴ ΛΑ'.

Α'. Ἔδει τὸν Ἀέτιον ἡμῖν προσημαίνειν, καὶ σαφεῖς τὰς αὐτοῦ πεύσεις προβάλλειν, μάλιστα ἑαυτὴν ἥνπερ λέξιν[1] ἐπιλήψιμον, καὶ μηδ' ὅλως ἔχουσαν συγγένειαν τῶν ὁμοιωμάτων, οὐδὲ θάτερον τῶν ὑπ' αὐτοῦ ὠνομασμένων θατέρῳ συνεξισοῦσθαι δυνάμενον. Πολλῶν γὰρ ἀοράτων ἥκει φέρων ἡμῖν τὰς ὀνομασίας. Ἔστι γὰρ καὶ ἀόρατα ζῶα τὰ πνευματικά, φημὶ δὲ σεραφὶμ καὶ χερουβὶμ, ἀλλὰ καὶ ἄγγελοι, πνεύματά τε καὶ ἄλλα τινά· ἐν οἷς ἀληθῶς πληροῦται τὸ μήτε ὑπάρχον ἐν ἑαυτοῖς σπερματικῶς τι. Οὔτε γὰρ σώματα φαίη ἄν τις τὰ ἀόρατα· καὶ γὰρ οὔτε γεννῶσιν, οὔτε γεννῶνται· ἐκτίσθησαν δὲ κατὰ βούλημα τῆς οὔσης ἀεὶ θεότητος σαφῶς, καὶ λέλογχεν ἕκαστον τῶν κεκτισμένων, ὅπερ ὁ ὢν αὐτῷ διένειμεν ἀρετῆς ἐν τῇ ὑπερβολῇ τῆς αὐτοῦ ἀφθόνου φιλανθρωπίας. Καὶ ἀπεκληρώθη ἕκαστον ὅπερ κεκλήρωται, καὶ ἐν τούτῳ μένει· καὶ ἐλεύθερός ἐστιν ὁ Θεὸς πάσης αἰτίας, ἐν ἑαυτῷ ἔχων τὸ πᾶν, οὐ μελλητικῶς οὐδὲ μεταμελημένως τὸν Υἱὸν μετὰ χρόνους ἔχων, ἢ τὸ ἅγιον Πνεῦμα αὐτοῦ, ἀλλὰ συμπρεπόντως τὸ ἀεὶ[2] ἔχειν Υἱὸν γεγεννημένον Υἱόν· ἔχων καὶ τοῦτον μονογενῆ, ἀεὶ ἔχων Πατέρα ἐν ἑαυτῷ, ἔχει καὶ τὸ ἅγιον Πνεῦμα ἐκ Πατρὸς ὄν, καὶ τοῦ Υἱοῦ λαμβάνον ἀεὶ ἔχον.

A

Confutatio XXXI.

I. Vellem equidem, quod et factum oportuit, ut Aetius mentem suam nobis aperuisset, et interrogationes suas aliquanto clarius proposuisset, potius quam ea dictione esset usus, quæ in reprehensionem incurrit; nec ullam in his rebus quibus utitur similitudinem habet, cum neutrum eorum quæ ab eo commemorata sunt, cum altero comparari et exæquari possit: siquidem plurimorum quæ visum effugiunt appellationes adducit in medium. Nam et visum fugiunt animalia illa spiritalia, hoc est seraphim, cherubim, angeli, spiritus denique: in quibus verum illud esse cernitur, quod Aetius narrat, nihil ut in seipsis vi quadam sativa contineant. Neque enim corpora ea quæ non aspectabilia sunt dixerit aliquis, cum neque gignant, neque gignantur, sed de sempiternæ divinitatis voluntate plane condita sint, ac tantumdem unaquæque creatarum rerum virtutis 979 habet, quantum pro infinita sua benignitate et humanitate largitus est Deus. Itaque quælibet quod sibi attributum est obtinuit, in eoque permanet: Deus vero ab omni causa absolutus est, continens in semet omnia. Idem sine ulla cunctatione mutationeve consilii, neque Filium longo intervallo, neque Spiritum sanctum suum habere cœpit. Sed pro eo ac conveniens est, Filium habet ab æterno, quem unicum genuit: Filius vero Patrem habens in seipso perpetuo, una et Spiritum sanctum habet: qui a Patre procedens[3], a Filio semper accipit[4].

B

Β'. Καὶ γὰρ οὔτε ἐπὶ ἀδοξίᾳ, οὔτε ἐπὶ προσθήκῃ δόξης ἡ περιουσία τῆς θεότητος ἀεὶ οὔσης· μηδενὸς δὲ ἀεὶ ὄντος τῶν κεκτισμένων, πότε ἐώρα ἑαυτὴν ἡ Τριὰς ἐν ἥσσονι περιουσίᾳ; Καὶ νῦν μὲν τοῦτο ἐώρα, νῦν δὲ ἐν προσθέσει οὐσίας, ὡς ἐνδεὴς μετὰ τὸ κεκτικέναι τὰ κεκτισμένα, ἐν περισσοτέρᾳ προσθήκῃ δόξης ἢ περιουσίας νῦν ἑαυτὴν ὁρῶσα; Καὶ ἐκ πανταχόθεν οὐδὲν ἐνσκήψει τῶν βουλομένων κατὰ τῆς ἀληθείας τὰς συλλογιστικὰς ἀνθρωπίνας ὑπονοίας παραφέρειν, καὶ εἰς μέσον φέρειν, ὑπερβαινούσης τῆς τοῦ Θεοῦ ἀξίας, Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος, πάντα νοῦν ἀγγέλων, καὶ ἐπέκεινα· πόσῳ γε μᾶλλον ἀνθρωπίνης φύσεως; Ἐπειδὴ γὰρ λογισμοὶ ἀνθρώπων δειλοὶ, φθαρταὶ δὲ αἱ τούτων διάνοιαι, εἰς συλλογισμοὺς καὶ συζητήσεις ἑαυτὰς περιπείρουσαι· ὡς ἄλλοι ἀφ' ἑαυτῶν συλλογισμῶν ἀνακρινόμενοι κατὰ σοφιστικήν τινα ὑπόνοιαν, οἱ μὲν περὶ τοῦ κακοῦ ὅτι πόθεν ἤρξατο, ἄλλοι δὲ ὅτι πόθεν ὁ διάβολος, ἢ διὰ τί γέγονεν· ἕτεροι δὲ τὸν μέλλοντα ἁμαρτάνειν ἄνθρωπον, ὅτι διὰ τί ὁ Θεὸς οὕτως αὐτὸν ἔκτισεν· ὁδὲ, τοιοῦτον αὐτὸν ἐργασάμενος διὰ τί ὕστερον αὐτὸν αἰτιᾶται· ἵν', ὅταν πάντες, περικρούσαντες τοὺς ἑαυτῶν λογισμοὺς, καταμάθωσιν ἑαυτοὺς φθαρτοὺς, ἀποδώσωσι τῷ Πατρὶ, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι, τουτέστι τῇ μιᾷ Τριάδι, τὸ σέβας καὶ τὴν γνῶσιν· παρ' αὐτοῦ δὲ αἰτούμενοι τῆς ἀληθινῆς πίστεως τὴν γνῶσιν, καὶ πορισάμενοι, ἵνα μὴ ὑπερβαίνειν πειρῶνται τὸ ἴδιον μέτρον, ἀλλὰ μάθωσιν ἡσυχάζειν ἀπὸ τετυφλωμένης ἐννοίας, καὶ μὴ σοφίζεσθαι διὰ

C

D

II. Etenim neque in obscuritate, nec in uberiori splendore ac gloria sempiternæ divinitatis excellentia versatur. Cum autem creatarum rerum nulla adhuc esset, utrumnam tandem divinitas minore seipsam opulentia præditam vidit aliquando? aut tum quidem ejusmodi sese vidit, nunc autem, facta ad substantiam accessione, quasi cujuspiam rei indigens esse posset, posteaquam creata omnia produxit, ampliore quadam gloria opibusque sese præditam animadvertit? Nullus itaque tergiversandi locus iis relictus est, qui adversus veritatem syllogismorum argutias hominum excogitatas ingeniis opponere nituntur et in medium afferre: siquidem divina majestas, Patris, inquam, et Filii, ac Spiritus sancti, angelorum mentes omnes longo intervallo superat, nedum hominum; quorum timidæ cogitationes[5], animi sensus intereunt in nihilum redacti, ac sese varias in ratiocinationes et quæstiones induunt. Quemadmodum in plerisque usuvenire cernimus, qui sophistica quadam ratione inventis a se syllogismis diversarum rerum causas inquirere et investigare student. Veluti mali quod principium fuerit. Alii undenam, et cujus rei gratia diabolus exstiterit. Quidam de homine peccaturo quærunt, cur hunc Deus ea conditione procreaverit, aut qui talem fabricarat, cur incusarit postea: ut cum varias in partes animos suos ac cogitationes intenderint, ac corruptioni se obnoxios intellexerint, Patri, ac Filio, et Spiritui sancto,

[1] ἥπερ λέξιν. [2] F. τῷ ἀεί, sed mutilus hic locus est. [3] Joan. xv, 26. [4] Joan. xiv, 15, 16. [5] Sap. ii, 14.

Digitized by Google

hoc est uni ac singulari Trinitati, veneretionem ac scientiam deferant, ab eoque veræ fidei cognitionem postulent atque impetrent, ut ne mensuram propriam excedant, sed ab obcæcatæ mentis impetu conquiescant; neve accensa incitataque lingua et imprudentibus cogitationibus argutari malint, quam sapientissima illa Scripturæ sententia castigari: **980** *Non sapere plus quam oportet sapere, sed sapere ad sobrietatem*[1].

A ἀναπτομένης γλώσσης καὶ λογισμῶν ἀσυνέτων, σωφρονίζεσθαι δὲ μᾶλλον διὰ τοῦ συνετοῦ ῥητοῦ τῆς ἁγίας καὶ θείας Γραφῆς τῆς λεγούσης· *Μὴ ὑπερφρονεῖν παρ' ὃ δεῖ φρονεῖν, ἀλλὰ φρονεῖν εἰς τὸ σωφρονεῖν.*

AETII CAPUT XXXII.

Si in ingenita natura perseverat Deus, detrahendum hoc ei est, ut generari se atque ingenitum esse cognoscat. Quod si id illi detur, ut per geniti ingenitique conditionem illius natura traducatur, substantiam ipse suam ignorat, cum ab utraque, geniti scilicet atque ingeniti, qualitate distrahatur. Si vero genitum conditionis ingeniti particeps est, et ingeniti natura perpetuo manet, necesse est ut se imperfecta in natura constitutum agnoscat, et illam ingeniti communionem ignoret: neque enim idem de seipso et ingenitæ substantiæ et genitæ notitiam informare potest. Jam vero si ingeniti proprietas levis est ac minimi facienda, quod in mutationem proclivis sit, immutabilis substantia naturæ quædam dignitas est, cum ingenita substantia omnium confessione causis omnibus antecellat.

ΚΕΦΑΛΑΙΟΝ ΑΕΤΙΟΥ ΛΒ'.

Εἰ διαμένει ἐν φύσει ἀγεννήτου ὁ Θεὸς, τὸ ἐν γενέσει καὶ ἀγεννησίᾳ ἑαυτὸν εἰδέναι ἀφῃρήσθω. Συγχωρουμένου δὲ ἐν ἀγεννήτῳ καὶ γεννητῷ τὴν ἑαυτοῦ οὐσίαν παρατείνειν, αὐτὸς ἑαυτοῦ ἀγνοεῖ τὴν οὐσίαν, περιαγόμενος ὑπὸ γενέσεως καὶ ἀγεννησίας. Εἰ δὲ καὶ τὸ γεννητὸν μετείληφε μετουσίας ἀγεννήτου, ἐν δὲ γεννητοῦ φύσει ἀτελευτήτως διαμένει, εἰ μὲν διατελῶν φύσει γινώσκει αὐτὸν, ἀγνοῶν δῆλον ὅτι τὴν ἀγέννητον μετουσίαν· οὐ γὰρ οἷόν τε αὐτὸν περὶ αὐτοῦ καὶ ἀγεννήτου οὐσίας γνῶσιν ἔχειν καὶ γεννητῆς· εἰ δὲ εὐκαταφρόνητόν ἐστι τὸ ἀγέννητον διὰ μεταβολῆς ἐπιτηδειότητα, ἀξίωμα φύσεώς ἐστιν οὐσία, ἀμετάβλητος τῆς ἀγεννήτου οὐσίας, πάσης αἰτίας κρείττονος ὁμολογουμένης.

B

Confutatio XXXII.

I. Nemini dubium est, quin ingenita in natura Deus perseveret, Pater; qui de nihilo creavit ac fabricavit omnia, Filium vero consubstantialem e seipso atque æternitati suæ congruentem genuit; necnon et Spiritum sanctum e seipso procedentem et ejusdem substantiæ communioni peræque convenientem produxit. Quod autem eadem illa Trinitas quæcunque sunt e nihilo procreavit, tam aspectabilia, quam quæ aspectum fugiunt, non idcirco id ipsum, quod divinæ majestati consentaneum est, hoc est exsistentis æternitas, recenti illa creatarum rerum appellatione subtrahitur. Nam ab istarum conditione summa illa substantia ac præcellens eximitur, quibuscum minime consubstantialis est, sed eas e nihilo aliquid ut essent excitavit. Quare Filius a Patre genitus, non e nihilo, sed ex eo qui est, convenienter productus intelligitur: adeo ut neque collatata, neque contracta sit substantia. Verum qui spiritus est Pater spiritum perinde Filium genuit, atque e seipso sanctum Spiritum emisit. Neque vero aut semetipsum ignorat, aut contractam collatatamve suam novit substantiam, sive aliqua sectione concisam. Hæc enim omnia de Deo **981** cogitare nimis est absurdum, ut quid sit Spiritus sanctus Deus ipse nesciat. Ac neque ingenitus cum ingenito Filio consubstantialis non est; neque genitus ipse communem cum Patre æternitatem non continet. Etenim Pater Filium, Filius Patrem cognoscit. Trinitas porro ipsa sine ullo fine manet increata, occiditque nunquam Filius vero a Patre revera

C

Ἀνατροπὴ ΛΒ'.

Α'. Ἐν ἀγεννήτῳ φύσει διαμένει ἀναμφιβόλως ὁ Θεὸς, ὁ τὰ πάντα κτίσας ἐξ οὐκ ὄντων, καὶ δημιουργήσας; ὁ Πατὴρ, γεννήσας ἐξ ἑαυτοῦ ὁμοούσιον ἑαυτῷ Υἱὸν, καὶ συμπρέποντα τῇ αὐτοῦ ἀϊδιότητι, καὶ τὸ ἐξ αὐτοῦ ἅγιον Πνεῦμα ἐξελθὸν, πρεπόντως ὑπάρχον τῇ αὐτοῦ ὁμοουσιότητι. Καὶ οὕτε, ἐπειδήπερ ἡ Τριὰς ἔκτισεν ἐξ οὐκ ὄντων τὰ ὄντα, ὁρατά τε καὶ ἀόρατα, παρὰ τοῦτο ἀναιρεῖται τὸ ἀναλογοῦν τῷ τοῦ Θεοῦ ἀξιώματι διὰ τοῦ προσφάτου τῶν κτισμάτων ὀνόματος, ἡ τοῦ ὄντος ἀϊδιότης. Ἀφαιρεῖται δὲ ἀπὸ τῶν κεκτισμένων ἡ ἄνωθεν ὑπερβαίνουσα οὐσία, οὐκ οὖσα τούτοις ὁμοούσιος, ἐξ οὐκ ὄντων δὲ καλέσασα τοῦ εἶναι. Διὸ ὁ γεγεννημένος Υἱὸς οὐκ ἐξ οὐκ ὄντων, ἀλλὰ ἐκ τοῦ ὄντος συμπρεπόντως ἅμα θεωρεῖται, οὔτε παρατεινομένης τῆς οὐσίας, οὔτε συστελλομένης· ἀλλὰ πνεῦμα ὢν ὁ Πατὴρ, πνεῦμα ἀληθινῶς τὸν Υἱὸν ἐγέννησε, καὶ ἐξ ἑαυτοῦ ἐξήνεγκε τὸ Πνεῦμα τὸ ἅγιον. Καὶ οὐχ ἑαυτὸν ἀγνοεῖ, οὔτε τὴν ἑαυτοῦ οὐσίαν συστελλομένην ἢ πλατυνομένην οἶδεν, ἢ τομὴν ὑφισταμένην. Ταῦτα γὰρ πάντα περὶ Θεὸν εἰδέναι ἀλογώτατον· ὥστε καὶ ἀγνοεῖν αὐτὸ τὸ Θεῖον, ὅπερ ἐστὶ τὸ[2] ἅγιον Πνεῦμα. Καὶ οὔτε ὁ ἀγέννητος οὐ συμμετέχει τῷ γεννήματι τὸ ὁμοούσιον, οὔτε ὁ γεννητὸς οὐ συμπεριέχει τῷ Πατρὶ τὸ ἀΐδιον. Οἶδε γὰρ ὁ Πατὴρ τὸν Υἱὸν, καὶ ὁ Υἱὸς οἶδε τὸν Πατέρα· ἀτελευτήτως ἀεὶ τῆς Τριάδος ἀκτίστου μενούσης, καὶ ἀτελευτήτως ὑπαρχούσης· τοῦ Μονογενοῦς γεγεννημένου ἐκ τοῦ ἀεὶ ὄντος, ὄντως ὄντος, καὶ ἐν ἰδίᾳ τελείᾳ φύσει. Διὸ γινώσκει ἑαυτόν· καὶ οὐκ ἀγνοεῖ οὔτε ὁ Υἱὸς τὴν ἀγέννητον Πατρὸς οὐσίαν, οὔτε ὁ ἀγέννητος τὴν τοῦ Υἱοῦ ἐξ αὐτοῦ οὐσίαν, ἀξιοπίστου

D

[1] Rom. xii, 3. [2] F. deest Πατὴρ, καὶ Υἱὸς, καὶ τὸ, etc.

Digitized by Google

ὄντος τοῦ μονογενοῦς Θεοῦ Λόγου φήσαντος· *Οὐδεὶς οἶδε τὸν Πατέρα εἰ μὴ ὁ Υἱὸς, καὶ τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ.*

ac semper exsistente in propria perfectaque natura genitus est. Ob id semetipsum novit; neque aut Filius ingenitam Patris substantiam, aut ingenitus Filii, quem produxit, ignorare potest. Dignus est enim Filius ipse, cui sic loquenti fides adhibeatur: *Nemo novit Patrem nisi Filius, et Filium nisi Pater* [1].

Β'. Διὸ ἀφῃρήσθω τὸ τούτου τοῦ γεννάδα Ἀετίου ἀποφαντικὸν κέλευσμα, τὸ φῆσαν· « Οὐ γὰρ οἷόν τε αὐτὸν περὶ ἑαυτοῦ καὶ ἀγεννήτου οὐσίας γνῶσιν ἔχειν, καὶ ἀγεννησίας. » Προὔλαβε γὰρ ὁ Μονογενὴς παραγράψαι τὴν δικαστικὴν αὐτοῦ ταύτην φωνὴν, φήσας ἑαυτὸν εἰδέναι τὸν Πατέρα, καὶ ἄλλον οὐδένα· συμπεριλαβὼν ἅμα καὶ τοῦ Πνεύματος αὐτοῦ τοῦ ἁγίου τὸ ἐνύπαρκτον· ὡς καὶ ἐν ἄλλῳ φάσκει, ὅτι *Τὸ Πνεῦμα τοῦ Πατρὸς διδάξει ὑμᾶς.* Εἰ δὲ τοῦ Πατρός ἐστι τὸ Πνεῦμα, οὐκ ἀγνοεῖ καὶ αὐτὸ τὸν Πατέρα. Ἐν δὲ τῷ εἰρηκέναι· *Οὐδεὶς οἶδε τὸν Πατέρα, εἰ μὴ ὁ Υἱὸς,* ἵνα ἑαυτὸν, καὶ τὸν Πατέρα, καὶ τὸ Πνεῦμα τὸ ἅγιον ὑπερβεβηκὸς σημάνῃ τῶν ἄλλων τῶν μὴ ἀϊδίως ὑπαρξάντων, γενομένων δέ. Εἰ δὲ προὔλαβεν ἀεὶ εἰδέναι τὸν Πατέρα, μάτην ἡμῖν Ἀέτιος κενολεκτῶν ὑπεισδύνει, σαφῶς πᾶσιν ὢν δῆλος, ὅτι ὡς ἄνθρωπος λογίζεται, σαρκικῶς ἀνακρινόμενος, καὶ ψυχικὸς ὑπάρχων διὰ τὸν ἑαυτὸν καὶ τὸν Πατέρα γινώσκοντα, καὶ τὸ ἅγιον αὐτοῦ Πνεῦμα. Ἐξῄρηται οὖν πάσης αἰτίας ὁ Θεὸς, οὐ μόνον Πατὴρ, ἀλλὰ καὶ Υἱὸς, καὶ ἅγιον Πνεῦμα· τῆς θεότητος Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος ὁμολογουμένης κρείττονος πάσης αἰτίας.

II. Quamobrem circumscribatur a temerario illo Aetio, tanquam a judice, pronuntiata sententia: «Non eumdem de seipso posse genitæ naturæ simul et ingenitæ informare scientiam.» Etenim illius decreto jampridem unici Dei Filii auctoritas præscripsit, cum se Patrem nosse, nec alium præterea, definiit: quibus verbis etiam Spiritum sanctum simul exsistentem complexus est, quemadmodum alio in loco dixit: *Spiritus Patris docebit vos* [2]. Quod si Patris ille Spiritus est, ne ipsum quidem Patrem ignorat. Cum autem dixit: *Nemo novit Patrem nisi Filius*, semetipsum pariter, et Patrem, ac Spiritum sanctum, cæterorum quæ ab æterno non sunt, sed procreata sunt, conditionem excessisse significat. Quamobrem cum ab æterno Patrem Filius cognoverit, frustra nobis Aetius nugacibus suis verbis obrepere conatur, cum manifestissimum sit ipsum hominis more cogitare ac carnaliter inquirere, et animalem esse: propter eum, qui tam se, quam Patrem cognoscit, una cum Spiritu sancto. Quapropter Deus ab omni causa vindicandus est, non modo Pater, sed et Filius ac Spiritus sanctus: siquidem Patris, Filii ac Spiritus sancti divinitas, quod nemo non confitetur, causa est omni præstantior.

ΚΕΦΑΛΑΙΟΝ ΑΕΤΙΟΥ ΛΓ'.

Εἰ τὸ ἀγέννητον πάσης αἰτίας ἐξῄρηται, εἶη δὲ πολλὰ ἀγέννητα· ἀπαράλλακτον ἕξουσι τὴν φύσιν. Οὐ γὰρ ἄν, μὴ ἀποκληρώσει φύσεώς τινος κοινοῦ καὶ ἰδίου μετειληφυῖα, ἡ μὲν ἐποίει, ἡ δὲ ἐγίνετο.

AETII CAPUT XXXIII.

Si ingenitum causam nullam penitus habet, sintque ingenita complura, immutabili causa constabunt. Neque enim velut attributa communis cujusdam, ac peculiaris naturæ conditione, particepsque facta altera molita est, altera producta.

Ἀνατροπὴ ΛΓ

Πάσης αἰτίας ἐξῄρηται ὁμολογουμένως τὸ ἀγέννητον, διότι ἔν ἐστι τὸ ἀγέννητον καὶ προσκυνητὸν, διαιρουμένου τοῦ προσκυνητοῦ ἀπὸ τῶν προσκυνούντων. Προσκυνητὴ δέ ἐστιν ἡ Τριὰς, μονὰς οὖσα, καὶ ἐν ἑνὶ ὀνόματι ἀριθμουμένη Τριάς, Πατὴρ καὶ Υἱὸς, καὶ ἅγιον Πνεῦμα· οὐκ ἀλλότριον τὸ ἑαυτῆς ἐν ἑαυτῇ κεκτημένη, ἀλλὰ συμπρεπόντως Πατὴρ γεννήσας Υἱὸν, καὶ οὐ κτίσας. Τὸ μὲν γάρ ἐστιν ἐξ αὐτοῦ ἀεὶ τοῦ γεννήτορος· διὸ τὸ γέννημα ἐκ τοῦ ὄντος ἐστὶ, καὶ τὸ ἐξ αὐτοῦ ἐξελθὸν ἅγιον Πνεῦμα, οὖσης τῆς Τριάδος ἐν μιᾷ ἑνότητι ἀκτίστῳ· τῶν δὲ πάντων ἐξ αὐτῆς τῆς Τριάδος ἐξ οὐκ ὄντων κεκτισμένων. Ὅθεν ἡ μία Τριὰς εἷς ἐστι Θεὸς, Πατὴρ, καὶ Υἱὸς, καὶ ἅγιον Πνεῦμα, οὐκ ἀλλότριον τὸ ἑαυτῆς ἐν ἑαυτῇ κεκτημένη, ἄκτιστος, ἀγέννητος, ἀδημιούργητος· Τριὰς οὔτε πεποιημένη, ἀλλὰ ποιοῦσα, οὐ κτίσματος ὄνομα ἔχουσα ἐν ἑαυτῇ, ἀλλὰ κτίζουσα, μία οὖσα, καὶ οὐ πολλαί. Τὰ δὲ πάντα ἐξ αὐτῆς πολλὰ μὲν ὄντα, ἀλλ' οὐ σὺν αὐτῇ ἀριθμούμενα. Διὸ οὔτε

982 *Confutatio XXXIII.*

Quod ingenitum dicitur, in confesso est sui nullam habere causam, quandoquidem unum idemque est ingenitum et adorandum, sic ut adorandum ab adorantibus secernatur. Adoranda porro Trinitas est, quæ eadem et unitas est, et uno nomine comprehensa Trinitas appellatur, Pater, Filius et Spiritus sanctus: quæ quidem quod suum est non tanquam alienum in seipsa continet, sed congruenter Pater Filium non creavit, sed genuit. Hic enim ab ipso semper genitore procedit: unde Filius ab exsistente ortus est: ut et Spiritus sanctus, qui ab ipso processit, cum in una et increata singularitate Trinitas ipsa consistat; cætera vero omnia ab eadem illa Trinitate e nihilo procreata sint. Ex quo fit, ut singularis illa Trinitas unus sit Deus, Pater, et Filius, et Spiritus sanctus: quæ non velut alienum quod suum est in semetipsa obtinet, increata, ingenita, non fabricata: Trinitas, inquam, non facta, sed faciens, non creaturæ nomen in sese

[1] Matth. xi, 27. [2] Joan. xvi, 13.

Digitized by Google

complectens, sed procreans; una, non plures. A qua profecta sunt omnia, quæ et multiplicia sunt, neque cum ea numerantur. Quare neque communem quamdam naturam cum incomparabili essentia participare dicuntur; neque creata quæpiam natura in divina illa comprehenditur. Sed hæc omnium opifex est, quæ cum incomparabili ac singulari Patris, Filii Spiritusque sancti natura in ejusdem substantiæ communionem venire nequeunt. Quemadmodum ei quidem, cui sit veritatis oblata cognitio, perspicue ipsa declarat: nimirum solam ipsam adorandam esse, non cæterarum rerum quidpiam, cum et ipsa sola suo in nomine baptizet, cæterorum autem id nullum faciat.

A ἀποκεκλήρωται ἑτέρᾳ φύσει κοινότητος τῆς οὐσίας τῆς ἀσυγκρίτου. Διὰ τοῦτο γὰρ οὐ κτιστή τις οὖσα ἐν τῇ τοῦ Θεοῦ οὐσίᾳ φύσις, ἀλλὰ δημιουργικὴ τῶν πάντων τῶν οὐ δυναμένων τῇ ἀσυγκρίτῳ καὶ μιᾷ οὐσίᾳ Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος ὁμοουσιότητι ἐπικοινωνῆσαι· ὡς σαφὴς ἐστι τῷ τὴν γνῶσιν τῆς ἀληθείας εἰληφότι ἀποκαλύπτουσα, ὅτι αὐτὴ μόνη προσκυνεῖται, καὶ οὐ τὰ πάντα· ὡς καὶ αὐτὴ μόνη εἰς ὄνομα ἑαυτῆς βαπτίζει, καὶ οὐ τὰ ὅλα.

AETII CAPUT XXXIV.

Si substantia omnis ingenita est, nihil a se invicem hac ex parte differunt, quod neutra dominationi subjecta sit alterius. Quare quinam affirmari potest, mutari unam, alteram mutare, cum Deo minime permittant, ut ex nulla subjecta substantia producatur?

ΚΕΦΑΛΑΙΟΝ ΑΕΤΙΟΥ ΛΔ'.

Εἰ πᾶσα οὐσία ἐστὶν ἀγέννητος, οὐδοποτέρα διοίσει B τῆς ἄλλης κατὰ τὸ ἀδέσποτον. Πῶς οὖν ἄν τις φαίη τὴν μὲν μεταβάλλεσθαι, τὴν δὲ μεταβάλλειν, οὐκ ἐπιτρεπόντων τῷ Θεῷ ὑφιστάναι ἐκ μὴ ὑποκειμένης οὐσίας;

Confutatio XXXIV.

Quisquis veritatem oppugnavit aliquando, voculis quibusdam ad injiciendam admirationem collectis, ad evertenda sacra dogmata impressionem facere visus est, **983** atque a vitæ tramite deducere, ac perniciem afferre. Quod Aetius modo facit, qui cum hoc in capite nihil omnino dicat, rudioribus tamen fucum facere ac terrere videtur, eadem ad fastidium usque repetens, ac vocabulum illud, quod identidem commemorare solet, hoc loco perperam usurpans. Igitur non substantia omnis sapientum judicio censetur ingenita, alioqui nulla non divina statueretur. Cum ergo non omnibus divinitas tribuatur, sed uni præ cæteris, quæ est una in Trinitate divinitas; quid tandem egregio illi relinquetur, quo veritatis filiis terrorem admirationemque possit incutere? Sed et altera ab altera discrepabit, eo quod Trinitas creat, cætera vero ab ipsa creantur omnia. Illa nullius dominatui subjecta est; hæc illius potestati sunt subdita. Ad hæc ista mutationibus obnoxia sunt, illa suapte natura immutabilis est, et inferiora omnia commutat, quorum naturas et substantias e nihilo producere potest. Hoc enim Deo congruit, ut ex nulla substrata materia, et ex nihilo productarum a se rerum ac subsistentium ordinem dispositionemque pro sua voluntate mutet.

Ἀνατροπὴ ΛΔ'.

Πᾶς τις τῶν ἀντικαταστάντων τῇ ἀληθείᾳ, καταπληκτικῶς ἐπισυνάξας ἑαυτῷ λογίδια, ἔδοξέ τισιν ἀνατρεπτικῶς ἐπισκήπτειν, καὶ ἀπὸ τῆς ζωτικῆς ὁδοῦ μεταφέρειν καὶ λυμαίνεσθαι· ὡς οὗτος ὁ Ἀέτιος νῦν μὲν φύσει ἐν τῷ ῥητῷ τούτῳ μηδὲν λέγων καταπλήττειν δοκεῖ τοὺς ἀκεραίους, ἐκ περιττοῦ τὰ ὑπ' αὐτοῦ λεγόμενα λέγων, ὀνόματι, ὡς εἴωθεν ἐκ περιττοῦ προφέρειν, καὶ ἐν τῷ παρόντι καιρῷ κεχρημέ- C νος. Οὐ γὰρ πᾶσα οὐσία ἀγέννητος παρ' αὐτοῖς τοῖς συνετοῖς ὁμολογεῖται· ἐπεὶ πᾶσα ἂν ἐθεολογεῖτο. Οὐ πασῶν δὲ θεολογουμένων τῶν οὐσιῶν, ἀλλὰ μιᾶς παρὰ πάσας, ἥτις ἐστὶ θεότης μία ἐν Τριάδι, πῶς ἔτι ὑπολειφθήσεται τῷ γεννάδᾳ τούτῳ τὸ καταπληκτικὸν αὐτοῦ χωρεῖν ἐπὶ τοὺς υἱοὺς τῆς ἀληθείας; Διοίσει δὲ καὶ ὁποτέρα τῆς ὁποτέρας· ὅτι ἡ μὲν Τριὰς κτίζει, τὰ δὲ πάντα ἀπ' αὐτῆς κέκτισται. Καὶ ἡ μὲν ἔστιν ἀδέσποτος, τὰ δὲ ὑπ' αὐτῆς γενόμενα δεσπόζεται. Καὶ ἡ μὲν μεταβάλλεται, ἡ δὲ ἀπαράβατον ἔχει τὴν φύσιν, μεταβάλλουσα ἀεὶ τὰ ὑπ' αὐτῆς μεταβαλλόμενα, καὶ ἐξ οὐκ ὄντων τὰς οὐσίας καὶ τὰς ὑποστάσεις ὑφιστᾶν δυναμένη. Τοῦτο γάρ ἐστι συμπρέπον Θεῷ, ἐκ μὴ ὑποκειμένων καὶ ἐξ οὐκ ὄντων ὑπ' αὐτοῦ γεγεννημένων καὶ ὑποστάντων κατὰ τὴν διακόσμησιν μετασκευάζειν ὡς βούλεται. D

AETII CAPUT XXXV.

Si substantia omnis ingenita est, perinde et nulla variabilis est. Quod si variari substantia non potest, agere et pati ad fortuitum quemdam casum referenda sunt. Quod si multa sunt ingenita et invariabilia, nullo certo a se invicem numero discrepabunt. Neque enim comprehendi numero poterunt, quæ vel absolute, vel aliqua ex parte differunt, cum differentia omnis determinatæ causæ in ingenita natura velut attributam sortem significet.

ΚΕΦΑΛΑΙΟΝ ΑΕΤΙΟΥ ΛΕ'.

Εἰ πᾶσα οὐσία ἐστὶν ἀγέννητος. πᾶσά ἐστιν ἀπαράλλακτος. Τῆς οὐσίας τὸ ἀπαράλλακτον ἐχούσης, τὸ ποιεῖν τε καὶ τὸ πάσχειν αὐτοματισμῷ ἀναθετέον. Πολλῶν δὲ ὄντων ἀγεννήτων καὶ ἀπαραλλάκτων, ἀναριθμήτως διοίσουσιν ἀλλήλων. Οὐ γὰρ ἂν εἴη ἀριθμητὰ τὰ διεστῶτα, ἢ καθόλου, ἢ κατά τι· πάσης διαστάσεως ἀποκλήρωσίν τινα ἐμφαινούσης αἰτίου ἀποτεταγμένης ἀγεννήτου φύσεως.

Digitized by Google

Ἀνατροπὴ ΛΕ'.

Οὐ πᾶσα οὐσία ἀγέννητος· ἠλίθιον γαρ καὶ τὸ διανοεῖσθαι, καὶ Ἑλληνικῆς ἀγνωσίας οὗτος ὁ λογισμὸς, καὶ τὸ ἀπόφθεγμα, κἂν τε ἀποφαντικῶς, κἂν τε ἐρωτητικῶς τῷ Ἀετίῳ εἴρηται. Δῆλον δὲ ὅτι ἐρωτητικῶς. Ἑλλήνων τοίνυν παῖδας τοῦτο ἐρωτάτω· κἀκεῖνοι δὲ αὐτῷ συντιθέσθωσαν τοῦτο ἔχειν ἐκ συλλογισμῶν τὸ ἐρώτημα, ὕλην τινὰ σύγχρονον τῷ Θεῷ ἐπιφημίζοντες· ἀλισκέσθω δὲ ἅμα ἐκείνοις, εἰ συντιθοῖτο, ἐχούσης τῆς ἀληθείας ἓν εἶναι τὸ ποιοῦν, ἐν μιᾷ οὐσίᾳ Τριάδος τελείας, καὶ οὐ κατὰ συναλοιφὴν ἀριθμουμένης. Τὰ δ' ἄλλα πάντα γεννητὰ, καὶ κτιστὰ, καὶ οὐκ ἀγέννητα. Τῆς δὲ θεότητος ἀκτίστου οὔσης, Πατρὸς μὲν γεννῶντος, Υἱοῦ δὲ γεννητοῦ, Πνεύματος δὲ ἁγίου ἐξ αὐτοῦ ἀπεσταλμένου τοῦ Πατρὸς, καὶ τῶν τοῦ Υἱοῦ λαμβάνοντος, πάντων δὲ ὄντων κεκτισμένων, τοῦ δὲ ἀπαραλλάκτου τῇ δυνάμει μένοντος, συμπρέποντος ἐν τῇ Τριάδι, πάσης θεότητος ἐπὶ τὸν Πατέρα ἀναφερομένης, διὰ τὸ εὔλογον καὶ ἄπτωτον τῆς μονάδος, καὶ τὸ ἀναιρετικὸν τῆς πολυθεΐας, τὸ μὲν ἀπαράλλακτον μένει τῇ δυνάμει, τὸ δὲ εὔλογον συμπρεπόντως ἀναλογεῖται Υἱοῦ πρὸς Πατέρα, καὶ ἁγίου Πνεύματος. Τοίνυν τούτων οὕτως ἐχόντων, ἐξ ὑπαρχῆς πεσεῖται τῆς ἐπιβουλῆς τοῦ ἐρωτήματος ἡ ἐπίνοια. Οὐ γὰρ πολλὰ τὰ ἀπαράλλακτα, ἀλλὰ ἡ μία Τριὰς ἐν μονάδι, καὶ μία θεότης ἐν Τριάδι. Τὰ δ' ἄλλα πάντα ἀφέστηκεν, οὔτε αὐτοματισμῷ ἔχοντα τὸ πάσχειν, ἢ ποιεῖν, οὔτε τῆς ἁγίας Τριάδος, ἐν τῷ τι ποιεῖν, δυναμένης πάσχειν, τῆς ὅλης ἀπαθοῦς οὔσης καὶ προσκυνητῆς· φημὶ δὴ Πατρὸς, καὶ Υἱοῦ, καὶ ἁγίου Πνεύματος. Ἐποίησε γὰρ πάντα ὁ Θεὸς δι' Υἱοῦ, ἀλλ' οὐχὶ τὸν Υἱόν· οὐ γάρ ἐστι σὺν πᾶσι· συνυπουργεῖ γὰρ τῷ Πατρὶ, καὶ συμπροσκυνεῖται· οὔτε τὸ ἅγιον Πνεῦμα· οὐ γὰρ ἀριθμεῖται ἀπὸ πάντων, στερεοῖ δὲ τὴν δύναμιν τῶν ἁπάντων καὶ συμπροσκυνεῖται. Τῶν δὲ πάντων ὑπὸ τὴν τοῦ ἑνὸς προνοησίαν ἐπιτεταγμένων, ἕκαστα φέρεταί τε, καὶ πράττει, πάσχει δὲ καὶ ὅσα ἕτερα. Διὸ ἡ μία Τριὰς πρὸς ἑαυτὴν ἀπαράλλακτος, τὰ δὲ ἄλλα ἐξ αὐτῆς παρηλλαγμένα· οὔτε γάρ ἐστι σύγχρονα, οὔτε συναΐδια. Μόνη δὲ ἀΐδιος, καὶ ἄκτιστος, καὶ ἀγέννητος, Υἱοῦ μὲν γεγεννημένου ἀχρόνως καὶ ἀνάρχως, ἀεὶ δὲ ὄντος, καὶ μηδέποτε διαλείποντος τοῦ εἶναι. Ὅθεν ἠσφαλισμένως *κεφαλὴν* [1], καὶ οὐκ *ἀρχὴν* τὸν Πατέρα τοῦ Υἱοῦ ἐδίδαξεν ὁ θεῖος λόγος, διὰ τὸ ὁμοούσιον, καὶ ἀΐδίως ὄντος τοῦ Πνεύματος τοῦ ἁγίου, καὶ ἐκ Πατρὸς ἀπεσταλμένου, ἀεὶ δὲ σὺν Πατρὶ ὑπάρχοντος, καὶ μὴ ἀπὸ χρόνου ἀρξαμένου.

Confutatio XXXV.

Non omnis substantia ingenita dici potest, quod vel animo concipere stolidum est, atque ab gentilium ignorantia ea vel cogitatio vel sententia proficiscitur, sive affirmando, sive interrogando solum Aetius ista protulerit. Quanquam interrogando istud quidem usurpasse videtur. Quare de gentilibus ista sciscitetur, atque ab illis hoc quod in interrogatione sua ex ratiocinationibus collecta posuit, concedatur ultro: materiam esse **984** quamdam, quæ tempore cum Deo sit æqualis, sed et una cum illis, eadem si sentiat, convincatur Aetius. Nam veritas quidem ipsa unam esse censet efficientem causam, quod in una et eadem substantia perfecta Trinitas, sine ulla confusione numeretur. Reliqua vero omnia facta ac procreata sunt, non ingenita. Divinitas vero a nullo creatur, sed Pater gignit, Filius genitus est; Spiritus sanctus a Patre missus est, et a Filio accipit; cætera vero creata sunt, atque ipse Deus immutabilis virtute permanens congruenter in Trinitate consistit. Cæterum divinitas omnis ad Patrem refertur, quod ita consentaneum sit, idque et ad unitatem retinendam, et multiplicium deorum vanitatem refellendam pertineat. Sic enim immutabilis est naturæ divinæ virtus, ut congruenter Filii ad Patrem, Spiritusque sancti consentanea ratio comparatioque servetur. Quæ cum ita sese habeant, captiosæ illius interrogationis commentum penitus intercidit. Etenim non multa sunt invariabilia; sed una duntaxat in singularitate Trinitas, et una in Trinitate divinitas, a qua reliqua omnia procul distant. Neque vero ut patiantur, aut agant, fortuito quodam casu consecuta sunt; neque sacrosancta Trinitas, dum agit, pati quidpiam potest, cum tota patiendi expers et adoranda sit: hoc est, Pater, et Filius, et Spiritus sanctus. Quippe Deus per Filium universa condidit, Filium vero non fecit, ut qui cum omnibus minime numeretur: siquidem in operis communionem cum Patre venit, et cum eodem adoratur; neque postremo Spiritum sanctum creavit, qui ne ipse quidem inter omnia numeratur. Hujus enim proprium est universorum corroborare virtutem: unde et communiter adoratur. Porro cum omnia sub unius providentiam administrationemque subjecta sint, feruntur, aguntque singula, et quæ a Deo sunt aliena patiuntur. Quocirca una a seipsa Trinitas invariabilis est, reliqua, quæ ab ipsa producuntur, cum illa simul exsistunt. Sola itaque sempiterna, omnia variantur; quæ nec tempore, nec æternitate increata et ingenita est. Ac Filius quidem sine ullo tempore initiove genitus idem ab æterno est; nec unquam esse desinit. Quamobrem caute admodum caput, non initium Filii Patrem esse sermo divinus edocuit [2]: idque propter eamdem utriusque substantiam. Spiritus **985** vero sanctus sempiternus est, et a Patre missus, cum quo semper exsistit, nec ab aliquo tempore esse cœpit.

ΚΕΦΑΛΑΙΟΝ ΑΕΤΙΟΥ ΛΣ'.

Εἰ τὸ ἀγέννητος καὶ τὸ Θεὸς ἐκ παραλλήλου τὸ αὐτὸ δηλοῖ, ὁ ἀγέννητος ἀγέννητον ἐγέννησεν. Εἰ δὲ ἕτερόν τι δηλοῖ τὸ ἀγέννητον, ἕτερον δὲ τὸ Θεὸς, οὐκ ἄτοπον δὲ

AETII CAPUT XXXVI.

Si ingenitus et Deus pro uno eodemque sumantur, ingenitus ingenitum genuit. Sin diversum quiddam ingeniti ac Dei vocabula declarant, nequa-

[1] gr. κεφάλαιον. [2] I Cor. xi, 3.

Digitized by Google

quam absurdum est Deum a Deo genitum esse, cum uterque ab ingenita substantia originem traxerit. Quod si ante Deum nihil omnino fuit, ut revera nihil exstitit, Deus et ingenitum idem plane significant, cum genita soboles ingenitum non admittat. Unde cum Deo ac Patre suo simul appellari sese non patitur.

τῷ Θεῷ Θεὸν γεγεννηκέναι, ἑκατέρου τὴν ὕπαρξιν λαβόντος ἐξ ἀγεννήτου οὐσίας. Εἰ δὲ τοῦ Θεοῦ μηδὲν εἴη, ὥσπερ οὐκ ἔστιν, ὁ Θεὸς καὶ τὸ ἀγέννητον ταυτὸν δηλοῖ, οὐ προσιεμένου τοῦ γεννήματος τὸ ἀγέννητον. Διὸ οὔτε συνεκφωνεῖσθαι τῷ Θεῷ καὶ Πατρὶ αὐτοῦ ἀνέχεται.

Confutatio XXXVI.

1. Unde tandem nos Aetius jubet earum quas proponit interrogationum ac ratiocinationum sensum ac sententiam assequi? Si ex argumentis et syllogismis censet istud esse quærendum, quidquid cogitando quæsitum indagatumque fuerit, in nihilum una cum ipso redigitur. Deum enim nullus unquam argumentando comprehendet, neque opificium opifici suo dicet : *Quid me ita fecisti?* ut scriptum est[1]. Quamobrem pia mente et innocenti securitate ad sancti Spiritus, quæ per sacras Litteras patefacta nobis est, doctrinam revocandus est animus. Ubi cum solida, immutabilique sententia, qui creaturam colunt, eos fatuos redditos esse doceamur[2], nonne in istud ipsum incurrere videtur Aetius ac creaturæ divinitatem tribuere, eamque adoratione ac veneratione prosequi, cum sincera fides adorandum a creato, creatum ab adorando sejungat? Nam si nihil inter hæc intersit omnino, Christiana religio nihil supra creaturæ veneratores eximium aut excellens habitura est, atque ejusmodi fides idololatria potius, quam Dei cultus esse censebitur. Nam et illi solem, lunam, virtutes, cœlum et terram, ac cæteras creaturas adorant; neque vero creatarum rerum admirabilis excellentia diversitatem affert ullam; neque quod eximiæ quædam sint, ullam in honoris æqualitate varietatem inducent, cum eodem nomine contineantur, tametsi una alteri multis partibus antecellat. Unus enim est, qui utraque molitus est, et unicuique **986** non nominis, sed substantiæ discrimen attribuit. Siquidem creatis omnibus rebus non liberum, sed servile creaturæ nomen convenit. Ac si in uno genere quod servilis conditionis est adoretur, nihil obstabit quominus et alteri generi, tametsi inferius sit, adoratio tribuatur. Æquale quippe est quod cum superioris ordinis creatura cognationem habet, utpote de nihilo ab eo, qui est, naturam sortitum. Hinc et ingenitum Deo, et Deus ingenito congruit. Quare genitam sobolem non opus aliquod dicimus, aut effectum quidpiam; sed sobolem, naturaliter a Patre sine labe progenitam, ejusdem cum Patre substantiæ, ac simul adorandam; Spiritum vero sanctum ab illo procedentem, nec alienum, ob idque simul adorandum. Cæterum Dei nomen creatarum rerum nulli conceditur, eo quod ut esset obtinuit. At Trinitas sempiterna est, nec

Ἀνατροπὴ ΛϚ'.

Α'. Πόθεν βούλεται ἡμᾶς Ἀέτιος προσπορίσασθαι ἐν ἑαυτοῖς τὸν νοῦν τῶν ὑπ' αὐτοῦ προτεινομένων πεύσεων τῶν αὐτοῦ λογισμῶν; Καὶ εἰ μὲν φάσκει ἐκ λογισμῶν καὶ συλλογισμῶν, πεσεῖται καὶ ἡμῶν ὁ πορισμὸς τῆς ὑπονοίας ἅμα αὐτῷ· Θεὸν γὰρ οὐδεὶς συλλογίσοιτο πώποτε, οὔτε ἐρεῖ τὸ πλάσμα τῷ πλάσαντι· *Τί με οὕτως ἐποίησας;* κατὰ τὸ γεγραμμένον· ἐξ εὐσεβοῦς δὲ λογισμοῦ, καὶ δικαίας ἀσφαλείας ἐπὶ τὴν τοῦ ἁγίου Πνεύματος διὰ τῶν ἁγίων Γραφῶν διδασκαλίαν ἀνακαμπτέον. Λέξεως δὲ ἀπαραβάτου διδασκούσης ἡμᾶς περὶ τῶν τῇ κτίσει λατρευσάντων, ὡς ἐμωράνθησαν, πῶς οὐκ ἀνεύρεθείη ἐπὶ κτίσματι Θεὸν λαμβάνειν, καὶ τοῦτον προσκυνεῖν τε, καὶ γεραίρειν; τῆς πίστεως φύσει παρεκβαλλούσης τὸ προσκυνητὸν ἀπὸ τοῦ κτιστοῦ, καὶ τὸ κτιστὸν ἀπὸ τοῦ προσκυνητοῦ. Καὶ γὰρ, εἰ ὅλως τοῦτο οὐδὲν διοίσει, πρὸς τοὺς τῇ κτίσει τὸ σέβας νέμοντας οὐδὲν πρόκριτον ἔστει ἐν Χριστιανισμῷ. Ἔσται δὲ ἡ τοιαύτη πίστις εἰδωλολατρεία μᾶλλον ἢ θεοσέβεια. Προσκυνοῦσι γὰρ κἀκεῖνοι ἥλιον, καὶ σελήνην, καὶ δυνάμεις, οὐρανόν τε καὶ γῆν, καὶ τὰ ἄλλα κτίσματα. Καὶ οὐ τὸ διάφορον τῶν κτισμάτων ποιεῖται τὸ θαῦμα· οὐδὲ διοίσει τὸ ἐξαίρετον ἑαυτῷ τὸ τῆς ὁμοτιμίας διὰ τὸ ὁμώνυμον, κἂν τε ὑπερτεταλάντισται τὸ μὲν ἀπὸ τοῦ ἑτέρου. Εἷς γάρ ἐστιν ὁ τὰ ἀμφότερα ποιήσας, καὶ ἀποκληρώσας ἑκάστῳ οὐκ ὀνόματος παραλλαγὴν, ἀλλ' οὐσίας. Ἐν ἅπασι γὰρ τοῖς κεκτισμένοις τὸ δοῦλόν ἐστι τοῦ κτίσματος τὸ ὄνομα, ἀλλ' οὐ τὸ ἐλεύθερον. Καὶ εἰ ἐν ἑνὶ μέρει τὸ δοῦλον προσκυνεῖται, οὐδὲν διοίσει πρὸς τὸ ἄλλο μέρος ἡ προσκύνησις, κἂν τε ὑποβέβηκεν. Ἴσον γάρ ἐστι τῷ ἀνωτάτῳ συγγενειάζον τῷ κτίσματι, ἐξ οὐκ ὄντων παρὰ τοῦ ὄντος κεκληρωμένον. Ἐντεῦθεν τὸ ἀγέννητον συμπρέπει Θεῷ, καὶ τὸ Θεὸς τῷ ἀγεννήτῳ. Διὸ τὸ γέννημα οὐκ ἔργον φαμὲν, οὐδὲ ποίημα, ἀλλὰ γέννημα οὐσιωδῶς ἀπὸ Πατρὸς ἀχράντως γεγεννημένον, ὁμοούσιον τῷ Πατρὶ καὶ συμπροσκυνητὸν, καὶ τὸ ἅγιον Πνεῦμα ἐξ αὐτοῦ, καὶ οὐκ ἀλλότριον, διὸ καὶ συμπροσκυνητόν. Ἑτέρῳ δὲ τῶν κεκτισμένων τὸ Θεὸς ὄνομα οὐ συνεκφωνεῖται, διὰ τὸ μετηλλάχθαι τῆς ἀγεννησίας, ὅτι ἐξ οὐκ ὄντων κεκλήρωται τὸ εἶναι. Ἡ δὲ Τριὰς ἔχει τὸ ἀεὶ εἶναι, καὶ οὐχ ἕτερόν τι Θεὸς, καὶ ἕτερον τὸ ἀγέννητον.

ut esset obtinuit. At Trinitas sempiterna est, nec aliud quiddam Deus est, aliud ingenitum.

II. Tu vero Filium, Aeti, irridendo scilicet, non bona fide, a Patre genitum affirmas. Quidquid enim genitum est, creatum non est, et quidquid creatum est, non est genitum. Quod si id quod genitum,

Β'. Συνομολογεῖς δὲ, Ἀέτιε, τὸν Υἱὸν ἐκ Πατρὸς γεγεννῆσθαι, εἰρωνείᾳ, καὶ οὐκ ἀληθείᾳ. Πᾶν γὰρ τὸ γεννητὸν οὐ κτιστὸν, καὶ τὸ κτιστὸν οὐ γεννητόν. Εἰ δὲ τὸ γεννητὸν κτιστὸν, κατ' ἄλλον τρόπον ἐστὶν

[1] Rom. IX, 20. [2] Rom. I, 22.

Digitized by Google

κτιστόν. Ὡς οἷόν ἐστιν εἰπεῖν, ἄνθρωποι γεννῶσιν ἀνθρώπους, ἀλλ' οὐ κτίζουσιν· οὗτοι δὲ ἄνωθεν ἐκ Θεοῦ εἰσι κεκτισμένοι· διὸ αὐτοῖς τὰ μὲν γεννώμενα γεγέννηται· παρὰ Θεοῦ δὲ τὰ πάντα κέκτισται. Θεοῦ δὲ ὄντος ἀκτίστου, γεννήσαντος δὲ ἑαυτῷ Υἱὸν, καὶ οὐ κτίσαντος, οὐχ ἕτερον γεννᾷ παρὰ τὴν αὐτοῦ οὐσίαν. Πῶς οὖν ἔσται τὸ ἐξ αὐτοῦ γέννημα κτιστὸν, τοῦ Πατρὸς ἀκτίστου ὑπάρχοντος; Εἰ δὲ κτιστὸν παρ αὐτῷ τὸ γέννημα, οὐκέτι γέννημα καλεῖται. Καὶ πολλή ἐστι πρὸς τὴν τοιαύτην τῆς ἀτοπίας ὑπόνοιαν ἀντιλογία. Ἀπρεπὲς δὲ καὶ Θεῷ τὸ εἶναί ποτε ἄνευ Υἱοῦ, ὕστερον δὲ καλεῖσθαι Πατέρα μετὰ Υἱόν. Καὶ ἀπρεπὲς τῷ Υἱῷ τὸ εἶναι πρὸ αὐτοῦ χρόνον· ἔσται γὰρ ὁ χρόνος μείζων τῆς αὐτοῦ μεγαλειότητος· συμπρεπόντως δὲ Πατρὶ τὸ ἀεὶ ἔχειν ἐν ταυτότητι τῶν ἀξιωμάτων τὸ ἀνέκλειπτον καὶ ἀΐδιον. Καὶ ὅτι πρὸ Θεοῦ οὐδὲν ἦν, δῆλον τοῦτο. Τὸ Θεὸς τοίνυν, ὡς ἔφη Ἀέτιος, καὶ τὸ ἀγέννητον ταυτόν ἐστι δηλοῦν. Καί πως ἑαυτοῦ καταπλέκων κατηγορεῖ, μᾶλλον [δὲ] ἥπερ συνίσταται. Εἰ γὰρ σὺν Θεῷ τὸ Θεὸς, ὡς καὶ ἔστι, καὶ τὸ ἀγέννητον προσίεται τὸν γεννητὸν Υἱόν· ἔχει γὰρ συμπεριειλημμένως τὸ Θεός· συνεκφωνεῖται δὲ τῷ Πατρὶ ἀπὸ τοῦ Θεὸς, καὶ ἄκτιστος, καὶ σὺν Πατρὶ τιμώμενος Θεὸς Λόγος, κἂν τε τῷ Ἀετίῳ τοῦτο μὴ παρίσταται, τῶν πάντων κτισμάτων Υἱῷ προσκυνούντων, *καὶ πάσης γλώσσης ἐξομολογουμένης, ὅτι Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρός*, ᾧ ἡ δόξα Πατρὶ ἐν Υἱῷ, σὺν ἁγίῳ Πνεύματι, εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

A creatum etiam est, creatum alio modo dicitur. Nam exempli gratia, homines gignunt homines, non creant; sed olim a Deo creati sunt. Quare quæ gignuntur, ab illis gignuntur, a Deo vero universa creata sunt. Sed cum Deus increatus sit, ac sibi Filium generet, non procreet, non eum gignit ab substantia sua diversum. Quocirca fierine potest, ut quod ab ipso gignitur, creatum sit, cum increatus sit Pater? Nam si creatus est qui apud ipsum est genitus, non est quod amplius genitus dicatur. Multa sunt quæ adversus tam absurdam opinionem disputari possunt. Sed in primis indignum Deo est, ut sine Filio exstiterit aliquando, tum postea post Filii exortum Pater appellari cœperit. Similiter et indignum Filio est, uti tempus ipsius originem antecesserit; consequens enim est tempus majestate illius esse majus; et vero Patri congruens est, ut in ejusdem communione dignitatis participem eum semper habuerit, qui desinere nunquam potest, estque sempiternus. Quod vero Deo nihil prius exstiterit manifestissimum est. Atenim, ait Aetius, Deus et ingenitum idem omnino significant. Verum quam aperte semetipsum implicans accusat potius, **987** quam dogma suum confirmet. Nam si cum Deo Deus est, ut est revera, etiam ingenitum genitum Filium admittit, qui Dei vocabulum una complectitur, cum Patre vero simul appellatur, et conjungitur, exortus a Deo, et increatus, et honoratus cum Patre Deus, idemque Verbum; etsi aliter Aetio videatur, cum creatæ res omnes Filium adorent, *et omnis lingua confiteatur, quoniam Jesus Christus in gloria est Dei Patris* [3]: cui gloria Patri in Filio, cum Spiritu sancto, in sæcula sæculorum. Amen.

B

Τοῦ Ἀετίου ἐνταῦθα τελεῖ [1] *τὸ ἐρρῶσθαι.* C

Ἐρρωμένους καὶ ἐρρωμένας ὑμᾶς ὁ ὢν αὐτογέννητος Θεὸς, ὁ καὶ μόνος διὰ τοῦτο ἀληθινὸς Θεὸς προσαγορευθεὶς ὑπὸ τοῦ ἀποσταλέντος Ἰησοῦ Χριστοῦ, ὑποστάντος τε ἀληθῶς πρὸ αἰώνων, καὶ ὄντος γεννητῆς ὑποστάσεως, διατηρήσει ἀπὸ τῆς ἀσεβείας ἐν Χριστῷ Ἰησοῦ τῷ Σωτῆρι ἡμῶν· δι' οὗ πᾶσα δόξα τῷ Θεῷ καὶ Πατρὶ, καὶ νῦν, [καὶ ἀεὶ,] καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Aetii salutatio in fine posita.

Post hæc salutationem subtexit his verbis: Deus ille, qui a nullo alio genitus est, quique solus verus Deus ab Jesu Christo, quem ille miserat, appellatus est [2], Christo, inquam, qui revera ante sæcula omnia exstitit, estque sine dubio genita substantia, sanos vos, et sanas, et incolumes ab impietate custodiat, in Christo Servatore nostro, per quem omnis gloria Patri, et nunc et semper, et in sæcula sæculorum. Amen.

Ἀνατροπή.

Καὶ ἐπὶ τῷ τέλει ὁ Ἀέτιος, γράφων τῷ ἑαυτοῦ θιάσῳ, οἷς ἔφη ἀθληταῖς τε καὶ ἀθλητρίαις, οὐκ ἀπελίπετο τῆς τοιαύτης τῶν λόγων μοχθηρίας, ἀλλὰ καὶ ἐν τῷ ἐρρῶσθαι ἀπέδειξεν αὐτοῦ τῆς διδασκαλίας τὸ ἀλλότριον. Φάσκει γάρ· *Ἐρρωμένους ὑμᾶς ὁ ὢν αὐτογέννητος Θεός.* Οὐ συνιδὼν, ὅτι ἐν ἑνὶ λόγῳ ἔλυσε τὸ πᾶν τῆς αὐτοῦ ὑποσπορᾶς τοῦ ζητήματος. Φήσας γὰρ ἐν τοῖς ἀνωτάτω κεφαλαίοις περὶ ἀγεννήτου Θεοῦ, οὐ πρόοιδε, καὶ ὅτι « Οὔτε ἑαυτὸν ἐποίει, » ἐνταῦθα αὐτογέννητον ἡμῖν παρεισάγει. Πᾶσα δὲ διάνοια ἐν λήθῃ ἑαυτῆς γίνεται, ὅπως φωραθείη. Εἶτά φησι· « Ὁ καὶ μόνος διὰ τοῦτο ἀληθινὸς Θεὸς προσαγορευθείς. » Κατὰ δὲ τὸν αὐτοῦ λόγον καὶ διάνοιαν, ἢ ἀναιρεῖ τὸ εἶναι τὸν Υἱὸν Θεὸν, καὶ μάτην συ-

Confutatio.

Sub opusculi finem ad sodales suos scribens Aetius, quos athletas, et athletrias nominat, ne tum quidem ab impiis vocibus abstinuit, sed in valedicendo quoque abhorrere se ab sincera doctrina monstravit. Sic enim loquitur: *Sanos vos et valentes qui est a se genitus Deus custodiat.* Nec illud animadvertit, totam illam sparsam a se quæstionem una voce dissolvi, cum in superioribus capitibus de ingenito Deo loquens nequaquam a seipso fieri statuerit, hoc vero loco a seipso genitum affirmet. Quælibet enim hominis mens sui ipsius obliviscitur, ut in errore deprehendi possit. Addit præterea: « Qui et solus propterea verus Deus appellatur. » Quamobrem ut illius animus opinioque

D

[1] Reg. ἐν τῷ τέλει. [2] Philipp. II, 11. [3] Joan. XVII, 3.

Digitized by Google

fert, aut Filium Deum esse negat, et nomini ipsi calumniam facit, dum Christianus appellari cupit. Aut Deum esse quidem Filium putat, sed minime verum, ut ex ejus sententia, Deus alius sit verus, alius non verus. Quapropter cum alterum alteri subjiciat, et Spiritum sanctum in minori atque 988 inferiori sede collocet, necesse est, ut aut minorem alium Deum cognoscat, aut, si Trinitati nequaquam annumerandum existimet, prorsus ab Christianorum numero segregandus sit infelix homuncio, atque ad gentilium factionem vel Sadducæorum prorsus ablegandus. Est enim a Spiritu sancto horum instar alienus. Ab gentilium vero partibus eatenus stat, dum unum esse censet summum Deum, alterum minorem; verum unum, alterum non verum: id quod Græci confitentur, qui unum majorem Deum, minorum gentium cæteros appellant; sed nimirum perspicue illum sacrarum Litterarum convincit auctoritas, quæ cum de Patre loquuntur, *Deus*, inquiunt, *verus est* [1]: Filium quoque itidem esse Deum asserunt; quæ quidem de Patre: *Lux est Deus*; de Filio autem: *Lux erat vera*; Spiritum denique sanctum *spiritum veritatis* appellant [2]. Itaque Trinitas vere nobis in sapientia et divitiarum altitudine nuntiatur [3].

A κοφαντεῖ τὸ ὄνομα, τῷ Χριστιανὸς τὸ ὄνομα καλεῖσθαι· ἢ ὅτι Θεὸν μὲν ἔχει τὸν Υἱὸν, ἀλλ' οὐκ ἀληθινόν· καὶ ἔσται αὐτῷ εἷς Θεὸς ἀληθινὸς, καὶ εἷς οὐκ ἀληθινός. Κατὰ δὲ ὑπόβασιν ἕνα ὑφ' ἑνὸς εὑρίσκων, ἔτι καὶ τὸ ἅγιον Πνεῦμα ἐν μικροτέρᾳ καὶ ἀποδεούσῃ τάξει τάττων, ἢ ὅτι μικρότερον πάλιν Θεὸν ἕξει, ἢ τῇ Τριάδι μὴ συναριθμῶν, τοῦτο ἔσται παντάπασιν ἀλλότριον Χριστιανῶν τὸ ἐλεεινὸν ἀνθρωπάριον, καὶ λοιπὸν Ἕλλην ἀποκηρυχθεὶη τελειότατος, καὶ Σαδδουκαῖος τῷ ἀριθμῷ, ἀλλότριος μὲν τοῦ Πνεύματος τοῦ ἁγίου, ὡς καὶ ἔστιν, Ἕλλησι δὲ συγκρινόμενος τῇ μερίδι, ἕνα μὲν Θεὸν φάσκων μέγαν, καὶ ἕνα μικρὸν, ἕνα ἀληθινὸν, καὶ ἕνα οὐκ ἀληθινὸν, ὡς Ἕλληνες ὁμολογοῦσιν, ἕνα μέγαν Θεὸν, τοὺς δὲ ἄλλους μικροὺς ὀνομάζοντες· τῆς θείας Γραφῆς αὐτὸν σαφῶς ἐλεγχούσης, καὶ περὶ Πατρὸς μὲν λεγούσης, ὡς Ὁ Θεὸς ἀληθινός· καὶ περὶ Υἱοῦ τὸ Θεὸς ὡσαύτως [4] καὶ περὶ Πατρὸς, Τὸ φῶς ὁ Θεός· περὶ δὲ Υἱοῦ, Ἦν τὸ φῶς τὸ ἀληθινόν· καὶ περὶ ἁγίου Πνεύματος, ὅτι Τὸ Πνεῦμα τῆς ἀληθείας. Ἀληθινῶς τοίνυν ἡμῖν ἡ Τριὰς καταγγέλλεται ἐν σοφίᾳ καὶ βάθει πλούτου.

B

C

D

II. Pergit Aetius: *Et a Jesu Christo*, inquit, *qui missus est*. Nec puduit ipsum Unigenito Dei nomen detrahere, quem nudo ac simplici vocabulo declaravit: id quod in superioribus capitibus professus est, cum illius decus ac dignitatem nominis Filio appellatione sola concessit. Eumdem tamen ante sæcula subsistentem fuisse ac genitæ revera substantiæ exstitisse narrat. Addit deinde: *Conservabit vos ab impietate*. Solet enim flagitiosa quæque mulier convicium antevertens mores suos aliis exprobrare. Sic Aetius impietatis suæ magnitudinem non sentiens, pium esse se ac religiosum arbitratur: ut qui animi delirio laborant sui, se compotes ac prudentes, cæteros mente captos existimant. Idem porro cum, *In Christo Jesu*, dixisset, *Dominum nostrum* adjicere non est ausus, sed cavillando, *Salvatore nostro* dixit. *Per quem gloria omnis Patri, et nunc, et semper, in sæcula sæculorum. Amen.* Ubi quod, *omnis gloria*, scripsit, id eo consilio fecit, ut ab eo honore ac gloria Filium excluderet. Quod quidem nemo pius ac veram fidem sancti Spiritus beneficio consecutus admittet.

Β'. Εἶτα πάλιν ἀκολούθως φησί· *Καὶ ὑπὸ τοῦ ἀποσταλέντος Ἰησοῦ Χριστοῦ.* Καὶ οὐκ ἠδέσθη ἀπαξιώσας τὸν Μονογενῆ Θεοῦ ὀνόματος, ἀλλὰ μόνως ψιλῇ τῇ λέξει κέχρηται, ὡς ἐν τοῖς ἀνωτάτω ὡμολόγησε κεφαλαίοις, ἕως ψιλῆς ὀνομασίας νόμων τῷ Υἱῷ τὸ γέρας τοῦ ὀνόματος. Λέγει δὲ πρὸ αἰώνων ὑποστάντα ἀληθῶς, καὶ ὄντα ἀληθῶς γεννητῆς ὑποστάσεως. *Διατηρήσει* δὲ, φησὶν, *ἀπὸ τῆς ἀσεβείας.* Εἰωθε δὲ πᾶσα φαύλη γυνὴ τοὺς αὐτοῦ τρόπους ἄλλοις προλαμβάνειν τε καὶ ἐπιφημίζειν. Οὐχ ὁρῶν γὰρ εἰς ὅσα ἠσέβησεν, ἑαυτὸν εὐσεβῆ νομίζει· ὡς οἱ τὴν παραπληξίαν κεκτημένοι νομίζουσι μὲν ἑαυτοὺς ἐν φρονήσει εἶναι, τοὺς δὲ ἄλλους φρενητιῶντας. Ἐνταῦθα δὲ *ἐν Χριστῷ Ἰησοῦ*, οὐδὲ *τῷ Κυρίῳ ἡμῶν* ἐτόλμησεν ἀποδοῦναι· ἀλλ' εἰρωνικῶς, *τῷ Σωτῆρι ἡμῶν*, ἔφησεν. Καί φησι· *Δι' οὗ πᾶσα δόξα τῷ Πατρὶ, καὶ νῦν, καὶ ἀεὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.* Καὶ αὐτὸ δὲ τὸ εἰπεῖν, *πᾶσα δόξα*, ὅπως περιάροι τὸν Υἱὸν ἀπὸ τῆς τιμῆς τε καὶ δόξης· οὗ οὐδεὶς ἀνέξοιτό ποτε τῶν εὐσεβῶν καὶ ἐκ Πνεύματος ἁγίου τὴν δωρεὰν τῆς ἀληθινῆς πίστεως εἰληφότων.

III. Hæc adversus Aetii dogmata disputanda putavimus: quæ ille dialectica facultate, et argumentandi subtilitate, humanisque præstigiis fretus, capitibus septem ac triginta disseruit. Ea vero cum prudentia ut legatis postulo. Ita enim, o Christiani, ac Christi servi, veritatisque filii, terrenam, ac vanissimam illius 989 doctrinam, atque a Spiritu sancto prorsus abhorrentem esse cognoscetis. Qui divini verbi ne una quidem littera mentionem attigit, nec ullum Veteris aut Novi Testamenti locum protulit, nihil ex lege, nihil e prophetis, nihil ex

Γ'. Ταῦτα δὲ πάντα διαλαβόντες τὰ ὑπὸ τούτου τοῦ Ἀετίου εἰρημένα ἐν διαλεκτικῇ τινι τέχνῃ καὶ συλλογιστικῇ ὑπονοίᾳ ἀνθρωπίνης μαγγανείας, ἐν κεφαλαίοις λζ'· οἷς νουνεχῶς ὑμᾶς ἐντυχεῖν παρακαλοῦμεν, καὶ εὐθὺς μὲν εἴσεσθε, ὦ Χριστιανῶν παῖδες, καὶ δοῦλοι Χριστοῦ, καὶ υἱοὶ τῆς ἀληθείας, τὴν πᾶσαν αὐτοῦ γῆινην κενοφωνίαν, καὶ ἀλλοτρίαν Πνεύματος ἁγίου διδασκαλίαν. Ὃς οὐκ ἐτόλμησε κἂν ἐν μιᾷ λέξει μνησθῆναι θείου λόγου, ἢ ῥητοῦ τινος Παλαιᾶς, ἢ Καινῆς Διαθήκης, οὐκ ἀπὸ νόμου, οὐκ ἀπὸ προφητῶν, οὐκ ἀπὸ Εὐαγγελίων, οὐκ ἀπὸ

[1] I Joan. v, 20. [2] Joan. xvi, 13. [3] Rom. xi, 33.

Digitized by Google

ἀποστόλων, οὔ τινος τῶν πατριαρχῶν μαρτυρίαν παρενέγκαι, οὔτ' αὐτοῦ τοῦ Σωτῆρος, οὐ Πατρὸς πώποτε, οὐχ ἁγίου Πνεύματος ῥῆμα δι' ἀποστόλων εἰρημένον, ἢ διὰ προφητῶν· ἵνα παντελῶς αὐτοφώρατος γένηται τοῖς φίλοις τῆς ἀληθείας, ὅτι παντάπασιν ἀλλότριος τυγχάνει Θεοῦ καὶ τῆς αὐτοῦ πίστεως. Νομίζω δὲ καὶ ἱκανῶς ἡμᾶς πρὸς τὰς αὐτοῦ προτάσεις κατὰ τὸ δυνατὸν ἰδιωτικῷ λόγῳ, συστάσει δὲ τῶν ἀπὸ τῶν θείων Γραφῶν, καὶ αὐτοῦ τοῦ εὐσεβοῦς λογισμοῦ πρὸς αὐτὸν ἀπηντηκέναι. Καὶ ἐπειδὴ ἱκανῶς ἐν ταῖς πρὸς αὐτὸν ἀνατροπαῖς περὶ πίστεως σαφῶς διελέχθημεν, ἀρκετῶς ἡγούμεθα· ἵνα μὴ προσθέντες δυσχέρειάν τινα περὶ τὴν ἀνάγνωσιν περισσοτέραν ἐργασώμεθα. Ὀλίγα δὲ πάλιν ἐξ ὧν αὐτὸς ἀρθεὶς τὴν διάνοιαν μετὰ τὴν ἀλλόκοτον αὐτοῦ πίστιν, καὶ εἰς Χριστὸν, καὶ εἰς τὸ ἅγιον αὐτοῦ Πνεῦμα ἀπέχθειαν, ὅσα ἐτόλμησε τὸ αὐτοῦ στόμα, καὶ τῶν ὑπ' αὐτοῦ μεμαθητευμένων, καὶ ἐν θράσει εἰς ὕψος ἆραι τὴν διάνοιαν, καὶ ὑπέρογκα βλασφημῆσαι, αὖθις ἐπιλαβόμενος συντόμως λέξω.

A Evangeliis, nihil ex apostolis, nihil e patriarcharum testimoniis in medium adduxit; non ipsius Salvatoris sententiam ullam, non Patris, Spiritusque sancti dictum aliquod ab apostolis, vel prophetis commemoratum proposuit: quo illud veritatis amantes intelligant, plane illum a Deo esse et a fide ipsius alienum. Contra hæc illius decreta abunde a nobis hactenus pro viribus disputatum arbitror, ac rudi quidem et simplici orationis stylo, sed allatis sacrarum Litterarum auctoritatibus, ac depromptis ex religioso animi sensu rationibus illius impetus esse discussos. Itaque cum in illius confutationibus de fide satis aperte disseruerimus, sufficere istud arbitramur, ne si amplius aliquid addamus, molestiorem operis hujus lectionem supervacanea longitudine faciamus. Sed pauca quædam nihilominus retractanda ac breviter exponenda sunt ex iis quæ, post importuna illa absurdaque dogmata insolentius elatus in Christum ejusque Spiritum sanctum, præ utriusque odio nefarie contulit; quæque ab impudenti illius ac discipulorum ipsius ore profecta et inaudito quodam animi fastu arrogantiaque in Deum contumeliosissime sunt conjecta.

B

Δ'. Οὗτος γὰρ ἐφαντάσθη, καὶ οἱ ἀπ' αὐτοῦ, ὑπὲρ πάντα ἄνθρωπον, οὐκ ἐπὶ τῷ εἰδέναι τὸν Θεὸν κατὰ πίστιν, ἀλλὰ φύσει κατὰ εἴδησιν. Ὡς καὶ ἄνω που ὑπέμνησα φασκόντων αὐτῶν οὐχ ἁπλῶς εἰδέναι τὸν Θεὸν ἐν γνώσει πίστεως, ἀλλ' ὡς ἐὰν γινώσκῃ τις πᾶν ὁρατὸν, καὶ χερσὶν αὐτοῦ ψηλαφώμενον· ὡς εἴ τις λάβοι μετὰ χεῖρας λίθον, ἢ ξύλον, ἢ ἄλλης τινὸς ὕλης ἐργαλεῖον· οὕτως ἔφη καὶ οὗτος ὁ γεννάδας, ὅτι Οὕτως οἶδα τὸν Θεὸν, ὥσπερ ἐμαυτὸν, καὶ οὐ τοσοῦτον οἶδα ἐμαυτὸν, ὡς τὸν Θεόν. Λοιπὸν δὲ τὰ μωρὰ λέγειν καὶ ἀκοῦσαι πολλοῖς μὲν ἔστιν εἰς ἀπάτην, τοῖς δὲ συνετοῖς εἰς χλεύην. Τίς γὰρ τῶν φρενοβλάβειαν ἑαυτοῖς κεκτημένων καὶ μεμηνότων οὐ δύναται καὶ ἄλλους ἐκμαίνειν, καὶ μάλιστα τοὺς συνεπομένους καὶ ὑπακούοντας; Εἰ γάρ τις ἠρώτησεν αὐτὸν καὶ τοὺς ἀπ' αὐτοῦ· Μή μοι διήγησαι Θεὸν εἰδέναι τὸν ἀσύγκριτον καὶ ἀκατάληπτον, τὸν κατὰ τὸ εἶδος μὲν μὴ καταλαμβανόμενον, πίστει δὲ γινωσκόμενον τοῖς αὐτοῦ δούλοις· ἀλλὰ διήγησαί μοι τοὺς πυθμένας τῆς γῆς, τὰ ταμιεῖα τῆς ἀβύσσου, τὰς φλέβας τῆς θαλάσσης, ἅδου τὸν τόπον, ἀέρος τὰ μέτρα, οὐρανῶν τὸ εἶδος καὶ τὰ πάχη, τί τὸ ἄκρον τῶν ἄνω, τί τὸ τέρμα τῶν κάτω, τί ἐν δεξιᾷ, τί ἐν εὐωνύμοις· τῆς κτίσεως, τῆς ἑαυτοῦ πλάσεως τὸ διήγημα, τῶν ἐπὶ τῆς γῆς ἀμυθήτων τὸν ἀριθμὸν καὶ τὰ μέτρα· λοιπὸν ταῦτα ἠκούσαν [1], ὡς ἠκούσαμεν παρὰ τῶν ὑπ' αὐτοῦ ἠπατημένων, εἰς σοφιστικὰς προφάσεις παρεκκλίναντες εἰρωνείᾳ, λοιπὸν λέγουσιν ἀπ' ἐκείνου μεμαθηκότες, ὅτι Πάντα ταῦτα τὰ σωματικά ἐστι, καὶ οὐ δυνάμεθα εἰδέναι. Τὸν Θεὸν δὲ τὸν αὐτὰ πεποιηκότα οἴδαμεν σαφῶς ποταπός ἐστι, καὶ πῶς ἐστι, καὶ οἷός ἐστι, καὶ τίς ἐστι. Τίς δὲ ἀκούσας ταῦτα οὐκ ἂν καταγελάσειεν εὐθύς; Εἴθισται γάρ ἐστι τὸ ὅλον, ὅτι τὸν τεχνίτην, καὶ ἀσύγκριτον, καὶ ἀνεκδιήγητον λέγει εἰδέναι, καὶ ἠκριβωκέναι· (καὶ εἶθε ἔλεγε τῇ πίστει εἰδέναι καὶ ἠκριβω-

IV. Hic enim ipse cum suis in eam vanitatis amentiam incidit, ut supra mortales omnes Deum se non fide sola, sed propria quadam scientia comprehendere jactaret. Quemadmodum paulo ante memini hoc ab illis usurpari solitum: Deum se non fidei modo intelligentia, sed perinde animo concipere ac quilibet aspectabilia ista ac tractabilia cognoscit: utputa si quis lapidem, aut lignum, vel alterius materiæ instrumentum capiat: ita quidem audax ille ac temerarius loquitur: Tam Deum intelligo, quam me ipsum; imo, tam me ipsum non novi, quam Deum. Verum nugas istas ultra discendo persequi, vel audire, uti pluribus fraudem ac perniciem, ita sapientibus risum ac ludibrium consciscet. Ecquis enim mentis vecordia ac furore percitus alios in eamdem insaniam trahere, præsertim obsequentes sibi ac dicto audientes, non possit? Quod si quis illum, vel **990** discipulos rogaret: Ne tu mihi incomparabilis et incomprehensibilis Dei scientiam jactites, cujus formam quidem ac naturam assequi nemo potest, fide vero ab ipsius servis utcunque cognosci potest; sed hoc velim nobis edisseras: fundamenta terræ quæ sint, quæque abyssi penitiora receptacula; maris venas, inferorum domicilium, aeris mensuras, cœlestium orbium formam ac crassitudinem; quodnam summum supra quod infra sit infimum, quid ad dexteram sit, quid ad sinistram. Ad hæc creatarum rerum naturam, tuique adeo molitionem explices, tum eorum omnium numerum modosque, quæ terris infinita continentur. Hæc cum illis objiciuntur, ut ab illius sectatoribus audire memini, ad sophistica quædam commenta cavillationesque sese convertunt, et ex illius præscripto ita respondent: Hæc omnia cor-

C

D

[1] Reg. ἠκουσας. Forte ὡς ταῦτα ἠκουσαν.

Digitized by Google

porea sunt, nec a nobis percipi possunt. Deum vero, qui hæc ipsa condidit, manifeste hujusmodi sit, quove modo, ac qualis, quisve sit intelligimus. Quis hæc sine risu possit audire? Est enim longe illud sane stultissimum : Summum illum et incomparabilem opificem, qui nullo sermone declarari potest, scire se, atque accurate percepisse profiteri. (Atque utinam fide saltem illum ipsum scire se, non velut contrectare manibus incredibili audacia prædicarent !) Interim vero creatas ab incomparabili illo res omnes, quæ in sua quaque specie consideratæ spectatores ipsos sui in admirationem trahere possunt, negare illum cum suis a se cognosci. Præsertim cum ubique sacræ Litteræ de Deo testentur, neque oculis ipsum percipi, neque comprehendi, nec animo cogitari posse ; sed id unum de illo ex rei veritate percipi : Quod sit, quodque diligentes se remuneretur [1].

κέναι· ἀλλὰ μὴ κατὰ εἴδησίν τινα ψηλαφήσεως ἐτόλμα, καὶ τολμῶσι λέγειν!) τὰ δὲ ὑπ' αὐτοῦ γενόμενα τοῦ ἀσυγκρίτου, διὰ τὸ κατὰ τὸ εἶδος δυνάμενα παρὰ τῶν ὁρώντων ὑπερθαυμάζεσθαι, φάσκειν αὐτόν τε καὶ τοὺς αὐτοῦ μὴ εἰδέναι· μάλιστα πάντη τῶν θείων Γραφῶν σαφῶς περὶ Θεοῦ κηρυττουσῶν τὸ ἀόρατον αὐτὸν εἶναι, καὶ ἀκατάληπτον, καὶ ἀπερινόητον, μόνον δὲ πίστει ἐν ἀληθείᾳ γινωσκόμενον, ὅτι ἔστι, καὶ τοῖς ἀγαπῶσιν αὐτὸν μισθαποδότης γίνεται.

V. Jam vero quoties eorum aliquis, qui de Dei gloria, fide, charitate et incomprehensibili natura recte sentiunt, hoc illis objicit : Novimus incomprehensibilem Deum, qui nec oculis videri, nec explicari sermone potest ; eum nos, inquam, revera cognoscimus, sed nec aspectabilem et incomprehensibilem esse scimus. Ad hæc novæ iste dialecticæ architectus illudendo, ac deridendo velut fabulam quamdam contexuit. Cuinam ergo vos vestramque fidem similem, inquit, esse dixerim ? Nimirum vitiatæ, ac cæcæ, surdæ mutæque virgini : cui quidem **991** oblatum esse stuprum qui eam norunt omnes intelligunt. At si quis ille vitiator fuerit interroges, nequaquam audiat ; neque aut illum propter cæcitatem videre potuit, aut indicare, quod muta sit, potest. Merito igitur in ipsum ipsiusque sermonem illud e Scriptura retorquere licet : *Convertatur labor ejus in caput ipsius, et incidet in foveam quam fecit* [2], ac cætera id genus. Hic enim cæci similis est, qui cum ea calamitate natus loquatur audiatque quam plurima, ac licet albi, ac nigri, cærulei, prasini, rufi, ac cæterorum a se discrepantium colorum, necnon et lucis ac tenebrarum vocabula pronuntiet, quæ auditione didicerit, horum tamen figuram ac speciem minime cognoscit, nec cujusmodi sit explicare potest, quod ab utero matris cæcus prodierit, ac proinde singulorum qualitatem, discrimina figurasve discernere nequeat. Quodlibet enim istorum nominum sensuum perceptioni experientiæque consentaneam speciem exprimit, sed ea sermone declarari ei qui non illam oculis usurparit, neque tactu probari dijudicarive potest. Quare cum cæci illi de iisce coloribus disserentes, qui cum nigro candidum, viridem cum cæruleo, tum purpureum, coccineum, ac cæteros inter se perite comparant, de cujusque generis ac coloris qualitate a nobis interrogantur, nec istud eloqui, nec a nobis edoceri possunt, sed voce tenus sibiipsis persuadent ; et auditoribus imponunt, ut illorum discrimen perfectissime callere videantur, tametsi nihil præter nuda verba teneant earum rerum, quarum, quod eas minime comprehendere possint, summa in

Ε'. Ὅταν δέ τις αὐτοῖς εἴπῃ τῶν ὀρθῶς περὶ Θεοῦ ὀόξης, πίστεώς τε, καὶ ἀγάπης, καὶ ἀκαταληψίας δοξαζόντων, ὅτι Ἡμεῖς οἴδαμεν Θεὸν ἀκατάληπτον, Θεὸν ἀόρατον, ἀνεκδιήγητον· οἴδαμεν δὲ αὐτὸν ὄντως, ὄντα δὲ ἀόρατον καὶ ἀκατάληπτον· ἐπισκωμματικῶς καὶ κωτίλως λοιπὸν ὡς μῦθόν τινα διηγούμενος ἐτόλμησεν οὗτος ὁ τὴν καινὴν διαλεκτικὴν ἡμῖν φέρων· Τίνι οὖν ἐοίκατε, καὶ ἡ ὑμῶν πίστις; παρθένῳ φθαρείσῃ, οὔσῃ δὲ τυφλῇ, καὶ κωφῇ, καὶ ἀλάλῳ· ἧτις, ὅτι μὲν ἔφθαρται, πᾶσι πέφηνε τοῖς αὐτὴν γινώσκουσιν· ἐρωτωμένη δὲ τίς ὁ φθορεύς, οὐκ ἀκούει, ἵνα μάθῃ· καὶ οὔτε ἑώρακε τὸν φθείροντα, διὰ τὸ τετυφλῶσθαι, οὔτε ἀπαγγεῖλαι δύναται, διὰ τὸ ἄλαλον. Ὡς εἶναι ἀντιστρόφως πρὸς αὐτὸν καὶ τὸν αὐτοῦ μῦθον, κατὰ τὸ γεγραμμένον· *Ἐπιστρέψαι ὁ πόνος αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ. Καὶ ἐμπεσεῖται εἰς βόθρον ὃν εἰργάσατο*· καὶ τὰ τούτοις ὅμοια. Αὐτὸς γὰρ ἔοικε τυφλῷ ἐκ γενετῆς οὕτω γεγεννημένῳ, λαλοῦντι δὲ, καὶ πολλὰ λαλοῦντι καὶ ἀκούοντι, καὶ εἰδότι μὲν λευκοῦ τὸ ὄνομα, καὶ μέλανος, κυανοῦ τε, καὶ πρασίνου, καὶ πυρροῦ, καὶ τῶν ἄλλων διαφόρων ὀνομάτων, φωτός τε καὶ σκότους, ὧν μὲν τὰ ὀνόματα ἐνηχεῖται, οὐ μὴν δὲ γινώσκει τί τὸ εἶδος· οὐδ' ὅλως δύναται αὐτὸ ἑρμηνεῦσαι, διὰ τὸ ἀπαρχῆς αὐτὸν τυφλὸν γεγενῆθαι, καὶ τὴν ἐναλλαγὴν ἑκάστης ποιότητος χρωμάτων ἀγνοεῖν, καὶ τὸ εἶδος. Ἕκαστον γὰρ αὐτῶν τῶν ὀνομάτων τὸ κατάλληλον τῆς διακρίσεως διορατικῶν [3] αἰσθήσεων ἔχει τὴν πεῖραν, οὐ μὴν δὲ διὰ φράσεως τῷ μὴ γινώσκοντι ἀπαρχῆς τὸ εἶδος, οὔτε διὰ ψηλαφήσεως καὶ ἁφῆς δυνάμενον δοκιμασθῆναι. Ὅταν γοῦν οἱ ἀπὸ γενετῆς τυφλοὶ περὶ τούτων διαλεγόμενοι, καὶ εἰδότες ἀντιπαρακατατιθέναι τὸ μέλαν πρὸς τὸ λευκὸν, καὶ τὸ χλωρὸν πρὸς τὸ κυάνεον, καὶ πορφύρεόν [τε], κοκκινόν τε, καὶ τὰ ἄλλα χρώματα, ἐρωτηθῶσι δὲ ἀφ' ἡμῶν τὴν ποιότητα τοῦ εἴδους, καὶ τὸ χρῶμα ἑκάστης ποιότητος, οὔτε δύνανται εἰπεῖν, οὔτε ἀφ' ἡμῶν διδαχθῆναι, μόνον δὲ διὰ λόγου πείθωσιν [4] ἑαυτῶν τὴν διάνοιαν, ἀπατῶσι δὲ τοὺς ἀκούοντας, ὡς εἰδότες τέλειον περὶ τῆς διακρίσεως, κἂν τε τῷ λόγῳ λέγωσι, τὴν ἀγνωσίαν διὰ τῆς ἀκαταληψίας κεκτημένοι· οὕτω καὶ οὗτος ἥκει ἡμῖν λέγων περὶ Θεοῦ· καὶ ἐπιφημίζει μὲν σκωπτηλῶς τῇ ἀλάλου, καὶ κωφῆς, καὶ τυφλῆς παρθένου τὴν φθοράν,

[1] Hebr. xi, 6. [2] Psal. vii, 16, 17. [3] F. δι' ὁρατ. [4] F. πείθουσιν.

Digitized by Google

αὐτὸς κατὰ τὴν αὐτοῦ βλασφημίαν ἐφθαρμένος μᾶλλον, καὶ τὴν ἀγνωσίαν, ὡς ἀπὸ γενετῆς τύφλωσιν κεκτημένος, λέγων μὲν περὶ Θεοῦ, λόγοις δὲ ἀπεικάζων.

A ignoratione versantur. Ad hunc modum ille de Deo sermonem instituit, et corruptam nescio quam nobis, mutam, ac surdam cæcamque virginem per ludibrium objicit, pro sua in divinum numen petulantia corruptus ipse, et ignorantia velut ab origine contracta cæcitate laborans. Qui ita de Deo disputat, ut de ejus natura sermocinando conjicere ac divinare studeat.

Ϛ'. Λοιπὸν δὲ καὶ εἰς ἀναισχυντίαν τοὺς ὑπ' αὐτοῦ μεμαθητευμένους παρασκευάσας. Οὐδὲν γὰρ αὐτοῖς ἀτόλμητον. Βλασφημοῦσι μὲν οὖν προφητῶν ὀνόματα, καὶ ἀποστόλων· ὅταν ἐλεγχόμενοι ὑπό τινων ὑπωπιάζωνται[1], εὐθὺς ὑποτρέχοντες, καὶ ἀποπηδῶντες, καὶ λέγοντες· Τοῦτο ὁ Ἀπόστολος ὡς ἄνθρωπος ἔφη· ἄλλοτε δὲ, Τί μοι φέρεις τὰ τῆς Παλαιᾶς Διαθήκης; Οὐκ ἔστι δὲ θαυμαστὸν κατὰ τὰ ὑπὸ τοῦ Σωτῆρος εἰρημένα, ὅτι *Εἰ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ ἐκάλεσαν, πόσῳ μᾶλλον τοὺς οἰκειακοὺς αὐτοῦ;* Εἰ γοῦν αὐτὸν τὸν Κύριον, καὶ τὴν ἀληθινὴν αὐτοῦ δόξαν ἀρνοῦνται, πόσῳ γε μᾶλλον προφήτας αὐτοῦ, καὶ ἀποστόλους; Ἔτι δὲ εἰς περισσοτέραν μανίαν ἀρθέντες οἱ ἀπ' αὐτοῦ μεμαθητευμένοι, καὶ ὁ τούτων διάδοχος Εὐνόμιός τις ψευδωνύμως καλούμενος, ἔτι καὶ δεῦρο περιὼν τῷ βίῳ, μέγα κακὸν[2] τόλμημα· ἀναβαπτίζει γὰρ τοὺς ἤδη βαπτισθέντας, οὐ μόνον τοὺς ἀπὸ ὀρθοδόξων πρὸς αὐτὸν ἐρχομένους καὶ αἱρέσεων, ἀλλὰ καὶ τοὺς ἀπ' αὐτῶν τῶν Ἀρειανῶν. Ἀναβαπτίζει δὲ αὐτοὺς εἰς ὄνομα Θεοῦ ϰτίστου, καὶ εἰς ὄνομα Υἱοῦ κεκτισμένου, καὶ εἰς ὄνομα Πνεύματος ἁγιαστικοῦ, καὶ ὑπὸ τοῦ κεκτισμένου Υἱοῦ ϰτισθέντος. Ἵνα δὲ τὸ πᾶν κυβείας, καὶ θυμέλης, καὶ σκηνῆς τὸ ἐργαστήριον αὐτῶν ὀφθείη, ὅτι οὐκέτι πίστις ἡ ἀπ' αὐτῶν καταγγελλομένη, ἀλλὰ, σχεδὸν εἰπεῖν, μίμων ἐργαστήριον· διεβεβαιώσαντό τινες, ὅτι κατὰ κεφαλῆς τοὺς ἀναβαπτιζομένους βαπτίζει, καὶ τοὺς πόδας ἄνω, καὶ τὴν κεφαλὴν κάτω· καὶ οὕτως ἐνωμότως βιάζεται αὐτοὺς ὀμόσαι, μὴ ἀποπηδῆσαι τῆς ἀπ' αὐτοῦ μεμηχανημένης τοιαύτης αἱρέσεως. Φασὶ δὲ τὸν αὐτὸν Ἀέτιον μετὰ τὴν τελευτὴν Κωνσταντίου ὑπὸ Ἰουλιανοῦ τοῦ βασιλεύσαντος ἀνακληθέντα τῆς ἐξορίας, ἔτι ὄντα διάκονον τῆς αὐτοῦ αἱρέσεως, ὑπὸ τῆς αὐτοῦ αἱρέσεως ἐπισκόπου εἰς ἐπισκοπὴν προῆχθαι.

VI. Postremo discipulos suos ad extremam impudentiam perduxit. Nihil enim est quo non illorum pertingat audacia. Prophetarum apostolorumque nomina contumeliis incessunt. Cumque urgeri rationum vi, ac male **992** haberi cœperint, effugiunt subinde ac prosiliunt; et, Ista, inquiunt, Apostolus, tanquam homo, dixit. Alias : Quid tu mihi Vetus, aiunt, Testamentum objicis? Quod B quidem minime mirum est, si dictum illud Salvatoris consideretur : *Si Patrem familias Beelzebub vocaverunt, quanto magis domesticos illius*[3]? Si Dominum ipsum, ac verum ejus decus, et gloriam abnegare non dubitant, quanto magis prophetas illius, et apostolos negabunt? Præterea vero majore quadam insania ac furore correpti Aetii discipuli, cum horum successore, qui Eunomius falso nominatur, et ad hæc tempora superest, aliud quiddam sceleratum ac nefarium committunt : siquidem eos qui baptizati jam fuerint, iterum baptizat Eunomius, non modo qui a Catholicis, aut ab aliis hæresibus, sed eos etiam qui ab ipsismet Arianis deficiunt. Repetiti porro illius baptismi ea formula est : In nomine Dei increati, et in nomine Filii creati, et in nomine Spiritus sanctificantis et a creato Filio procreati. Atque ut tota illorum fraus, ac scenicæ velut artes, et fallaciæ penitus appareant; et id omnino constet, non fidem esse quod isti prædicant, sed histrionum officinam; sunt qui narrent, quotquot ab iis denuo baptizantur, in caput demergi, pedibus in sublime porrectis; itaque jusjurandum adigi : Nunquam se ab illius errore atque hæresi discessuros. Ferunt insuper Aetium ipsum post Constantii obitum a Juliano imperatore revocatum ab exsilio, cum sectæ suæ diaconus esset, ab ejusdem sectæ episcopo ad episcopi dignitatem esse provectum.

Ταῦτα δὲ εἰς ἡμᾶς ἐλθόντα Ἀετίου, καὶ τῶν αὐτοῦ μαθητῶν. Οἵστισί τινες Ἀνομοίους ἐπέθεντο ὄνομα, διὰ τὸ ἔτι περισσότερον τῆς τοῦ Ἀρείου πεφρονηκέναι αὐτὸν αἱρέσεως δεινοτέρως· ἅτινα κατὰ τὸ δυνατὸν λεπτομερῶς ἐν Θεῷ διεξελθόντες, ὥσπερ πολύπουν σκολόπενδραν, καὶ ἴουλον τὸ καλούμενον ἑρπετὸν τῷ τῆς ἀληθείας ποδὶ καταπατήσαντες, καὶ τῇ τοῦ Μονογενοῦς ἀληθινῇ ὁμολογίᾳ συντρίψαντες, συνήθως Θεῷ εὐχαριστοῦντες, τὴν αὐτοῦ δύναμιν ἐπαγόμενοι εἰς βοήθειαν τῆς ἡμετέρας ἀσθενείας, ἐπὶ τὰς ἐξῆς ὑπολειφθείσας κατὰ τὴν δύναμιν ἡμῶν καὶ κατάληψιν ἡμῶν ἴωμεν, ὦ ἐπιπόθητοι, αὐτὸν ἐπικαλούμενοι, ὡς ἔφην, τὸν Δεσπότην συμπαρεῖναι ἡμῖν πρὸς τὴν ἐκείνων ὑπόδειξιν καὶ τὴν πρὸς αὐτοὺς ἀνατροπήν· ἵνα ἐν τῇ αὐτοῦ δυνάμει δυνηθείημεν πλη-

D Hæc sunt, quæ de Aetio Aetiique discipulis investigare potuimus. Quos nonnulli Anomœos, hoc est *dissimiles*, nominant : quod Arianam hæresin uberiore quadam ac magis exsecranda dogmatum impietate superarunt. De quibus posteaquam singillatim pro viribus, divina opitulante gratia, disputavimus, ac velut multipedem scolopendram, quod insecti genus iiulum vocant, veritatis pede proculcavimus, et unici Dei Filii vera confessione contrivimus, gratiis Deo more nostro persolutis, **993** ejusque ad imbecillitatis nostræ præsidium implorata virtute, ad reliquas hæreses pro captu virium nostrarum intelligentiæque transeamus. Ac Domini in primis opem, ut diximus, imploremus, ut is ad illas explicandas ac refutandas præsto nobis

[1] F. ὑποπιέζονται. [2] F. κακῶν. [3] Matth. x, 25.

Digitized by Google

esse velit : quo illius viribus ac potestate freti, quod tenuitas mediocritasque nostra suscepit ad exitum perducere possimus.

ρῶσαι τὸ ἐπάγγελμα τῆς ἡμῶν σμικρότητος καὶ βραχύτητος.

ΤΑΔΕ ΕΝΕΣΤΙ ΚΑΙ ΕΝ ΤΩ ΔΕΥΤΕΡΩ ΤΟΜΩ

ΤΟΥ ΑΥΤΟΥ ΤΡΙΤΟΥ ΒΙΒΛΙΟΥ,

Ἑβδόμῳ δὲ ὄντι καθ' ἣν εἴπομεν τῶν τόμων τοῦ ἀριθμοῦ διαίρεσιν· ὃς ἐστι τόμος ἕβδομος, καὶ τέλος τῆς πραγματείας πάσης· ἐν ᾧ εἰσιν αἱρέσεις τέσσαρες.

INDICULUS EORUM QUÆ IN LIBRI III TOMO II

CONTINENTUR :

Qui est ex instituta hactenus tomorum distributione VII, idemque totius operis ultimus; in quo hæreses sunt IV.

I. *Dimæritæ*, qui perfectam Christi incarnationem minime confitentur : quorum alii consubstantiale divinitati corpus asserere ausi sunt; alii vero assumptam esse ab eodem animam negarunt; quidam his Evangelii verbis, *Verbum caro factum est* [1], freti, ex creata carne, hoc est Maria, carnem ab illo susceptam esse voluerunt, sed solum Verbum carnem esse factum pertinaciter defenderunt : postea vero, quam ob causam nescio, mentem illum non assumpsisse dixerunt.

Α'. *Διμοιρῖται*, οἱ μὴ τελείαν τὴν Χριστοῦ ἐναν- B θρώπησιν ὁμολογοῦντες· ὧν τινες ὁμοούσιον τὸ σῶμα τῇ θεότητί ποτε ἐτόλμησαν λέγειν· τινὲς δέ ποτε ψυχὴν αὐτὸν εἰληφέναι ἠρνοῦντο· τινὲς δὲ διὰ τοῦ λόγου τοῦ, *Ὁ Λόγος σὰρξ ἐγένετο*, ἐπερειδόμενοι ἠρνοῦντο τὸ ἀπὸ κτιστῆς σαρκὸς, τουτέστι Μαρίας, τὸ κατὰ σάρκα αὐτὸν εἰληφέναι· μόνον δὲ φιλονείκως ἔλεγον τὸν Λόγον σάρκα γεγενῆσθαι· εἰσύστερον δὲ τί διανοούμενοι οὐκ οἶδα εἰληφέναι.

II. *Antidicomarianitæ*, beatam, semperque Virginem Mariam post editum Salvatorem cum Josepho consuevisse putant.

Β'. *Ἀντιδικομαριανῖται*, οἱ τὴν ἁγίαν Μαρίαν τὴν Ἀειπάρθενον, μετὰ τὸ τὸν Σωτῆρα γεγεννηκέναι, τῷ Ἰωσὴφ συνῆφθαι λέγοντες.

III. *Collyridiani*, qui in ejusdem Mariæ nomen stato anni die collyridem offerunt : quos idcirco Collyridianos nominavimus. C

Γ'. *Κολλυριδιανοί* [2], οἱ εἰς ὄνομα τῆς αὐτῆς Μαρίας ἐν ἡμέρᾳ τινὶ τοῦ ἔτους ἀποτεταγμένῃ κολλυρίδα τινὰ προσφέροντες, οἷς ἐπεθέμεθα ὄνομα Κολλυριδιανῶν.

994 IV. *Massaliani*, quos interpretari possumus *precantes*. His adjunguntur e gentilium sectis, quos Euphemitas, et Martyrianos, et Satanianos appellant.

Δ'. *Μασσαλιανοί* [3], ἑρμηνευόμενοι *εὐχόμενοι*. Συνάπτονται δὲ τούτοις καὶ τῶν ἀπὸ Ἑλλήνων ἐπιτετηδευμένων αἱρέσεων οὗτοι, οἱ λεγόμενοι Εὐφημῖται, καὶ Μαρτυριανοὶ, καὶ Σατανιανοί.

Summa hæc est tomi septimi, ac trium librorum finis. Colliguntur hæreses LXXX. Sub finem tertii libri, septimique tomi, formula fidei, quam Ecclesia catholica profitetur, subjecta est, ac veritatis defensio, et Evangelii Christi prædicatio, ac denique catholicæ apostolicæque Ecclesiæ forma, quæ cum ab æterno fuerit, successione temporum post incarnationem Christi evidentissime patefacta est.

Αὕτη καὶ ἡ τοῦ ἑβδόμου τόμου ἀνακεφαλαίωσις, καὶ τέλος τῶν τριῶν βιβλίων, ὁμοῦ δὲ αἱ πᾶσαι αἱρέσεις π'. Ἐν αὐτῷ δὲ τῷ τέλει τοῦ τρίτου βιβλίου, ἑβδόμου δὲ τόμου, ἐν ὑστέρῳ ἡ πίστις τῆς καθολικῆς Ἐκκλησίας, καὶ ἀπολογία ὑπὲρ ἀληθείας, καὶ κήρυγμα τοῦ Εὐαγγελίου Χριστοῦ, καὶ χαρακτὴρ τῆς καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας, τῆς ἀπ' D αἰῶνος οὔσης, κατὰ δὲ διαδοχὴν χρόνων φανερώτατα ἐν τῇ τοῦ Χριστοῦ ἐνσάρκῳ παρουσίᾳ ἀποκαλυφθεῖσα.

[1] Joan. I, 14. [2] Reg. Κολλουριδιανοί. [3] γρ. Πασσαλιανοί.

Digitized by Google

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ ΤΟΥ ΤΡΙΤΟΥ ΒΙΒΛΙΟΥ.

995 LIBRI III TOMUS II.

ΚΑΤΑ ΔΙΜΟΙΡΙΤΩΝ,

Τῶν ὑπό τινων κληθέντων, μὴ τελείαν τὴν Χριστοῦ ἐνανθρώπησιν ὁμολογούντων, πεντηκοστὴ ἑβδόμη, ἡ καὶ ἑπτακοστὴ ἑβδόμη.

Α'. Καθεξῆς δὲ τούτοις πάλιν ἐπίπονος ἡμῖν ἐν προλήψει τῷ βίῳ ἐρρύη τις ἀλλοτρία τῆς πίστεως λέξις· ἐκ ποίας αἰτίας οὐκ ἔχω λέγειν· ἀλλ' ἵνα μὴ ἐάσῃ ὁ ἀεὶ ταράσσων τὴν ἀνθρωπείαν φύσιν, καὶ πολεμῶν, ὡς εἰπεῖν, διάβολος, ἐμβάλλων αὐτοῦ τὰ πικρὰ δηλητήρια ἐν τοῖς θαυμασίοις ἐδέσμασι, καὶ ὡς ἐν μέλιτι παραβάλλων τὴν πικρίαν, οὕτω διά τινων τῶν ἐπ' ἄκρον βίου θαυμαζομένων, καὶ ἐν ἐπαίνοις ὀρθοδοξίας ἀεὶ καταγγελλομένων. Καὶ γὰρ τοῦτό ἐστι τὸ ἔργον αὐτοῦ, τοῦ φθονήσαντος ἀπαρχῆς τῷ πατρὶ ἡμῶν Ἀδὰμ, καὶ πᾶσιν ἀνθρώποις ἐχθραίνοντος· ὡς καί που τινῶν [1] σοφῶν εἴρηται, ὅτι *Φθόνος ἀεὶ ταῖς μεγάλαις εὐπραγίαις ἀντίπαλος.* Οὕτω καὶ διὰ τῶν μειζόνων προσώπων ἔβαλέ τινας προφάσεις, ἵνα ἡμᾶς καὶ τὴν ἁγίαν τοῦ Θεοῦ Ἐκκλησίαν ἄλυπον μὴ ἐάσῃ, ἀλλὰ ἀεὶ θορυβουμένην τε καὶ πολεμουμένην. Ἔδοξε γάρ τισι καὶ τοῖς ἐξ ἡμῶν ὁρμωμένοις, καὶ ἐν μεγάλῃ διαβέσει ὑπάρχουσιν, ἐν ἐπαίνοις δὲ ἀεὶ παρ' ἡμῖν καὶ παρὰ πᾶσιν ὀρθοδόξοις ἐκθειαζομένοις, παρεκβάλλειν τὸν νοῦν ἀπὸ τῆς τοῦ Χριστοῦ ἐνσάρκου παρουσίας, καὶ λέγειν, ὅτι σάρκα ἔλαβεν ὁ Χριστὸς ἐλθὼν ὁ Κύριος ἡμῶν, καὶ ψυχὴν, νοῦν δὲ οὐκ ἔλαβε, τουτέστι τέλειον ἄνθρωπον· τί ἐκ τούτου τῷ βίῳ συνεισενεγκάμενοι ἀγνοῶ λέγειν, ἢ παρὰ τίνων τῶν πρὸ αὐτῶν μεμαθηκότες, ἢ τί ὠφέλιμον ἐκ τούτου κερδήσαντες, ἢ χαρισάμενοι ἡμῖν τε καὶ τοῖς ἀκούουσι, καὶ τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ· οὐδὲν πλὴν ἢ ταραχὴν καὶ διαίρεσιν εἰς ἡμᾶς ἐργασάμενοι, καὶ λύπην, καὶ ζημίαν τῆς ἀπ' ἀλλήλων γλυκύτητος καὶ ἀγάπης. Τὴν γὰρ τῶν θείων Γραφῶν ἀκολουθίαν, καὶ εὐθύτητα, καὶ ἀκακίας ὁμολογίαν, προφητικήν τε καὶ εὐαγγελικὴν, καὶ ἀποστολικὴν πίστιν παρέντες, σοφιστικὴν ἡμῖν λέξιν καὶ μυθώδη παρεισήγαγον, μεθ' ἧς καὶ πολλῶν δεινῶν ἀκολουθίαν, πληροῦντες ἐν ἑαυτοῖς τὸ εἰρημένον, ὅτι *Ἀποστήσονταί τινες τῆς ὑγιαινούσης διδασκαλίας, προσέχοντες μύθοις καὶ κενοφωνίαις.*

Β'. Ὁ πρεσβύτης καὶ σεμνοπρεπὴς, ὁ ἀεὶ ἡμῖν ἀγαπητὸς, καὶ τῷ μακαρίτῃ πάπᾳ Ἀθανασίῳ, καὶ πᾶσιν ὀρθοδόξοις, Ἀπολλινάριος ὁ ἀπὸ Λαοδικείας,

CONTRA DIMŒRITAS,

Ut nonnulli vocant, qui perfectam Christi incarnationem abnegant, quæ est hæresis LVII, sive LXXVII.

I. Post superiores illos nova quædam ac difficilis et a recta fide abhorrens hæresis ex anticipata quorumdam opinione in humanum genus prodiit : neque causam cur ita contigerit satis intelligo, nisi quod id unum humanæ naturæ perturbator et hostis diabolus studet, nunquam ut ab infestandis hominibus cesset; qui amarissimo suo veneno exquisitos cibos inficit, ac melli fel admiscet; idque potissimum illorum opera molitur, qui admirabili vitæ instituto celebrantur, et propter sinceræ fidei studium ardoremque commendantur. Hoc enim unicum illius opus est, qui et adversus parentem nostrum Adamum invidia primum, et adversus humanum omne genus odiis efferbuit. Quam ad sententiam præclare sapiens quidam dixit, *Invidiam magnis perpetuo* 996 *successibus adversari.* Sic igitur per magnos quosque viros errores introduxit, uti nos atque Ecclesia Dei perpetuis molestiis ac tumultibus bellisque conflictemur. Etenim nonnullis nostrorum placuit, et quidem primariis, atque a nobis et ab omnibus orthodoxis divinis propemodum honoribus affectis, mentem ab Christi incarnatione dimovere, eumdemque carnem cum anima duntaxat suscepisse, mentem vero nequaquam, asserere : hoc est non perfectum hominem induisse. Neque video quid hac opinione humano generi contulerint, aut a quibusnam istiusmodi dogma didicerint : quidve aut ex ea re emolumenti ipsi ceperint, aut nobis ipsis, atque auditoribus omnibus, adeoque sanctæ Dei Ecclesiæ fructus attulerint, nisi ut tumultus ac simultates et dolores inter nos excitarint, mutuæque concordiæ charitatisque suavitatem extorserint. Quippe divinarum Scripturarum consentientem ac rectum ordinem, et innocentiæ professionem, ac propheticam, evangelicam et apostolicam fidem negligentes, sophisticas nobis argutias ac fabulas obtruserunt; quibus infinitas nobis calamitates attulerunt, atque in seipsis Apostoli dictum illud impleverunt : *Deficient quidam a sana doctrina, attendentes fabulis et inanibus nugis* [2].

II. Egregius ille ac venerabilis senex, quem nos, et beatæ memoriæ papa Athanasius, imo vero Catholici omnes unice dileximus, Apollinaris Laodi-

[1] F. ὑπό τινων. [2] II Tim. IV. 3.

Digitized by Google

cenus, hujus dogmatis auctor ac propagator exstitit. Ac principio quidem cum id nobis nonnulli ex ejus discipulis narrarent, fidem non habebamus, neque verisimile putabamus a tanto viro errorem ejusmodi profectum. Itaque nonnulla adhuc meliorum spe patienter exspectavimus, donec rem omnem accurate cognovimus. Hoc enim dicebamus : Discipulos illius, qui ad nos ventitabant, cum ea minime caperent, quæ ab erudito illo ac sapienti viro præceptore suo abstrusa, ac recondita proferrentur, ejusmodi quædam finxisse sibi, quæ ab illo nunquam didicerant, præsertim cum multa inter illos, qui nos adibant, opinionum varietas esset. Quippe nonnulli eo progressi sunt, ut Christum corpus e cœlo detulisse dicerent : quæ absurda peregrinaque comminiscendi licentia, hominum semel animis incidens, ad graviora acerbioraque **997** processit. Alii vero Christum animam assumpsisse negaverunt. Quidam ejusdem Christi corpus divinitati consubstantiale non dubitarunt asserere. Quibus opinionum portentis Orientem magnopere perturbarunt : propter quos conflari synodum necesse fuit, ejusdemque decreto condemnari. Quin etiam commentarii quidem præscripti sunt, quorum exempla ad B. M. papam Athanasium missa sunt : quibus ille commentariis adductus est, ut adversus dogmatum illorum assertores minaces litteras ad venerabilem episcopum Epictetum scriberet, a quo rogatus fuerat, ut tempestatis illius ac tumultus auctoribus responderet. Quamobrem in eadem epistola de fide perspicue accurateque beatus ille disseruit, et illos novorum dogmatum propagatores perturbatoresque proscripsit. Cujus epistolæ integrum exemplum hic scribere necessarium esse duxi. Est autem ejusmodi :

A οὗτος ἦν ὁ ἐν ἀρχῇ τοῦτο τὸ ῥῆμα ἐπινοήσας τε καὶ προαγόμενος. Καὶ τὰ πρῶτα μὲν ἐνηχούμενοι ἀπό τινων τῶν ὑπ' αὐτοῦ μεμαθητευμένων, ἠπιστοῦμεν, εἰ ἄρα ὁ ἀνὴρ τοιοῦτος τυγχάνων τοῦτο παρεισήγαγε τῷ βίῳ τὸ ῥῆμα, ἔτι ἐν προσδοκίᾳ ἐλπίδος μακροθυμοῦντες, ἕως τἀκριβὲς ἐπιγνῶμεν. Ἐλέγομεν γὰρ τοὺς παῖδας τοὺς ὑπ' αὐτοῦ, πρὸς ἡμᾶς ἀφικομένους, μὴ νοοῦντας τὰ βαθέως ὑπὸ τοῦ τοιούτου λογίου ἀνδρὸς, καὶ συνετοῦ, καὶ διδασκάλου, ἀφ' ἑαυτῶν ταῦτα πλάττειν, μὴ ἀπ' αὐτοῦ μεμαθηκότας. Πολλὰ γὰρ ἦν, ἃ ἐν αὐτοῖς πρὸς ἡμᾶς ἐρχομένοις ἠμφιβάλλετο. Τινὲς μὲν γὰρ αὐτῶν ἐτόλμησαν λέγειν ἄνωθεν τὸν Χριστὸν τὸ σῶμα κατενηνοχέναι· ἐπιμένουσα δὲ ἐν τῇ τῶν ἀνθρώπων ἐννοίᾳ ἡ ξενολογία ἐπὶ τὴν δεινότητα προκοπὴν εἰργάζετο. Ἄλλοι B δὲ ἐξ αὐτῶν καὶ τὸ ψυχὴν εἰληφέναι τὸν Χριστὸν ἠρνήσαντο. Τινὲς δὲ καὶ ὁμοούσιον τὸ σῶμα τοῦ Χριστοῦ τῇ θεότητι λέγειν ἐτόλμησαν, καὶ τὰ ἀνωτερικὰ μέρη εἰς πολλὴν ταραχὴν κατέστησαν· δι' οὓς ἀνάγκη γέγονε (92) σύνοδον συγκροτηθῆναι, καὶ ἀναθεματίσαι τοὺς τοιούτους. Ἀλλὰ καὶ ὑπομνήματα πέπρακται, ὧν ἀντίγραφα τῷ μακαρίτῃ πάπᾳ Ἀθανασίῳ ἀπεστάλη· δι' ἣν αἰτίαν τῶν ὑπομνημάτων καὶ αὐτὸς ὁ μακαρίτης ἠναγκάσθη γράψαι ἐπιστολὴν κατὰ τῶν τὰ τοιαῦτα λεγόντων, μετὰ ἀπειλητικῶν λόγων ἐπιπεμψάμενος τῷ αἰδεσιμωτάτῳ ἐπισκόπῳ Ἐπικτήτῳ, ὅτι κατηξίωσε περὶ τούτου κἂν ἀπόκρισιν τοῖς ταράξασι δοῦναι. Σαφῶς δὲ περὶ τῆς πίστεως γράψας ὁ αὐτὸς μακαρίτης ἐν ταυτῷ, καὶ τοὺς αὐτὰ φάσκοντας καὶ ταράττοντας ἀπεκήC ρυξεν. Ἧς ἐπιστολῆς τὸ ἀντίγραφον ἐνταῦθα παραθέσθαι διόλου ἀναγκαῖον ἡγησάμην. Καὶ ἔστι τόδε·

Athanasius episcopus Alexandriæ Epicteto Corinthiorum episcopo.

III. Equidem arbitrabar hæreticorum, quotquot unquam fuerunt, omnium vanam absurdamque loquacitatem ab Nicæna synodo penitus esse compressam. Quæ enim illic a Patribus ex sacrarum auctoritate Litterarum proposita fidei formula est, cum ad omne genus impietatis evertendum, tum ad religiosam in Christo fidem affirmandam sufficere videtur. Quamobrem cum per Galliam, Hispaniam, Romæque adeo frequentia hoc tempore concilia celebrata sint, quotquot in illis congregati sunt, occultos Arii fautores, Auxentium dico Mediolanensem, et Ursatium, ac Valentem, Caium quoque Pannonium, velut unius afflatu spiritus, communi suffragio condemnarunt, et encyclicas litteras scripserunt : quibus, quod isti synodorum falsa nomina jactarent, ullam in Ecclesia catholica synodum præter Nicænam nominari vetuerunt : quæ cum de cæteris omnibus, tum de Ariana potissimum hæresi

Ἀθανάσιος ἐπίσκοπος Ἀλεξανδρείας πρὸς Ἐπίκτητον ἐπίσκοπον Κορινθίων.

Γ'. Ἐγὼ μὲν ἐνόμιζον πᾶσαν ματαιολογίαν πάντων, ὅσοι δηποτοῦν εἰσιν αἱρετικοὶ, πεπαῦσθαι ἐκ τῆς γενομένης ἐν Νικαίᾳ συνόδου. Ἡ γὰρ ἐν αὐτῇ παρὰ τῶν Πατέρων κατὰ τὰς ἁγίας Γραφὰς ὁμολογηθεῖσα πίστις αὐτάρκης ἐστὶ πρὸς ἀνατροπὴν μὲν πάσης ἀσεβείας, σύστασιν δὲ τῆς ἐν Χριστῷ εὐσεβοῦς πίστεως. Διὰ τοῦτο γοῦν καὶ νῦν διαφόρων γενομένων συνόδων, ἔν τε τῇ Γαλλίᾳ καὶ Σπανίᾳ, καὶ τῇ μεγάλῃ D Ῥώμῃ, πάντες οἱ συνελθόντες τοὺς μὲν ἐπικρυπτομένους, καὶ φρονοῦντας τὰ Ἀρείου, Αὐξέντιον δὴ λέγω τὸν ἐν Μεδιολάνῳ, καὶ Οὐρσάκιον, καὶ Οὐάλεντα, Γάϊον ἀπὸ τῆς Παννονίας, παμψηφὶ, ὡς ἀπὸ ἑνὸς πνεύματος κινούμενοι, ἀνεθεμάτισαν· ἔγραψαν δὲ πανταχοῦ, διὰ τὸ τοὺς τοιούτους ἐπινοεῖν ἑαυτοῖς ὀνόματα συνόδων, μηδεμίαν ἐν τῇ καθολικῇ Ἐκκλησίᾳ σύνοδον ὀνομάζεσθαι, εἰ μὴ μόνον τὴν ἐν Νικαίᾳ γενομένην, τρόπαιον μὲν οὖσαν πάσης αἱρέσεως, ἐξαιρέτως δὲ τῆς Ἀρειανῆς, δι' ἣν μάλιστα καὶ ἡ σύν-

(92) *Δι' οὓς ἀνάγκη γέγονε.* Duplex illis temporibus habita synodus est, in qua error Apollinarii damnatus est : prima Alexandriæ ab Athanasio, et Eusebio Vercellensi, postquam Juliano imperante, Georgio ab Alexandrinis occiso, sedi suæ restitutus est Athanasius, anno Christi 362 ; altera Romæ sub Damaso, anno Christi 373. Vide *Annales eccles.* De hoc posteriori concilio, cujus recens cum hæc scriberet Epiphanius memoria erat, eumdem intelligendum existimo.

Digitized by Google

οδος τότε συνήχθη. Πῶς τοίνυν ἔτι μετὰ τοσαῦτα ἀμφισβητεῖν τινες ἢ ζητεῖν ἐπιχειροῦσιν; Εἰ μὲν οὖν ἐκ τῶν Ἀρειανῶν εἰσιν, οὐδὲν θαυμαστὸν, εἰ τὰ καθ' ἑαυτῶν γραφέντα διαβάλλουσιν· ὥσπερ καὶ Ἕλληνες ἀκούουσι· *Τὰ εἰδωλα τῶν ἐθνῶν ἀργύριον, καὶ χρυσίον, ἔργον χειρῶν ἀνθρώπων*, μωρίαν ἡγοῦνται τὴν περὶ τοῦ ἁγίου Πνεύματος διδασκαλίαν. Εἰ δὲ τῶν δοκούντων ὀρθῶς πιστεύειν, καὶ ἀγαπᾷν τὰ δηλωθέντα παρὰ τῶν Πατέρων εἰσὶν οἱ διὰ τοῦ ζητεῖν ἀνασκευάζειν ἐθέλοντες, οὐδὲν ἕτερον ποιοῦσιν, ἢ κατὰ τὸ γεγραμμένον· Τὸν μὲν πλησίον ποτίζουσιν ἀνατροπὴν θολερὰν, λογομαχοῦσι δὲ ἐν οὐδενὶ χρησίμῳ ἢ ἐπὶ καταστροφῇ τῶν ἀκεραίων.

A triumphavit, cujus unius gratia potissimum est collecta. Post ea vero tot tantaque, quid est quod nonnulli controversiam facere ac quæstiones agitare conantur? Qui si ex Ariana factione sunt, 998 nihil mirum est illos quæ contra se sunt scripta, criminari. Quemadmodum et gentiles cum e Psalmis istud audiunt: *Simulacra gentium argentum, et aurum, opus manuum hominum*[3], illam Spiritus sancti doctrinam meram esse stultitiam arbitrantur. Sin ex eorum numero sunt, qui sana ac sincera fide prædili videntur, et in iis, quæ a Patribus decreta sunt, acquiescere, ac nihilominus suis illis quæstionibus evertere omnia conantur, nihil aliud efficiunt, nisi quod scriptum est: Proximo quidem turbidam eversionem propinant[4]; et otiosas verborum contentiones movent[5], quæ ad aliud nihil, quam ad rudiorum perniciem atque exitium pertinent.

Δ'. Ταῦτα δὲ οὕτως γράφω, ἐντυχὼν τοῖς παρὰ τῆς σῆς θεοσεβείας προσαχθεῖσιν[1] ὑπομνήμασιν· ἃ μηδὲ γραφῆναι ὤφελον, ἵνα μηδὲ μνήμη τις τούτων τοῖς μετὰ ταῦτα γένηται. Τίς γὰρ ἤκουσε τοιαῦτά ποτε; τίς δὲ ὁ διδάξας, ἢ μαθών; Ἐκ μὲν γὰρ Σιὼν ἐξελεύσεται λόγος Κυρίου, καὶ νόμος Θεοῦ ἐξ Ἱερουσαλήμ. Ταῦτα δὲ πόθεν ἐξῆλθε; Ποῖος ᾄδης ἐξηρεύξατο, ὁμοούσιον εἰπεῖν ἐκ Μαρίας σῶμα τῇ τοῦ Λόγου θεότητι; ἢ ὅτι ὁ Λόγος εἰς σάρκα, καὶ ὀστᾶ, καὶ τρίχας, καὶ ὅλον σῶμα μεταβέβληται, καὶ ἠλλάγη τῆς ἰδίας φύσεως; Τίς ὅλως ἤκουσε παρὰ Χριστιανῶν, ὅτι θέσει, καὶ οὐ φύσει σῶμα πεφόρηκεν ὁ Υἱός; Ἢ τίς τοσοῦτον ἠσέβησεν, ὥστε εἰπεῖν ἅμα καὶ φρονεῖν, ὅτι θεότης αὐτοῦ ἡ ὁμοούσιος τῷ Πατρὶ αὐτὴ περιετμήθη, καὶ ἀτελὴς ἐκ τελείου γέγονε; καὶ τὸ ἐν τῷ ξύλῳ καθηλούμενον οὐκ ἦν τὸ σῶμα, ἀλλὰ αὐτὴ ἡ δημιουργὸς οὐσία τῆς φύσεως; τίς δὲ ἀκούων, ὅτι οὐκ ἐκ Μαρίας, ἀλλ' ἐκ τῆς αὐτοῦ οὐσίας μετεποίησεν ἑαυτῷ σῶμα παθητὸν ὁ Λόγος, εἴποι ἂν Χριστιανὸν τὸν λέγοντα ταῦτα; Τίς δὲ τὴν ἀθέμιτον ταύτην ἐπενόησεν ἀσέβειαν, ὥστε κἂν εἰς ἐνθύμησιν ἐλθεῖν, καὶ εἰπεῖν, ὅτι ὁ λέγων ἐκ Μαρίας εἶναι τὸ Κυριακὸν σῶμα, οὐκέτι Τριάδα, ἀλλὰ τετράδα ἐν τῇ θεότητι φρονεῖ; ὡς διὰ τοῦτο τοὺς οὕτω διακειμένους τῆς οὐσίας τῆς Τριάδος λέγειν τὴν σάρκα, ἣν ἐνεδύσατο ἐκ Μαρίας ὁ Σωτήρ. Πόθεν δὲ πάλιν ἠρεύξαντό τινες ἴσην ἀσέβειαν τοῖς προειρημένοις, ὥστε εἰπεῖν μὴ νεώτερον εἶναι τὸ σῶμα τῆς τοῦ Λόγου θεότητος, ἀλλὰ συναΐδιον αὐτῷ διαπαντὸς γεγενῆσθαι, ἐπειδὴ ἐκ τῆς σοφίας συνέστη; Πῶς δὲ καὶ ἀμφιβάλλειν ἐτόλμησαν οἱ λεγόμενοι Χριστιανοὶ, εἰ ὁ ἐκ Μαρίας προελθὼν Κύριος, Υἱὸς μὲν τῇ οὐσίᾳ καὶ τῇ φύσει τοῦ Θεοῦ ἐστι, τὸ δὲ κατὰ σάρκα ἐκ σπέρματος Δαβὶδ ἐστι, σαρκὸς δὲ τῆς ἁγίας Μαρίας; Τίνες ἄρα οὕτω τολμηροὶ γεγόνασιν, ὥστε εἰπεῖν τὸν Χριστὸν τὸν σαρκὶ παθόντα, καὶ ἐσταυρωμένον, μὴ εἶναι Κύριον, καὶ Σωτῆρα, καὶ Θεὸν, καὶ Υἱὸν τοῦ Πατρός; Ἢ πῶς Χριστιανοὶ θέλουσιν ὀνομάζεσθαι οἱ λέγοντες εἰς ἄνθρωπον ἅγιον, ὡς ἐπὶ ἕνα τῶν προφητῶν, ἐληλυθέναι τὸν Λόγον, καὶ μὴ αὐτὸν ἄνθρωπον γεγονέναι, λαβόντα ἐκ Μαρίας τὸ σῶμα, ἀλλ' ἕτερον εἶναι τὸν Χριστὸν, καὶ ἄλλον τὸν τοῦ Θεοῦ

B IV. Hæc idcirco scribo, quod commentaria quædam legi a pietate tua nobis oblata. Quæ utinam scripta nunquam fuissent, ne vel tenuissima ad posteros illorum memoria perveniret! Quis enim hæc unquam audiit? quis docuit didicitve? Nam e Sion egreditur verbum Domini, et lex Dei ex Hierusalem[2]. At hæc unde prodierunt? Quinam inferi illud eructarunt, consubstantiale divinitati Verbi corpus illud esse, quod a Maria genitum est? aut Verbum ipsum in carnem, ossa, capillos, ac totum denique corpus esse conversum, et a suapte natura mutatum? Quis omnino de Christianis audiit Filium Dei specie ac fictione sola corpus, non natura gessisse? Quis tam impius fuit, ut ipsammet ejusdem divinitatem circumcisam esse, atque imperfectam e perfecta redditam fuisse sentiret ac diceret? Item illud ipsum, quod in ligno suffixum est, non corpus exstitisse, sed substantiam ipsam naturæ totius opificem? Quis cum istud audiat, non e Maria, sed ex propria substantia Dei Verbum obnoxium passioni sibi corpus effinxisse, Christianum qui hæc dixerit arbitretur? Quis exsecrandæ illius impietatis auctor est, ut ejusmodi quædam animo concipere, aut eloqui minime formidaret, eum qui Dominicum e Maria corpus esse natum asserat, non Trinitatem, sed quaternitatem divinitati tribuere? Adeo ut qui ita sentiunt, carnem illam, quam Salvator e Maria Virgine suscepit, ex ipsa substantia Trinitatis esse fateantur. Jam vero undenam parem huic ac germanam impietatem evomere alii quidam in animum induxerunt, uti corpus ipsum non divinitate Verbi recentius, sed coæternum ac perpetuo cum illo conjunctum exstitisse 999 definiant, quandoquidem ab ipsa sapientia constitutum est? Potuitne Christianis ab hominibus in dubium vocari, utrumnam Dominus noster de Maria Virgine natus substantia naturaque Dei Filius exstiterit, secundum carnem vero e Davidis stirpe, ac sacrosanctæ Virginis carne susceptus? Quinam porro tanta temeritate et audacia fuerunt, ut Christum iHum assererent, qui in carne passus, et in crucem actus

[1] γρ. προαχθεῖσιν. [2] Psal. CXIII, 4; CXXXIV, 15. [3] Habac. II, 15. [4] I Tim. VI, 4. [5] Isa. II, 3.

Digitized by Google

est, non esse Dominum, ac Salvatorem, et Deum, Patrisque Filium? Quonam pacto Christianos appellari se volunt, qui in sanctum hominem, perinde ut in aliquem de prophetarum numero, delapsum esse Verbum, non ipsummet hominem factum esse profitentur, cum ex Maria corpus induisset, sed alterum esse Christum, alterum Dei Filium, qui ante Mariam, et ante sæcula omnia Filius ex Patre prodierit? An vero Christiani esse possunt, qui alium esse Deum, aliud et ab illo diversum Dei Verbum prædicant?

A Υἱὸν, τὸν πρὸ Μαρίας καὶ πρὸ αἰώνων Υἱὸν ὄντα τοῦ Πατρός; Ἢ πῶς Χριστιανοὶ εἶναι οἱ λέγοντες ἄλλον τὸν Θεὸν εἶναι, καὶ ἄλλον εἶναι τὸν τοῦ Θεοῦ Λόγον;

V. Hæc in illis commentariis continebantur pronuntiata diverse, sed quorum una eademque mens esset cum impietate conjuncta. Propterea dissidebant a se invicem, ac pugnabant ii qui se fidei professione a Patribus in Nicæna synodo prodita gloriantur. Ego vero pietatem tuam magnopere demiratus sum, quod istos homines tolerare potuerit, neque talia jactantibus silentium imposuerit, ac B piam sinceramque fidei regulam obtulerit; qua quidem audita vel acquiescerent, vel, si contradicere mallent, hæretici nominarentur. Nam quæ ante commemorata sunt, neque proferri, neque audiri apud Christianos possunt, sed ab apostolica disciplina penitus abhorrent. Quocirca eorumdem ego dogmata, cujusmodi ante proposita sunt, nude huic epistolæ attexenda curavi, ut qui hæc solum audierit, illorum infamiam impietatemque contempletur. Ac tametsi eorum, a quibus excogitata ista sunt, turpitudo pluribus accusanda, ac redarguenda videatur, nihilominus hæc ad epistolæ modum satis esse, neque uberius scribendum existimavi. Nam quæ tam aperta nequitia implicata sunt, agitare C vehementius, ac curiosius perscrutari non oportet, ne a contentiosis hominibus pro dubiis et ambiguis habeantur, Quare id unum adversus ejusmodi excipere ac respondere sufficit: non esse hæc **1000** Ecclesiæ catholicæ dogmata, neque hunc Patrum nostrorum sensum exstitisse. Verum ne, si omnino dissimulavero, perniciosorum dogmatum inventores isti impudentiæ suæ honestum aliquem colorem habeant, pauca e sacris Litteris expromenda videntur, ex quibus pudore forsitan affecti ab sordidissimis illis inventis aliquando desciscent.

Ε'. Ταῦτα ἦν ἐν τοῖς ὑπομνήμασιν διαφόρως[1] μὲν εἰρημένα, μίαν δὲ τὴν διάνοιαν καὶ τὴν αὐτὴν ἔγοντα πρὸς ἀσέβειαν βλέπουσαν. Διὰ ταῦτα διεκρίνοντο, καὶ διεμάχοντο πρὸς ἀλλήλους οἱ αὐχοῦντες ἐπὶ τῇ ὁμολογίᾳ τῶν Πατέρων τῶν ἐν Νικαίᾳ γενομένῃ. Ἐγὼ δὲ τὴν σὴν ἐθαύμασα θεοσέβειαν ἀνασχομένην, καὶ ὅτι μὴ τούτους μὲν ἔπαυσε ταῦτα λέγοντας, τὴν δὲ εὐσεβῆ πίστιν παρέθηκεν αὐτοῖς, ἵνα ἢ ἀκούσαντες ἠρεμήσωσιν, ἢ ἀντιλέγοντες ὡς αἱρετικοὶ ὀνομασθῶσι. Τὰ γὰρ προειρημένα οὔτε λεκτὰ οὔτε ἀκουστὰ παρὰ Χριστιανοῖς, ἀλλὰ ἀλλότρια κατὰ πάντα τρόπον τῆς ἀποστολικῆς διδασκαλίας ἐστί. Διὰ τοῦτο γοῦν κἀγὼ τὰ παρ' ἐκείνων, ὡς εἴρηται, γυμνῶς πεποίηκα ἐγγραφῆναι τῇ ἐπιστολῇ, ἵνα καὶ μόνον ὁ ἀκούων θεωρῇ τὴν ἐν αὐτοῖς αἰσχύνην καὶ ἀσέβειαν. Καὶ εἰ καὶ ἔδει διὰ πλειόνων κατηγορεῖν, καὶ διελέγχειν τὴν τῶν ταῦτα διανοηθέντων αἰσχύνην, ἀλλὰ [καὶ] καλὸν ἕως τούτων εἶναι τὴν ἐπιστολήν, καὶ μηδὲν πλέον γράφειν. Τὰ γὰρ οὕτως φανερῶς δεικνύμενα φαῦλα γυμνάζειν ἐπιπλέον, καὶ περιεργάζεσθαι οὐ δεῖ, ἵνα μὴ τοῖς φιλονεικοῦσιν ὡς ἀμφίβολα νομισθῇ. Τοῦτο μόνον ἀποκρίνασθαι πρὸς τὰ τοιαῦτα καὶ εἰπεῖν ἀρκεῖ, ὅτι οὐκ ἔστι ταῦτα τῆς καθολικῆς Ἐκκλησίας, οὐδὲ ταῦτα οἱ Πατέρες ἐφρόνησαν. Ἵνα δὲ μὴ ἐκ τῆς τέλεον σιωπῆς πρόφασιν ἀναίσχυντον ἑαυτοῖς οἱ τῶν κακῶν ἐφευρεταὶ πορίσωνται, καλὸν ἐκ τῶν θείων Γραφῶν ὀλίγων μνημονεῦσαι. Τάχα γὰρ κἂν οὕτως αἰδεσθέντες παύσονται ἀπὸ τῶν ῥυπαρῶν τούτων ἐπινοιῶν.

VI. Undenam igitur usurpare istud vobis in animum incidit, corpus divinitati Verbi esse consubstantiale? Hinc enim potissimum exordiri juvat, ut, eo convulso ac labefactato, cætera perinde imbecilla monstrentur. Nam e sacris quidem Litteris ejusmodi nihil elici potest, quæ humano in corpore Deum exstitisse prædicant. At vero Patres illi, qui D Nicææ convenerant, non corpus, sed Filium ipsum Patri consubstantialem esse dixerunt, eumque de Patris prodiisse substantia, corpus vero e Maria susceptum ex sacrarum Litterarum auctoritate decretum est. Quare vel Nicænam synodum ejuratote, ac tanquam hæretici dogmata ista jactate; aut si Patrum esse filii vultis, nihil præter illa, quæ scripserunt, ipsi sentiendum putatote. Etenim quam illud absurdum sit, vel hinc existimare potestis. Si enim Verbum corpori, cujus natura de terra delibata est, consubstantiale sit, cum ex Patrum confessione perinde sit Patri consubstantiale Verbum,

Ϛ'. Πόθεν ἡμῖν ἐπῆλθεν εἰπεῖν, ὦ οὗτοι, τὸ ὁμοούσιον εἶναι τὸ σῶμα τῆς τοῦ Λόγου θεότητος; Ἀπὸ γὰρ τούτου καλὸν ἄρξασθαι, ἵνα, τούτου δεικνυμένου σαθροῦ, καὶ πάντα τὰ ἄλλα τοιαῦτα δειχθῇ. Ἀπὸ μὲν οὖν τῶν Γραφῶν οὐκ ἔστιν εὑρεῖν. Θεὸν γὰρ ἐν ἀνθρωπίνῳ σώματι γεγονέναι λέγουσιν. Ἀλλὰ γὰρ καὶ οἱ Πατέρες οἱ ἐν Νικαίᾳ συνελθόντες οὐ τὸ σῶμα, ἀλλ' αὐτὸν τὸν Υἱὸν εἰρήκασιν ὁμοούσιον τοῦ Πατρός· καὶ τοῦτον μὲν ἐκ τῆς οὐσίας τοῦ Πατρὸς, τὸ δὲ σῶμα ἐκ Μαρίας ὡμολόγηται εἶναι πάλιν κατὰ τὰς Γραφάς. Ἢ τοίνυν ἀρνήσασθε τὴν ἐν Νικαίᾳ σύνοδον, καὶ ὡς αἱρετικοὶ παρεισφέρετε ταῦτα· ἢ εἰ βούλεσθε τέκνα τῶν Πατέρων εἶναι, μὴ φρονεῖτε παρ' ἐκεῖνα, ἅπερ ἔγραψαν αὐτοί. Καὶ γὰρ ἐκ τούτου τὸ ἄτοπον θεωρεῖν ἡμᾶς ἔξεστιν. Εἰ ὁμοούσιος ὁ Λόγος τῷ σώματι ἐκ γῆς ἔχοντι τὴν φύσιν, ὁμοούσιος δὲ ὁ Λόγος τῷ Πατρὶ, κατὰ τὴν τῶν Πατέρων ὁμολογίαν· ὁμοούσιος ἔσται καὶ αὐτὸς ὁ Πατὴρ τῷ σώματι τῷ ἐκ γῆς γενομένῳ. Καὶ τί ἔτι μέμφεσθε τοῖς Ἀρειανοῖς λέγουσι τὸν Υἱὸν κτί-

[1] γρ. ἀδιαφόρως.

σμα, λέγοντες καὶ αὐτοὶ τὸν Πατέρα ὁμοούσιον τοῖς κτίσμασι, καὶ εἰς ἑτέραν ἀσέβειαν μετερχόμενοι, φάσκοντες εἰς σάρκα καὶ ὀστέα καὶ τρίχας καὶ νεῦρα, καὶ ὅλον σῶμα μεταβεβλῆσθαι τὸν Λόγον, καὶ ἠλλάχθαι τῆς ἰδίας φύσεως; Ὥρα γὰρ εἰπεῖν ἡμᾶς φανερῶς ἐκ γῆς αὐτὸν γεγενῆσθαι. Ἐκ γῆς γὰρ ἡ τῶν ὀστέων καὶ ὅλου τοῦ σώματος φύσις. Τίς οὖν ἡ τοσαύτη παραφροσύνη, ἵνα καὶ πρὸς ἑαυτοὺς διαμάχησθε; Ὁμοούσιον μὲν λέγοντες τὸν Λόγον τῷ σώματι, ἕτερον πρὸς ἕτερον σημαίνετε· τὸ δὲ εἰς σάρκα μεταβεβλῆσθαι, αὐτοῦ Λόγου τροπὴν φαντάζεσθε. Καὶ τίς ἔτι λοιπὸν ἡμῶν ἀνέξεται ταῦτα καὶ μόνον φθεγγομένων; Πάσης γὰρ αἱρέσεως πλέον εἰς ἀσέβειαν ἐξεκλίνατε. Εἰ γὰρ ὁμοούσιος ὁ Λόγος τῷ σώματι, περιττὴ τῆς Μαρίας ἡ μνήμη καὶ ἡ χρεία, δυναμένου τοῦ σώματος καὶ πρὸ τῆς Μαρίας εἶναι ἀϊδίως· ὥσπερ οὖν ἐστι καὶ αὐτὸς ὁ Λόγος, εἴγε καθ' ὑμᾶς ὁμοούσιός ἐστι τῷ σώματι. Τίς δὲ καὶ ἡ χρεία τῆς ἐπιδημίας τοῦ Λόγου, ἵνα ἢ τὸ ἑαυτοῦ ὁμοούσιον ἐνδύσηται, ἢ τραπεὶς ἀπὸ τῆς ἰδίας φύσεως σῶμα γένηται; Οὐ γὰρ αὐτὴ ἑαυτῆς ἡ θεότης ἐπιλαμβάνεται, ἵνα καὶ τὸ ὁμοούσιον αὐτῆς ἐνδύσηται. Ἀλλ' οὐδὲ γὰρ ἥμαρτεν ὁ τὰς ἄλλων ἁμαρτίας λυτρούμενος Λόγος, ἵνα τραπεὶς εἰς σῶμα ἑαυτὸν ὑπὲρ ἑαυτοῦ θυσίαν προσενέγκῃ καὶ ἑαυτὸν λυτρώσηται.

A Pater ipse terreno corpori consubstantialis erit. Quo quidem constituto, quid est quod Arianos incusetis, qui Filium creaturam esse defendunt, cum vos ipsi Patrem creaturis consubstantialem esse dicatis, et ad aliud impietatis genus declinantes, in carnem, ossa, pilos, nervos, totum denique corpus conversum esse Verbum et a natura sua descivisse persuasum habeatis? Superest itaque, ut e terra productum esse Verbum sine tergiversatione dicatis. Nam e terra ossium totiusque corporis natura proficiscitur. Quænam est hæc tanta dementia, ut vobiscum ipsi pugnetis? Siquidem cum Verbum corpori consubstantiale esse dicitis, alterum cum altero velut diversum comparari significatis. Cum autem in carnem esse conversum asseritis, eidem B Verbo mutationem affingitis. Quis igitur deinceps hæc a vobis vel voce tenus pronuntiari sustineat? Vos enim hæresim omnem impietate superastis. Quodsi Verbum corpori consubstantiale sit, **1001** supervacanea est Mariæ memoria omnis ac functio, cum ante illam etiam sempiternum corpus esse potuerit, quemadmodum et Verbum ipsum, si, ut asseritis, corpori consubstantiale sit. Quid autem Verbum huc advenire necesse fuit, ut vel id, quod jam consubstantiale sibi erat, indueret, vel natura sua mutatum, corpus efficeretur? Non enim semetipsam divinitas assumit, ut quod sibi consubstantiale est induat; neque Verbum, quod aliena peccata expiat, peccatum ullum admisit, ut in corpus conversum seipsum pro se sacrificii instar offerret ac semetipsum redimeret.

Ζ'. Ἀλλ' οὐκ ἔστιν οὕτως, μὴ γένοιτο! *Σπέρματος* γὰρ *Ἀβραὰμ ἐπιλαμβάνεται*, ὡς εἶπεν ὁ Ἀπόστολος. Ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, καὶ λαβεῖν ὅμοιον ἡμῖν σῶμα. Διὰ τοῦτο γοῦν καὶ ὑπόκειται ἀληθῶς ἡ Μαρία, ἵνα ἐξ αὐτῆς τοῦτο λάβῃ, καὶ ὡς ἴδιον ὑπὲρ ἡμῶν αὐτὸ προσενέγκῃ. Καὶ ταύτην ὁ μὲν Ἡσαΐας προφητεύων ἐδείκνυε, λέγων· *Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει καὶ τέξεται*· ὁ δὲ Γαβριὴλ ἀποστέλλεται πρὸς αὐτὴν, οὐχ ἁπλῶς πρὸς παρθένον, ἀλλὰ πρὸς παρθένον μεμνηστευμένην ἀνδρὶ, ἵν' ἐκ τοῦ μνηστῆρος δείξῃ τὴν Μαρίαν ἀληθῶς ἄνθρωπον οὖσαν. Καὶ τοῦ τίκτειν μνημονεύει ἡ Γραφὴ, καί φησιν· *Ἐσπαργάνωσε*· καὶ ἐμακαρίζοντο μαστοὶ οὓς ἐθήλασε. Καὶ προσηνέχθη θυσία ὡς διανοίξαντος τοῦ τεχθέντος τὴν μήτραν. Ταῦτα δὲ πάντα τικτούσης ἦν Παρθένου γνωρίσματα. Καὶ ὁ Γαβριὴλ δὲ ἀσφαλῶς εὐηγγελίζετο αὐτῇ λέγων οὐχ ἁπλῶς, *Τὸ γεννώμενον ἐν σοὶ*, ἵνα μὴ ἔξωθεν ἐπεισαγόμενον αὐτῇ σῶμα νομισθείη, ἀλλ' *ἐκ σοῦ*, ἵνα φύσει τὸ γεννώμενον ἐξ αὐτῆς εἶναι πιστευθείη φανερῶς· καὶ τοῦτο τῆς φύσεως δεικνυούσης, ὡς ἀδύνατον σῶμα παρθένου φέρειν γάλα μὴ τεκούσης, καὶ ἀδύνατον γάλακτι τραφῆναι σῶμα, καὶ σπαργανωθῆναι, μὴ πρότερον φύσει τεχθέν. Τοῦτό ἐστι τὸ περιτμηθὲν ὀκταήμερον· τοῦτο Συμεὼν εἰς ἀγκάλας ἐδέξατο· τοῦτο γέγονε παιδίον, καὶ ηὔξησε, καὶ δεκαέτης γενόμενος, καὶ εἰς τὸν τριακοστὸν ἐνιαυτὸν ἦλθεν. Οὐ γὰρ, ὥς τινες ὑπενόησαν, ἡ οὐσία αὐτὴ **τοῦ Λόγου τραπεῖσα περιετμήθη, ἀναλλοίωτος οὖσα**

VII. Quare longe aliter sese res habet: Et *Abrahami semen apprehendit*, ut loquitur Apostolus [1]. C Unde fratrum suorum similis in omnibus esse debuit [2], nec diversum a nobis corpus assumere. Proinde et Maria reipsa nec simulate profertur, ex qua corpus illud sumeret, ac tanquam peculiare et proprium pro nobis offerret. Eamdem illam porro Isaias ejusmodi vaticinio demonstrabat: *Ecce virgo concipiet, et pariet* [3]; tum Gabriel ad eam mittitur, non simpliciter ad virginem, sed ad eam virginem, quæ jam viro desponsa fuerat [4], ut ipsa sponsi commemoratione Mariam vere hominem fuisse declaret. Hinc et pariendi mentio in Scriptura facta, et fasciis involvisse dicitur, et beata prædicantur ubera, quæ lactarunt [5]. Ac denique sacrificium oblatum tanquam id, quod natum erat, vulvam aperuisset. D Quæ omnia parientis Virginis indicia fuerunt. Ad hæc Gabriel ipse caute ac prudenter in felici illo nuntio perferendo locutus est. Neque enim dixit: *Quod nascetur in te*, ne extrinseous in illam inductum corpus esse putaretur; sed *ex te* dixit [6], ut quod nasceretur, ex ipsa prodiisse manifeste crederetur. Præsertim cum id natura etiam ipsa demonstret, non posse virginis corpus, quæ nondum pepererit, lac concipere; tum nihilo magis fieri posse, ut lacte nutriatur, aut fasciis obvolvatur corpus illud, quod naturali partu ante non sit in lucem editum. Ergo illud ipsum est, quod octavo die circumciditur; idem a Simeone in ulnas

[1] Hebr. II, 16. [2] ibid. 17. [3] Isa. VII, 14. [4] Luc. I, 27; Luc. II, 7. [5] Luc. XI, 27. [6] Luc. I, 35.

Digitized by Google

exceptum; idem puer factus est, et adolevit, et decennis evasit, et ad tricesimum annum usque pervenit [1]. Non enim, ut nonnulli suspicati sunt, divini Verbi substantia ipsa mutata circumcisa est, quæ mutari convertique nequeat, cum Salvator ipse dicat : **1002** Videte me, quoniam ego sum, et non sum mutatus [2]. Paulus vero ita scripsit : *Jesus Christus heri et hodie, idem in sæcula* [3]. Verum in eo corpore, quod et circumcisum est et gestatum, quod comedit et fatigatum est, in cruce suffixum atque passum, Dei Verbum inerat, quod passionis perinde atque corporis est expers. Idem corpus in monumento depositum est; quo tempore scilicet, ut spiritibus illis, qui in custodia detinebantur, prædicaret, ad eos accessit, uti Petrus testatur [4].

A καὶ ἄτρεπτος· λέγοντος μὲν αὐτοῦ τοῦ Σωτῆρος· Ἴδετέ με, ὅτι ἐγώ εἰμι, καὶ οὐκ ἠλλοίωμαι· τοῦ δὲ Παύλου γράφοντος· *Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας.* Ἀλλὰ ἐν τῷ περιτμηθέντι σώματι, καὶ βασταχθέντι καὶ φαγόντι καὶ καμόντι καὶ ἐν ξύλῳ καθηλωθέντι καὶ παθόντι ἦν ὁ ἀπαθὴς καὶ ἀσώματος τοῦ Θεοῦ Λόγος. Τοῦτο ἦν ἐν τῷ μνημείῳ τεθὲν, ὅτε αὐτὸς ἐπορεύθη κηρύξαι καὶ τοῖς ἐν φυλακῇ πνεύμασιν, ὡς εἶπεν ὁ Πέτρος.

VIII. Ex quo illorum potissimum declaratur insania, qui Verbum Dei in ossa carnemque commutatum asserunt. Nam si ita contigisset, supervacaneum monumentum illud fuisset : siquidem ipsum per sese corpus prædicandi gratia ad eos spiritus accederet, qui in inferis versabantur. Nunc autem prædicandi ipse gratia ad eos adiit, corpus autem sindone obvolutum Josephus in Golgotha deposuit [5] : estque palam illud omnibus factum, Verbum ipsum nequaquam esse corpus, sed ad Verbum corpus pertinuisse. Præterea Thomas illud ipsum corpus, posteaquam a mortuis excitatum est, manibus attrectavit, et in eo clavorum cicatrices aspexit, quos, cum in corpore suo suffixos vidisset, sponte sustinuit, neque cum posset prohibere voluit; imo vero proprias sui corporis affectiones velut sui ipsius, in sese transtulit [6]. Quamobrem cum hoc a satellite vapularet, quasi ipse pateretur, *Quid me*, inquit, *cædis* [7] ? cumque tangi natura non posset, nihilominus dixit : *Dorsum meum dedi in flagella, et faciem meam non averti a sputis* [8]. Quæ enim humana Verbi natura patiebatur, hæc ipsummet Verbum in sese transferre voluit, ut nos divinitatis Verbi participes esse possemus. Qua in re singulare illud accidit, idem ut patiens esset et nihil patiens : patiens quidem, quod proprium ejus pateretur corpus et in patiente ipso resideret; nihil patiens vero, quod cum Verbum natura Deus sit, ab omni patiendi conditione sit immune. Quocirca Verbum quidem ipsum in patibili corpore incorporeum fuit; corpus autem impatibile Verbum habuit in sese, quod sui corporis imbecillitates exstingueret. Atque hoc eo consilio faciebat, itaque se habere voluerat, ut nostra suscipiens, et in sacrificium offerens, funditus deleret, ac demum suis nos quodammodo vestiens, occasionem Apostolo daret ista scribendi: **1003** *Oportet corruptibile hoc induere incorruptionem, et mortale hoc induere immortalitatem* [9].

Β'. Ὁ μάλιστα δείκνυσι τὴν ἄνοιαν τῶν λεγόντων, εἰς ὀστέα καὶ σάρκα τετράφθαι τὸν Λόγον. Εἰ γὰρ τοῦτο ἦν, οὐκ ἦν χρεία μνημείου· αὐτὸ γὰρ ἂν ἐπορεύθη δι' ἑαυτοῦ τὸ σῶμα κηρύξαι τοῖς ἐν τῷ ᾅδῃ πνεύμασι. Νῦν δὲ αὐτὸς ἐπορεύθη κηρύξαι· τὸ δὲ σῶμα ἐλίξας Ἰωσὴφ σινδόνι, ἀπέθετο ἐν τῷ Γολγοθᾷ· καὶ δέδεικται πᾶσιν, ὅτι μὴ τὸ σῶμα ἦν ὁ Λόγος, ἀλλὰ σῶμα ἦν τοῦ Λόγου. Καὶ τοῦτο Θωμᾶς ἀναστὰν ἐκ νεκρῶν ἐψηλάφησε, καὶ εἶδεν ἐν αὐτῷ τοὺς τύπους τῶν ἥλων, οὓς ὑπέμεινεν αὐτὸς ὁ Λόγος ὁρῶν καθηλουμένους ἐν τῷ σώματι τῷ ἰδίῳ, καὶ δυνάμενος κωλύειν οὐκ ἐκώλυσεν, ἀλλὰ καὶ ἰδιοποιεῖτο τὰ τοῦ σώματος ἴδια ὡς ἑαυτοῦ, ὁ ἀσώματος. Ἀμέλει τοῦ σώματος τυπτομένου παρὰ τοῦ ὑπηρέτου, ὡς αὐτὸς πάσχων ἔλεγε· *Τί με δέρεις;* καὶ ἄφαυστος ὢν τῇ φύσει, ὅμως ἔλεγε· *Τὸν νῶτόν μου ἔδωκα εἰς μάστιγας, καὶ τὸ πρόσωπόν μου οὐκ ἀπέστρεψα ἀπὸ ἐμπτυσμάτων.* Ἃ γὰρ τὸ ἀνθρώπινον ἔπασχε τοῦ Λόγου, ταῦτα συνὼν αὐτῷ ὁ Λόγος, εἰς ἑαυτὸν ἀνέφερεν, ἵνα ἡμεῖς τῆς τοῦ Λόγου θεότητος δυνηθῶμεν μετασχεῖν. Καὶ ἦν παράδοξον, ὅτι αὐτὸς ἦν ὁ πάσχων καὶ μὴ πάσχων· πάσχων μὲν, ὅτι τὸ ἴδιον αὐτοῦ ἔπασχε σῶμα καὶ ἐν αὐτῷ τῷ πάσχοντι ἦν· μὴ πάσχων δὲ, ὅτι τῇ φύσει Θεὸς ὢν ὁ Λόγος ἀπαθής ἐστι. Καὶ αὐτὸς μὲν ἀσώματος ἦν ἐν τῷ παθητῷ σώματι· τὸ δὲ σῶμα ἔσχεν ἐν ἑαυτῷ τὸν ἀπαθῆ Λόγον ἀφανίζοντα τὰς ἀσθενείας αὐτοῦ τοῦ σώματος. Ἐποίει δὲ τοῦτο καὶ ἐγίνετο οὕτως, ἵνα τὰ ἡμῶν αὐτὸς δεχόμενος καὶ προσενεγκὼν εἰς θυσίαν, ἐξαφανίσῃ, καὶ λοιπὸν, τοῖς ἑαυτοῦ περιβαλὼν ἡμᾶς, ποιήσῃ τὸν Ἀπόστολον εἰπεῖν· *Δεῖ τὸ φθαρτὸν τοῦτο ἐνδύσασθαι ἀφθαρσίαν, καὶ τὸ θνητὸν τοῦτο ἐνδύσασθαι ἀθανασίαν.*

IX. Quæ omnia non ficte ac simulate gesta sunt : minime quidem, ut nonnulli perperam arbitrantur. Sed cum Salvator verum se fecisset hominem, totius est hominis salus consecuta. Nam si simulatione sola Verbum, ut illi sentiunt, esset in corpore, quod autem simulatione esse sola dicitur

Θ'. Οὐ θέσει δὲ ταῦτα ἐγίνετο, μὴ γένοιτο! ὥς τινες πάλιν ὑπέλαβον. Ἀλλὰ ὄντος ἀνθρώπου ἀληθείᾳ γενομένου τοῦ Σωτῆρος, ὅλου τοῦ ἀνθρώπου σωτηρία ἐγένετο. Εἰ γὰρ θέσει ἦν ἐν τῷ σώματι ὁ Λόγος κατ' ἐκείνους· τὸ δὲ θέσει λεγόμενον φαντασία ἐστίν· εὑρίσκεται δοκήσει καὶ ἡ σωτηρία καὶ ἡ ἀνάστασις τῶν ἀνθρώ-

[1] Luc. II, 21 sqq. [2] Luc. XXIV, 39. [3] Hebr. XIII, 8. [4] I Petr. III, 19. [5] Joan. XIX, 38. [6] Joan. XX, 24 sqq. [7] Joan. XVIII, 23. [8] Isa. L, 6. [9] I Cor. XV, 53.

Digitized by Google

των λεγομένη, κατὰ τὸν ἀσεβέστατον Μανιχαῖον. Ἀλλὰ μὴν οὐ φαντασίᾳ ἡ σωτηρία γέγονεν ἡμῶν, οὐδὲ σωματος μόνου, ἀλλ' ὅλου τοῦ ἀνθρώπου, ψυχῆς καὶ σώματος ἀληθῶς ἐν αὐτῷ ἡ σωτηρία γέγονεν. Ἀνθρώπινον ἄρα φύσει τὸ ἐκ Μαρίας, κατὰ τὰς θείας Γραφὰς, καὶ ἀληθινὸν σῶμα τοῦ Σωτῆρος. Ἀληθινὸν δὲ ἦν, ἐπειδὴ ταυτὸν ἦν [ἐν] τῷ ἡμετέρῳ. Ἀδελφὴ γὰρ ἡμῶν ἡ Μαρία, ἐπεὶ καὶ πάντες ἐκ τοῦ Ἀδὰμ ἐσμεν. Καὶ τοῦτο οὐκ ἄν τις ἀμφιβάλοι, μνησθεὶς ὧν ἔγραψεν ὁ Λουκᾶς. Μετὰ γὰρ τὸ ἀναστῆναι ἐκ τῶν νεκρῶν, δοκούντων τινῶν μὴ ἐν τῷ ἐκ Μαρίας σώματι βλέπειν τὸν Κύριον, ἀλλ' ἀντὶ τούτου πνεῦμα θεωρεῖν, ἔλεγεν· *Ἴδετε τὰς χεῖράς μου καὶ τοὺς πόδας μου, καὶ τοὺς τύπους τῶν ἥλων, ὅτι ἐγώ εἰμι αὐτός. Ψηλαφήσατε καὶ ἴδετε, ὅτι πνεῦμα σάρκα καὶ ὀστέα οὐκ ἔχει, καθὼς ἐμὲ θεωρεῖτε ἔχοντα. Καὶ τοῦτο εἰπὼν, ὑπέδειξεν αὐτοῖς τὰς χεῖρας καὶ τοὺς πόδας.* Ἐξ ὧν καὶ ἐλέγχεσθαι πάλιν δύνανται οἱ τολμήσαντες εἰπεῖν εἰς σάρκα καὶ ὀστέα ἠλλοιῶσθαι τὸν Κύριον. Οὐ γὰρ εἶπε· *Καθὼς ἐμὲ θεωρεῖτε σάρκα καὶ ὀστέα* ὄντα, ἀλλ' *ἔχοντα*, ἵνα μὴ αὐτὸς ὁ Λόγος εἰς ταῦτα τραπεὶς νομισθῇ, ἀλλ' αὐτὸς ἔχων ταῦτα, καὶ πρὸ τοῦ θανάτου, καὶ μετὰ τὴν ἀνάστασιν εἶναι πιστευθῇ.

A imaginarium est, consequens esset, ut et salus hominum ac resurrectio imagine sola et adumbratione fieri diceretur, quæ est impii Manichæi sententia. Atqui non sola specie comparata nobis salus est, aut soli tributa corpori, sed toti videlicet homini, animæ, inquam, et corpori salus est reipsa conciliata. Itaque corpus illud Salvatoris, quod, ut sacræ Litteræ testantur, e Maria desumptum est, humanum ac verum exstitit. Verum, inquam, propterea, quod idem omnino cum nostro fuit. Maria quippe soror nostra fuit, cum ab Adamo originem omnes acceperimus. Neque vero dubitandum ea de re putabit, si quis ea meminerit quæ sunt a Luca scripta. Cum enim post illius resurrectionem nonnulli suspicarentur, non in eodem B illo corpore, quod expressum e Maria fuerat, Dominum sese contueri, sed ejus loco spiritum offerri, sic eos allocutus est : *Videte manus et pedes meos, et vestigia clavorum, quoniam ego sum ipse; palpate et videte, quoniam spiritus carnem et ossa non habet, sicut me videtis habere. Quibus dictis ostendit illis manus et pedes*[1]. Ex quo illi redarguuntur, qui Dominum in carnem et ossa mutatum esse affirmare non dubitant. Neque enim dixit : *Quemadmodum me carnem et ossa videtis* esse, sed *habere*, ne fortasse Verbum ipsum in istiusmodi conversum esse putaretur, sed ut ea duntaxat et ante mortem et post resurrectionem habuisse credatur.

Ι'. Τούτων δὲ οὕτως ἐχόντων τὴν ἀπόδειξιν, περιττὸν ἔτι τῶν ἄλλων ἅπτεσθαι καὶ γυμνάζειν τι περὶ αὐτῶν· τοῦ γὰρ σώματος, ἐν ᾧ ἦν ὁ Λόγος, μὴ ὄντος ὁμοουσίου τῆς θεότητος, ἀλλ' ἐκ Μαρίας ἀληθῶς τεχθέντος· καὶ αὐτοῦ δὲ τοῦ Λόγου μὴ τραπέντος εἰς ὀστέα καὶ σάρκα, ἀλλ' ἐν σαρκὶ γενομένου. Τὸ γὰρ παρὰ τῷ Ἰωάννῃ λεγόμενον, *Ὁ Λόγος σὰρξ ἐγένετο*, ταύτην ἔχει τὴν διάνοιαν, καθὼς καὶ ἐκ τοῦ ὁμοίου τοῦτο δυνατὸν εὑρεῖν. Γέγραπται γὰρ ἐν τῷ Παύλῳ· *Χριστὸς ὑπὲρ ἡμῶν γέγονε κατάρα.* Καὶ ὥσπερ οὐκ αὐτὸς κατάρα γέγονεν, ἀλλ' ὅτι τὴν ὑπὲρ ἡμῶν ἀνεδέξατο κατάραν, εἴρηται κατάρα γεγονέναι· οὕτω καὶ σὰρξ ἐγένετο, οὐ τραπεὶς εἰς σάρκα, ἀλλ' ὅτι σάρκα ὑπὲρ ἡμῶν ἀνέλαβε καὶ γέγονεν ἄνθρωπος. Καὶ γὰρ τὸ εἰπεῖν. *Ὁ Λόγος σὰρξ ἐγένετο*, ἴσον ἔστι πάλιν εἰπεῖν, ὅτι Ἄνθρωπος γέγονε, κατὰ τὸ εἰρημένον ἐν τῷ Ἰωήλ· *Ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα.* Οὐ τῶν ἀλόγων ἦν ἡ ἐπαγγελία, ἀλλ' εἰς ἀνθρώπους ἐστὶν, ὧν ἕνεκα καὶ ἄνθρωπος γέγονεν ὁ Κύριος. Τούτου δὲ τοῦ ῥητοῦ ταύτην ἔχοντος τὴν διάνοιαν, εἰκότως καταγνώσονται ἑαυτῶν πάντως οἱ νομίσαντες εἶναι πρὸ τῆς Μαρίας τὴν ἐξ αὐτῆς σάρκα, καὶ πρὸ ταύτης ἐσχηκέναι ψυχὴν ἀνθρωπίνην τὸν Λόγον, καὶ ἐν αὐτῇ πρὸ τῆς ἐπιδημίας ἀεὶ γεγενῆσθαι. Παύσονται δὲ καὶ οἱ εἰπόντες μὴ εἶναι δεκτικὴν θανάτου τὴν σάρκα, ἀλλὰ τῆς ἀθανάτου φύσεως εἶναι ταύτην. Εἰ γὰρ μὴ ἀπέθανε, πῶς ὁ Παῦλος παρεδίδου Κορινθίοις, ὃ καὶ παρέλαβεν, ὅτι *Χριστὸς ἀπέθανεν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, κατὰ τὰς Γραφάς*; Πῶς δὲ καὶ

X. His ad eum modum comprobatis, de aliis dicere supervacaneum est, aut agitare disputando, C cum corpus in quo Verbum inerat, divinitati consubstantiale minime fuerit, sed ex Maria Virgine revera natum, cumque Verbum ipsum non in ossa carnemque mutatum sit, sed in carne resederit. Quod enim a Joanne scriptum est, *Verbum caro factum est*[2], hunc habet sensum, ut ex simili loquendi ratione colligi potest. Est enim a Paulo scriptum : *Christus pro nobis factus est maledictum*[3]. Ut igitur maledictum **1004** ille proprie non fuit, sed ideo fuisse dicitur, quod illud nostra causa susceperit : sic et caro factum est, non quod in carnem commutatum fuerit, sed quod carnem pro nobis assumpserit, et homo factus sit. Etenim hoc ipsum, *Verbum caro factum est*, eamdem vim habet ac si diceretur, Homo factum est, cujus- D modi est illud a Joele dictum : *Effundam de spiritu meo super omnem carnem*[4]. Quæ quidem denuntiatio ac promissio non ad pecudes, sed ad homines pertinet, quorum gratia Dominus est homo factus. Quæ cum ita sint, eaque sit verborum illorum sententia : vel seipsos jure condemnabunt li qui Maria priorem esse carnem illam existimant, quæ de Maria sumpta sit, et ante illam humana præditum anima fuisse Verbum, eamque antequam huc adveniret habuisse. Sed et illi nugari desinent, qui carnem mortis esse capacem negant, et ad immortalis naturæ sortem conditionemque transscribunt. Nam si mortuus non est, quomodo Pau-

[1] Luc. xxiv, 39, 40. [2] Joan. i, 14. [3] Gal. iii, 13. [4] Joel ii, 28.

Digitized by Google

lus tradere hoc Corinthiis potuit, quod se accepisse dicebat [1], *Quoniam Christus mortuus est pro peccatis nostris, secundum Scripturas* [2]? Resurgere vero qui potuit, nisi mortuus antea fuisset? Maximo vero pudore perfunduntur ii qui quaternionem pro Trinitate constitui persuasum habent, si corpus e Maria natum esse dicatur. Nam si consubstantiale Verbo corpus arbitremur, Trinitas nihilominus Trinitas permanet, cum peregrinum nullum Verbum in illam invehatur. At si corpus illud idem ex Maria natum hominem esse dicamus, necesse est, cum corpus natura peregrinum alienumque sit, ut in ipso Verbum insideat, quaternionem pro Trinitate consurgere, corpore videlicet adjecto.

A ὅλως ἀνέστη, εἰ μὴ προαπέθανεν; Ἐρυθριῶσι δὲ μεγάλως οἱ ὅλως ἐνθυμηθέντες δύνασθαι ἀντὶ τῆς Τριάδος γίνεσθαι τετράδα, εἰ λέγοιτο ἐκ Μαρίας εἶναι τὸ σῶμα. Ὁμοούσιον μὲν γὰρ ἐὰν εἴπωμεν τὸ σῶμα τῷ Λόγῳ, μένει ἡ Τριὰς Τριάς, οὐδενὸς ξένου ἐπεισφερομένου εἰς αὐτὴν τοῦ Λόγου· ἐὰν δὲ ἄνθρωπον εἴπωμεν τὸ ἐκ Μαρίας σῶμα, ἀνάγκη ξένου ὄντος κατ' οὐσίαν τοῦ σώματος, καὶ ὄντος ἐν αὐτῷ τοῦ Λόγου, τετρὰς ἀντὶ Τριάδος γίνεται διὰ τὴν τοῦ σώματος προσθήκην.

XI. Hæc illi dum ad eum modum pronuntiant, non animadvertunt, quantopere secum ipsi pugnent. Licet enim ex Maria profectum corpus esse non dicant, sed consubstantiale Verbo duntaxat, nihilominus tamen, quod ne sentire viderentur, vereri se simulabant, in hoc ipsum, quæ est illorum stoliditas, oratione sua palam incurrunt, et quaternionem illum admittunt. Etenim uti Filius, qui illorum sententia Patri consubstantialis est, minime ille quidem Pater est, sed Filius Patri consubstantialis appellatur: ita consubstantiale Verbo corpus non ipsum Verbum est, sed aliud quiddam a Verbo distinctum. Quodsi aliud est, illorum Trinitas in quaternionem redigetur. Veræ quippe et reipsa perfectæ et indivisæ Trinitati nulla fieri potest accessio, **1005** præter quam perperam isti commenti sunt. Quare Christiani esse qui possunt, qui alterum ab eo, qui revera Deus est, falsa sibi persuasione finxerunt? Rursus enim in altera quadam istorum cavillatione, quanta sit eorum stoliditas, apparet. Nam si pro eo quod Christi corpus ex Maria natum, et humanum est, atque in Scripturis esse dicitur, quaternionem idcirco pro Trinitate constitui putant, eo quod quædam fieri videatur corporis accessio: vehementer errant qui conditori opificium suum æquale faciunt, et ad divinitatem accedere posse aliquid arbitrantur; nec illud intelligunt, non ad ullam carnis accessionem Verbum carnem esse factum, sed ut caro ipsa resurgeret; neque Verbum, quo ad meliorem aliquam conditionem transferretur, ex Maria prodiisse, sed ut hominum genus redimeret. Jam vero quomodo fieri potest, corpus ut illud quod per Verbum redemptum ac vita donatum est, ei a quo vitam accepit, ullam divinitatis accessionem possit afferre? Nam e contrario uberrima illa quidem ad humanum corpus ex divini Verbi communione commistioneque facta est accessio. Siquidem ex mortali immortale, ex animali spiritale redditum est, atque e terra profectum cœli portas penetravit. Cæterum Trinitas ipsa, quamvis Verbum e Maria corpus acceperit, Trinitas est, cui nec addi potest quidpiam, neque detrahi, sed perfecta semper est et in Trinitate singularis divinitas agnoscitur; atque ita demum unus Deus Verbi Pater in Ecclesia prædicatur.

IA'. Ταῦτα οὕτως λέγοντες οὐ νοοῦσιν, ὅπως ἑαυτοῖς περιπίπτουσι. Καὶ γὰρ κἂν μὴ ἐκ Μαρίας λέγωσι τὸ σῶμα, ἀλλὰ ὁμοούσιον αὐτὸ τῷ Λόγῳ, οὐδὲν ἧττον, ὅπερ ὑπεκρίνοντο, μὴ ἄρα ὡς φρονοῦντες νομισθῶσι τοῦτο, κατὰ τὴν αὐτῶν ἄνοιαν δειχθήσονται λέγοντες τετράδα. Ὡς γὰρ Υἱὸς ὢν κατ' αὐτοὺς ὁμοούσιος τῷ Πατρί, οὐκ ἔστιν αὐτὸς Πατήρ, ἀλλὰ Υἱὸς πρὸς Πατέρα λέγεται ὁμοούσιος· οὕτως τὸ ὁμοούσιον σῶμα τοῦ Λόγου οὐκ ἔστιν αὐτὸς ὁ Λόγος, ἀλλ' ἕτερον πρὸς τὸν Λόγον. Ἑτέρου δὲ ὄντος, ἔσται κατ' αὐτοὺς ἡ αὐτῶν Τριὰς τετράς. Οὐ γὰρ ἡ ἀληθινὴ καὶ ὄντως τελεία καὶ ἀδιαίρετος Τριὰς δέχεται προσθήκην, ἀλλ' ἡ παρὰ τούτων ἐπινενοημένη. Καὶ πῶς ἔτι Χριστιανοὶ ἕτερον παρὰ τὸν ὄντα Θεὸν ἐπινοοῦντες; Πάλιν γὰρ καὶ ἐν ἑτέρῳ αὐτῶν σοφίσματι τὴν ἀφροσύνην ἔξεστιν ὁρᾶν. Εἰ δὲ διὰ τὸ εἶναι καὶ λέγεσθαι ἐν ταῖς Γραφαῖς ἐκ Μαρίας εἶναι καὶ ἀνθρώπινον τὸ σῶμα τοῦ Σωτῆρος, νομίζουσιν ἀντὶ Τριάδος τετράδα λέγεσθαι, ὡς προσθήκης λεγομένης τὸ σῶμα· πολὺ πλανῶνται, τὸ ποίημα συνεξισοῦντες τῷ ποιητῇ, καὶ ὑπονοοῦντες δύνασθαι τὴν θεότητα προσθήκην λαμβάνειν· καὶ ἠγνόησαν, ὅτι οὐ διὰ προσθήκην θεότητος γέγονε σὰρξ ὁ Λόγος, ἀλλ' ἵνα ἡ σὰρξ ἀναστῇ· οὐδ' ἵνα βελτιωθῇ ὁ Λόγος προῆλθεν ἐκ Μαρίας, ἀλλ' ἵνα τὸ ἀνθρώπινον γένος λυτρώσηται. Πῶς οὖν οἷόν τε τὸ διὰ τοῦ Λόγου λυτρωθὲν σῶμα καὶ ζωοποιηθὲν, προσθήκην εἰς θεότητα τῷ ζωοποιήσαντι Λόγῳ ποιεῖν; Μᾶλλον γὰρ αὐτῷ ἀνθρωπίνῳ προσθήκη μεγάλη γέγονεν ἐκ τῆς τοῦ Λόγου πρὸς αὐτὸ κοινωνίας τε καὶ ἑνώσεως. Ἀπὸ θνητοῦ γέγονεν ἀθάνατον, καὶ ψυχικὸν ὂν γέγονε πνευματικὸν, καὶ ἐκ γῆς γενόμενον τὰς οὐρανίους διέβη πύλας. Ἡ μέντοι Τριὰς, καὶ λαβόντος ἐκ Μαρίας σῶμα τοῦ Λόγου, Τριάς ἐστιν, οὐ δεχομένη προσθήκην, οὐδὲ ἀφαίρεσιν, ἀλλὰ ἀεὶ τελεία ἐστὶ καὶ ἐν Τριάδι μία θεότης γινώσκεται· καὶ οὕτως ἐν τῇ Ἐκκλησίᾳ κηρύττεται εἷς Θεὸς ὁ τοῦ Λόγου Πατήρ.

XII. Eadem porro ratione et os illis occludetur qui dicere aliquando ausi sunt, eum qui ex Maria processit, non ipsum esse Christum ac Domi-

IB'. Ἐκ δὲ τούτου σιωπήσουσι λοιπὸν καὶ οἱ ποτὲ εἰπόντες τὸν ἐκ Μαρίας προελθόντα μὴ εἶναι αὐτὸν τὸν Χριστὸν καὶ Κύριον καὶ Θεόν. Εἰ γὰρ μὴ Θεὸς

[1] I Cor. xv, 3. [2] ibid.

Digitized by Google

ἦν ἐν τῷ σώματι, πῶς εὐθὺς προελθὼν ἀπὸ Μαρίας ἐκλήθη Ἐμμανουήλ, ὅ ἐστι μεθερμηνευόμενον, *Μεθ' ἡμῶν ὁ Θεός*; Πῶς δὲ καὶ Παῦλος, εἰ μὴ ὁ Λόγος ἦν ἐν σαρκί, Ῥωμαίοις ἔγραφεν, *Ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν*; Οὐκοῦν ὁμολογείτωσαν οἱ πρότερον ἀρνούμενοι τὸν ἐσταυρωμένον εἶναι Θεὸν ἐσφάλθαι, πειθόμενοι πάσαις ταῖς θείαις Γραφαῖς, μάλιστα δὲ τῷ Θωμᾷ, ὃς μετὰ τὸ ἰδεῖν ἐν αὐτῷ τοὺς τῶν ἥλων τύπους ἀνεβόησεν· *Ὁ Κύριός μου καὶ ὁ Θεός μου*. Θεὸς γὰρ καὶ Κύριος τῆς δόξης ὤν, Υἱὸς ἦν ἐν τῷ ἀδόξως καθηλουμένῳ καὶ ἀτιμαζομένῳ σώματι. Τὸ δὲ σῶμα ἔπασχε μὲν νυττόμενον ἐν τῷ ξύλῳ, καὶ ἔῤῥεεν ἀπὸ τῆς τούτου πλευρᾶς αἷμα καὶ ὕδωρ· ναὸς δὲ τοῦ Λόγου τυγχάνον πεπληρωμένος ἦν τῆς θεότητος. Διὰ τοῦτο ἥλιος, ὁρῶν τὸν δημιουργὸν ἑαυτοῦ ἐν τῷ ὑβριζομένῳ σώματι ἀνεχόμενον, τὰς ἀκτῖνας συνέστειλε καὶ ἐσκότασε [1] τὴν γῆν· αὐτὸ δὲ σῶμα φύσιν ἔχον θνητὴν ὑπὲρ τὴν ἑαυτοῦ φύσιν, ἀνέστη διὰ τὸν ἐν αὐτῷ Λόγον, καὶ πέπαυται μὲν τῆς κατὰ φύσιν φθορᾶς [2], ἔνδυμα δὲ γέγονε τοῦ Λόγου· ἐνδυσάμενον δὲ τὸν ὑπὲρ ἄνθρωπον Λόγον, γέγονεν ἄφθαρτον. Περὶ δὲ τοῦ φαντάζεσθαί τινας καὶ λέγειν, ὅτι, ὥσπερ ἐφ' ἕκαστον τῶν προφητῶν ἐγένετο Λόγος, οὕτω καὶ ἐπὶ ἕνα τινὰ ἄνθρωπον ἐκ Μαρίας ἦλθεν ὁ Λόγος, περιττόν ἐστι γυμνάζειν, φανερὰν ἐχούσης τῆς ἀνοίας αὐτῶν τὴν κατάγνωσιν. Εἰ γὰρ οὕτως ἦλθε, διὰ τί οὗτος ἐκ παρθένου καὶ μὴ καὶ αὐτὸς ἐξ ἀνδρὸς καὶ γυναικός; Οὕτω γὰρ καὶ ἕκαστος τῶν ἁγίων ἐγεννήθη. Ἢ διὰ τί, οὕτως ἐλθόντος τοῦ Λόγου, οὐχ ὁ ἑκάστου θάνατος λέγεται ὑπὲρ ἡμῶν γεγενῆσθαι, ἀλλ' ὁ τούτου μόνος; Διὰ τί δὲ καθ' ἕκαστον τῶν προφητῶν ἐπιδημοῦντος τοῦ Λόγου, λέγεται ἐπὶ μόνου τοῦ ἐκ Μαρίας, ὡς ἅπαξ ἐπὶ συντελείᾳ τῶν αἰώνων ἐπιδημήσαντος; Ἢ διὰ τί, οὕτως ἐλθόντος αὐτοῦ, ὡς ἦλθεν ἐν τοῖς ἔμπροσθεν ἁγίοις, οἱ μὲν ἄλλοι πάντες ἀποθανόντες οὔπω ἀνέστησαν, ὁ δὲ ἐκ Μαρίας μόνος ἀνέστη; Ἢ διὰ τί, ὁμοίως τοῖς ἄλλοις ἐλθόντος τοῦ Λόγου, λέγεται μόνος ὁ ἐκ Μαρίας Ἐμμανουήλ, ὡς σώματος πεπληρωμένου θεότητος καὶ τεχθέντος ἐξ αὐτῆς; Τὸ γὰρ Ἐμμανουὴλ ἑρμηνεύεται, *Μεθ' ἡμῶν ὁ Θεός*. Ἢ διὰ τί, εἴπερ οὕτως ἦλθεν, ἐσθίοντος ἑκάστου τῶν ἁγίων καὶ πίνοντος καὶ κοπιῶντος καὶ ἀποθνήσκοντος, οὐ λέγεται ὡσαύτως ἐσθίων καὶ κοπιῶν καὶ ἀποθανών, ἀλλ' ἐπὶ μόνου τοῦ ἐκ Μαρίας; Ἃ γὰρ ἔπασχε τοῦτο τὸ σῶμα, ταῦτα ὡς αὐτοῦ πάσχοντος εἴρηται. Καὶ τῶν ἄλλων δὲ πάντων λεγομένων μόνον, ὅτι ἐτέχθησαν, καὶ ἐγεννήθησαν, ἐπὶ τοῦ ἐκ Μαρίας μόνου εἴρηται· *Καὶ ὁ Λόγος σὰρξ ἐγένετο.*

num et Deum. Nisi enim in corpore Deus exstitisset, cur statim atque de Maria processit, Emmanuel vocatus est, quod est interpretatum, *Nobiscum Deus* [3]? Paulus vero, nisi Verbum in carne foret, ad Romanos scribere ista qui potuit, *Ex quibus Christus est secundum carnem, qui est super omnia Deus benedictus in sæcula. Amen* [4]? Quamobrem qui antea negaverunt eum qui crucifixus est, esse Deum, errorem suum agnoscant ac divinis omnibus Litteris fidem adhibeant, sed Thomæ præsertim, qui cum in Christo clavorum vestigia vidisset exclamavit : *Dominus meus et Deus meus* [5]. Filius enim idemque Deus ac gloriæ Dominus in eo corpore, quod per summam ignominiam clavis confixum ac dehonestatum fuerat, omnino residebat. Corpus B **1006** ipsum vero in cruce perforatum utique patiebatur, et ex ejus latere sanguis cum aqua diffluebat : verum cum divini Verbi templum esset, erat divinitate plenissimum. Quam ob causam sol ipse, cum auctorem suum tam graves in misero corpore contumelias tolerantem videret, radiis ac luce suppressa, terram tenebris obduxit; corpus autem mortali natura præditum supra naturæ suæ conditionem propter Verbum, quod in ipso erat, a mortuis excitatum est, et a naturali corruptione liberatum, Verbi quoddam velut indumentum est factum ; cumque Verbo, quod humanam conditionem superat, velut amictu quodam obvolutum esset, corruptionis est expers redditum [6]. Quod autem ad C nonnullorum inanes nugas et commenta pertinet, qui ut in reliquos prophetas omnes, ita et in unum illum e Maria natum hominem divinum Verbum illapsum esse sentiunt : pluribus ea de re disputare supervacaneum est, horum quippe stulta et inepta persuasio manifeste ac sine ullo negotio convincitur. Nam si ad eum modum ille descendit, cur e virgine natus, non ex viro feminaque susceptus est, quemadmodum sancti omnes in lucem editi fuerunt? Cur, cum ita Verbum illapsum sit, non etiam cæterorum uniuscujusque mors nostra causa tolerata dicitur, sed hujus duntaxat unius? Cur, cum in singulos prophetas divinum se Verbum insinuaverit, in eo solo, qui e Maria natus est, in consummatione sæculorum semel advenisse dicitur [7]? Cur, D cum eodem modo se in illum infuderit, quo in priores omnes sanctos descenderat, reliqui omnes nondum post mortem surrexerunt; solus ille vero qui e Maria genitus est, tertia die surrexit? Cur, cum eadem qua in cæteros ratione divinum illud Verbum delapsum sit, unus ille ex Maria natus Emmanuel appellatur, quasi corpus ipsum divinitate repletum, et ab ea natum exstiterit? Nam Emmanuel idem significat ac *Nobiscum Deus*. Cur, si ad eum modum accesserit, cum sanctus quilibet manducaret ac biberet, necnon fatigaretur ac moreretur, in nullo tamen Verbum ipsum comedisse, laborasse, mortem denique subiisse dicitur, nisi in eo solo, quem Maria Virgo peperit? Quæ enim corpus ipsum perpessum est, hæc illi perinde ac si passum esset tribuuntur. Porro, cum de cæteris unum illud jactari soleat, productos illos ac genitos fuisse, de solo Mariæ filio dicitur : *Et Verbum caro factum est* [8].

[1] γρ. ἐσκότισε. — [2] Absunt hæc ab editione Athanasii. [3] Isa. 7, 14; Matth. 1, 23. [4] Rom. IX, 5. [5] Joan. XX, 28. [6] Luc. XXIII, 45. [7] Hebr. IX, 26. [8] Joan. I, 14.

Digitized by Google

1007 XIII. Ex quibus evidenter ostenditur, A cum in reliquos vaticinandi solum gratia sese Dei Verbum infuderit, idem ipsum e Maria carne susceptam hominem prodiisse. Qui et natura substantiaque Dei Verbum erat, et, quod ad carnem attinet, e Davidis stirpe, Mariæque carne natus est homo, quemadmodum declarat Apostolus [1]. Hunc in Jordane [2] atque in monte [3] Pater demonstravit his verbis : *Hic est Filius meus dilectus, in quo mihi complacui.* Hunc Ariani negant, nos adorantes agnoscimus, neque Filium a Verbo separamus; sed Verbum ipsum Filium esse confitemur, per quem omnia facta sunt, nosque adeo ipsi liberati. Unde illud magnopere demirati sumus, quomodo vel levissima inter nos ea de re controversia moveri potuerit. Verum habendæ Deo gratiæ sunt, quod, quantum ex B illorum commentariorum lectione mœroris cepimus, tantum nobis eorumdem finis voluptatis attulerit. Siquidem mutua cum concordia discesserunt, eamdemque fidei sinceritatem ac pietatem professi pacem retinuerunt. Quæ me res potissimum post diuturnam deliberationem impulit, ut hæc pauca perscriberem; verebar enim, ne qui nobis gaudendi materiam consensione sua præbuissent, iis silentium nostrum pro lætitia dolorem consciscceret. Quamobrem cum a te etiam atque etiam postulo, tum eos qui hæc audient rogatos admodum cupio, ut ea sincera cum conscientia percipiant. Ac si quid ad pietatem deest, emendare ac significare mihi ne graventur; quod si minus pro rei dignitate perfecta, utpote rudis atque imperiti hominis, videatur oratio, idipsum infantiæ imbecillitatique nostræ condonandum existiment. Valete.

Hactenus Athanasii epistola.

XIV. Cum igitur hæc a nobis producta sit epistola, ac non modo ex iis quæ vel ab illis vel ab aliis audivimus, ut adversus eos scriberemus, inducti simus, sed et aliunde planum factum sit, nihil nos in ipsos calumniose contulisse : deinceps susceptam in illos disputationem repetam, ne vel tenuissimam de nobis calumniæ contra fratres nostros suspicionem relinquam. Quanquam equidem hoc ipsorum causa etiamnum precor, **1008** ut quæ molestiæ nonnihil nobis attulerint, aliquando corrigant, ne et illi nostri et illorum nos jacturam faciamus. Hoc enim sæpenumero per legatos ab iis postulavimus hortatique sumus, et idem impetrare modo studemus, ut, omni contentione sublata, apostolorum, evangelistarum ac Patrum divinis sanctionibus insistant, ac sinceræ, solidæ, inconcussæ et undecunque justissimæ fidei professionem conservent.

Cæterum memini hoc a quibusdam ex illorum grege minus esse narratum : « Christum Dominum non hanc nostram assumpsisse carnem, sed diversi generis aliam. » Quod utinam ex affectu laudandi honorandique jactarent. Nam et nos sanctum illud esse corpus illibatumque dicimus, quippe quod nullum unquam peccatum commisit, nec in ejus

ΙΓ'. Ἐξ ὧν δείκνυται, ὅτι πρὸς μὲν τοὺς ἄλλους πάντας γέγονεν ὁ Λόγος τοῦ προφητεύειν χάριν, ἐκ Μαρίας αὐτὸς ὁ Λόγος σάρκα ἑαυτῷ λαβών, προῆλθεν ἄνθρωπος, τῇ μὲν φύσει καὶ τῇ οὐσίᾳ Λόγος ὢν τοῦ Θεοῦ, κατὰ δὲ σάρκα ἐκ σπέρματος Δαβὶδ, καὶ τῆς σαρκὸς Μαρίας γενόμενος ἄνθρωπος, ὡς εἶπεν ὁ Παῦλος. Τοῦτον καὶ ὁ Πατὴρ ἐδείκνυεν ἐν τῷ Ἰορδάνῃ καὶ ἐν τῷ ὄρει, λέγων· *Οὗτός ἐστιν ὁ Υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ ηὐδόκησα.* Τοῦτον οἱ μὲν Ἀρειανοὶ ἠρνήσαντο, ἡμεῖς δὲ ἐπιγινώσκομεν προσκυνοῦντες· οὐ διαιροῦντες τὸν Υἱὸν καὶ τὸν Λόγον, ἀλλ' αὐτὸν τὸν Λόγον εἰδότες εἶναι τὸν Υἱὸν, δι' οὗ τὰ πάντα γέγονε καὶ ἡμεῖς ἠλευθερώθημεν. Διὸ καὶ ἐθαυμάσαμεν, πῶς ὅλως ἐν ἡμῖν περὶ τούτων οὕτως γέγονε φιλονεικία. Ἀλλὰ χάρις τῷ Θεῷ, ὅσον ἐλυπήθημεν ἐντυγχάνοντες τοῖς ὑπομνήμασι, τοσοῦτον ἐχάρημεν ἐπὶ τῷ τέλει τούτων. Μετὰ γὰρ συμφωνίας ἀνεχώρησαν, καὶ εἰρήνευσαν ἐπὶ τῇ ὁμολογίᾳ τῆς εὐσεβοῦς καὶ ὀρθοδόξου πίστεως. Τοῦτο γοῦν κἀμὲ πολλὰ πρότερον σκεψάμενον πεποίηκε γράψαι τὰ ὀλίγα ταῦτα, λογισάμενον, μὴ ἄρα ἐκ τῆς σιωπῆς ἀντὶ χαρᾶς λύπη γένηται τοῖς ἐκ τῆς συμφωνίας πρόφασιν τοῦ χαίρειν παρασχοῦσιν ἡμῖν. Ἀξιῶ τοίνυν προηγουμένως τὴν σὴν εὐλάβειαν, καὶ δεύτερον τοὺς ἀκούοντας μετὰ συνειδήσεως ἀγαθῆς ταῦτα δέξασθαι, καὶ εἰ μὲν πρὸς εὐσέβειαν λείπει τοῦτο, διορθώσασθαι καὶ δηλῶσαί μοι· εἰ δὲ ὡς παρὰ ἰδιώτου τῷ λόγῳ, μηδὲ κατ' ἀξίαν, μηδὲ τελείως γέγραπται, συγγνῶναι πάντας τῇ ἡμετέρᾳ περὶ τὸ λέγειν ἀσθενείᾳ. Ἔρρωσθε.

Πεπλήρωται.

ΙΔ'. Ἐπεὶ οὖν καὶ ἡ ἐπιστολὴ ἐνετάγη, καὶ οὐ μόνον ἐξ ὧν παρ' αὐτῶν ἠκούσαμεν, ἢ παρ' ἑτέρων, κατὰ τῶν λεγομένων ὡρμήσαμεν γράψαι, ἀλλὰ καὶ πᾶσι φανερὸν κατέστη, ὅτι οὐδένα ἐσυκοφαντήσαμεν· ἐξῆς δὲ ἐπιλήψομαι τῆς κατ' αὐτῶν ὑποθέσεως, ἵνα ἐκ πανταχόθεν μὴ ὑπολειφθῶμέν τισιν ὡς συκοφαντοῦντες τοὺς ἡμετέρους ἀδελφούς. Καίτοι γε εὐχόμενος αὐτοῖς καὶ εἰς δεῦρο διορθῶσαι τὰ δοκοῦντα ἡμᾶς λυπεῖν, ἵνα μὴ αὐτοὶ ἡμᾶς ζημιωθῶσι, μηδὲ ἡμεῖς αὐτούς. Πολλάκις γὰρ τοῦτο ἐπρεσβεύσαμεν, καὶ παρεκαλέσαμεν, καὶ ἔτι ἐπιμένομεν παρακαλοῦντες ἄραι τὴν φιλονεικίαν, καὶ ἀκολουθῆσαι τῷ τῶν ἀποστόλων, καὶ εὐαγγελιστῶν, καὶ Πατέρων θείῳ θεσμῷ, καὶ ὁμολογίᾳ τῆς πίστεως τῆς ἀπεριέργου, καὶ ἑδραίας, καὶ ἀμετακινήτου, καὶ δικαιοτάτης ἐν πᾶσιν.

Ἄλλοι δὲ εἰς ἡμῶν ὧτα εἰρήκασιν, ὅτι « Οὐ ταύτην τὴν ἡμετέραν σάρκα, οὐδὲ ὁμοίαν ἡμῶν ἐλθὼν ἔλαβεν ὁ Κύριος, ἀλλὰ ἄλλην παρὰ τὴν ἡμῶν. » Καὶ εἴθε κατὰ δοξολογίαν ἔλεγον καὶ κατὰ ἔπαινον. Καὶ αὐτοὶ γάρ φαμεν ἅγιον εἶναι τὸ σῶμα καὶ ἄχραντον· ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν· οὐδὲ εὑρέθη δόλος ἐν στόματι αὐτοῦ. Καὶ παντὶ τῷ δῆλόν ἐστι τοῦτο τῷ

[1] Rom. I, 3. [2] Matth. III, 17. [3] Matth. XVII, 5.

Digitized by Google

εὐσεβῶς περὶ Χριστοῦ λέγοντι καὶ νοοῦντι. [1] Ἡμεῖς δὲ εἰ καὶ αὐτὸ τὸ σῶμα λέγομεν, ὅπερ καὶ αὐτὸ τὸ ἡμῶν εἴληφε παρ' αὐτῷ τὸ ἄχραντον αὐτοῦ σῶμα, ἐν ἡμῖν τοῖς πεπλημμεληκόσιν, οὐ διὰ τὸ ἀλλότριον εἶναι τὸ σῶμα, καὶ ἀλλόκοτον τὸ ὑποδεὲς καὶ ἡλαττωμένον, ἀλλὰ διὰ τὰ ἡμῶν ἁμαρτήματα καὶ παραπτώματα, τούτου ἕνεκα. Οὐ γὰρ ἄλλο σῶμα ὁ Κύριος ἔλαβε, καὶ ἄλλο ἡμεῖς ἔχομεν, ἀλλ' αὐτὸ τὸ σῶμα ἐν αὐτῷ πεφυλαγμένον καὶ ἄχραντον διατετηρημένον.

A ore dolus inventus est [2]: quod quidem nemo non intelligit, qui de Christo pie profiteatur ac sentiat. Verum etsi purum integrumque corpus illius quod assumpsit, idem esse cum nostro fateamur, est hoc ipsum tamen in nobis, qui quidem peccavimus, conditione ac dignitate multum inferius, non quod alienum ab illo sit et abhorrens, sed quod peccata sunt a nobis delictaque quamplurima commissa. Quare non aliud ac nos habemus a Christo corpus assumptum est; sed idem omnino corpus est, quod in illo servatum et ab omni contagione vindicatum est.

ΙΕ'. Ἄλλοι δὲ ἐξ αὐτῶν καὶ ἄχρι τῆς δεῦρο φιλονεικίᾳ τινὶ φερόμενοι, ὑπονοίαις ἀλλοτρίαις προσαχθέντες, οὐ κατὰ τὴν διδαχὴν τῶν Πατέρων, οὐδὲ κατέχοντες τὴν κεφαλὴν τῆς πίστεως· ἐξ οὗ πᾶν τὸ σῶμα διὰ τῶν ἁφῶν καὶ τῶν συνδέσμων ἐπιχορηγούμενον καὶ συμβιβαζόμενον αὔξει τὴν αὔξησιν τοῦ Θεοῦ, ὡς ὁ Ἀπόστολος λέγει· ἀλλὰ τάχα ὡς ὑπὸ ἀλλοτρίων τινῶν θολωθέντες τὰς ἀκοὰς πλησιαιτέρως Οὐαλεντίνῳ, καὶ Μαρκίωνι, καὶ Μανιχαίῳ, καὶ αὐτοὶ δῆθεν εἰς τιμὴν Χριστοῦ φαντάζονται μᾶλλον ἢπερ ἀληθεύουσιν. Ἐπὰν ἀκούσωσι παρ' ἡμῶν, ὅτι ἔσχε Χριστὸς σῶμα τὸ ἡμέτερον, εὐθὺς εἰς τοὺς μύθους τρέπονται τοὺς ἰδίους τῆς φιλονεικίας, λέγοντες ὄνυχας αὐτὸν ἐσχηκέναι, καὶ σάρκα, καὶ τρίχας, καὶ εἴ τι ἕτερον· οὐ τοιούτους δὲ ὁποίους ἡμεῖς ἔχομεν, ἀλλὰ ἄλλους ὄνυχας ἐσχηκέναι, καὶ σάρκας ἄλλας, καὶ τὰ ἄλλα πάντα οὐχ ὁπτῖα ἡμεῖς ἔχομεν, ἀλλὰ ἀλλοῖα παρὰ τὰ ἡμέτερα· δῆθεν πάλιν βουλόμενοι σοφιστικῶς τῷ Χριστῷ χαρίσασθαι, κατὰ τὸν Οὐαλεντῖνον καὶ τὰς εἰρημένας αἱρέσεις, τοὺς ματαίους λόγους. Λέγουσι γάρ, ὅταν Χριστοῦ ὁμολογήσωμεν τελείως τὰ πάντα, περιέργως, γέγραπται [3] περὶ τῶν τοιούτων τῶν περιεργαζομένων, καὶ μηδὲν ἐργαζομένων· πτύροντες γὰρ τὴν διάνοιαν τῶν ἀκεραιοτέρων, εὐθὺς λέγουσιν· Οὐκοῦν χρείαν ἔσχε (93) τῶν κατὰ τῆς σαρκὸς συνήθειαν, ἢ τὰ πρὸς ἐκτοπισμὸν, ἢ τὰ πρὸς ἀφεδρῶνα, ἢ τὰ ἄλλα, ὅσαπερ δοκεῖ εἶναι σοφὰ, δεινὰ δὲ τυγχάνοντα καὶ ληρώδη μᾶλλον, ὡς φησιν ὁ προφήτης· *Τίς γὰρ ἐζήτησε ταῦτα ἐκ τῶν χειρῶν ὑμῶν;* Περὶ τίνος γὰρ τῶν ἁγίων, καίτοι γε ἀνθρώπων ὄντων τῶν προφητῶν, καὶ οὐ θεῶν, καὶ εὐαγγελιστῶν, καὶ λοιπῶν τῶν ἐκ ψυχῆς καὶ σαρκὸς ὄντων, καθ' ἡμᾶς δὲ ὄντων, καὶ μὴ ἀμφιβαλλομένων, ἐγράφη περὶ τῶν τοιούτων πραγμάτων; Ποῦ δὲ οὐχὶ μᾶλλον τὰ σεμνότερα ἐπεμαρτύρησε τοῖς ἁγίοις ἡ Γραφὴ μήτι γε Κυρίῳ Χριστῷ;

XV. Præterea sunt inter illos aliqui, qui ad hoc usque tempus contentionis avidi, ac perabsurdis opinionibus irretiti, non doctrinæ Patrum inhærentes, neque fidei caput retinentes; ex quo omne corpus per compages et vincula suppeditatum et coagmentatum augetur incremento Dei, ut Apostoli verbis utar [4]; sed aures suas alienorum hominum narrationibus perturbari patientes, non dissimili ac Valentinus, Marcio Manichæusque ratione, conficta quædam, in honorem scilicet Christi, mendacia pro veris dogmatibus obtrudunt. Cum enim a nobis audiunt, Christum nostro fuisse corpore præditum, statim ad inanes ac pertinaciæ suæ consentaneas sese fabulas transferunt. Nam ungues illum et carnem ac capillos cæteraque omnia non ejusmodi, qualia in nobis insunt, habuisse prædicant, sed ungues a nostris diversos, itidemque carnem ac reliqua id genus non similia nostrorum, sed ab iis longe discrepantia. **1009** Nimirum ut Valentini ac cæterarum, quas antea commemoravimus, hæreseon more, cavillatoria quadam argutia Christo gratificari videantur. Unde cum ea omnia quæ insunt in Christo, perfecte absoluteque profiteamur, multa illi de eodem absurde ac curiose disputare solent. De quo hominum genere, qui cum multarum rerum satagant, nihil tamen agunt, Scriptura meminit. Etenim quo rudiorum animos quodam velut horrore perfundant, hæc identidem objiciunt: Ergo istiusmodi corporis necessitatibus, quæ ei familiares sunt, obstrictus fuit, qualis egestio est ac secessus? Addunt et alia pleraque, quæ callida ac subtilia videntur, sed horrenda otiosorum hominum ludicra sunt. Nam, ut ait propheta, *Quis hæc e manibus vestris requisiit* [5]? De quonam vero ex omnibus sanctis, tametsi homines essent prophetæ, non dii, ut et evangelistæ cæterique, qui ex anima et carne constabant, ac sine ulla dubitatione nostri similes erant; quis horum, inquam, exstitit, de quo ejusmodi quædam conscripta fuerint? Nonne potius honestissima quæque de sanctis, nedum de Christo Domino, Scriptura testatur?

ΙΣ'. Λεγέτωσαν δὲ ἡμῖν οἱ ἐκθαμβηταὶ τῶν προβάτων, καὶ πτύρται τῶν περιστερῶν, καὶ σοβηταὶ τῶν τοῦ Χριστοῦ ἀρνίων τε καὶ θρεμμάτων, ποῦ παρ-

XVI. Dicant nobis ii qui et oves absterrent, et columbas abigunt, et Christi agnos ac pecora fugant, ubinam Moyses totis illis quadraginta diebus

[1] Vitium subest huic loco. [2] F. περὶ Χριστοῦ ὁμολ. τελείως, τὰ πάντα περίεργα, ὡς γέγρ. [3] I Petr. II, 22. [4] Ephes. IV, 16. [5] Isa. I, 12.

(93) *Οὐκοῦν χρείαν ἔσχε.* Fuit hæc Valentini opinio, Christum tanta frugalitate ac parcimonia usum esse, nihil ut egereret. Testatur idipsum Clemens Alexandr. III *Strom.* qui ex hæretici illius *Agathopodem epistola* ista profert: Ἠσθιεν, καὶ ἔπινεν ἰδίως· οὐκ ἀποδιδοὺς τὰ βρώματα· τοιαύτη ἦν αὐτῷ ἐγκρατείας δύναμις, ὥστε φθαρῆναι τὴν τροφὴν ἐν αὐτῷ.

Digitized by Google

ventrem exoneraverit? Quonam ad secessum abierit Elias ad torrentem Chorra, cum mandato Dei, quæ a corvis afferebatur cibaria, hoc est, matutino tempore panem, vespere carnes comederet [1]? Nimirum stultum erat hæc a Scriptura commemorari, quemadmodum et illos modo perscrutari stultum est. Quæ enim ex iis utilitas percipi potest? quis animi fructus? quæ eo tantum spectat, ut, ad præsumptæ cujusdam opinionis infidelitatem astruendam, inanissimas occasiones frigidis illis nugis et ad animorum eversionem idoneis suppeditet. Velim et hoc porro nobis edisserant: Quanam ratione Deus, cum voluit, id egerit, ut Israelitarum totos quadraginta annos neque pili crescerent, nec inveterarent calcei, neque vestes attererentur aut sordibus obsolescerent? An et isti de cœlo descenderant? aut dii scilicet erant aliqui? Atqui ne laudantur illi quidem; sed divinum numen in plerisque provocarunt. Annon igitur iisdem erant nobiscum affectionibus obnoxii? Verum omnia se posse per sese, fierique **1010** ipsius nutu, vel non fieri posse Deus ostendere voluit. Ac ne fortassis aliquis ob stupenda illa prodigia, quæ in illorum gratiam a Deo facta fuerant, amplius quiddam humana conditione in illis exstitisse crederet, ut huic errori nostra causa consuleret, Scriptura sacra sic præcipit: *Habeat unusquisque paxillum ferreum in zona sua, ut, cum in aliquo loco desederit, fodiat, et stercus suum operiat, quoniam populus sanctus estis, et Dominus habitat in medio castrorum* [2]. Quam in rem Hebræi quamdam historiam commemorant: figuram illam ac typum aliquanto temporis spatio perseverasse, quandiu Deus in his hoc prodigium efficere voluit. Ac licet carnibus et coturnicibus vescerentur, nunquam tamen per illud tempus ejusmodi naturæ necessitates expertos illos fuisse.

XVII. Jam vero si a Judæis ad majorum suorum decus et gloriam vel ad gratiam ista finguntur, vel ex rei veritate prædicantur (quanquam homines illos fuisse, quorum dignitatis patrocinium susceperunt, et corruptibiles, non deos, sed ex carne sanguine animaque compositos exstitisse non dubitemus); quis tam atrocia et horrenda de Christo, Deique Verbo cœlitus allapso, ac de gloriosa veraque ipsius incarnatione jactari ab illis patienter audiat? Qua quidem in incarnatione illud, quod dictum est, implevit: *Tentatus per omnia ut homo, absque peccato* [3]. Etenim, licet nostra carne præditus foret, poterat nihilominus illa ipsa quæ a nobis habentur vilia, prætermittere, eaque præstare solum quæ honestiora ac divinæ majestati congrua videbantur: utpote per quem et Israelitarum capilli non excreverint, nec eorum vestimenta sordes contraxerint, quæ omnia, si traditioni credimus, illis acciderunt. Quod autem vestes hominum manibus contextas Christus habuerit, extra omnem controversiam est. Partiti sunt enim vestimenta ejus, et

A εσκευάσθη Μωϋσῆς τὴν τεσσαρακονθήμερον; Ποῦ τὰ πρὸς χρείαν ἐποιεῖτο Ἠλίας ἐν τῷ Χορρᾷ χειμάρρῳ, ὁπηνίκα ἄρτον μὲν τὸ πρωῒνὸν ἤσθιε, κρέα δὲ τὸ δειλινὸν ἀπὸ τῆς τῶν κοράκων παρακομιδῆς διὰ Θεοῦ προστάγματος; Ἠλίθιον γὰρ ἦν τὸ τὴν Γραφὴν περὶ τούτων λέγειν, ὡς νῦν τούτοις ἠλίθιον τὸ ἐξετάζειν. Τίς γὰρ ὠφέλεια ἐν τοῖς τοιούτοις; ἢ τί τὸ χρήσιμον; ἀλλ' ἢ μόνον εἰς ἀπιστίαν τῆς προλήψεως προφάσεις διὰ ψυχρολογίας καὶ ἀνατροπῆς ματαίας ἔχον. Λεγέτωσαν δὲ πάλιν ἡμῖν, τίνι τῷ λόγῳ, ὅτε ἠθέλησεν ὁ Θεὸς, ἐποίησε τῶν υἱῶν Ἰσραὴλ ἐν τεσσαράκοντα ἔτεσι μήτε τὰς τρίχας κομάσαι, μήτε τὰ ὑποδήματα παλαιωθῆναι, μήτε τὰ ἱμάτια κατατριβῆναι, ἢ ῥυπανθῆναι; Μὴ ἄρα καὶ οὗτοι ἀπ' οὐρανοῦ ἐληλύθεισαν; μὴ θεοὶ οἱ τοιοῦτοι ὑπῆρχον;

B καίτοι γε οὐκ ἐν ἐπαίνοις ὑπάρχοντες, ἀλλ' ἐν πολλοῖς Θεὸν παραζηλώσαντες, μὴ οὐκ ἦσαν ὁμοιοπαθεῖς ἡμῖν; Ἀλλ' ἵνα δείξῃ ὁ Θεὸς, ὅτι τὰ πάντα ἐν αὐτῷ δύναται, καὶ ἐγχωρεῖ γίνεσθαι, καὶ μὴ γίνεσθαι. Ἵνα γὰρ μή τινες εἰς ἐκείνους πάλιν λογίσωνται τὰ ὑπὲρ φύσιν διὰ τὰ αὐτοῖς ἐν θαυμασμῷ γινόμενα παρὰ Θεοῦ, τουτέστιν ὅτι τρίχες οὐκ ἐκόμων, ἱμάτια οὐκ ἐπαλαιοῦντο, καὶ τὰ ἄλλα, καὶ ὅτι ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος: εἰς ἡμῶν χάριν ἀσφαλισάμενον τὸ θεῖον Γράμμα φησί· *Λαβέτω ἕκαστος πάσσαλον σιδηροῦν ἐν τῇ ζώνῃ ἑαυτοῦ, ἵν', ὅταν εἰς τόπον καθίζῃ, σκάψῃ καὶ χώσῃ τὴν ἰδίαν κόπρον. Ὅτι λαὸς ἡγιασμένος ἐστὲ, καὶ Κύριος ἐνδημεῖ εἰς μέσον τῆς παρεμβολῆς.* Εἰς τοῦτο δὲ

C καὶ ἱστορίαν παῖδες Ἑβραίων παραφέρουσιν, ὅτι διήρκεσεν αὐτοῖς ὁ τύπος ἄχρι τινὸς καιροῦ, ἕως ὅτου ὁ Θεὸς ἠθέλησε δεῖξαι ἐν αὐτοῖς τοῦτο τὸ θαῦμα· καίτοι γε αὐτῶν ἐσθιόντων καὶ κρέα καὶ ὀρτυγομήτραν, συμβεβηκέναι αὐτοὺς μήτε τούτου χρείαν ἔχειν.

ΙΖ'. Καὶ εἰ παρὰ τοῖς Ἑβραίοις διὰ τὴν πρὸς τοὺς πατέρας αὐτῶν δόξαν, ἤτοι κατὰ πρόσθεσιν, χαριστικῶς, ἤτοι κατὰ ἀλήθειαν τοῦτο ᾄδεται (καίτοι γε αὐτῶν εἰδότων, ὅτι καὶ ἄνθρωποι ἦσαν οἱ πρὸς αὐτῶν συνηγορούμενοι καὶ φθαρτοὶ καὶ οὐ θεοὶ καὶ ἐκ σαρκὸς καὶ αἵματος καὶ ψυχῆς)· τίς παρὰ τούτων ἀνέξεται ἀκούων τὰ οὐκ ἀτάλμητα περὶ Χριστοῦ τοῦ ἄνωθεν ἐλθόντος Θεοῦ Λόγου καὶ τῆς

D αὐτοῦ ἐν ἅπασιν ἐνδόξου καὶ ἀληθινῆς ἐνσάρκου παρουσίας; ἐν ᾗ ἐπλήρωσε τὸ εἰρημένον· *Πεπειραμένος κατὰ πάντα ὡς ἄνθρωπος χωρὶς ἁμαρτίας.* Ἐξῆν γὰρ αὐτῷ ἀληθείᾳ ἔχοντι σάρκα τὴν ἡμετέραν, μὴ πράττειν τὰ δοκοῦντα ἡμῖν εὐτελῆ, καὶ πράττειν ὁποῖα σεμνὰ ἐτύγχανε, καὶ πρέποντα ἀναλόγως τῇ θεότητι· δι' οὗ καὶ οἱ υἱοὶ Ἰσραὴλ οὐκ ἐκόμησαν, καὶ τὰ ἱμάτια αὐτῶν οὐκ ἐρυπάνθη· καὶ ταῦτα κατὰ παράδοσιν αὐτοῖς συμβέβηκεν. Ὅτι δὲ καὶ ἱμάτια εἶχεν ἐξ ἀνθρώπων κατεσκευασμένα, ἀναμφίβολον. Διεμερίσαντο γὰρ τὰ ἱμάτια αὐτοῦ, καὶ ἐπὶ τὸν ἱματισμὸν αὐτοῦ ἔβαλον κλῆρον. Εἰ δὲ ἱμάτιον ἐξ ἀνθρώπων, δηλονότι ἐξ ἐρέας ἦν καὶ ἐκ

[1] III Reg. xvii, 6. [2] Deut. xxiii, 13. [3] Hebr. iv, 15.

Digitized by Google

λίνου· τὰ δὲ ἐκ λίνου καὶ ἐξ ἐρέας γεγενημένα ἄψυχά τινα ἦν καὶ ἀναίσθητα. Ἀλλ' ὅτε ἠθέλησε δεῖξαι αὐτοῦ τὸ δυνατὸν τῆς θεότητος, μεταμορφωθεὶς, ἔδειξε τὸ πρόσωπον αὐτοῦ ὡς τὸν ἥλιον, καὶ τὰ ἱμάτια αὐτοῦ λευκὰ ὡσεὶ χιόνα. Πάντα γὰρ τῷ δυνατῷ δυνατὰ, εἰς τὸ ὑποθήξειν [1] παρὰ προσδοκίαν, καὶ τὰ ἀναίσθητα καὶ τὰ ἄπνοα εἰς δόξαν καὶ φαιδρότητα μετασκευάσαι· ὡς τὴν ῥάβδον Μωϋσέως, ὡς τὰ ὑποδήματα τῶν υἱῶν Ἰσραήλ. Πᾶσι γὰρ ὡμολόγηται, ὅτι οἱ ἀπόστολοι ἅγιοι ἄνθρωποι ἦσαν, φθαρτοὶ τὰ σώματα εἰς ἡμᾶς [2], ἄφθαρτοι δὲ διὰ τὴν ἐνοικήσασαν αὐτοῖς Θεοῦ δόξαν. Καὶ σκιὰ μὲν Πέτρου πάντας τοὺς προσφερομένους ἔχοντας ἀσθενείας ἴατο· καὶ σουδάρια, καὶ σιμικίνθια τῶν ἱματίων Παύλου δυνάμεις ἐργάζονται.

A super vestem ejus miserunt sortem [6]. Quod si hominum artificio vestis erat illa confecta, utique e lana linoque contexta fuerat. Quæ autem ex lino essent lanave facta, opinor, anima ac sensu carebant. Verum ubi divinitatis suæ potentiam indicare visum est, transformato corpore, faciem suam solis instar **1011** splendentem ac vestimenta sua nivis more candentia monstravit [8]. Nihil est enim non præpotenti Deo possibile, ut vel ea quoque, quæ sensu ac spiritu carent, momento ac præter omnem exspectationem in gloriam possit splendoremque convertere: quemadmodum in Moysis virga et Israelitarum calceamentis ostendit. Est enim apud omnes in confesso, apostolos sanctissimos homines fuisse eosdem corporibus perinde ac nos corruptibiles, et, præter divinam gloriam quæ in illis insidebat, incorruptos exstitisse. Quamobrem et umbra Petri oblatis ægris omnibus sanitatem contulit [9], et sudaria ac semicinctia e Pauli vestibus admiranda quædam prodigia præstiterunt [7].

ΠΡ. Καὶ πῶς οὗτοι Θεὸν πολυπραγμονοῦσιν αἰσχράς τινας ὑπονοίας τεκταινόμενοι, ἐπὶ ὧν οὐδεμία χρεία γεγέννηται πώποτε πρὸς διαλογὴν, οὐ προφήτης, οὐκ εὐαγγελιστὴς, οὐκ ἀποστόλου, οὐ συγγραφεῖ; Ὅσα γὰρ τοιαῦτα οὗτοι λέγουσι, κἂν μυρία ἐπέκεινα τούτων κακῶς ὑπονοήσωσιν, οὐκ ἀνατρέψουσι τὴν πατρικὴν ἡμῶν πίστιν, τὴν τῇ ἀληθείᾳ Χριστὸν κατεγγέλλουσαν. Ἐγεννήθη γὰρ Χριστὸς ἐν σαρκὶ κατὰ ἀλήθειαν ἀπὸ Μαρίας τῆς Ἀειπαρθένου διὰ Πνεύματος ἁγίου· καὶ εὐθὺς ἀπὸ κυήσεως Ἐμμανουὴλ καλεῖται, ὅ ἐστι, *Θεὸς μεθ' ἡμῶν*· οὐκέτι δεύτερον γεννᾶται. Καὶ ἀπέδρα εἰς τὴν Αἴγυπτον τὸ παιδίον μετὰ Ἰωσὴφ καὶ Μαρίας, ἐπειδὴ ἐζήτουν τὴν ψυχὴν τοῦ παιδίου, ὡς δυναμένου αὐτοῦ ἐν σαρκὶ ἀποκτανθῆναι. Ἀλλὰ προσεκυνήθη ὑπὸ τῶν μάγων ὡς Θεὸς ἀληθινὸς, ἐν σαρκὶ γεννηθείς, καὶ οὐ δοκήσει. Καὶ ἀνελθὼν ἀπὸ Αἰγύπτου κατὰ φόβον τοῦ Ἰωσὴφ οὐκ εἰσῆλθεν εἰς Ἱερουσαλὴμ, δι' Ἀρχέλαον, ὡς δυναμένου τοῦ παιδίου κρατηθῆναι, καὶ πρὸ τοῦ καιροῦ ἐν σαρκὶ παθεῖν ὅπερ ἔμελλε πάσχειν. Ἀλλὰ διεκωλύθη ὑπὸ Ἰωάννου, ἐπιγνωσθεὶς ὑπὸ τοῦ δούλου Δεσπότης, ὅτι Θεὸς ἦν ἐνανθρωπήσας ἐν ἀληθείᾳ. Οὐ κατεδέξατο δὲ τὴν τοῦ ἰδίου δούλου ἐν τῇ τοιαύτῃ ὑποθέσει τιμὴν, ἵνα πληρώσῃ πᾶσαν δικαιοσύνην ἐν σαρκὶ, ἐν ἀληθείᾳ, καὶ τελείᾳ ἐνανθρωπήσει, τὸν ὑπογραμμὸν τῆς σωτηρίας ἡμῖν ὑπολιμπάνων. Ἀλλὰ καὶ κέκμηκεν ἀπὸ τῆς ὁδοιπορίας ἐν ἀληθείᾳ· καὶ οὐχ ἁπλῶς ἔκαμεν, ἀλλὰ καὶ ἐκαθέσθη. Διότι ἀληθινῶς ἐνηνθρώπησεν, ἕδρα [3] λέγων· *Δεῦτε, πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς*· ἵνα δείξῃ τὴν αὐτοῦ θεότητα ἱκανὴν οὖσαν πάντα τὰ πλήθη τοῦ κόσμου τὰ πρὸς αὐτὸν ἀφικνούμενα ἀναπαῦσαι. Ἀλλὰ καὶ ἐπειράσθη ὑπὸ τοῦ διαβόλου, καὶ ἔμεινε τεσσαράκοντα ἡμέρας μήτε ἐσθίων, μήτε πίνων· ἵνα δείξῃ τὸ ἀνενδεὲς τῆς αὐτοῦ θεότητος. Οὐ γὰρ πεινῶν ὑπέμεινεν, ὡς φιλοσοφικῶς καθ' ἡμᾶς ἐγκρατευόμενος, καὶ αὐτὸν ἄγχων, καὶ βιαζόμενος, ἀλλὰ ἀνυστερήτως διὰ τὴν ἀληθινὴν αὐ-

XVIII. Quid vero attinet hominiones istos quædam subturpia cogitatione fingentes in divinum numen curiosius inquirere, cum de his nullus propheta, vel evangelista, vel apostolus, vel alterius generis scriptor disputare sibi necessarium duxerit? Enimvero quidquid illi narrant, ac licet infinita alia præterea falsa sine opinione confingant, nunquam tamen traditam a majoribus nostris fidem, quæ de Christo sincere omnia prædicat, poterunt evertere. Christus enim ex Maria Virgine secundum carnem revera de Spiritu sancto genitus est. Ac statim post partum Emmanuel, hoc est *Nobiscum Deus* appellatur [4]; nec jam secundo gignitur. Post hæc infans in Ægyptum cum Josepho ac Maria transfugit, quoniam quærebant animam pueri [5], ut illud argumento sit illum in carne necari potuisse. Verum a magis adoratus est, tanquam verus Deus carne ipsa, non sola specie adumbrationeque natus. Deinde cum ex Ægypto revertisset, Archelaum adhuc metuente Josepho, Hierosolymam non adiit, utpote cum et infans comprehendi posset, et ante tempus in carne perpeti, quæ erat aliquando passurus. Præter hæc a Joanne prohibitus est, cum dominum servus agnovisset, Deum esse hominis natura revera præditum [10]. At is habitum sibi honorem a servo in eo genere detrectavit omnem in carne ex rei veritate, ut in perfecta hominis natura justitiam impleret. Qua in re salutare nobis exemplum reliquit. Quin etiam vere de via fatigatus est, nec fatigatus modo, sed etiam præ lassitudine resedit [11]. Ad hæc quoniam non ficte hominis naturam susceperat, contenta voce clamavit: **1012** *Venite, omnes qui laboratis et onerati estis, et ego reficiam vos* [12]: ut ad omnes orbis terrarum homines, qui ad sese confugerent, recreandos idoneam esse Divinitatem suam ostenderet. Præterea tentatus a diabolo est, et quadraginta dies sine ullo cibo potuque permansit, ut eamdem divinitatem

[1] Cor. ὑπόθιξιν. [2] F. ὡς ἡμεῖς. [3] F. καὶ ἐδόα. [4] Joan. xix, 24; Psal. xxi, 19. [5] Matth. xvii, 2. [6] Act. v, 15. [7] Act. xix, 12. [8] Matth. i, 23. [9] Matth. ii, 13 sqq. [10] Matth. iii, 14 sqq. [11] Joan. iv, 6. [12] Matth. xi, 28.

Digitized by Google

nullius rei indigere monstraret. Neque enim tum famem sustinebat, quasi severiori quodam vitæ instituto sibi abstinentiam indixisset, seseque inedia cruciare ac perdomare vellet; sed tanquam veram in sese divinitatem habens nullius egebat: postea tamen, ut Scriptura narrat [1], esuriit. Qua ratione vere se hominem factum esse significavit, cum assumptum a se corpus veris ac rationi consentaneis necessitatibus obnoxium esse divina natura voluisset, ne, quod ex ipsa revera consequens esse videbatur, veram humanæ naturæ conditionem exstingueret. Unde et ad ficum arborem esuriit [2], et verum lutum fecit [3]. Ad eamdem vero illam ficum cum nonnulla dixisset, ea, uti dixerat, acciderunt [4]. Item in navigio cum ventum increpasset, hic subito desiit [5]. Tum vero sputo suo, ac luto, cum Divinitatis suæ sermone, tum hominis, quem assumpserat, sputo, luto, inquam, sicut Adamo quondam, ita cæco illi quod ad integritatem deerat membrum finxit ac reddidit: si quidem in eo erant omnia perfecta, adeo ut in carne paterentur, in divinitate vero pati nihil possent, donec a mortuis excitatus est, nihil amplius omnino patiens, neque moriens omnino [6].

Quodsi nonnulli, pro eo quod e virili satu corpus non acceperit, diversi cujusdam esse generis arbitrentur, non est quod propterea nostri corporis esse dissimile putent. Postquam enim e Maria natum esse extra dubitationem omnem est, nostrum fuisse necesse est, Maria quippe non alterius, quam cujus corpora nostra sunt, conditionis exstitit: nam et Adamus a viro genitus non fuit, sed e terra formatus [7], nec ideo sequitur quod non e virili satu, sed de terra prodierit, diversam quamdam a nostris corporibus naturam esse sortitum. Etenim nos ab illo geniti ab ejusdem corpore diversi non sumus; tametsi e virili satu fuerimus ac mulieris utero propagati. Sed hæc nonnulli subtilius identidem tractantes et in animo versantes, a scopo penitus aberrarunt. Alii porro ex **1013** iis, qui ad nos ventitabant, infinita quædam alia deblaterantes, virum laudatissimum suis criminationibus traducebant. Ac vehementiorem quidem, quam par erat, tumultum concitarunt, sive ex inscitia, sive quod ab eo dictum erat minime percepissent, et ab eo digressi quæ audierant dogmata prædicarent. Verum de supervacaneis hisce quæstionibus hactenus. Illud vero lectores omnes intellecturos arbitror, nulla nos aut invidia, aut odio in hominem esse commotos. Istud enim in primis optamus ac petimus, ut ne ab Ecclesia Christi atque ab suavissima fratrum societate divellatur, sed ut ejusmodi dogmatis nimium studium contentionemque deponat ac sese ad meliora convertat, sicut scriptum est: *Revertere, Sunamitis, revertere, et videbimus in te* [8]. Redeo jam ad id quod initio proposueram, et quod consequens est attexam.

XIX. Negat a Christo perfectam hominis naturam esse susceptam. Imo et nonnullos ab omni spe salutis dejicit, vehementer illos territans ac dicens, non esse quod perfectam illum hominis na-

τοῦ θεότητα, καὶ ὕστερον, φησὶν ἡ Γραφὴ, ἐπείνασεν· ἵνα δείξῃ τὴν ἀληθινὴν ἐνανθρώπησιν τῆς Θεότητος, ἐνδιδούσης τῇ ἐνσάρκῳ παρουσίᾳ τῶν εὐλόγων χρειῶν καὶ ἀληθινῶν μετέχειν· ἵνα μὴ τὸ ἀληθινὸν τῆς ἀκολουθίας ἀφανίσῃ τὴν ἀληθινὴν ἐνανθρώπησιν. Καὶ γὰρ καὶ ἐπὶ τῆς συκῆς ἐπείνασε, καὶ πηλὸν ἀληθινὸν ἐποίησεν. Ἀλλὰ λόγον εἶπε πρὸς τὴν συκῆν ὁ Θεὸς, καὶ ἐγένετο. Καὶ ἐπὶ τῆς νηὸς ἐπετίμησε τῷ ἀνέμῳ, καὶ ἐπαύσατο. Καὶ διὰ τοῦ πτύσματος καὶ πηλοῦ, τῷ λόγῳ τῆς αὐτοῦ Θεότητος, καὶ τῷ πτύσματι τῆς αὐτοῦ ἐνανθρωπήσεως, καὶ τῷ πηλῷ πάλιν, ὡς τῷ Ἀδὰμ, καὶ τούτῳ τὸ ἐλλιπὲς μέλος πλάττων ἐχαρίσατο· τῶν πάντων τελείων ἐν αὐτῷ ὄντων, ἐν σαρκὶ πασχόντων, ἐν θεότητι δὲ ἀπαθῶν ὄντων, ἕως ἀνέστη ἐκ τῶν νεκρῶν, ὅλως μὴ πάσχων λοιπὸν, ὅλως μηκέτι ἀποθνήσκων.

Εἰ δέ τινες, διὰ τὸ μὴ ἀπὸ σπέρματος ἀνδρὸς τὸ σῶμα αὐτὸν εἰληφέναι, ἀλλοῖον νοήσουσιν, οὐ πάντως διὰ τοῦτο οὐκ ἔστι κατὰ τὸ ἡμέτερον σῶμα. Ἐξότε γὰρ ἀπὸ Μαρίας ὡμολόγηται, ἡμέτερον ἦν. Καὶ γὰρ Μαρία οὐκ ἄλλη ἦν παρὰ τὰ ἡμέτερα σώματα· ἐπεὶ καὶ ὁ Ἀδὰμ οὐκ ἀπὸ σπέρματος ἀνδρὸς ἦν, ἀλλ' ἐκ τῆς γῆς πεπλασμένος. Καὶ οὐ πάντως, ἐπειδὴ ἀπὸ τῆς γῆς ἦν, καὶ οὐκ ἀπὸ σπέρματος ἀνδρὸς, ἀλλοῖος ἦν παρὰ τὰ ἡμέτερα σώματα. Ἡμεῖς γὰρ ἐξ αὐτοῦ γεγεννήμεθα, καὶ οὐκ ἐσμὲν ἀλλοῖοι παρὰ τὸ ἐκείνου σῶμα, καίτοι γε ἐκ σπέρματος ἀνδρὸς καὶ ἀπὸ μήτρας γυναικὸς γεγεννημένοι. Ἀλλὰ ταῦτα μέν τινες σοφιζόμενοι πολλάκις, καὶ ἐν τῇ διανοίᾳ ἔχοντες, ἐκ τοῦ προκειμένου ἐξέπεσον· τινὲς δὲ πάλιν ἐξ αὐτῶν τῶν πρὸς ἡμᾶς ἐρχομένων, ἄλλα μυρία καὶ ἐπέκεινα περιττολογοῦντες, τὸν ἄνδρα τὸν ἐν πολλοῖς ἐπαίνοις φημιζόμενον διέβαλλον. Καὶ τῷ μὲν ὄντι περιττότερον οἶμαι τοῦ δέοντος, ἢ κατὰ ἰδιωτίαν, ἢ κατὰ παρακολουθησίαν [9], ἢ παρ' αὐτοὺς ἐξερχόμενοι, καὶ ἀποφθεγγόμενοι, τὴν ταραχὴν εἰργάσαντο. Ἀλλὰ νῦν μοι περὶ τῶν περιττῶν ἕως ὧδε ἀρκείτω ὁ λόγος, συνιόντων τῶν ἐντυγχανόντων, ὅτι οὔτε φθόνῳ τετηκότες, οὔτε μίσει τῷ πρὸς τὸν ἄνδρα. Εὐχόμεθα γὰρ αὐτὸν μὴ μερισθῆναι ἀπὸ τῆς τοῦ Χριστοῦ Ἐκκλησίας καὶ τῆς γλυκύτητος τῆς πάσης ἀδελφότητος, ἀλλὰ ἀποθέσθαι αὐτὸν τῆς τοῦ λόγου τούτου φιλονεικίας τὴν ἔνστασιν, καὶ ἐπιστρέψαι κατὰ τὸ εἰρημένον· *Ἐπίστρεφε, ἡ Σουναμῖτις, ἐπίστρεφε, καὶ ὀψόμεθα ἐν σοί.* Ὅμως περὶ τοῦ προκειμένου αὖθις ἐπιλήψομαι τῆς ἀκολουθίας.

ΙΘ'. Τελείαν οὐ βούλεται λέγειν τὴν ἔνσαρκον Χριστοῦ παρουσίαν, ἀλλὰ καὶ τὴν σωτηρίαν ἀποκρούεταί τινων, φόβον ἐμποιῶν καὶ λέγων, ὅτι « Οὐ δεῖ τέλειον ἄνθρωπον τὸν αὐτὸν ἀνειληφέναι λέγειν, » ὅθεν

[1] Matth. IV, 2. [2] Matth. XI, 13. [3] Joan. IX, 6. [4] Luc. VIII, 24. [5] Joan. IX, 6. [6] Rom. VI, 9. [7] Gen. II, 7. [8] Cant. VI, 12. [9] F. ἀπαρακολουθησίαν. Et mox παρ' αὐτοῦ.

Digitized by Google

ἀπὸ τοῦ ῥητοῦ εἰρημένου· *Ἀναλαμβάνων πραεῖς ὁ Κύριος*. Οὐδὲν δὲ θαυμαστὸν, οὔτε διαφοράν τινα ἐν τούτῳ τις ἔχει δεῖξαι, τῷ εἰπεῖν ἀναλαβεῖν σάρκα τὸν Κύριον, ἢ λαβόντα τελείαν ἐνανθρώπησιν, ἢ ὥσπερ πολλάκις ἐν ἡμῖν ὁμωνύμως πολλαὶ λέξεις τυγχάνουσιν, *Ἀναλαμβάνων* γὰρ, φησὶ, *πραεῖς ὁ Κύριος*· καὶ, *Ἀνέλαβέ με ἐκ τῶν ποιμνίων τῶν προβάτων*· καὶ, *Ἀνελήφθη*· καὶ *εἶπον δύο ἄνδρες*· *Τί ἑστήκατε, ἄνδρες Γαλιλαῖοι; Οὗτος ὁ ἀφ' ὑμῶν ἀναληφθείς*... Καὶ οὐ πάντως τὸ *ἀναλαβεῖν* μίαν ἔχει διαφοράν, ἐν τῷ λέγειν, *ἀνέλαβεν*, ἢ *ἔλαβεν*, ἢ *ἀνεπλάσατο* εἰς ἑαυτὸν τὴν ἰδίαν ἐνανθρώπησιν· οὐκ ἀπὸ τῆς λέξεως ἡμᾶς ταύτης πτύρουσιν οἱ βουλόμενοι κατὰ τῶν ἀκεραίων ἐπεγείρεσθαι. Οὕτως χρὴ λέγειν. Καὶ μή τις νομίσῃ διαβάλλειν ἡμᾶς, ἢ χλευαστικῶς λέγειν περὶ τῆς ὑποθέσεως ταύτης τὰ ῥήματα. Πολλάκις γὰρ ἐσκεψάμην περὶ τούτου γράφειν· ἵνα μή τις νομίσῃ ἡμᾶς κατ' ἔχθραν κατ' αὐτοῦ ἐπεγείρεσθαι. Οὐδὲν γὰρ ἡμᾶς οὐδεὶς ἔβλαψεν, ὡς κατὰ τὸ ἀνθρώπινον λέγω, οὐδὲ τὰ ἡμῶν ἐν κόσμῳ ἁφήρπασεν. Σκεπτόμενος δὲ τοῦ μὴ γράφειν, ἠναγκάσθην ὑπ' αὐτῆς τῆς ἀληθείας, ἵνα μὴ [1] παραλείψω τῶν παρὰ τὴν πίστιν τι πεφρονηκότων· ὡς καὶ ὕστερον οἱ θεοσεβεῖς ἐντυχόντες ἐπιγνώσονται, ὅτι οὐχ ἕνεκα ζήλου κοσμικοῦ ἡμῖν ὁ λόγος. Μᾶλλον γὰρ ὠφελεῖ ἡμᾶς ὁ ἀνὴρ τὰ μέγιστα τῶν κατὰ κόσμον καὶ κατὰ τὴν ἀγάπην, εἴπερ ὁμοφρόνως τῇ ἁγίᾳ Θεοῦ Ἐκκλησίᾳ κατὰ πάντα τοῖς πᾶσι συνετίθετο, καὶ μὴ ξένον τι παρεισήγαγε ῥῆμα. Ἤτοι οὖν παρ' αὐτῷ, ἢ τοῖς παρ' αὐτοῦ μεμαθητευμένοις ὁ λόγος ἄλλως νοούμενος διὰ τοῦ τοιούτου σχήματος καὶ προφάσεως ἐν παρόδῳ ἄδεται, οὐκ ἔχω λέγειν. Πολλάκις δὲ διενοήθημεν, καὶ ἔκπληκτοι γεγόναμεν, ὅτι ἕνεκεν τοῦ λόγου τούτου ἡ ἔνστασις τῆς φιλονεικίας καὶ τοῦ ἀγῶνος ἕως θανάτου παρ' αὐτῶν ἐκδικεῖται. Καὶ ἐκ τούτου ἔγνωμεν, ὅτι τάχα περιττοτέρᾳ τινὶ ὑπονοίᾳ παρ' αὐτοῖς ὁ λόγος ἄδεται.

XXXII. Sed nec his quidem contenti suavissimi illi fratres nostri, cum illud sibi semel proposuerint, ut in omnibus opiniosissimam suam nobis pervicaciam opponant, etiam divinitatem **1026** Christi passam esse summa cum audacia prædicant. Ad quod illis Apostoli verbis abutuntur : *Si enim cognovissent, nunquam Dominum gloriæ* D *crucifixissent* [7]. Ac mea quidem sententia aliqui Apollinaris discipuli, qui minus istud intelligerent, cum aliis erroribus hunc ipsum proponentes, argutuli volunt videri. Miror enim si ejusmodi quidpiam ab eo fuerit assertum. Neque vero admirandum est, quod Scriptura sacra Dominum gloriæ crucifixum esse dixerit. Siquidem et assumptam hominis naturam gloriæ Dominum appellamus : quippe quæ ab divinitate minime separata sit. Nec ullum in eo genere opus, aut argumentum est, quod non commode possit intelligi ; adeoque totum incarnationis negotium ad unam eamdemque ad-

μᾶλλον ἰδιώτης εὑρίσκεται. Ἡμῶν γὰρ ὄντων ἰδιωτῶν τῷ λόγῳ, ἀλλ' οὐ τῇ γνώσει, κατὰ τὸ εἰρημένον, βραχέων δὲ σφόδρα ὄντων, θαυμαζόντων δὲ τῶν τοιούτων ἀνθρώπων, καὶ ἀπὸ λόγων ὁρμωμένων τὸν νοῦν, ἀπορίας ἡμῖν κατάστασις περὶ τὴν διάνοιαν συμβαίνει, ὅτι τὸ ῥητὸν τοῦτο εἰς παράστασιν τῆς τοιαύτης αὐτῶν ἁπλῶς ἀργῆς φιλονεικίας λαμβάνουσιν ὅλως, τοῦ πράγματος μὴ ἔχοντος ἔμφασιν ἐπικοινωνοῦσαν τῇ τοιαύτῃ σχέσει. *Ἡμεῖς γάρ*, φησὶ, *νοῦν Χριστοῦ ἔχομεν*. Τί δὲ ἄρα εἴη ὁ Χριστὸς, παρ' αὐτοῖς ἐρωτητέον, ἢ ὁ νοῦς Χριστοῦ τί ἄρα εἴη. Ἐνταῦθα δὲ ὑποφαίνουσιν ἕτερον τὸν Χριστὸν εἶναι νενοηκότες, καὶ ἑτέραν τὴν αὐτοῦ θεότητα. Εἰ γὰρ ἀντὶ τοῦ νοῦ τὸν Χριστὸν ὑπολαμβάνουσι, Χριστὸν δὲ τὴν ἔνσαρκον μόνην Χριστοῦ παρουσίαν ὀνομάζουσιν· ἄρα πάλιν εἰς ἑτέραν ζήτησιν ἡμᾶς ἄγειν πειρῶνται. Καὶ ὅτι μὲν οὖν ἀπὸ τῆς ἐνσάρκου παρουσίας Θεὸς Λόγος καὶ Υἱὸς τοῦ Θεοῦ ἑρμηνεύεται, δῆλον· εἰ καὶ προῆγον περὶ αὐτοῦ μαρτυρίαι, τὸν Χριστὸν αὐτὸν καλεῖσθαι καὶ πρὸ τῆς ἐνσάρκου παρουσίας, ἐν τῇ παρουσίᾳ πεπλήρωνται· μήτε τῆς θεότητος ἐκτὸς Χριστοῦ ὑπαρχούσης ὀνόματος, μήτε ἐνσάρκου παρουσίας, καὶ αὐτοῦ ἐνανθρωπήσεως, ἄνευ τῆς τοιαύτης ὀνομασίας ὀνομαζομένης· ὡς κατὰ τὸ εἰρημένον· *Μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου· Τίς ἀναβήσεται εἰς τὸν οὐρανόν ; τουτέστι Χριστὸν καταγαγεῖν· ἢ τίς καταβήσεται εἰς τὴν ἄβυσσον ; τουτέστι Χριστὸν ἀναγαγεῖν ἐκ νεκρῶν*. Καὶ πάλιν ὁ αὐτὸς λέγει· *Ἵνα* C *γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν, καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν*. Τὸ δὲ *ἀπέστειλας*, ἄνωθεν ἔχον τὴν θεωρίαν, ἀλλ' οὐκ ἐκτὸς ὂν τῶν ὑπὸ Πέτρου εἰρημένων, ὅτι *Ἰησοῦν τὸν Ναζωραῖον, ἄνδρα ἀποδεδειγμένον εἰς ὑμᾶς τέρασι καὶ σημείοις, ὃν ἔχρισεν ὁ Θεὸς Πνεύματι ἁγίῳ*· καὶ τὰ τούτοις ὅμοια.

ΛΒ'. Εἶτα δὲ πάλιν οἱ γλυκύτατοι ἡμῶν ἀδελφοὶ, βουλόμενοι κατὰ πάντα φιλονείκους ἡμῖν εἰσφέρειν διανοίας, καὶ τὴν αὐτοῦ θεότητα πεπονθυῖαν, οὐκ ἀτολμήτως κηρύττουσιν ἐκ τοῦ ῥητοῦ τοῦ εἰρημένου· *Εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν Κύριον τῆς δόξης ἐσταύρωσαν*. Τινὲς δὲ τῶν αὐτοῦ παίδων μὴ νοοῦντες τοῦτο, ὡς οἶμαι, μετὰ τῶν ἄλλων προβαλλόμενοι, βούλονται ἐπισοφίζεσθαι. Θαυμάζω γὰρ εἰ αὐτὸς οὕτως φάτκει. Οὐ θαυμαστὸν γὰρ, ἐὰν εἴπῃ ἡ θεία Γραφὴ τὸν Κύριον τῆς δόξης ἐσταυρῶσθαι. Καὶ γὰρ καὶ Κύριον δόξης ὁμολογοῦμεν καὶ αὐτὴν τὴν ἔνσαρκον παρουσίαν· οὐ γὰρ διῄρηται ἀπὸ τῆς θεότητος ἡ ἔνσαρκος παρουσία· τῆς ἑκάστης ὑποθέσεως εὐλόγως νοουμένης, καὶ ἐπὶ τὸ αὐτὸ τῆς πάσης πραγματείας εἰς μίαν οἰκονομίαν καὶ μίαν τελειότητα ἡμῖν συνηνωμένης. Παθητὸς γὰρ ἡμῖν κηρύττεται Χριστὸς καὶ πιστεύεται, οὐ καθ' ἑαυτὸν παθὼν, οὐδὲ ὅτι ἄλλος ἐστὶν ὁ πεπονθὼς, καὶ ἄλλος ὁ Κύριος, οὐδὲ ὅτι ἡ θεότης πέπονθεν· ἀλλὰ πέπονθε

[1] II Cor. xi, 6. [2] I Cor. ii, 16. [3] Rom. x, 6. [4] Joan. xvii, 3. [5] Act. ii, 20. [6] Act. x, 38. [7] I Cor. ii, 6.

Digitized by Google

μὲν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς, τῆς θεότητος ἀτρέπτου μενούσης τε, καὶ ἀπαθοῦς, πασχούσης δὲ ἐν τῇ σαρκὶ, καὶ ἀπαθοῦς μενούσης. Εἰ γὰρ ἀπέθανε Χριστὸς ὑπὲρ ἡμῶν, καὶ ὄντως ἀπέθανεν, οὐχ ἡ θεότης ἀπέθανεν, ἀλλὰ ἀπέθανεν ἐν σαρκὶ, κατὰ τὸ εἰρημένον· *Θανατωθεὶς σαρκὶ, ζωοποιηθεὶς δὲ τῷ πνεύματι*· καὶ πάλιν· *Χριστοῦ παθόντος ὑπὲρ ἡμῶν σαρκί.*

A ministrationem perfectionemque conspirat. Itaque patibilem nos Christum prædicamus, ac credimus: non quod per sese sit passus, neque quod alius sit a patiente Dominus, neque quod divina natura passa sit: verum ita Dominus noster Jesus Christus passus est, ut ipsius divinitas mutationis omnis et passionis expers nihilominus in cruce pateretur, et ipsa nullam in sese passionem experireturque mortuus, non in divinitatem mors illa

tur. Quod enim Christus nostra causa mortuus est, cecidit; sed in carne mortuus est, quemadmodum scriptum est: *Mortificatus carne, vivificatus autem spiritu*[1]. Item: *Christe passo pro nobis in carne*[2].

Θαυμαστῶς ἡμῖν ὡμολόγηται πεπονθὼς ἐν ἀληθείᾳ, καὶ ἀπαθὴς ἐν ἀληθείᾳ· τῆς θεότητος μὴ παθούσης διὰ τὸ ἄτρεπτον, καὶ ἀπαθὲς, καὶ ὁμοούσιον τῷ Πατρί· παθούσης δὲ τῆς σαρκὸς, καὶ οὐ μερισθείσης τῆς θεότητος ἀπὸ τῆς ἐνσάρκου παρουσίας ἐν τῷ πάθει. Συνῆν γὰρ καὶ ἡ θεότης, καὶ ἡ ἐνανθρώπησις, ὅτε ἐπὶ τῷ σταυρῷ ἔπασχε μὲν Χριστὸς σαρκὶ, ἀπαθὴς δὲ ἔμεινε θεότητι· ἵνα τὴν δικαίωσιν μηκέτι ἐν σαρκὶ μόνον ἔχωμεν, ἀλλὰ ἐν τῇ θεότητι· καὶ ἵνα ἐν τῇ θεότητι καὶ ἐν τῇ σαρκὶ κατ' ἀμφοῖν ἡμῖν σωτηρία γένηται. Οὐ γὰρ ψιλὸς ἡμῖν ἄνθρωπος ὁ Χριστὸς, ἀλλ' ὁ Λόγος ἐνυπόστατος, ἔνσαρκος, καὶ Θεὸς ἄνθρωπος γεγονὼς ἐν ἀληθείᾳ, ἡμῶν μὴ ἐχόντων τὴν ἐλπίδα ἐπ' ἄνθρωπον, ἀλλ' ἐν τῇ θεότητι· καὶ ἡμῶν μὴ ἐχόντων Θεὸν πάσχοντα, ἀλλ' ἀπαθῆ· ἐκτὸς δὲ πάθους τὴν σωτηρίαν ἡμῶν μὴ πεποιηκότα, ἀλλ' ἐν τῷ ὑπὲρ ἡμῶν ἀποθανεῖν, καὶ ἑαυτὸν προσενέγκαι τῷ Πατρὶ θυσίαν ὑπὲρ τῶν ἡμετέρων ψυχῶν, ἐν τῷ αἵματι αὐτοῦ καθαρίσας ἡμᾶς, σχίσας τὸ καθ' ἡμῶν χειρόγραφον καὶ προσηλώσας αὐτὸ τῷ σταυρῷ, καθὼς πάντη ἡ Γραφὴ διδάσκει ἡμᾶς.

Quamobrem singulari quadam et admirabili ratione vere passum illum esse confitemur, et eumdem tamen vere passionis expertem: quod nihil divinitas ipsa patiatur, quoniam ab omni vicissitudine et passione immunis est, ejusdemque cum Patre substantiæ. Ita porro passam esse carnem asserimus, ut in ipsa perpessione divinitas nequaquam ab assumpta hominis natura sejuncta sit. Tum enim divinitas cum humana natura conjuncta fuit, quando Christus in cruce suffixus carne passus est, nihil ipsa divinitate patiente, quo justificatio nostra non amplius in sola carne, sed etiam in divinitate consisteret, atque ut a divinitate simul et carne salus nostra proficisceretur. Etenim Christus non simplex ac nudus homo fuit, sed Verbum subsistens, incarnatum, ac Deus homo revera factus, ut spem nostram non amplius in homine, sed in divinitate collocemus, neque patientem Deum, sed a perpessione omni immunem habeamus. **1027** Qui quidem non sine perpessione salutem nobis attulerit, sed in moriendo pro nobis, seque Deo Patri pro nostris animabus sacrificii instar offerendo præstiterit, cum nos sanguine suo repurgarit, ac scriptum contra nos chirographum disciderit, et cruci suæ istud affixerit[4], id quod ubique Scriptura testatur.

ΑΓ'. Καὶ ἔσται μοι περὶ τούτων, εἰ χρεία γένοιτο, εἰς παράστασιν εἰπεῖν πολλά. Καὶ γὰρ ἐν ἄλλοις εἰρήκαμεν, τὴν θεωρίαν ταύτην σαφηνίζοντες, περὶ τῆς ἡμῶν βεβαίας σωτηρίας, ὅτι Ὡς ἂν ἐκ ῥαντισμοῦ αἵματος τυγχάνει βαφὴ ἐν ἱματίῳ, τὸ μὲν σῶμα οὐκ ἔβαψε τοῦ φοροῦντος, ἡ δὲ βαφὴ τοῦ ἱματίου οὐκ εἰς τὸ ἱμάτιον λελόγισται, ἀλλ' εἰς τὸν ἄνθρωπον τὸν φοροῦντα· οὕτω καὶ τὸ πάθος τῇ θεότητι μὲν οὐκ ἐνέσκηψεν, ἀλλ' ἐν τῇ ἐνανθρωπήσει ἐγένετο· οὐκ ἐλογίσθη δὲ τῇ ἐνανθρωπήσει μόνῃ· ἀλλ' ἵνα μὴ πληρωθῇ ἐν τῇ σωτηρίᾳ τῆς οἰκονομίας τὸ, *Ἐπικατάρατος πᾶς, ὃς ἔχει τὴν ἐλπίδα ἐπ' ἄνθρωπον.* Ἀλλ' ἐλογίσθη καὶ εἰς τὴν θεότητα, τῆς θεότητος μὴ πασχούσης, ἵνα ἐν τῇ θεότητι λογισθῇ τῇ ἁγίᾳ τοῦ Θεοῦ Ἐκκλησίᾳ τοῦ πάθους ἡ σωτηρία. Ἀλλὰ πάλιν μὴ λεξίθηρ ὤν τις ἑαυτὸν θελήσῃ μᾶλλον συλλογίσασθαι, ἢ[1] περὶ τὸ αἴνιγμα τοῦ ὁμοιώματος. Οὐ γὰρ πᾶσα παραβολὴ ἐν τῇ Γραφῇ ὅλῃ λαμβάνεται, ὡς τὸ, *Σκύμνος λέοντος Ἰούδα*, διὰ τὸ ἰσχυρότερον τοῦ ζώου καὶ βασιλικώτατον, ἀλλ' οὐχὶ διὰ τὸ ἄλογον καὶ ἁρπακτικόν. Οὕτω καὶ ἐπὶ τοῦ ἱματίου, οὐκ ἐνδυομένου, καὶ ἐκδυομένου· ἀλλ' ἅπαξ κατὰ τὸ εἰρη-

XXXIII. Possem, si necesse videretur, ad ejus dogmatis veritatem confirmandam alia proferre quam plurima. Sic enim alio loco, cum idem argumentum pertractaremus, de certa minimeque dubia nostra salute constituimus: Quemadmodum sanguinis aspergine vestis inficitur, licet ejus, qui vestem gerit, corpus nequaquam infectum sit, nihilominus illa vestis aspersa macula non vesti, sed ei qui vestem gerit, tribuitur; eodem modo licet perpessio in divinitatem non incubuerit, sed humanæ duntaxat naturæ contigerit, non huic tamen soli tribuendam, verum ne in procuranda per incarnationem Verbi salute nostra, in illam incurramus Scripturæ sententiam: *Maledictus omnis, qui spem habet in homine*[5]. Propterea divinitati etiam imputatur, cum nihil ipsa per sese patiatur, ut humani generis salus per Christi passionem acquisita a sacrosancta Dei Ecclesia divinitati quoque tribuatur. Vereor ne quis ex illis vocum captatoribus subtiliori ratiocinatione semetipsum implicare malit, quam allatam a nobis similitudinem caute ac prudenter accipere. Neque enim ulla sacris in Litteris

[1] Mutilus locus. [2] I Petr. III, 18. [3] I Petr. IV, 1. [4] Coloss. II, 14. [5] Jer. XVII, 5.

Digitized by Google

similitudo tota ac penitus usurpatur, velut cum dicitur : *Catulus leonis Juda* [1]. In quo fortitudinis ac regiæ cujusdam excellentiæ, quæ in illa fera cernitur, habita ratio est; nec illud spectatum est, quod rationis expers sit ac rapax. Sic et in veste nihil illud ad rationem nostram pertinet, quod id indui exuique soleat. Semel enim, ut scriptum est, *decorem induit*; deinde vero *virtutem induit, ac præcinxit se* [2]. In quo Apostoli illa vox impletur : *Non jam moritur : mors illi ultra non dominatur* [3]. Quæ cum ita sese habeant, hoc ad sui dogmatis patrocinium fratres nostri proferunt : *Nos autem mentem Christi habemus* [4]. Quo ex illorum sermone, quem in eo argumento usurpant, suspicari licet, alteram illos Christi mentem asserere voluisse. Sed si divinitatem ab incarnatione non separant, sed unicum ac simplex incarnationis negotium illud esse putant, quid tandem eximium illa, quæ dicitur, Christi mens habebit? An per se ipsum Dei Verbum exsistit, nec humana mente in incarnatione præditum est? quæ est illorum opinio. Christo mens residet? An potius Scripturæ ille ponenda grandioribus verbis utatur?

XXXIV. Nam si vere loqui volumus, pius quilibet vitam suam non ex humana mente temperat, sed ex ea quæ Christi propria est, quæque ab eodem sapientia repletur, quæ Christo propter justitiam attribuitur, quæ per fidei professionem in Christo vivit, quæ honestorum operum functione per Christum salutem assequitur. Hæc est illa Christi mens, quæ sic in nobis inesse potest, ut Christum certi alicujus loci regione minime circumscribat. Nam ubique sunt Pater, et Filius, et Spiritus sanctus, et spiritali quodam modo in nobis exsistunt, si illis esse digni velimus. Neque vero loco ullo vel ipse concluditur, vel ipsius Pater, aut Spiritus sanctus, sed propter divinitatis ipsius potentiam in omnibus exsistit; neque tamen cum illa miscetur, quod et illius substantia communionem omnem ac comparationem superet, et sincera sit atque omni major comprehensione divinitas. Cum autem dicit Apostolus : *Nos Christi mentem habemus*, quid tandem existimabimus? Num ille propriam, hoc est humanam mentem habuit? An Christi mentem in sese ferens, amissa propria, ejus illam loco obtinuisse putandus est? Non opinor; nec est quisquam, qui hæc audiat, qui non peculiarem illi fuisse mentem arbitretur, præter quam Christi quoque mente repleretur, qui se religionis, scientiæ ac divinæ cujusdam et cœlestis vitæ ornamentis afficeret. Quapropter si, cum propriam haberet, Christi insuper ille mentem complexus est, consequens est, Christum ipsum Verbum mentem esse, si quidem ita loqui licet. Quandoquidem nonnullis visum est mentem appellare Deum. Ego vero mentem nostram hypostasin esse non arbitror, neque ex Ecclesiæ filiis alius quisquam, sed efficientiam quamdam, quæ in nobis a Deo

μένον· *Εὐπρέπειαν ἐνεδύσατο*· τὸ δὲ δεύτερον *ἐνεδύσατο δύναμιν, καὶ διεζώσατο*· πληρουμένης ἐπὶ τούτῳ τοῦ ἁγιωτάτου Ἀποστόλου τῆς φωνῆς, τό· *Οὐκέτι ἀποθνήσκει, θάνατος αὐτοῦ οὐκέτι κυριεύει*. Τοίνυν τούτων οὕτως ἐχόντων, βούλονται οἱ ἀδελφοὶ ἡμῶν εἰς παράστασιν ἡμῖν φέρειν, ὅτι *Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν*. Κατὰ δὲ τὸν λόγον αὐτῶν, τὸν ἐπὶ τῇ θεωρίᾳ ταύτῃ φραζόμενον, εἰς ὑπόνοιαν ἡμᾶς φέρουσι, μὴ τάχα νενοήκασιν ὡς τοῦ νοῦ ἑτέρου ὄντος τοῦ Χριστοῦ. Εἰ δὲ οὐ λογίζονται ἐκτὸς εἶναι τὴν θεότητα τῆς ἐνανθρωπήσεως, ἀλλὰ μίαν εἶναι τὴν οἰκονομίαν, τί ἄρα ἔσται περισσότερον νοῦς Χριστοῦ ὁ λεγόμενος; Μὴ ἄρα καθ' ἑαυτὸν ὁ Θεὸς Λόγος ἐστὶ, μὴ ἔχων νοῦν ἀνθρώπινον, ὡς φασιν, ἐν τῇ ἐνσάρκῳ παρουσίᾳ; Νοῦν δὲ ἕτερον ἔχει ὁ Χριστὸς παρὰ τὴν αὐτοῦ ὑπόστασιν τῆς θεότητος, ἢ καταχρηστικῶς εἴωθε πᾶν ῥῆμα ὑπέρογκον λέγεσθαι ἡμῖν εἰς παράστασιν τῶν ἐν ἡμῖν πληρουμένων;

1028 An alia præter divinitatis hypostasin in mos est, ut ad ea quæ in nobis geruntur, ob oculos

ΛΔ'. Καὶ γὰρ τῷ μὲν ὄντι πᾶς θεοσεβὴς οὐ κατὰ τὸν νοῦν τὸν ἀνθρώπινον πολιτεύεται, ἀλλὰ κατὰ τὸν τοῦ Χριστοῦ, τὸν ὑπὸ Χριστοῦ πληρούμενον τῇ συνέσει, τὸν κατὰ τὸν Χριστὸν λογιζόμενον ἐν δικαιοσύνῃ, τὸν ἐν Χριστῷ πεπολιτευμένον τῇ ὁμολογίᾳ, τὸν διὰ Χριστὸν σωζόμενον ἐν τῇ δικαιοπραγίᾳ. Οὗτος γάρ ἐστιν ὁ νοῦς Χριστοῦ, ὁ ἐν ἡμῖν δυνάμενος εἶναι, καὶ ἐν τόπῳ περιεκτικῷ τὸν Χριστὸν μὴ κατέχειν. Πάντη γάρ ἐστιν ὁ Πατὴρ, καὶ ὁ Υἱὸς, καὶ ἅγιον Πνεῦμα, καὶ ἐν ἡμῖν ὑπάρχει πνευματικῶς, ἐὰν αὐτοῦ ἄξιοι γενώμεθα· οὗ τινος τόπου περικλείοντος αὐτὸν, καὶ τὸν αὐτοῦ Πατέρα, καὶ τὸ ἅγιον αὐτοῦ Πνεῦμα· τῇ δὲ δυνάμει τῆς αὐτοῦ θεότητος ἐν ἅπασι τυγχάνων ἐστὶ, καὶ ἀμιγὴς πάντων ἐστὶ, διὰ τὴν αὐτοῦ ἀσυγκοινώνητόν τε καὶ ἀσύγκριτον οὐσίαν, καὶ ἀκραιφνῆ καὶ ἀκατάληπτον θεότητα. Ὅταν δ' εἴπῃ ὁ Ἀπόστολος· *Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν*· ἆρά γε τί λογισόμεθα; Εἶχε τὸν ἴδιον ἀνθρώπινον; Ἢ τοῦ Χριστοῦ ἐμφορούμενος νοῦν, τὸν μὲν ἴδιον ἀπεβάλλετο, νοῦν δὲ Χριστοῦ εἶχεν ἀντὶ τοῦ ἰδίου; Οὐ πάντως. Συνομολογήσειε γὰρ ἕκαστος τῶν ἀκουόντων, ὅτι τὸν μὲν ἴδιον εἶχε, τοῦ τε Χριστοῦ ἐνεφορεῖτο, τοῦ κοσμήσαντος αὐτὸν κατὰ τὴν θεοσέβειαν καὶ γνῶσιν, καὶ Θεοῦ πολιτείαν ἐπουράνιον. Εἰ τοίνυν, τὸν ἴδιον ἔχων νοῦν, Χριστοῦ ἐνεφορεῖτο νοῦν, ἆρά γε καὶ Χριστὸς αὐτὸς ὁ Λόγος νοῦς ἦν· εἴ γε οὕτως δὴ λέγειν· ἐπειδή τισι τοῦτο ἔδοξε [5] νοῦν καλεῖν Θεόν. Ἐγὼ δὲ τὸν νοῦν τὸν ἡμέτερον οὐχ ὑπόστασιν ἡγοῦμαι, οὐδέ τις τῶν υἱῶν τῆς Ἐκκλησίας, ἀλλ' ἐνέργειάν τινα ἐκ Θεοῦ ἐν ἡμῖν δεδομένην καὶ οὖσαν. Τὸν δὲ Χριστὸν ὑπόστασιν λέγω, ὡς καὶ πάντες πιστοὶ ὁμολογοῦσι, καὶ Θεὸν ὁμολογῶ, καὶ ὄντα Κύριον ἐκ Πατρὸς γεγεννημένον, τέλειον ἐκ τελείου, καὶ φῶς ἐκ φωτὸς, καὶ Θεὸν ἐκ Θεοῦ. Ἀλλ' ὅμως κατὰ τὸν αὐτῶν λόγον, ὁ ὢν ἐν ἑαυτῷ νοῦς, ὥσπερ ὁ ἅγιος

[1] Gen. XLIX, 9. [2] Psal. XCII, 1. [3] Rom. VI, 9. [4] 1 Cor. II, 16. [5] F. ἔδοξε.

Digitized by Google

Ἀπόστολος διδάσκει περὶ αὐτοῦ, ὅτι *Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν*, εἶχεν αὐτὸς καὶ οἱ ὑπ' αὐτοῦ μαρτυρούμενοι τὸν ἴδιον ἑαυτῶν νοῦν. Καὶ πάλιν ἐνεφορεῦντο τοῦ Χριστοῦ νοῦ, οὕτως δυναμένης τῆς χάριτος αὐτοῦ ἐν ἑαυτοῖς τελειοῦσθαι.

A concessa resideat. Christum vero hypostasin esse dico, ut et fideles omnes confitentur : et Deum esse profiteor, ac Dominum a Patre genitum, perfectum e perfecto, lumen de lumine, Deum de Deo. Verumtamen ex eadem ratione ille ipse, qui in sese mens erat, ut de illo sanctus Apostolus docet, cum ait : *Nos autem Christi mentem habemus*, habebat tam ipse quam ii, de quibus testificatur, propriam sibi mentem. **1029** Ac rursum Christi mens illos implebat, cum hoc modo illius in ipsis gratia perfici posset.

ΛΕ'. Ἆρα οὖν οὐδὲν διοίσει ἀπὸ τοῦ κατάντικρυς ὁμοιώματος τὸ καὶ ἐπὶ Χριστοῦ τοῦτο λαμβάνειν, ὅτι Χριστὸς ὢν ἐν ἑαυτῷ Θεὸς, εἰ καὶ μετεῖχε νοῦ ἀνθρωπίνου, ὡς καὶ σαρκὸς μετέσχε καὶ αἵματος, καὶ ψυχὴν εἶχε τὴν ἀνθρωπείαν, οὐ πάντως ἀπὸ τοῦ νοὸς ἠχμαλωτεύετο. Εἰ γὰρ ὁ κατὰ φύσιν ἴδιον νοῦν κεκτημένος Ἀπόστολος τὸν ἀνθρώπινον, καὶ τὸν ἐκ B συμμετοχῆς δωρεᾶς, καὶ χαρίσματος, καὶ χάριτος οὐκέτι κατὰ τὸν νοῦν τὸν ἴδιον ἐπολιτεύετο, ἀλλ' ὑπερβαινούσῃ τινὶ φύσεως ἀγωγῇ τῷ Χριστοῦ νῷ κατεκοσμεῖτο· πόσῳ γε μᾶλλον ὁ Θεὸς Λόγος ἐν ἑαυτῷ ἔχων τὴν πᾶσαν τελειότητα αὐτοτέλειος ὢν, αὐτόθεος ὢν, αὐτοδύναμις, αὐτονοῦς, αὐτόφως, καὶ τοῦ νοῦ, καὶ παντὸς σώματος πληρωτὴς ἐγένετο, μᾶλλον δὲ τελειωτὴς, καὶ ἐν ἅπασι διὰ τῆς αὐτοῦ ἐνσάρκου παρουσίας ἡμῖν τὸ σωτήριον ἐξειργάσατο; Παρενεκτέον τοίνυν τὸν τοιοῦτον λόγον, μὴ ἔχοντα ἔμφασιν περὶ τῆς τοιαύτης ὑποθέσεως, καὶ παρενεκτέον τὸ μὴ ὁμολογεῖν πάντα τέλεια ἐν Χριστῷ ἄνευ ἁμαρτίας. Πάντα γὰρ ἀληθινῶς ἐποίησεν ἐλθὼν ὁ Λόγος, τὰ προγεγραμμένα περὶ αὐτοῦ τελειῶν, κατὰ τὸ γεγραμμένον· *Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει*, καὶ τὰ ἑξῆς· ἐν C ἀληθείᾳ ἐγκυμονηθεὶς, καὶ οὐκ ἐν δοκήσει, συλλαμβανόμενος ἐν γαστρὶ ἐν ἀληθείᾳ, ἐνδημῶν σαρκὶ ἐν ἀληθείᾳ, σάρκα ἔχων καὶ ψυχὴν ἐν ἀληθείᾳ, καὶ νοῦν ἐν ἀληθείᾳ, καὶ πάντα εἴ τί ἐστιν ἄνθρωπος ἐν ἀληθείᾳ, χωρὶς ἁμαρτίας· καὶ γεγεννημένος ἐκ παρθενικῆς μήτρας, καὶ ἁγίας Παρθένου ἐν ἀληθείᾳ, οὐκ ἐκ σπέρματος ἀνδρὸς, ἐν ἀληθείᾳ δὲ σάρκα ἔχων, καὶ ψυχὴν, καὶ νοῦν, ὡς ἔφην, καὶ διὰ τῶν τοκετικῶν πόρων ἐν ἀληθείᾳ εὑρισκόμενος [1], καὶ ἐν φάτνῃ ἐν ἀληθείᾳ σπαργανούμενος, ὑπὸ Μαρίας βασταζόμενος, καὶ ἐν Αἰγύπτῳ κατερχόμενος, καὶ ἀπ' Αἰγύπτου μεταφερόμενος, καὶ εἰς Ναζαρὲτ ἀναστρεφόμενος, καὶ ἐν Ἰορδάνῃ παραγενόμενος, καὶ ὑπὸ Ἰωάννου βαπτιζόμενος, καὶ ὑπὸ διαβόλου πειραζόμενος, καὶ μαθητὰς ἐκλεγόμενος ἐν ἀληθείᾳ, καὶ βασιλείαν οὐρανῶν D κηρύξας· ὡς τὰ πάντα ἐν ἀληθείᾳ εὑρίσκεται· ὑπό τε Ἰούδα παραδιδόμενος, καὶ ὑπὸ Ἰουδαίων συλλαμβανόμενος, Ποντίῳ Πιλάτῳ προσφερόμενος, καὶ ὑπ' αὐτοῦ θανάτῳ κατακρινόμενος, σταυρῷ παραδιδόμενος, *Διψῶ*, λέγων, δότε μοι πιεῖν, ἐν ἀληθείᾳ λαμβάνων, ὄξος μετὰ χολῆς γευόμενος, καὶ μηκέτι ποτὸν προσιέμενος, σταυρῷ προσπηγνύμενος, ἐν ἀληθείᾳ κράζων, *Ἠλὶ, Ἠλὶ, λημᾶ σαβαχθανὶ, ἐν ἀληθείᾳ κλίνων τὴν κεφαλὴν, καὶ ἐκπνέων*, ἐν ἀληθείᾳ τὸ σῶμα καθαιρούμενος [2], καὶ λαμβανόμενον ἐν ἀληθείᾳ, καὶ ἐλισσόμενον ὑπὸ τοῦ Ἰωσὴφ, καὶ ἐν μνήματι τιθέμενον ἐν ἀληθείᾳ, λίθῳ ἠσφαλισμένον· κατερχόμενος ἐν θεότητι σὺν ψυχῇ εἰς ᾅδου, καὶ λύων πεπεδη-

XXXV. Nihil igitur a proposita similitudinum abhorret, idem ut ad Christum transferamus eumque statuamus, cum in sese Deus esset, tametsi mentis esset humanæ particeps, quemadmodum carnis ac sanguinis fuit, et humanam haberet animam, nullo tamen modo ab ea mente in captivitatem, ut ita dicam, ac servitutem redactum. Nam si Apostolus, cui propria quædam mens a natura erat insita, humana videlicet ac præter ipsam alia, quam ex cœlestis doni ac gratiæ beneficiique participatione traxerat; non jam ad mentis suæ præscriptum vitam dirigebat suam, sed excellenti quodam naturæ instituto ductuque, Christi mente insignitus et ornatus erat, quanto magis Dei Verbum, quod in sese perfectionem omnem continet, imo ipsa perfectio est, ipse per sese Deus, virtus ipsa, mens ipsa, lumen ipsum, mentem ac totum corpus complevit, vel perfecit potius, et sua nobis incarnatione cumulatam omni ex parte salutem attulit? Est igitur illorum iste sermo repudiandus, qui nullam dogmatis illius significationem habet, cavendumque ne non omnia in Christo perfecta, præter peccatum, asseramus. Siquidem divinum illud Verbum omnia reipsa præstitit, et quæ de se ipso diu ante scripta fuerant implevit, uti sacrum illud vaticinium demonstrat: *Ecce virgo concipiet* [3], etc. Tum vero reipsa, non specie tenus gestatus in utero, in quo et revera genitus erat, secundum quæ vere inter homines cum carne versatus est : carnem, animam ac mentem, et quidquid aliud homo est, præter peccatum, in sese complexus. Idem ex Virginis utero, e sacrosancta, inquam, Virgine, non ex virili satu, revera genitus. Qui, ut dixi, carne, anima et mente reipsa constans, per naturales parturientium meatus revera prodiit, et in præsepi fasciis obvolutus, a Maria gestatus, post hæc in Ægyptum descendens indidem reportatus est; deinde Nazareti degens, atque hinc ad Jordanem accedens, a Joanne baptizatus, et tentatus a diabolo, vere sibi discipulos ascivit, ac cœlorum regnum denuntiare cœpit, quemadmodum et alia omnia reipsa, non ficte suscepit. Velut cum et a Juda proditus, **1030** et a Judæis comprehensus, oblatus Pontio Pilato, et ab eo morte damnatus, atque in cruce suffixus est. Perinde bona et illud fide dixit : *Sitio* [4], date mihi bibere, et quod oblatum erat acetum cum felle cepit, ac degustavit, neque quidquam potus amplius admisit. Sed et affixus cruci revera sic exclamavit : *Eli Eli, lamma sabacthani* [5]. Inde, *caput inclinans exspiravit* [6].

[1] F. τικτόμενος. [2] F. καθαιρούμενον. [3] Isa. VII, 14. [4] Joan. XIX, 28. [5] Matth. XXVII, 46. [6] ibid. 50.

Digitized by Google

Tum ejusdem corpus vere de cruce detractum, manibus contrectatum, a Josepho linteis involutum, et in monumentum revera depositum : cui lapis ad custodiendum obductus est. Quin etiam et ad inferos ipsius divinitas cum anima descendit, eosque, qui vincti illic attinebantur, vi sua ac potentia liberavit : tum idem Dei Verbum cum anima sua sanctissima sursum emergens, et captivorum quos ripuerat, comitatu septus post triduum revera cum corpore, anima, adeoque toto ipso velut instrumento surrexit a mortuis ; deinde quadraginta diebus cum discipulis versatus est : quibus cum in Olivarum monte revera benedixisset, in cœlum subvectus est, eumque discipuli ad nubes usque subeuntem viderunt, et ad Patris dexteram revera considentem, corpore ipso, divinitate, ac tota denique quam assumpserat hominis natura : quo in Incarnationis mysterio in unum omnia, et in eamdem spiritalem perfectionem conjunxit, Deus utique in gloria considens et ad vivos mortuosque judicandos vere aliquando venturus. Nihil igitur in illo diversum ac discrepans est, sed omnia in ipso perfecta perfecteque prorsus elaborata.

A μένους ἐν ἀνδρείᾳ καὶ ἐν δυνάμει, ἀνερχόμενος Θεὸς Λόγος σὺν ψυχῇ τῇ ἁγίᾳ, μεθ' ἧς ἐρρύσατο αἰχμαλωσίας, τὸ τριήμερον ἐν ἀληθείᾳ ἐγειρόμενος σὺν σώματι, καὶ ψυχῇ, καὶ παντὶ τῷ ὀργάνῳ ἐν ἀληθείᾳ, εὑρισκόμενος μετὰ τῶν μαθητῶν τὴν τεσσαρακονθήμερον, εὐλογῶν τε αὐτοὺς ἐν τῷ ὄρει τῶν Ἐλαιῶν ἐν ἀληθείᾳ, ἀνερχόμενος εἰς οὐρανὸν ἐν ἀληθείᾳ, τῶν μαθητῶν αὐτὸν θεωρούντων ἕως τῶν νεφελῶν ἀναλαμβανόμενον ἐν ἀληθείᾳ, καθεσθέντα, καὶ καθεζόμενον ἐν δεξιᾷ τοῦ Πατρὸς ἐν ἀληθείᾳ, ἐν αὐτῷ τῷ σώματι, καὶ τῇ θεότητι, ἐν αὐτῇ τῇ τελείᾳ ἐνανθρωπήσει, ᾗ συνήνωσε τὰ ὅλα εἰς ἕν, καὶ μίαν πνευματικὴν τελείωσιν, Θεὸς ὢν ἐν δόξῃ καθεζόμενος, κρῖναι ζῶντας καὶ νεκροὺς, ἐρχόμενος ἐν ἀληθείᾳ. Καὶ οὐδέν ἐστι παρηλλαγμένον, ἀλλὰ πάντα τέλεια τε- B λείως ἐν αὐτῷ ἐν τελειότητι εἰργασμένα.

XXXVI. Sed cum de his abunde hactenus egisse videamur, quæ dicta sunt esse satis arbitramur. Quæ vero de cæteris vanissimis illorum dogmatibus ex aliorum narratione didicimus, explicanda necessario sunt. Quanquam ita hæc ab illis prædicari nondum omnino persuasum habemus. Utcunque vero se res habeat, quæ ab aliis accipimus non dissimulanda putavimus. Hoc enim affirmare plerique non dubitant, quosdam ex illis in ea esse sententia, Mariam post editum Christum cum Josepho viro suo consuetudinem habuisse. Quod ab illis asseverari permirum mihi videtur. Nec desunt alii, qui in eodem errore versantur, quos inter schismaticos **1031** numeravimus in ea epistola, quam amicorum hortatu adversus illius dogmatis patronos ad nonnullos in Arabia scripsimus : in qua pluribus contra illos de hoc argumento disputavimus. Eam nos vero hæresin, opitulante Deo, separatim ac suo loco postea proponemus.

ΛϚ'. Καλῶς δὲ ἔχειν περὶ τούτων νομίσαντες, ἕως τούτου περὶ τούτων εἰρῆσθαι ἐδικαιώσαμεν. Περὶ δὲ ὧν ἐνηχήθημεν πάλιν περιττολογιῶν τῶν τὰ τοιαῦτα λεγόντων, ἀναγκαῖον καὶ αὐτὰ ὑποδεῖξαι. Οὐ πάνυ δὲ πεπιστεύκαμεν, ὅτι οὕτως παρ' αὐτοῖς ᾄδεται. Ὅμως τὰ ἐνηχηθέντα οὐ σιωπήσομεν. Τινὲς γὰρ καὶ ἐτόλμησαν λέγειν, ὅτι πάλιν τινὲς ἐξ αὐτῶν λέγουσι περὶ Μαρίας, μετὰ τὸ γεγεννηκέναι τὸν Χριστὸν, ἐπισυνῆφθαι ἀνδρὶ τῷ Ἰωσήφ. Θαυμάζω δὲ εἰ καὶ αὐτοὶ C τοῦτο λέγουσιν. Εἰσὶ δὲ οἱ τοῦτο λέγοντες, οὓς καὶ αὐτοὺς ἐν τοῖς σχίσμασιν ἠριθμήσαμεν, αἰτηθέντες, καὶ γράψαντες ἐπιστολὴν ἐν τῇ Ἀραβίᾳ πρός τινας κατὰ τῶν τοῦτο λεγόντων. Πολλὰ δὲ ἐκεῖσε περὶ τούτου εἰρήκαμεν ἐν τῇ κατ' αὐτοὺς ὑποθέσει. Καθεξῆς δὲ ἐν Θεῷ καὶ αὐτὴν ἰδιάζουσαν καθυποτάξω.

Jam vero etiam hoc Apollinaris esse decretum nonnulli prædicant, in priori resurrectione mille nos annorum spatium iisdem in vitæ institutis, quibus nunc utimur, esse confecturos, ut et legem cum aliis observemus omnibus, et quidquid est in mundo, quod ad usum quotidianum pertinet, velut nuptias, circumcisionem, ac cætera omnia, participemus ; cujusmodi ab illo dogma defendi persuadere nobis omnino non possumus, quanquam illum assertorem esse a nonnullis accepimus.

Ἄλλοι δὲ ἔφασαν τὸν γέροντα εἰρηκέναι, ὅτι ἐν τῇ πρώτῃ ἀναστάσει χιλιονταετηρίδα τινὰ ἐπιτελοῦμεν, τοῖς αὐτοῖς ἐμπολιτευόμενοι, ὁποίοις καὶ νῦν, ὡς καὶ νόμον καὶ ἄλλα φυλάττοντες, καὶ πάντα τῆς χρήσεως τῆς ἐν τῷ κόσμῳ, γάμου τε καὶ περιτομῆς, καὶ τῶν ἄλλων μετέχοντες· ὅπερ οὐ πάνυ περὶ αὐτοῦ πεπιστεύκαμεν. Ὡς δέ τινες διεβεβαιώσαντο, τοῦτο ἔφη- D σαν αὐτὸν εἰρηκέναι.

Cæterum de hoc millenario tempore alicubi, hoc est in Joannis Apocalypsi, mentionem fieri, et eum librum a plerisque inter canonicos recipi, religiosi homines non ignorant. Verum ita complures, iidemque pii, ac spiritalium rerum periti in illius lectione versantur, ut quæ in ipso spiritalem sensum continent accipientes, vera illa quidem, sed altiori quadam intelligentia explicata fateantur. Nam non illud solum quo de agitur, sed et alia permulta profundioribus sententiis enarrantur.

Καὶ ὅτι μὲν γέγραπται περὶ τῆς χιλιονταετηρίδος ταύτης, ὅτι ἐν τῇ Ἀποκαλύψει Ἰωάννου, καὶ ὅτι παρὰ πλείστοις ἡ βίβλος πεπιστευμένη, καὶ παρὰ τοῖς θεοσεβέσι, δῆλον· τὴν δὲ βίβλον ἀναγινώσκοντες οἱ πλεῖστοι, καὶ εὐλαβεῖς, περὶ τῶν πνευματικῶν εἰδότες, καὶ ἐν αὐτῇ πνευματικῶς ἔχοντα λαμβάνοντες, ἀληθῆ μὲν ὄντα, ἐν βαθύτητι δὲ σαφηνιζόμενα πεπιστεύκασιν. Οὐ μόνον γὰρ ἐκεῖ τοῦτο βαθέως εἴρηται, ἀλλὰ καὶ ἄλλα πολλά.

XXXVII. Nunc autem ad alia properantes breviter admonendi causa istud aspersimus, quo re-

ΛΖ'. Ἐν δὲ τῷ παρόντι καιρῷ διὰ τὴν συντομίαν μόνον ἐν ὑπομνήσει γεγένημαι τῷ λόγῳ, ὅπως γνῶσιν

Digitized by Google

οἱ θεοσεβεῖς, ὅτι παντὶ βουλομένῳ ὑπερβαίνειν τοὺς ὅρους τῆς ἁγίας Θεοῦ Ἐκκλησίας, καὶ παραδόσεως τῆς προφητικῆς καὶ ἀποστολικῆς, πίστεώς τε καὶ διδασκαλίας τὴν ἐλπίδα, ἀπὸ τῆς μιᾶς ὑποθέσεως τοῦ μικροῦ, καὶ βραχέος λόγου, κατὰ τὸ ἀκριαῖον, καὶ τυχὸν ἐν παρεκβάσει γινόμενος φρονήματος, εἰς πολλὰς λοιπὸν κενοφωνίας καὶ σφαλερὰς ὑπονοίας ὁ λογισμὸς, καὶ εἰς ἀναρμόστους, καὶ ξένας ζητήσεις, καὶ ἀπεράντους γενεαλογίας, κατὰ τὰ ὑπὸ τοῦ Ἀποστόλου εἰρημένα, τραπήσεται. Εἶναι γὰρ τοῦτο εὔηθες πολὺ, καὶ μήτε χρείαν ἔχον ἑρμηνείας, παντὶ σαφές ἐστι τῷ σύνεσιν κεκτημένῳ, ὅτι οὐδὲ ἐπιδέεται ζητήσεως ἡ τοιαύτη σοφία καὶ ὑπόθεσις τοῦ λόγου. Εἰ γὰρ ἐγειρόμεθα πάλιν περιτέμνεσθαι, τίνι τῷ λόγῳ οὐ προειλήφαμεν τὸ περιτέμνεσθαι; Ἆρα οὖν κατὰ τοῦτο ἀναγκαιότερος [1] ἡμῶν τυγχάνουσιν οἱ ἀπεντεῦθεν τὸ τέλειον ἐπιγνόντες, καὶ προειληφότες τελειοῦσθαι, ἐν τῇ τότε μελλούσῃ τελειότητι. Ποῦ οὖν τὸ παρὰ τῷ Ἀποστόλῳ εἰρημένον, ὅτι *Ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει;* καὶ, *Οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσατε·* καὶ πῶς τὸ παρὰ τῷ Κυρίῳ εἰρημένον· *Ἐν γὰρ τῇ ἀναστάσει οὔτε γαμοῦσιν, οὔτε γαμίσκονται· ἀλλὰ ἰσάγγελοί εἰσι.* Τὸ δὲ, *Καθήσεσθε ἐπὶ τῆς τραπέζης τοῦ Πατρός μου ἐσθίοντες καὶ πίνοντες·* καὶ, *Ὅταν αὐτὸ πίω καινὸν μεθ' ὑμῶν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν,* μετὰ προσθήκης τοῦ *καινόν·* καὶ τὸ, *Ἐπὶ τῆς τραπέζης τῆς βασιλείας*, ἕτερον τὸν νοῦν σημαίνει. Καὶ γὰρ καὶ αὐτοί φαμεν, μεμαθηκότες ἀπὸ τῶν θείων λόγων, μετάληψίν τινα πόματος καὶ βρώματος ἀμβροσίου· περὶ ὧν εἴρηται, ὅτι *Ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη· ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.*

ΛΗ'. Ἀλλά φησιν, ὅτι Πρῶτον μὲν ἐν τῇ χιλιονταετηρίδι τῶν φυσικῶν μεταλαμβάνομεν ἡδέων ἄνευ καμάτου καὶ λύπης· μετὰ δὲ τὴν χιλιονταετηρίδα, τότε μεταλαμβάνομεν ὧν εἴρηται, κατὰ τὸ εἰρημένον· *Ἃ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσεν.*

Ἀντίθετος δέ ἐστιν ὁ λόγος πρὸς τὴν πᾶσαν τῆς Γραφῆς θεωρίαν. Εἰ γὰρ ὁ νόμος οὐδένα ἐτελείωσε, νόμον δὲ μετὰ ἀνάστασιν φυλάττειν προσταττόμεθα, καὶ ὅτι ἅγιος νόμος ὁ διὰ Μωϋσέως ὑπὸ Κυρίου δοθεὶς παιδαγωγὸς εἰς Χριστὸν ἡμῖν γέγονεν, ὡς ὑποδεέστερος τῶν τελειουμένων τῷ μείζονι, καὶ τελειοτάτῳ προσάγειν πεπιστευμένος. Χριστοῦ δὲ τοῦ τελείου ἐλθόντος, καὶ Δεσπότου, καὶ παρειληφότος ἐκ χειρὸς τοῦ παιδαγωγήσαντος τὸν εἰσαγόμενον, τουτέστι τῶν πιστῶν τὴν ἁγίαν Παρθένον, καὶ Ἐκκλησίαν, καὶ ἡμῶν ἐπιγνόντων, διὰ μὲν νόμου τοῦ παιδαγωγοῦ τὸν μείζονα καὶ τελειωτὴν Ἰησοῦν, πῶς οὐχὶ μᾶλλον βραχείας ἐννοίας καὶ εὐηθείας μᾶλλον δειχθήσεται ὁ λόγος τῶν τὰ τοιαῦτα λεγόντων, ὅτι

A ligiosus quilibet animadverteret, quicunque semel constitutos in Ecclesia terminos, ac prophetiæ et apostolicæ fidei, quam traditam accepimus, doctrinæque spem egredi voluerit, ejus animum ex levissimi alicujus occasione dicti, in re modica ac nullius pene momenti a communi via deflectentem, ad vanissimas subinde assertiones, periculosissimasque sententias, et ad absurdas ac peregrinas quæstiones, atque, ut Apostolus loquitur [1], inextricabiles genealogias, esse lapsurum. Quod quidem ad id de quo in præsentia sermo est, attinet, stultissimum istud esse, neque explicatione opus habere, quisquis paululum sapit facillime cognoscit, nec in ejusmodi sapientia opinioneque quidquam esse, quod inquisitionem desideret. Nam si B denuo ut circumcidamur resurgimus, cur non circumcisionem antevertimus? Sane qui in hac vita idipsum, quod perfectum habetur, **1032** cognoverint, et tanto ante usurpare cœperint, luculentius ad futuram illam perfectionem obtinendam jus nacti sunt. Quorsum igitur ab Apostolo dictum est: *Si circumcidamini, Christus nihil vobis proderit* [2]? Item: *Qui in lege justificamini, a gratia excidistis* [3]. Tum illud etiam Salvatoris dictum: *In resurrectione enim neque ducunt uxores, neque nubunt; sed æquales sunt angelis* [4]. Quod autem scriptum est: *Sedebitis ad mensam Patris mei, comedentes et bibentes* [5], et: *Cum illud bibam novum vobiscum in regno cœlorum* [6], ex eo quod additur, C *novum*, et, *ad mensam regni*, alio sensu accipiendum illud videtur. Quippe et nos, id quod e sacris Libris didicimus, potum ac cibum quemdam illic ambrosium esse defendimus, de quibus scriptum est: *Quæ oculus non vidit, nec auris audiit, neque in cor hominis ascenderunt; quæ præparavit Deus diligentibus se* [7].

XXXVIII. Sed ita ille statuit: Primum in toto illo milienario curriculo naturalibus nos voluptatibus esse fruituros, labore omni ac dolore sublato, quo quidem evoluto tempore, eorum quæ dicta sunt, participes futuros. Quod hæc verba declarant: *Quæ nec oculus vidit, nec auris audivit.*

Verum hic illorum sermo omnibus Scripturæ sententiis repugnat. Cum enim lex neminem perfectum reddiderit, et eamdem tamen legem post D resurrectionem observare nos jubeant: cumque sancta illa lex, quam per Moysem Dominus nobis edidit, pædagogi nos instar [8] ad Christum perduxerit, cui, quod longe absolutis illis ac perfectis esset inferior, datum negotium est, ut nos ad excellentius illud, ac velut caput summumque deduceret, cum post hæc Christus perfectus ille ac Dominus advenerit, ac de pædagogi manu alumnum ac tironem, hoc est collectam e fidelibus Ecclesiam, velut quamdam virginem acceperit; adeo ut præstantiorem alium, nimirum consum-

[1] F. ἀναγκαιότερον. [2] I Tim. I, 4. [3] Gal. II, 3. [4] Gal. V, 4. [5] Matth. XXII, 30; Luc. XX, 35. [6] Luc. XXII, 30. [7] Marc. XIV, 24. [8] I Cor. II, 9. [9] Gal. III, 24.

Digitized by Google

matorem Jesum, legis, sic tanquam pædagogi, beneficio cognoverimus; nonne summa ex ingenii inopia ac stultitia profectum est, quod ab illius dogmatis patronis asseritur: post collatam illam a Christo perfectionem, pædagogo iterum opus esse, ut ad priora illa initia, et elementa, doctrinamque, ac manuum impositionem revertamur, ut alicubi scriptum est[1]? cum tamen Apostolus diserte nos doceat: *Quidquid inveteratum est*, **1033** *ac senio confectum, proxime ad interitum spectare*[2]; quod de Vetere Testamento ac lege pronuntiavit: *Translato enim*, inquit, *sacerdotio, necessario fit et legis translatio*[3]. Quare cum Vetere Testamento translato, Novum instauratum fuerit, quis est audacia tanta praeditus, qui Vetus ad usum denuo revocare contendat, Novum autem ad situm vetustatemque transferre, ut et causam nobis præbeat, cur excidamus a gratia, et ab eo fructu, qui per Christum nobis comparatus est, avertere conetur?

A μετὰ τὴν τοῦ Χριστοῦ τελείωσιν πάλιν παιδαγωγοῦ χρεία, ὅπως ἐπιστρέψωμεν ἐπὶ τὴν ἀρχὴν τῶν στοιχείων, καὶ διδαχῆς, καὶ ἐπιθέσεως χειρῶν, κατὰ τὸ γεγραμμένον; σαφῶς ἡμῖν τοῦ Ἀποστόλου λέγοντος, ὅτι *Πᾶν τὸ παλαιούμενον καὶ γηράσκον ἐγγὺς ἀφανισμοῦ γίνεται*· ὡς περὶ Παλαιᾶς Διαθήκης καὶ νομοθεσίας. Μετατιθεμένης γὰρ, φησὶ, τῆς ἱερωσύνης ἐξ ἀνάγκης καὶ νόμου μετάθεσις γίνεται. Ἡ δὲ μετατεθῆ ἡ Παλαιὰ, καὶ ἀνεκαινίσθη ἡ Νέα, τίς ἡμῖν πάλιν τολμηρῶς παρεισάγοι Παλαιὰν εἰς χρῆσιν, τὴν Καινὴν εἰς παλαίωσιν μετατιθέμενος, τῆς μὲν χάριτος ἀποπεσεῖν παρασκευάζων, καὶ ἀπὸ τῆς ὠφελείας Χριστοῦ ἡμᾶς ἐκτρέπειν πειρώμενος;

His breviter ad eum modum explicatis, quæ nos pro instituti operis ratione satis esse credimus, ad reliqua transeamus; ac Dei inprimis opem imploremus, ut ad cætera tractanda, enarranda evertendaque feliciter accedamus.

B Συντόμως δὲ ταῦτα τῷ λόγῳ διελόντες, καὶ τὸ ἱκανὸν λογισάμενοι, διὰ τὸ πλάτος τῆς συντάξεως, ἐπὶ τὰ ἑξῆς ἴωμεν, ἀγαπητοὶ, Θεὸν βοηθὸν συνήθως ἐπικαλούμενοι, εἰς τὴν τῶν λοιπῶν ὑπόθεσίν τε καὶ ὑπόδειξιν, καὶ τούτων ἀνατροπήν.

ADVERSUS ANTIDICOMARIANITAS,

Quæ est hæresis LVIII, sive LXXVIII.

I. Idem illud dogma (cujus assertores etiam Dimœritæ vulgo nuncupantur), quod susceptæ hominis a Christo naturæ mentem detrahit, alias insuper molestias ac negotia peperit, atque in Arabia præsertim: de quibus religiosis quibusdam viris sumus admoniti. Ac licet antea de eodem argumento epistolam scripserimus, tamen quod hæc hæresis ordine suo numeroque succedat, hanc C ipsam nos epistolam, quibusdam merito vel additis, vel detractis, adversus illam subjiciemus.

Etenim ex Antidicomarianitarum grege nonnulli, quasi præcipuo quodam in Virginem odio suscepto, ut ejus gloriam obscurarent, sive invidia, sive erroris tenebris obcæcati, quo mortalium animos inquinarent, eo temeritatis progressi sunt, ut sanctissimam Mariam post Christum in lucem editum cum viro suo Josepho consuetudinem habuisse dicerent. Quam quidem opinionem, ut supra dixi, ab sene illo Apollinari, aut ab ejus discipulis manasse prædicant, de quo nondum mihi liquido constat. Utcunque sese res habeat, cum necessario a nobis illi refutandi sint, ne eumdem laborem **1034** denuo repetamus, subjiciam illam D ipsammet epistolam, quam in Arabiam a me antea scriptam esse memoravi. Quæ est ejusmodi:

ΚΑΤΑ ΑΝΤΙΔΙΚΟΜΑΡΙΑΝΙΤΩΝ (96),

Πεντηκοστὴ ὀγδόη, ἡ καὶ ἑπτακοστὴ ὀγδόη.

Α'. Ἀπὸ ταύτης τῆς παρά τισι Διμοιριτῶν κεκλημένης, ἣ χωρὶς νοῦ ἐνσάρκου Χριστοῦ παρουσίας ὀνομαζομένης, ἐφύη τινὰ ἕτερα πράγματα, μάλιστα ἐν τῇ Ἀραβίᾳ· ἀνηνέχθη δὲ τῇ ἡμῶν ταπεινότητι περὶ τούτων ὑπό τινων εὐλαβῶν. Καὶ πρῶτον μὲν ἐπιστολὴν περὶ τῆς ὑποθέσεως ταύτης γεγραφήκαμεν· ὅμως δὲ διὰ τῆς ἀκολουθίας τοῦ ἀριθμοῦ καὶ ἐνταῦθα αὐτὴν διόλου τὴν ἐπιστολὴν μετὰ καὶ τῶν εὐλόγως ταύτην[5] προστεθειμένων, ἢ ἀπὸ αὐτῆς ἐξαιρουμένων, εἰς τὴν αἵρεσιν ἐροῦμεν.

Ἀντιδικομαριανιτῶν γάρ τινες, ὥσπερ ἐχθρίαν πρὸς τὴν Παρθένον ἔχοντες, καὶ βουλόμενοι κατευτελίζειν ἐκείνης τὸ κλέος, φθόνῳ τινὶ ἀρθέντες ἢ σφάλματι, καὶ χρᾶναι βουλόμενοι διανοίας ἀνθρώπων, ἐτόλμησαν λέγειν τὴν ἁγίαν Μαρίαν μετὰ τὴν τοῦ Χριστοῦ γέννησιν ἀνδρὶ συνῆφθαι, φημὶ δὲ αὐτῷ τῷ Ἰωσήφ. Φασὶ δὲ, ὡς ἄνω μοι εἴρηται, ὅτι ἀπ' αὐτοῦ τοῦ πρεσβύτου Ἀπολλιναρίου ἐξήχηται ὁ λόγος, ἢ ἀπό τινων τῶν αὐτῷ μεμαθητευμένων· καὶ ἀμφιβάλλω. Περὶ δὲ τῶν ταῦτα λεγόντων ἀνάγκην ἔχω λέγειν. Ἵνα δὲ μὴ εἰς δεύτερον κάματον ἑαυτὸν περιβάλλοιμι, καθεξῆς ἣν προεῖπον γραφεῖσαν ἐπιστολὴν εἰς τὴν Ἀράβων χώραν ὑποτάξω. Καὶ ἔστιν ἥδε·

Epiphanii epistola adversus Antidicomarianitas.

II. Dominis meis plurimum observandis, ac charissimis filiis, et sinceris fratribus, ejusdem orthodoxæ fidei professoribus, tam sacerdotibus, quam

Ἐπιφανίου ἐπιστολὴ κατὰ Ἀντιδικομαριανιτῶν.

Β'. Κυρίοις μου τιμιωτάτοις καὶ ποθητοτάτοις τέκνοις, καὶ ἀδελφοῖς γνησίοις, καὶ ὁμοπίστοις ὀρθοδόξοις ἀπὸ ἱερέως ἄχρι λαϊκοῦ, καὶ κατηχουμένοις τοῖς

[1] Hebr. v, 12; vi, 2. [2] Hebr. viii, 13. [3] Hebr. vii, 12. [4] F. εἰ. [5] Reg. ταῦτα. Forte ταύτῃ.

(96) *Ἀντιδικομαριανιτῶν*. De Antidicomarianitarum dogmate, quod Jovinianus propugnabat, accurate disputat Hieronymus. Vide et Ambrosium cum aliis in locis, tum *Epist.* 5 et 7, lib. I.

Digitized by Google

κατὰ τὴν Ἀραβίαν Ἐπιφάνιος ἐλάχιστος ἐπισκόπων χαίρειν.

Θαυμάζειν ἔστιν ἐν τῷ παρόντι καιρῷ, καὶ μὴ θαυμάζειν· θαυμάζειν μὲν, ὅτι ἐπὶ τῇ ἡμετέρᾳ γενεᾷ πάντα πληροῦται· καὶ μὴ θαυμάζειν· δεῖ γὰρ πληροῦσθαι. Ὀσημέραι γὰρ κατὰ πρόθεσιν νῦν γίνεται ἡμῖν ἐκ λογισμῶν ἀνθρωπίνων καὶ διανοημάτων σοφιστικὴ ὑπόνοια, καὶ ἐπὶ τὸ χεῖρον προκόπτουσα, καταλιμπάνουσά τε τὴν ἀποστολικὴν διδασκαλίαν· καθὼς ὁ ἀγιώτατος Ἀπόστολος προεῖπεν, ὅτι *Ἀποστήσονταί τινες τῆς ὑγιαινούσης διδασκαλίας, προσέχοντες μύθοις, καὶ διδασκαλίαις δαιμονίων*, καὶ τὰ ἑξῆς. Εἴ τι γὰρ ἔνι ἀνερευνᾷν, καὶ ἐπινοεῖν ὁδοὺς πονηρὰς, ταῦτα μᾶλλον σπουδάζουσιν οἱ ἄνθρωποι, ἢπερ πληροῦντες τὴν ἐντολὴν τὴν λέγουσαν, καλὰ καὶ εὐπρόσδεκτα ζητεῖν· καὶ, *Ὁ λόγος ἅλατι ἦν ἠρτυμένος, ὅπως δῷ χάριν τοῖς ἀκούουσι.* Καὶ εἰ ταῦτα διανοηθείημεν, ὅτι πόθεν συμβαίνει καθ' ἑκάστην ἡμέραν ἀνακαινίζεσθαι ἡμῖν τὰ φαῦλα, ἐσόμεθα καὶ αὐτοὶ ὡς ἀπαίδευτοι, καὶ μὴ προσέχοντες τοῖς θείοις καὶ προῤῥητικοῖς λόγοις. Δεῖ γὰρ ταῦτα πληροῦσθαι. Ἐν ἅπασι γὰρ μέρεσι τῆς πίστεως δεῖ τελεῖσθαι τὸ εἰρημένον· *Ἆρα ἐλθὼν ὁ Υἱὸς τοῦ ἀνθρώπου εὑρήσει τὴν πίστιν ἐπὶ τῆς γῆς;* Ποῦ γὰρ ἔφθασεν ἡ διάνοια τῶν ἀνθρώπων ἐγκειμένη ἐπὶ τὸ πονηρὸν ἐκ νεότητος; Ποῖα μέρη τῆς πίστεως οὐκ ἀπώλεσεν; Ἐν ποίοις δὲ λόγοις ἡ κακοβουλία τὸ χρήσιμον οὐκ ἐτάραξε; [1] τῶν δὲ πρεπωδεστάτων, καὶ ἐν καταστάσει λογικῆς φύσεως, ἧς τὸ πρέπον ἦν τὰ σεμνὰ μᾶλλον διανοεῖσθαι, καὶ τούτοις προστιθέναι βιάζεσθαι, εἰ καὶ ἕδει παρὰ φύσιν, καὶ μὴ μᾶλλον τὰ ἀληθινὰ εἰς τὰ ἄσεμνα παρατρέπειν βιαζομένους ἐπὶ τὸ χεῖρον.

laicis et catechumenis, Epiphanius episcoporum minimus, salutem.

Est hoc tempore quod admirandum simul et non admirandum videatur : admirandum quidem, quod ætate nostra impleantur omnia ; minime vero mirandum, quod eadem illa impleri necesse sit. Etenim quotidie nobis sophistica aliqua cavillatio perperam affectata humanis ex ingeniis ac mentibus erumpit, atque in deterius progressa ab apostolica doctrina desciscit, quemadmodum apostolus Paulus prædixerat : *Deficient quidem a sana doctrina, attendentes fabulis et doctrinis dæmoniorum* [2], etc. Nam si qua sese perversarum viarum inquirendarum atque excogitandarum occasio et facultas obtulerit, in eo potius hominum studia versantur, quam ex præcepto illo exsequendo, quod honesta et approbatione digna quærere jubet [3] ; aut altero illo : *Sermo vester sale sit conditus, ut det gratiam audientibus* [4]. Quod si hæc attentius animo revolvamus, unde fiat, ut pessima quæque nobis in dies instaurentur, et nos ipsi imperitorum similes erimus, qui divinis verbis et vaticiniis animum minus adhibeamus. Hæc enim impleri necesse est, atque in omnibus fidei partibus perfici quod dictum est : *Cum venerit Filius hominis, an fidem inveniet in terra* [5] ? Quo enim tandem hominum mens prona in malum ab tenera ætate processit [6] ? Quam non fidei partem pessumdedit ? Quodnam vero dogma est, in quo perditum illorum consillum, quidquid fructus erat et utilitatis, non perturbarit ? cum illud semel neglexisset, quod apprime decebat, et ratione præditæ naturæ statui consentaneum erat : cui quidem illud potius conveniebat, ut honesta quæque ac præter naturam suam, si ita necesse foret, accommodaret, quam **1035** ut ad deteriora violenter enitens quæ vera sunt ad profana, ac ridicula detorqueret.

religiosa cogitaret animo, et ad ea sese vel invitam

Γ'. Λοιπὸν γὰρ, ἐπειδὴ πάντα ἡμῶν πεπλήρωται τῇ γενεᾷ, τά τε βλάσφημα, καὶ τὰ ἐκτὸς ἁγίου Πνεύματος, ἐφ' ἕτερα πάλιν καινὰ τρέπονται. Οἱ μὲν γὰρ τὸν Πατέρα βλασφημοῦσι, τὸν τῶν ὅλων Θεὸν καὶ δημιουργὸν, οἱ ἀμφὶ τὴν γνῶσιν λεγόμενοι· οἱ δ' αὖ πάλιν Μαρκίωνες καὶ Ἀρχοντικοὶ καλούμενοι, καὶ τούτοις οἱ συνεπόμενοι Μανιχαῖοι, οἱ τὴν ὀνομασίαν δικαιότατα εἰληφότες ἐκ δικαίας τινὸς οἰκονομίας Θεοῦ, τὸ μανιῶδες ὄνομα· οὗτοι πάντες μετὰ πλειόνων αἱρέσεων, Καϊνῶν, φημὶ, Σητιανῶν, Μελχισεδεκιανῶν, Κολορβασίων, Κερδωνιανῶν, καὶ τῶν ἄλλων, βλασφημεῖν [1] εἰς τὸν τῶν ὅλων Πατέρα, ἐν τῷ τοῦτον ἀρνεῖσθαι εἶναι Θεὸν τὸν ἐν νόμῳ καὶ ἐν προφήταις λαλήσαντα, δικαίως τε προσκυνούμενον ὑπὸ πάντων κτισμάτων, ὡς κτίστην καὶ δημιουργὸν οὗτοι μετὰ τοῦ σεβάσματος ἀναιρεῖν πειρῶνται καὶ τὴν δεσποτείαν· τὸν μὲν ὄντως ὄντα ἀρνούμενοι, ἕτερον δὲ τὸν μὴ ὄντα τῇ μυθώδει αὐτῶν ὑπονοίᾳ φανταζόμενοι· ἵνα ἐκ τοῦ ὄντος πέσωσι, καὶ ἂν ὑπονοῶσι μὴ εὑρωσιν. Οὕτω γὰρ ἡ ληρῳδία, καὶ ἡ τοῦ διαβόλου

III. Etenim posteaquam blasphemiarum genera omnia ac quæcunque a Spiritu sancto aliena sunt, in hac ætate nostra sunt exhausta, ad alia se quædam nova convertunt. Quidam enim in Patrem universorum Deum ac conditorem contumelias jaciunt, quales sunt qui Gnostici dicuntur. At Marciones, et Archontici, necnon et illorum asseclæ Manichæi, qui non sine divina quadam providentia furiosum illud nomen sortiti videntur. Igitur omnes isti cum plerisque aliis hæresibus, Cainorum, Setianorum, Melchisedecianorum, Colorbasiorum, Cerdonianorum, ac cæteris id genus, eumdem illum universorum Patrem contumeliis afficiunt, dum ipsum negant Deum illum exstitisse, qui in lege ac prophetis locutus est, quique jure a creatis rebus omnibus, tanquam creator et opifex adoratur : cujus illi cultum una cum dominatu ac potestate conantur evertere, ut et illum, qui revera est, ejurent Deum, et alterum, qui nusquam est, falsa ac fabulosa opinione sua confingant ; atque et verum illum

[1] Deesse quidpiam videtur. [2] F. βλασφημοῦσι. [3] I Tim. IV, 1. [4] Philipp. IV, 8. [5] Col. IV, 6. [6] Luc. XVIII, 8. [7] Gen. VIII, 21.

Digitized by Google

amittant, et, quem falso sibi proponunt, nequaquam assequantur. Nam hæc est nugacis istius doctrinæ, quæ ex diaboli satu proficiscitur, vis et natura, ut tumultuationem ac perturbationem immittat, et procreatorum hominum mentes contumeliosis in Deum cogitationibus excitet, ut depravatis quibusdam opinionibus, quæ cum Dei negatione conjunctæ sunt, contra Dominum suum hostile bellum suscipiant. Sed rursum velut quodam hinc divortio facto, nonnulli aliam in partem deflectere non dubitarunt, ut unicum Redemptorem suum ac Dominum abnegarent, unigenitum viventis Dei Filium Jesum Christum, qui ab eodem Patre revera est sine ullo initio ac tempore genitus, quique ab eo, et cum eo semper exstitit, qui ratione quadam, quæ omni comprehensione superior est, sine ulla inquinatione genitus est ejusdem cum Patre substantiæ, nec ab eo ullo modo discrepans. Contra hunc igitur insanientes alii, velut rabidi canes, Dominum suum allatrantes : quemadmodum olim Judæi, quod illum ignorarent, merito muti canes a propheta vocantur[1]. Quæ in illos appellatio propter impudentem ac temerarium **1036** illorum in Dominum, et susceptam ab eo naturam impetum et insultum jure confertur, ut ex eo constare potest quod rabiosos canes ob id mutos esse narrant, quoniam ipsa illos rabies edentulos facit.

σπορὰ τῶν λόγων τοιαύτην εἴωθε ταραχὴν ἐμποιεῖν καὶ θόλωσιν, διὰ λογισμῶν βλασφήμων ἐπεγείρουσα τὴν τῶν κεκτισμένων ἀνθρώπων διάνοιαν περὶ τοῦ αὐτῶν Δεσπότου στρατεύεσθαι ταῖς κακαῖς ὑπονοίαις καὶ ἐπαρνησιθείαις. Ἀλλά γε πάλιν ἐκ τούτου ἐκτραπέντες τινὲς, ἐφ' ἕτερα βαδίζειν τετολμήκασι, τὸν μόνον ἀγοράσαντα αὐτοὺς Δεσπότην ἀρνούμενοι, τὸν μονογενῆ Παῖδα Ἰησοῦν Χριστὸν, τὸν Υἱὸν τοῦ Θεοῦ τοῦ ζῶντος, τὸν ὄντως ὄντα ἐκ Πατρὸς γεγεννημένον ἀνάρχως καὶ ἀχρόνως, τὸν ἀεὶ ὄντα ἐκ τοῦ Πατρὸς, καὶ σὺν Πατρὶ ὄντα, γεγεννημένον δὲ ἀκαταλήπτως καὶ ἀχράντως, ὁμοούσιον τῷ Πατρὶ ὄντα, καὶ οὐκ ἀλλοῖον παρὰ τὸν Πατέρα. Οἱ μὲν αὖθις μανέντες δίκην λυσσητήρων κυνῶν ἐπὶ τὸν ἴδιον αὐτῶν Δεσπότην ὑλακτοῦσι· καθάπερ ἐξ ὑπαρχῆς Ἰουδαῖοι τοῦτον ἀγνοήσαντες κέκληνται κύνες ἔννεοι, εἰκότως παρὰ τοῦ προφήτου ταυτησὶ τῆς ἐπωνυμίας κατηξιωμένοι τοὔνομα, τῆς αὐτῶν περὶ τὸν Κύριον καὶ τὴν αὐτοῦ παρουσίαν ἀναισχύντου ὁρμῆς, ὡς ἔστιν ἀληθὲς ἰδεῖν. Φασὶ γὰρ τοὺς λυσσῶντας κύνας ἐννεοὺς καλεῖσθαι, διὰ τὸ νωδοὺς ἀποτελεῖσθαι ἐκ τῆς καταλιμπανούσης αὐτοὺς διανοίας.

IV. Est enim hæc natura canum, postquam rabie tentati sunt, ut, qui dominum antea, ejusque liberos, ac domesticos cæterosque illius propinquos, et familiares cognoverant, simulatque morbo illo correpti sunt, omnium istorum vultus illorum oculis commutati videantur, atque in notos insiliant, quos antea partim cauda blandiendo, partim sese subjiciendo, velut honore prosequebantur. Ecce tibi Judæi illi, qui et Domini adventum exspectabant, et ad excipiendum sponsum sese comparabant, qui prophetas videre cupiebant, qui divinis vocibus obtemperaturos se esse profitebantur, qui cum Moyse pactionem ejusmodi fecerant : *Esto nobis in his quæ sunt apud Dominum*, item : *Omnia, quæcunque dixerit tibi Dominus, audiemus et faciemus*[2] : illi, inquam, cum præsentem Dominum intuerentur, veritatis expressas species ac notas ignorantes, quas prophetæ, qui illum antecesserunt, describendo, delineando, nuntiando significandoque præscripserant : primum hæc in illum jecerunt : *Quis est hic, qui loquitur blasphemias*[3]? Alias vero dæmonium habere illum impudenter ac præfracta quadam audacia jactarunt. Sed nec ipsos Samaritanum eumdem appellare puduit[4]. Postremo, ut dixi, sic tanquam rabidi canes in eum insilierunt, ac manus affixerunt, id quod furiosi

Δ'. Οὕτω γὰρ τῶν κυνῶν ἡ φύσις ἐπὰν εἰς λύσσαν ἐκτραπείη, οἱ ποτὲ δεσπότην γινώσκοντες, καὶ τοὺς αὐτοῦ υἱεῖς, οἰκείους τε καὶ τοὺς ἄλλους πάντας τοῦ οἰκοδεσπότου γνησίους, ὅταν λάβῃ αὐτοὺς ἡ μανία, ἀλλοιοῦνται τὰ πρόσωπα ἐνώπιον τῆς αὐτῶν ὁράσεως, καὶ ἐπ' αὐτοὺς ἐγείρονται τοὺς γνησίους, οὓς ποτε τιμῶντες τῇ μὲν κέρκῳ ἔσαινον, τοῖς δὲ τρόποις ὑπετάσσοντο. Αὐτίκα οἱ προσδοκῶντες Χριστοῦ τὴν παρουσίαν, οἱ ἑτοιμαζόμενοι δέξασθαι τὸν νυμφίον, οἱ προφήτας εὐχόμενοι κατιδεῖν, οἱ πείθεσθαι θείοις λόγοις ὑποσχόμενοι, οἱ τῷ Μωϋσεῖ ἐν συνθήκῃ συνεληλυθότες[5], ὅτι *Γενοῦ σὺ τὰ πρὸς Κύριον*· καὶ, *Πάντα ὅσα ἐὰν εἴποι σοι ὁ Κύριος, ἀκουσόμεθα καὶ ποιήσωμεν*· ὅτε εἶδον τὸν αὐτῶν Δεσπότην παραγενόμενον, ἀγνοήσαντες τὴν μορφὴν καὶ τοὺς τύπους τῆς ἀληθείας, οὓς οἱ προφῆται πρὸ αὐτοῦ ἐν σαρκὶ γενόμενον[6] διετύπουν, διεχάραττον, κατήγγελλον, ἐσήμαινον· πρῶτον μὲν οὖν αὐτῷ ἔλεγον· *Τίς οὗτος ὃς λαλεῖ βλασφημίας;* ἄλλοτε δὲ δαιμόνιον αὐτὸν ἔχειν, οὐκ αἰσχυνόμενοι, τετολμήκασιν εἰπεῖν. Ἔτι δὲ καὶ Σαμαρείτην αὐτὸν ἀποκαλεῖν οὐκ ἠρυθριῶν. Πέρας οὖν, καθάπερ μοι προδεδήλωται, ὡς μεμηνότες κύνες ἐπανέστησαν· καὶ τὰς μὲν χεῖρας προσέπηξαν, ὡς ἀεὶ μετὰ τῆς μανίας ὁ κύων, ἀνακρεμάσας (97) αὐτοῦ τὰς χεῖρας, ἐπέρχεται καὶ τὰ πρόσωπα τῶν ἰδίων αὐτοῦ δεσποτῶν καταγλύφειν οὐκ

[1] Isa. LVI, 10. [2] Deut. v, 27. [3] Luc. v, 21. [4] Joan. VIII, 48. [5] *gr.* εἰσεληλυθότες. [6] F. γενομένου.

(97) Ἀνακρεμάσας. Merito quidem mendosus visus est locus iste : Ὡς μεμηνότες κύνες ἐπανέστησαν· καὶ τὰς μὲν χεῖρας προσέπηξαν, ὡς ἀεὶ μετὰ τῆς μανίας ὁ κύων, ἀνακρεμάσας αὐτοῦ τὰς χεῖρας, ἐπέρχεται καὶ τὰ πρόσωπα τῶν ἰδίων αὐτοῦ δεσποτῶν καταγλύφειν οὐκ αἰσχύνεται. Verum nullo negotio emendari poterat, hoc modo, ἀνακρεμάσας αὐτὸν, τὰς χεῖρας ἐπέρχεται. Judæi in Christum *tanquam rabidi canes insilierunt; et manus quidem affixerunt, sicut semper furiosus canis suspendens se, manus invadit, ac vultus dominorum suorum laniare nihil veretur.* COTELERIUS, *Monum. Eccl. Græcæ*, tom. II, not., p. 669.

Digitized by Google

αἰσχύνεται. Παρέδωκαν ἐκεῖνοι τὸν αὐτῶν Κύριον εἰς τὸ σταυρωθῆναι, προφήτας τε τοὺς οἰκειακοὺς τοῦ αὐτοῦ Δεσπότου, τὸν μὲν ἔπρισαν, τὸν δὲ λίθοις κατέλευσαν, ἄλλον δὲ φόνῳ μαχαίρας διεχρήσαντο. Μετὰ τούτους δὲ ὡσαύτως νῦν οἱ νέοι Ἰουδαῖοι ἀλλεπαλλήλως τῇ αὐτῇ κεχρημένοι ἀγωγῇ, οἱ μὲν φυσικοὶ Ἰουδαῖοι κατὰ σάρκα μὲν ἠρνήσαντο, οἱ δὲ νῦν, ἀρνούμενοι τὴν τοῦ Υἱοῦ τοῦ Θεοῦ τελείαν πρὸς Πατέρα γνησιότητα, κτίσμα αὐτὸν, καὶ ποίημα, καὶ ἀλλότριον Πατρὸς παντάπασι μεμηνότες καὶ βεβροντημένοι ἀδιαλείπτως διισχυρίζονται.

Ε'. Ἐκ τούτων δὲ πάλιν ἄλλοι ἀφέντες τὰς προειρημένας βλασφήμους διδασκαλίας, καθὼς εἰπεῖν, αὐτὴν τὴν κατὰ φύσιν θεασάμενοι ἐπουράνιον θεωρίαν, καὶ τὰ ἄνω ἐμβατεύσαντες, καὶ πολυπραγμονήσαντες, ὡς ἄνωθεν ἥκοντες, αὐθαδείᾳ ἀπαγγέλλουσι, καὶ ἰσχυρῶς διισχυρίζονται, ἐκβάλλοντες ἐκ τῆς θεότητος τὸ ἅγιον Πνεῦμα. Καὶ τὸν μὲν Πατέρα οὐκ ἠρνηνται, οὔτε τὴν τοῦ Υἱοῦ πρὸς αὐτὸν γνησιότητα, ἐφ' ἑτέραν δὲ πάλιν ὁδὸν βαδίζουσιν, ἵνα πάντοθεν πληρωθῇ τὸ, *Ἐξέλιπεν ἡ πίστις ἐκ στόματος αὐτῶν*. Τί γὰρ ἀλλ' ἢ εἰς τὸ Πνεῦμα τὸ ἅγιον λοιπὸν, τὸ οὐκ ἀλλότριον Πατρὸς καὶ Υἱοῦ, τὸ ἐκ τῆς αὐτῆς θεότητος ὄν, καὶ μὴ ἐνδεχόμενον εἶναι ἀλλότριον τῆς θεότητος, βούλονται, ὡς αὐτοὶ ἐξουσίαν ἔχοντες, κελεύειν μᾶλλον Θεῷ ἢπερ κελεύεσθαι; Οὐκ αἰσχυνόμενοι γὰρ ἀλλότριον τὸ Πνεῦμα λέγουσι, καὶ δοῦλον, καὶ κτίσμα, καὶ πρόσφατον, καὶ ποιητὸν καὶ εἴ τι ἕτερον αἰσχρὸν πρὸς ὑπόνοιαν περὶ αὐτοῦ ἑαυτοῖς μᾶλλον ἐπινοοῦσι προσπορίσασθαι. Ἐπεὶ οὖν ὁ κόσμος νυνὶ οὕτως μᾶλλον πληγεὶς πληγὴν ἀνίατον ἀπιστίας, ἵνα μηδέν τι παραλείψῃ ἡ ἀνομία ἡ τοὺς ἀνθρώπους ἀπολλύουσα τῇ κακονοίᾳ, καὶ ἀπιστίᾳ, καὶ ἀγνωσίᾳ· οἷα τοὺς ἀποδράσαντας τῆς περὶ τὴν ἁγίαν Τριάδα βλασφημίας εἰς ἕτερα πάλιν ἡ ἀργὴ καὶ κακόβουλος ἔννοια περιέσπασεν· ἵνα μηδεὶς λάθοι ἁμαρτάνων. Κενὸν γάρ τι ἀκούω περὶ τῆς ἁγίας Μαρίας τῆς ἀειπαρθένου τινὰ διανοεῖσθαι, καὶ τολμᾷν βλάσφημόν τινα ὑπόνοιαν ἐπ' αὐτὴν ἐνσκήπτειν, εἰς τὸ ἐκ πανταχόθεν εἶναι τὸν χρόνον ἡμῶν δίκην κακοῦ ὄφεως, θηρὸς ἰοβόλου ἐν σκότῳ ἐμφωλεύοντος, καὶ τοῖς δήγμασι πάντας πειράζοντος, τὸν μὲν περὶ τὸ πρόσωπον, ἄλλον περὶ τὴν πτέρναν, ἕτερον περὶ τὴν χεῖρα· ἵνα μηδένα λάθοι τὸ δῆγμα τῆς ἀπιστίας· ἀλλὰ ὁ δοκῶν ἐν τούτῳ ἀποδρᾶναι ἑτέρως τὸν ἰὸν μὴ λάθῃ· ὁ δὲ ἐν ἄλλῳ ὑγιῆ ἔχων τὴν πίστιν ἄλλως πως βλάπτεσθαι ἑαυτὸν προξενήσειεν.

A ἔτεσι εἰκοσιτέσσαρσι πλείω ἐλάσσω, ὧν ἐτῶν ἑξ', ὑπὸ τοῦ γναφέως τῷ ξύλῳ παισθεὶς τὴν κεφαλήν, ῥιφεὶς ἀπὸ τοῦ πτερυγίου τοῦ ἱεροῦ, καὶ κατελθών· καὶ μηδὲν ἀδικηθείς, κλίνας δὲ τὰ γόνατα, καὶ προσευξάμενος ὑπὲρ αὐτῶν ῥιψάντων, καὶ φάσκων· Συγχώρησον αὐτοῖς· οὐ γὰρ οἴδασι τί ποιοῦσιν· ὡς καὶ Συμεὼν πόρρω ἑστὼς, ὁ τούτου ἀνεψιὸς, υἱὸς δὲ τοῦ Κλωπᾶ, ἔλεγε· Παύσασθε· τί λιθάζετε τὸν δίκαιον; Καὶ ἰδοὺ εὔχεται ὑπὲρ ὑμῶν τὰ κάλλιστα. Καὶ οὕτως γέγονε τὸ αὐτοῦ μαρτύριον.

XV. Jam vero si Josephi filius ætate sic provectus fuit, quis ejus patrem arbitretur, qui tam horrenda spectacula vidisset: puta angelos nascenti Filio Dei stipatorum ac satellitum officia præstantes, ac de cœlo cantantes, et dicentes: *Gloria in altissimis Deo, et in terra pax, in hominibus benigna voluntas* [1]; cum pastores insuper ad eam speluncam, in qua Christus natus erat, accessissent, eademque nuntiassent, cum hæc, inquam, tam admiranda prodigia ac miracula Josephus ille senex ac decrepitus audiret, fierine potuit, sancto ut illi corpori, in quo Deus habitaverat, per summam ignominiam illuderet? quo quidem ex corpore suscepta a Dei Verbo hominis est natura contracta. Unde et sancta illa et incorrupta caro fabricata est, et cum Salvatoris divinitate conjuncta. Quemadmodum angelus Gabriel illic testatus est: *Spiritus*, inquit, *Domini superveniet in te, et virtus Altissimi obumbrabit te. Ideoque et quod nascetur ex te sanctum, vocabitur Filius Dei* [2]. Quamobrem quo tandem pacto cum tanta talique Virgine Maria copulari ausus esset? Ecquem vero fructum ea quæstio nobis attulit, utrum illius consuetudinem habuerit? Utrum vero tandem magis eligendum est, Deo istiusmodi negotia committere, an ad deteriora violenter irrumpere? Quod enim nusquam in sacris Litteris scriptum exstet, nisi crediderimus Mariam cum viro postea consuevisse, nos vitam æternam minime consecuturos, sed judicio condemnandos, nemini esse potest obscurum. Quænam vero scriptis expressa sunt? utique honesta. Quænam porro? Justa. Quæ? inquam. Honesta [3]; *Ut audientibus conciliari gratia possit* [4]. At homines necessariis relictis, iis quæ cum fidei veritate ac Dei prædicatione conjuncta sunt, perniciosa sibi quæque, undecunque potuerint, excogitare contendunt: heu! quod vel cogitare molestum est, cum nulla præcipue sit in Scriptura mentio.

IE'. Εἰ τοίνυν ὁ τούτου παῖς τοσούτων ἐτῶν ὑπῆρχε, πῶς ἄρα ὁ τούτου πατὴρ βλέπων φρικώδη πράγματα, ἀγγέλους τὴν γέννησιν τοῦ Υἱοῦ δορυφοροῦντας, ὑμνοῦντας ἀπ' οὐρανοῦ, καὶ λέγοντας· *Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία*· καὶ τῶν ποιμένων ἡκόντων εἰς τὸ σπήλαιον, ἔνθα ἐγεννήθη, καὶ ταῦτα ἀγγελλόντων, καὶ τοῦ Ἰωσὴφ ἀκούοντος τοῦ πρεσβύτου καὶ ὑπερβάντος τοῦ χρόνου, τὰ τοσαῦτα σημεῖα καὶ θαύματα, πῶς ἐτόλμα ἐμπαροινεῖν, καὶ ἐνυβρίζειν σῶμα ἅγιον, ἐν ᾧ κατῳκίσθη Θεός; ἐξ οὗπερ σώματος συνελέγη ἡμῖν ἡ τῆς ἐνσάρκου παρουσίας οἰκονομία· ὅθεν ἡ ἁγία ἄχραντος σὰρξ ἡμῖν ᾠκοδομήθη ἐν τῇ θεότητι τοῦ Σωτῆρος· ὡς ὁ ἄγγελος ἐκεῖσε Γαβριὴλ λέγων· *Πνεῦμα Κυρίου ἐπελεύσεται ἐπὶ σὲ, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἐκ σοῦ ἅγιον κληθήσεται Υἱὸς Θεοῦ*. Πῶς ἄρα ἐτόλμα συναφθῆναι τῇ τοσαύτῃ καὶ τοιαύτῃ ἁγίᾳ παρθένῳ Μαρίᾳ; Τί δὲ ὠφέλησεν ἡμᾶς (9), εἰ καὶ συνήφθη, ὅπερ μὴ γένοιτο, περὶ τοῦ ζητεῖν; Ποῖον δὲ μᾶλλόν ἐστιν αἱρετώτερον, τὸ παραδοῦναι τὰ πράγματα Θεῷ, ἢ βιάζεσθαι ἡμῖν τὰ χείρονα; Ὅτι μὲν οὐκ ἐγράφη ἡμῖν, ὅτι, ἐὰν μὴ πιστεύτωμεν, ὅτι συνήφθη πάλιν ἡ Μαρία, οὐκ ἔχομεν ζωὴν αἰώνιον, ἀλλὰ εἰς κρῖμα ἐρχόμεθα, δῆλον. Ἐγράφη δέ τί [6] καλὰ, ἀλλὰ τί δίκαια, τί σεμνά· *Ἵνα δῷ μὲν χάριν καὶ τοῖς ἀκούουσιν*. Εἴασαν δὲ οἱ ἄνθρωποι τὰ ἀναγκαῖα, τὰ περὶ πίστεως ἀληθείας, τὰ ἐν δοξολογίᾳ Θεοῦ, καὶ ὅθεν δ' ἂν εὕρωσιν ἑαυτοῖς προσπορίζονται πρὸς βλάβην· φεῦ! καὶ διανοεῖσθαι, μάλιστα τῆς Γραφῆς μὴ λεγούσης.

B

C

XVI. Etenim si ejusmodi quiddam illa commorasset, profecto veritatem ipsam sine ulla tergiversatione profiteremur. An enim inhonestæ sunt nuptiæ? aut profanus est torus, et non potius immaculatus [5]? An denique adulteratæ sunt nuptiæ? Quanquam prophetæ ac pontifices ab **1048** illis abstinent, ut majoribus functionibus occupentur.

IS'. Εἰ μὲν γὰρ ἔλεγεν ἡ Γραφὴ, ἀπεδιδόαμεν ἂν τὴν ἀλήθειαν, καὶ οὐδὲν διενοούμεθα. Μὴ γὰρ ὁ γάμος ἄσεμνος; μὴ βέβηλος ἡ κοίτη; μὴ οὐκ ἔστιν ἡ κοίτη ἀμίαντος; μὴ παραχαράσσεται γάμος; Ἀπὸ δὲ προφητῶν καὶ ἀρχιερέων ἀπέχεται διὰ τὴν πρὸς τὸ μεῖζον ὑπηρεσίαν. Μετὰ γὰρ τὸ προφητεῦσαι Μωϋσῆν, οὐκέτι γυναικὶ συνῆπται, οὐκέτι τεκνοκυΐ-

D

[1] Luc. II, 14. [2] Luc. I, 35. [3] Philipp. IV, 8. [4] Ephes. IV, 29. [5] Hebr. XIII, 4. [6] Sequentia τί cum interrogatione forte legenda.

(9) *Τί δὲ ὠφέλησεν ἡμᾶς*. Leopardus lib. IX *Emendationum*, cap. 2, pro περὶ τοῦ ζητεῖν, περιττὸν legit.

Digitized by Google

σκει, οὐκέτι γεννᾷ ὁ τοιοῦτος. Σχολαίτερον γὰρ τὸν βίον ἔσχε πρὸς τὸν Δεσπότην. Πῶς γὰρ ἠδύνατο ἐν ὄρει Σινᾷ τεσσαράκοντα νύκτας καὶ τεσσαράκοντα ἡμέρας διατελεῖν γάμῳ προσανέχων; Ἢ πῶς ἠδύνατο τεσσαράκοντα ἔτη ἐν τῇ ἐρήμῳ πρὸς οἰκονομίαν Θεοῦ ἕτοιμος εἶναι, πρὸς ἱερωσύνην τε σχολάζειν; Καὶ πῶς τὰ μυστήρια διηγεῖσθαι, καὶ τὸ συνομιλεῖν[1] Θεῷ τῷ γάμῳ συνημμένος διατελεῖν; Εἰ γὰρ περὶ ἡμῶν φάσκει ὁ ἅγιος Ἀπόστολος διαῤῥήδην, καὶ λέγει· *Πρὸς καιρὸν, ἵνα σχολάσωσι τῇ προσευχῇ·* πόσῳ γε μᾶλλον περὶ προφητῶν ἔσται οὗτος ἀληθῶς ὁ λόγος; Προφῆτις τοίνυν καὶ ἡ Μαρία. *Εἰσῆλθε γὰρ, φησὶ, πρὸς τὴν προφῆτιν, καὶ ἐν γαστρὶ ἔλαβε, καὶ ἔτεκεν υἱόν. Καὶ εἶπε Κύριος πρός με· Κάλεσον τὸ ὄνομα αὐτοῦ, Ταχέως σκύλευσον, ὀξέως προνόμευσον,* καὶ τὰ ἑξῆς. Σημαίνει δὲ ἐνταῦθα τὴν τοῦ Γαβριὴλ εἴσοδον πρὸς τὴν Μαρίαν, ὅτε ἐξῆλθεν εὐαγγελίσασθαι αὐτῇ, ὅτι μέλλει γεννᾶν Υἱὸν Θεοῦ σωτῆρα τῷ κόσμῳ, οὐκ ἀπὸ σπέρματος ἀνδρὸς, ἀλλὰ διὰ Πνεύματος ἁγίου. Ἀλλὰ καὶ τῷ Φιλίππῳ τῷ εὐαγγελιστῇ τέσσαρες ἦσαν θυγατέρες προφητεύουσαι· ἐπροφήτευον δ' ἄρα δι' ἣν κατηξιοῦντο ἔχειν παρθενίαν. Καὶ Θέκλα μὲν συναντᾷ Παύλῳ τῷ ἁγίῳ, καὶ διαλύεται γάμου, ὁρμαστὸν ἔχουσα εὐειδέστατον, πρωτεύοντα δὲ πόλεως, πλούσιον ἄγαν, εὐγενέστατον δὲ ἐν τῷ βίῳ καὶ διαφανέστατον· καὶ περιφρονεῖ τῶν ἐπιγείων ἡ ἁγία, ἵνα τῶν ἐπουρανίων ἐγκρατὴς γένηται. Εἰ τοίνυν οὗτοι ταῦτα, πόσῳ γε μᾶλλον ἡ Μαρία, ἐφ' ἣν ἡ θαυμασία πᾶσα οἰκονομία γεγένηται; Πόθεν τοίνυν συνάξω διανοίας εἰς τὸ ἀγαθὸν, καὶ ἐκτρέψω τὸν ζόφον τῶν τὰ δεινὰ ἐγκισσησάντων, καθάπερ γέγραπται· *Συνέλαβε πόνον, καὶ ἔτεκεν ἀνομίαν;* Οὗτοι γὰρ ἀληθῶς συλλαμβάνουσι πόνον διανημάτων, τίκτουσι δὲ ἀνομίαν βλασφημιῶν.

A Etenim Moyses, postequam propheta esse cœpit, nullam amplius cum uxore consuetudinem habuit, neque liberos in eo statu suscepit, quippe qui cum Domino majori vitæ suæ parte versaretur. An si nuptiis vacare voluisset, quadraginta noctes ac dies in monte Sina perseverare potuisset[2]? potuisset quadraginta totos annos in solitudine ad divinarum se rerum administrationem intendere, sacerdotio vacare, enarrare Dei mysteria, cum Deo denique perpetuo colloqui nuptiarum obstrictus onere potuisset? Nam si de nobis Apostolus aperte pronuntiat : *Ad tempus, ut vacent orationi*[4]; quanto istud ipsum de prophetis potiori jure dicetur? Atqui Maria prophetissa fuit. *Ingressus est enim,* inquit, *ad prophetissam; et in utero concepit, et* B *peperit filium. Et dixit Dominus ad me : Voca nomen ejus : Cito detrahere spolia, raptim prædare*[5], etc. Quibus verbis Gabrielis ad Mariam ingressum ostendit; cum ad eam venit, ut nuntiaret Filium ipsam Dei ac Salvatorem, sine ullo virili satu, sed sancti Spiritus interventu, mundo esse pariturum[6]. Quin etiam Philippus evangelista quatuor habuit filias afflatu prophetico præditas, quæ ob virginitatis decus vaticinandi munus illud obtinuerunt[7]. Sed et Thecla cum in Paulum incidisset, pactas nuptias dissolvit, cum primario cuidam civitatis totius, ac longe diviti, nobilissimo, splendidissimoque desponsa jam fuisset. Verum terrena ideo sancta illa contempsit, ut cœlestium compos esse posset. Quare cum hæc ab illis præstita videamus, quanto magis idem a Maria susceptum C fuisse fatebimur, in qua admirabile illud incarnationis mysterium est perfectum? Quænam vero a nobis iniri ratio potest, ut et istorum mentes ad meliora traducamus, et omnem iis discutiamus erroris caliginem, qui nefaria dogmata, velut perniciosissimos fetus, intra se conceperunt, uti scriptum est : *Concepit laborem, et peperit iniquitatem*[8]? Illi enim utique cogitationum molestiam laboremque concipiunt, et contumeliosarum vocum impietatem pariunt.

ΙΖ'. Ἀλλὰ μή τις ἐκεῖνα ὑπονοείτω, καὶ ἑτέρως αὐτὰ ὑποσπείρειν ἑαυτῷ πειρώμενος, λεγέτω· Πῶς οὖν εἶπε τὸ Εὐαγγέλιον, ὅτι *Εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ Πνεύματος ἁγίου ἡ Μαρία, πρὶν ἢ συνελθεῖν αὐτούς;* Ἆρα οὖν προσεδοκᾶτο ἡ συνέλευσις, καὶ τούτου χάριν εἶπε, *πρὸ τοῦ συνελθεῖν;* Ἀλλὰ καὶ πάλιν ἐν ἄλλῳ τόπῳ τὸ αὐτὸ πάλιν Εὐαγγέλιόν φησι (*Καὶ εὑρέθη ἐν γαστρὶ ἔχουσα πρὶν εἰσελθεῖν αὐτούς·* ἢ, *Καὶ ἐγέννησε, καὶ οὐκ ἔγνω αὐτήν·* ἢ, *Καὶ ἐγέννησε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ οὐκ ἤδει αὐτήν*)· *Καὶ οὐκ ἔγνω αὐτὴν, ἕως ὅτου ἐγέννησε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον.* Καὶ οὐκ οἴδασιν οἱ τὰς θεωρίας τῶν Γραφῶν διαιρεῖν ἐπαγγελλόμενοι, καὶ τὰ μετέωρα καὶ βαθύτατα περιεργάζεσθαι ἐπιχειροῦντες, ὅτι ἡ θεωρία[9] τοιοῦτον ἔχει τὸν τρόπον. Εἰ γὰρ πάλιν ἐγέννησεν ἡ Μαρία, ἔδει καὶ τῶν ἄλλων ἀδελφῶν εἰπεῖν τὰ ὀνόματα. Εἰ δὲ ἐπειδὴ *πρωτότοκός ἐστι πάσης*

XVII. Sed vereor, ne quis illum ipsum errorem in animum inducat suum, aliaque ratione impulsus in seipso velut conserere conetur, atque in hunc modum ratiocinari velit : Quid est quod Evangelium narrat : *Inventa est in utero habens* **1049** *de Spiritu sancto Maria, antequam convenirent*[9]? Utrumnam igitur conventio illa ac congressus exspectabatur, ideoque, *antequam convenirent,* D dixit? Præterea in eodem Evangelio alio loco scriptum est (*Inventa est in utero habens antequam convenirent;* vel : *Et peperit, et non cognovit eam;* sive : *Peperit filium suum primogenitum*[10], *et non cognoscebat ipsam*) : *Et non cognovit eam, donec peperit filium suum primogenitum*[11]. Sed et illud homines isti non vident, qui se ea, quæ in Scripturis tractantur, distincte explicateque disserere profitentur, ac sublimia illa altissimaque mysteria perscrutari student, hanc esse narrationis illius loci-

[1] F. συνομιλῶν. [2] F. οὐ. [3] Exod. xxiv, 18. [4] I Cor. vii, 5. [5] Isa. viii, 3. [6] Luc. i, 26 sqq. [7] Act. xxi, 9. [8] Psal. vii, 15. [9] Matth. i, 28. [10] Luc. ii, 7. [11] Matth. i, 25.

Digitized by Google

que sententiam. Si enim Maria denuo peperisset, cæterorum Christi fratrum erant proferenda nomina. Quod autem primogenitus creaturæ omnis [1] ille unicus appellatur, non est quod ea te res perturbet. Non enim dixit, peperisse illam primogenitum suum, sed hoc solum: *Non cognovit eam, donec peperit filium suum.* Ubi non *primogenitum suum*, sed *primogenitum* duntaxat appellavit. Nam hoc ipso, quod *filium suum* dixit, natum hunc ex illa, quod ad carnem pertinet, ostendit. Ad *primogeniti* porro vocabulum, non vocem illam, *suum*, adjunxit, sed *primogenitum* tantummodo vocavit. Hic est enim ille, quem Primogenitum creaturæ omnis Apostolus nominat, quique cum creaturis cæteris minime conjungitur, sed ante eas omnes originem accepit. Neque enim, primo creatus, dixit, sed, *primogenitus*: adeo ut ad majorem audientium fructum atque cautionem hæc illo in loco discreta sint, ac *primogeniti* voce præmissa inferiorem deinde creaturam subjecit. Siquidem *primogeniti* nomen ad Filium refertur; creatura per Filium est producta. *Peperit* itaque *filium suum primogenitum*, non primogenitum suum, quasi alios postea paritura fuerit, *et non cognoscebat illam.* Qui enim nosse potuit tantum esse ei mulieri gratiæ conferendum? Unde sciret, inquam, tam excellenti gloria virginem esse celebrandam? Quippe mulierem hanc a natura formatam, ac feminei sexus esse cognorat, atque ab Anna matre et Joacimo patre genitam; Elizabethæ cognatam, e domo Davidis ac familia: hoc vero nondum intellexerat, tantum illam in terris decus ac splendorem, et quidem feminam, esse consecuturam. Quocirca non cognovit illam, donec prodigium illud animadvertit. Non cognovit quod in ea mirabile contigerat, donec **1050** natum ex ea Filium vidit. Posteaquam vere peperit, habitum illi divinitus honorem agnovit; eamque didicit his verbis ab angelo salutatam: *Ave, gratia plena, Dominus tecum* [2].

XVIII. Hæc est, quam adumbravit Eva, quæ viventium mater quodam ænigmatis involucro nuncupatur. Siquidem Eva tum viventium est appellata mater, cum jam illud audiisset: *Terra es, et in terram reverteris* [3], post admissum videlicet peccatum. Quod quidem admiratione dignum est, post illam offensionem, tam præclarum ei cognomen attributum. Ac si exteriora duntaxat et sensibus obvia consideres, ab eadem hac Eva totius est in terris humani generis origo deducta. Revera tamen a Maria Virgine vita ipsa est in mundum introducta, ut viventem pariat, et viventium Maria sit mater. Quocirca viventium mater adumbrata similitudine Maria dicitur. Nam de duabus feminis dictum illud est: *Quis dedit mulieri sapientiam, aut variegandi scientiam* [4]? Etenim Eva illa prior sapiens mulier Adamo, quem ipsa nudaverat, aspectabilia quædam vestimenta contexuit: quippe hujusmodi est labore damnata. Quod enim nuditas illius opera reperta fuerat, hoc eidem datum negotium est, ut ad externam nuditatem tegendam corpus istud, quod sensibus expositum est, veste contegeret. At Mariæ divinitus illud obtigit, ut agnum nobis

A κτίσεως ὁ Μονογενής, μὴ θορυβοῦ. Οὐ γὰρ εἶπεν, ὅτι ἐγέννησε τὸν πρωτότοκον αὐτῆς, ἀλλ', *Οὐκ ἔγνω αὐτὴν, ἕως ὅτου ἐγέννησε τὸν υἱὸν αὐτῆς.* Καὶ οὐκ εἶπε *τὸν πρωτότοκον* αὐτῆς, ἀλλὰ *τὸν πρωτότοκον.* Ἐπὶ μὲν γὰρ τῷ *υἱῷ* αὐτῆς ἐσήμανεν ἐξ αὐτῆς κατὰ σάρκα γεγεννῆσθαι· ἐπὶ δὲ τῇ *τοῦ πρωτοτόκου* ἐπωνυμίᾳ οὐκέτι τὸ *αὐτῆς* ἔθετο, ἀλλὰ *πρωτότοκον* μόνον. Οὗτος γάρ ἐστιν ὁ παρὰ τῷ Ἀποστόλῳ εἰρημένος Πρωτότοκος πάσης κτίσεως, μὴ συνημμένος τῇ κτίσει, ἀλλὰ πρὸ κτίσεως γεγεννημένος. Οὐ γὰρ εἶπε, *πρωτόκτιστος*, ἀλλὰ *πρωτότοκος*, διαιρουμένης τῆς ἀναγνώσεως ἐπὶ τὸ βέλτιον καὶ ἀσφαλέστερον, τοῦ πρῶτον μὲν λέγειν, *πρωτότοκος*, ἔπειτα ὑποδεδηκυῖαν λέγειν τὴν κτίσιν. Τὸ μὲν γὰρ *πρωτότοκος* ἐπὶ τοῦ Υἱοῦ λαμβάνεται, ἡ δὲ B κτίσις διὰ τοῦ Υἱοῦ. *Ἐγέννησε* τοίνυν *τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον*· οὐκ αὐτῆς δὲ τὸ [5] πρωτότοκον, ὡς αὐτῆς μελλούσης ἄλλον κυΐσκειν, *καὶ οὐκ ᾔδει αὐτήν.* Πόθεν γὰρ ᾔδει, ὅτι τοσαύτην χάριν λήψεται γυνή; Ἢ πόθεν ᾔδει, ὅτι τοιαύτην δόξαν δοξασθήσεται παρθένος; Γυναῖκα μὲν ᾔδει αὐτὴν τῇ πλάσει, καὶ θήλειαν τῇ φύσει, καὶ ἐκ μητρὸς Ἄννης, καὶ ἐκ πατρὸς Ἰωακείμ· συγγένισσαν [6] δὲ τῆς Ἐλισάβετ, ἐξ οἴκου καὶ πατριᾶς τοῦ Δαβίδ· οὐκ ᾔδει δὲ, ὅτι τοιαύτην δόξαν τιμηθήσεταί τις ἐπὶ τῆς γῆς, μάλιστα γυνή. Οὐκ ᾔδει οὖν αὐτὴν, ἕως οὗ εἶδε τὸ θαῦμα. Οὐκ ᾔδει αὐτῆς τὸ θαῦμα, ἕως ὅτου εἶδε τὸ γεγεννημένον ἐξ αὐτῆς. Ὅτε δὲ ἔτεκεν, ἔγνω καὶ τὴν τοῦ Θεοῦ τιμὴν, ὅτι αὐτὴ ἦν ἡ ἀκούσασα· *Χαῖρε, κεχαριτωμένη· ὁ Κύριος μετὰ σοῦ.*

C ΙΗ'. Αὕτη ἐστὶν ἡ παρὰ μὲν τῇ Εὔᾳ σημαινομένη, δι' αἰνίγματος λαβοῦσα τὸ καλεῖσθαι μήτηρ ζώντων. Ἐκεῖ μὲν γὰρ μήτηρ ζώντων κέκληται, καὶ μετὰ τὸ ἀκοῦσαι· *Γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ*, μετὰ τὴν παράβασιν. Καὶ ἦν θαῦμα, ὅτι μετὰ τὴν παράβασιν ταύτην τὴν μεγάλην ἔσχεν ἐπωνυμίαν. Καὶ κατὰ μὲν τὸ αἰσθητὸν, ἀπ' ἐκείνης τῆς Εὔας πᾶσα τῶν ἀνθρώπων ἡ γέννησις ἐπὶ γῆς γεγέννηται· ὧδε δὲ ἀληθῶς ἀπὸ Μαρίας αὕτη [7] ἡ ζωὴ τῷ κόσμῳ γεγέννηται, ἵνα ζῶντα γεννήσῃ, καὶ γένηται ἡ Μαρία μήτηρ ζώντων. Δι' αἰνίγματος οὖν ἡ Μαρία μήτηρ ζώντων κέκληται. Περὶ γὰρ τῶν δύο γυναικῶν ἐλέχθη· *Τίς δέδωκε γυναικὶ σοφίαν, ἢ ποικιλτικὴν ἐπιστήμην*; Ἐπειδὴ γὰρ ἡ πρώτη σοφὴ Εὔα ὑφαίνουσα ἱμάτια τὰ αἰσθητὰ διὰ τὸν Ἀδὰμ, ὅνπερ ἐγύμνωσεν· αὐτῇ D γὰρ ἐδόθη οὗτος ὁ κάματος. Ἐπειδὴ γὰρ δι' αὐτῆς ἡ γύμνωσις εὑρηται, αὐτῇ δέδοται ἀμφιεννύειν τὸ σῶμα τὸ αἰσθητὸν διὰ τὴν γύμνωσιν τὴν αἰσθητήν· τῇ δὲ Μαρίᾳ δέδοται ὑπὸ Θεοῦ, ὅπως τέκῃ ἡμῖν ἀρνίον καὶ πρόβατον, καὶ ἐκ τῆς δόξης αὐτοῦ τοῦ ἀρνίου καὶ προβάτου γένηται ἡμῖν, ὡς ἀπὸ πόκου ἐν σοφίᾳ, δι' ἀρετῆς αὐτοῦ ἔνδυμα ἀφθαρσίας. Ἀλλὰ καὶ ἕτερον περὶ τούτων διανοεῖσθαι ἔστι θαυμαστὸν, περί τε τῆς

[1] Coloss. I, 15. [2] Luc. I, 28. [3] Gen. III, 19. [4] Job XXVIII, 36. [5] F. τόν. [6] IIa ex Regio cod. restituimus. [7] F. αὐτή.

Digitized by Google

Εὔας καὶ τῆς Μαρίας. Ἡ μὲν γὰρ Εὔα πρόφασις γέγένηται θανάτου τοῖς ἀνθρώποις· δι' αὐτῆς γὰρ εἰσῆλθεν ὁ θάνατος εἰς τὸν κόσμον· ἡ δὲ Μαρία πρόφασις ζωῆς, δι' ἧς ἐγεννήθη ἡμῖν ζωή. Καὶ διὰ τοῦτο ὁ Υἱὸς Θεοῦ παρεγένετο εἰς τὸν κόσμον· καὶ, *Οὗ ἐπλεόνασεν ἡ ἁμαρτία, ὑπερεπερίσσευσεν ἡ χάρις*· καὶ ὅθεν γέγονε θάνατος, ἐκεῖ προέλαβεν ἡ ζωή, ἵνα ζωὴ ἀντὶ θανάτου γένηται, ἐκκλείσασα τὸν θάνατον τὸν ἐκ γυναικὸς, πάλιν ὁ διὰ γυναικὸς ἡμῖν ζωὴ γεγεννημένος. Καὶ ἐπειδὴ ἐκεῖ μὲν ἔτι οὖσα παρθένος ἡ Εὔα ἐν παρεκβάσει παρακοῆς γέγονε, πάλιν διὰ τῆς Παρθένου γέγονεν ἡ ὑπακοὴ τῆς χάριτος, εὐαγγελισθείσης τῆς ἀπ' οὐρανοῦ καθόδου ἐνσάρκου παρουσίας καὶ ζωῆς αἰωνίου. Ἐκεῖ γάρ φησι πρὸς τὸν ὄφιν· *Καὶ ἔχθραν θήσω ἀναμέσον σοῦ καὶ ἀναμέσον αὐτῆς, καὶ ἀναμέσον τοῦ σπέρματος σοῦ, καὶ ἀναμέσον τοῦ σπέρματος αὐτῆς*. Οὐδαμοῦ δὲ σπέρμα εὑρίσκεται γυναικός· ἀλλ' ἢ κατὰ τὸ αἴνιγμα, ἐπὶ τῆς Εὔας λαμβάνεται ἡ ἔχθρα πρὸς τὰ ὑπ' αὐτῆς γεννώμενα, τοῦ τε ὄφεως καὶ τοῦ ἐν τῷ ὄφει γενομένου διαβόλου καὶ φθόνου.

A atque ovem parceret : cujus ex splendore ac gloria, tanquam e vellere, per ejusdem virtutem immortalitatis nobis vestis sapienter est confecta. Aliud vero præterea in utraque, Eva scilicet ac Maria, considerari potest, et quidem admiratione dignum : siquidem Eva generi hominum causam mortis attulit, per quam mors est in orbem terrarum invecta ; Maria vitæ causam præbuit, per quam vita est nobis ipsa producta. Ob id Filius Dei in hunc mundum advenit : et, *Ubi abundavit delictum, superabundavit gratia* [1]. Unde mors accidit, vita illuc accessit, ut in mortis locum vita succederet, et illatam a muliere mortem ille ipse, qui e muliere, vita ut esset nostra, natus erat, excluderet. Quoniam vero cum adhuc virgo in hortis Eva degeret, per contumaciam apud Deum offenderat, ideo gratiæ propria ab Virgine manavit obedientia, postquam circumfusi corpore Verbi sempiternæque vitæ de cœlo est nuntiatus adventus. Nam illic ita serpentem Deus **1051** alloquitur : *Inimicitiam ponam inter te, et inter illam ; inter semen tuum, et semen illius* [2]. Atqui nusquam ejusmodi semen mulieris inveniri potest. Unde non aliter quam per adumbrationem ac similitudinem ad Evam hostiles illæ inimicitiæ referuntur, quas cum hujus stirpe serpens ille, et qui in serpente inerat invidia flagrans diabolus, exercet.

ΙΘ'. Ἀλλ' οὖν γε κατὰ τὸ τελειότατον οὐ δύναται ἐν αὐτῇ τὸ πᾶν πληρωθῆναι· πληρωθήσεται δὲ ὡς ἀληθῶς ἐν τῷ σπέρματι τῷ ἁγίῳ, τῷ ἐξαιρέτῳ, τῷ μονωτάτῳ, τῷ ἀπὸ Μαρίας μόνον εὑρεθέντι, καὶ οὐκ ἀπὸ συζυγίας ἀνδρός. Οὗτος γὰρ ἦλθεν ἀνελεῖν τήν τε δύναμιν τοῦ δράκοντος καὶ σκολιοῦ ὄφεως φεύγοντος, καὶ τὴν πᾶσαν οἰκουμένην κατειληφέναι λέγοντος. Διὰ τοῦτο παρεγένετο ἐκ γυναικὸς ὁ Μονογενὴς, εἰς ἀναίρεσιν μὲν τοῦ ὄφεως, τουτέστι τῆς κακοδιδασκαλίας, καὶ φθορᾶς, καὶ ἀπάτης, πλάνης τε καὶ ἀνομίας. Οὗτός ἐστιν ἀληθῶς ἀνοίγων μήτραν μητρός. Πάντες γὰρ ὅσοι ἐγεννήθησαν πρωτότοκοι, ἵνα καὶ σεμνότερον εἴπωμεν, οὐκ ἠδυνήθησαν τοῦτο πληροῦν, ἀλλ' ἢ μόνος ὁ Μονογενὴς μήτραν παρθένον ἀνοίξας· ἐν τούτῳ γὰρ μόνῳ τετελείωται, καὶ ἐν ἄλλῳ οὐδενί. Ἀλλὰ καὶ ἀπ' αὐτῆς τῆς ὑποθέσεως ἔστιν ἰδεῖν. Ἀπὸ Μαρίας γὰρ λαμβάνεται ἡ λέξις, καὶ περὶ τῆς Ἐκκλησίας ἔσται μοι τοῦτο λέγειν· *Ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα αὐτοῦ, καὶ προσκολληθήσεται τῇ γυναικὶ αὐτοῦ· καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν*. Ὁ δὲ ἅγιος Ἀπόστολός φησι· *Τὸ μυστήριον τοῦτο μέγα ἐστίν· ἐγὼ δὲ λέγω εἰς Χριστὸν καὶ τὴν Ἐκκλησίαν*. Καὶ ὅρα μοι τὴν τῶν Γραφῶν ἀκρίβειαν· ὅτι ἐπὶ μὲν τῷ Ἀδὰμ ἔπλασεν λέγων, ἐπὶ δὲ τῇ Εὔᾳ οὐκέτι πεπλάσθαι λέγων, ἀλλ' οἰκοδομεῖσθαι. *Ἔλαβε γὰρ, φησὶ, μίαν τῶν πλευρῶν αὐτοῦ, καὶ ᾠκοδόμησεν αὐτῷ εἰς γυναῖκα*· ἵνα δείξῃ τὸν μὲν Κύριον ἀπὸ Μαρίας ἀναπλάσαντα ἑαυτῷ σῶμα, ἀπ' αὐτῆς δὲ τῆς πλευρᾶς οἰκοδομηθῆναι Ἐκκλησίαν, ἐν τῷ νυχθῆναι αὐτοῦ τὴν πλευράν, καὶ

XIX. Plene quidem ac perfecte accommodari ad illam universa nequeunt ; sed in sanctissima, eximia ac singulari stirpe, quæ ab sola Virgine Maria, sine ulla viri consuetudine, propagata est, reipsa ac penitus impletur. Hic enim illius filius ad exstinguendam serpentis ac tortuosi colubri fugacisque vim ac potentiam, qui se totum orbem terrarum dominatu suo comprehendisse jactabat, ad hæc infima descendit. Propterea unicus e muliere Dei Filius processit, ut serpentem, hoc est impiæ doctrinæ corruptelam, ac fraudem, et errorem, ac pravitatem everteret. Hic est qui revera uterum Matris aperuit [3]. Nam quotcunque primogeniti illum antecesserant, ut honestissime dicam, istud ipsum efficere nequiverunt, sed solus hoc unicus Dei Filius obtinuit, in quo, cæteris exclusis omnibus, illud est perfectum. Sed ut alia prætermittam, vel ex eo ipso, quod modo tractamus, potest illud intelligi. Quippe ex Maria sumpta illa Scripturæ sententia est, quam ad Ecclesiam accommodare possumus : *Propter hoc relinquet homo patrem suum et matrem suam, et adhærebit uxori suæ ; et erunt duo in carnem unam* [4]. Apostolus vero : *Sacramentum hoc*, inquit, *magnum est. Ego autem dico in Christum et Ecclesiam* [5]. In quo accuratam sacrarum Litterarum diligentiam observare licet : quæ cum de Adamo loquuntur, formandi vocabulum adhibent, Evam vero nequaquam formatam, sed ædificatam esse dicunt : *Sumpsit enim*, inquit, *unam e costis illius, et ædificavit ipsi in mulierem* [6]. Quo illud intelligeremus, Dominum sibiipsi corpus

[1] Rom. v, 20. [2] Gen. III, 15. [3] Exod. XIII, 2. [4] Gen. II, 24. [5] Ephes. v, 32. [6] Gen. II, 21, 22.

Digitized by Google

e Maria finxisse; Ecclesiam vero ex ipso latere velut ædificatam fuisse, cum ejus latus est cuspide sauciatum, ab eodemque sanguinis et aquæ ad lotionem nostram profluxisse mysteria [1].

XX. Jam vero quod Mariam Josephus cognovisse dicitur, non ad usum aliquem corporis, atque usitatæ consuetudinis referenda ista cognitio est. Sed ideo cognovit, quod cui divinitus honorem haberi viderat, eamdem honore prosecutus fuerit. Neque enim tanto illam splendore ac gloria præditam putaverat, **1052** donec e muliere natum Dominum animadvertit. Quod autem scriptum est, *Antequam convenirent, inventa est in utero habens* [2], ob eam causam additur, ne illorum invalesceret opinio qui incarnationis mysterium arbitrantur virili opera interventuque perfectum. Hoc enim dicit: Antequam fieret istud, quod futurum exspectabatur, tametsi nunquam exstiterit. Ut enim demus illud: Josephum maritalem cum Virgine copulationem sperasse (quod quidem pro affecta jam illius ætate fieri minime poterat), tamen Scriptura ipsa præmunire nos, et admonere, ac cautiores efficere voluit. Siquidem vel hoc ipsum, quod tunc temporis agebatur, divinus, inquam, ille partus abunde persuadere potest, sanctissimam Virginem nullius postea viri consuetudinem admisisse: quemadmodum angelus Josepho de illius, quam animo conceperat, opinionis falsitate persuasit. Nam superioribus hisce verbis, *antequam convenirent*, quibus res in exspectatione posita, non gesta, declaratur, simillimum est quod sequitur: *Cum esset justus, noluit illam traducere, sed occulte dimittere:* quasi malus jam ob traductionem illam esset, cum non fuerit tamen. Perinde atque angelus docet iis verbis: *Noli timere accipere Mariam conjugem tuam*, quæ nondum conjux esset; quam tu violatæ pudicitiæ suspectam habes, licet talis minime sit, qualem arbitraris, etc. Nam subinde in consequentibus addit: *Quod enim natum est in ipsa*, quasi jam esset natum. Illud vero, *Pariet filium*, ad futurum tempus refertur. Ita enim se res habebat; sed ad fidem stabiliendam prius illa denuntiatio facta est: cujusmodi et illa verba sunt: *Priusquam convenirent.* Ubi sufficere nobis debet, nunquam istud omnino esse factum: *Donec peperit filium suum primogenitum:* quod eumdem sensum habet, et ad admirabilem de Virgine cognitionem refertur, cui summus honor a Deo tribueretur.

XXI. Verum ne quis ex eo quod scriptum est, *Antequam convenirent*, convenisse postmodum arbitretur, nihil ejusmodi demonstrare vel declarare quispiam potest; sed ut labis omnis expertem, et maculæ Salvatoris nostri partum ostenderet Scriptura, illud asseruit. Quamobrem istæ voces, *Non cognovit eam*, ad illius gloriam spectant. Primogenitum vero nominat, eo quod ante creatas res omnes genitus est, et ut ait Apostolus: *Primogenitus in multis fratribus* [3]: non respectu ad Mariæ liberos habito, quasi alios illa peperierit; sed ad eos omnes, qui adoptionem illius **1053** beneficio consecuti sunt, cum Mariæ filius secundum carnem revera

A τὰ μυστήρια τοῦ αἵματος καὶ ὕδατος ἐν ἡμῖν λύτρα γενέσθαι.

Κ'. Ἀλλ' ὅμως ἔγνω τὴν Μαρίαν ὁ Ἰωσὴφ, οὐ κατὰ γνῶσίν τινα χρήσεως, οὐ κατὰ γνῶσιν κοινωνίας. Ἀλλ' ἔγνω αὐτὴν, τιμῶν τὴν ἐκ Θεοῦ τετιμημένην. Οὐ γὰρ ᾔδει αὐτὴν τοιαύτης δόξης οὖσαν, ἕως ὅτε εἶδε Κύριον ἐκ γυναικὸς γεγεννημένον. Καὶ τὸ, *Πρὶν ἢ συνελθεῖν αὐτοὺς, εὑρέθη ἐν γαστρὶ ἔχουσα*, ἵνα μή ποτε κρατήσῃ ὁ λόγος τῶν νομιζόντων, ἐκ κοινωνίας ἀνδρὸς εἶναι τὸ τοῦ Θεοῦ οἰκονομηθὲν μυστήριον. Ἔλεγε γὰρ, Πρὶν ἢ τοῦτο γενέσθαι, ὅπερ προσεδοκᾶτο· οὐ γέγονε δὲ τοῦτο τὸ πρᾶγμα. Εἰ γὰρ καὶ προσεδοκᾶτο ἡ Παρθένος τῷ Ἰωσὴφ εἰς συνάφειαν (ὡς οὐδὲ ἐπεδέχετο διὰ τὸ γηραλέον), ὅμως προλαμβάνει ἡ Γραφὴ, καὶ ἡμῖν ὑποτίθεται, καὶ τὴν διάνοιαν ἐπασφαλίζεται, δυνατῆς οὔσης τῆς ὑποθέσεως, κατὰ τὸν θεῖον τόκον, πεῖσαι μηκέτι ἐγγίζειν ἀνδρὶ πρὸς συνάφειαν τῇ Παρθένῳ· ὡς καὶ ὁ ἄγγελος τὸν Ἰωσὴφ ἔπεισε μὴ εἶναι τὴν ὑπόνοιαν, ἣνπερ αὐτὸς ἐνόμιζεν. Ὅμοιον γὰρ τῷ προρρηθέντι, *Πρὶν ἢ συνελθεῖν αὐτοὺς*, ὡς προσδοκωμένου, οὐ γενομένου δὲ, τὸ, *Δίκαιος ὢν ἐζήτει μὴ παραδειγματίσαι αὐτὴν, ἀλλὰ λάθρα ἀπολῦσαι αὐτὴν*, ὡς φαύλου μὲν γινομένου ἀπὸ τοῦ παραδειγματίσαι αὐτὴν, οὐ γενομένου δέ· ὡς ὁ ἄγγελος διδάσκει λέγων· *Μὴ φοβηθῇς παραλαβεῖν Μαριὰμ τὴν γυναῖκά σου*, τὴν μηδέπω γενομένην, καὶ ἐν ὑπονοίᾳ σφάλματος παρὰ σοί ἐστιν [4], ἀλλ' οὐδὲ οὕτως οὔσῃ, ὡς οἴει, καὶ τὰ ἑξῆς. Εὐθὺς γὰρ ἀκολούθως λέγει· *Τὸ γὰρ γεννηθὲν ἐν αὐτῇ*, ὡς ἤδη γεγεννημένου. Πάλιν δὲ τὸ, *Τέξεται υἱὸν*, ὡς ἐπὶ μέλλοντος. Οὕτως γὰρ ἦν· διὰ δὲ τὸ πεπιστῶσθαι, ἡ προαναφώνησις· ὡς καὶ τὸ, *Πρὶν ἢ συνελθεῖν*· ἀρκούμενοι, ὅτι οὐδ' ὅλως γεγένηται. *Ἕως ὅτου ἔτεκε τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον*, τοῖς αὐτοῖς ἐστιν ἑρμηνευόμενον διὰ τὸ θαυμαστὸν τῆς περὶ τὴν Παρθένον γνώσεως πρὸς Θεὸν τετιμημένης.

D ΚΑ'. Μὴ νομίσῃ δέ τις ἐκ τοῦ λέγειν, *Πρὸ τοῦ συνελθεῖν αὐτοὺς*, ὅτι μετέπειτα συνῆλθον. Οὔτε γὰρ ἔχει τις δεῖξαι, ἢ σημᾶναι· ἀλλ' ἵνα δείξῃ ἄχραντον τὴν κύησιν τοῦ Σωτῆρος, τοῦτο ἡ Γραφὴ ἐβεβαιώσατο. Τὸ οὖν, *Οὐκ ἔγνω αὐτὴν*, διὰ τὴν δόξαν· τὸ δὲ πρωτότοκον, ἐπειδὴ πρωτότοκός ἐστι, πρὶν ἢ τὰς κτίσεις εἶναι, καὶ *πρωτότοκος ἐν πολλοῖς ἀδελφοῖς*, κατὰ τὸν Ἀπόστολον, οὐ κατὰ τὸν [5] ἀπὸ Μαρίας, ὡς ἄλλων υἱῶν ἀπ' αὐτῆς ὄντων, ἀλλ' ἐν τοῖς καταξιωθεῖσι λαβεῖν δι' αὐτοῦ τὴν υἱοθεσίαν, ὅτε υἱὸς αὐτῆς γέγονεν ἀληθῶς κατὰ σάρκα, ἵνα μὴ δόκησις ὑπολειφθείη. Ἀλλὰ καὶ πρωτότοκος, καὶ υἱὸς αὐτῆς τῆς Παρθένου, οὐ διὰ τὸ αὐτὴν ἄλλους υἱοὺς, ὡς ἔφην,

[1] Joan. xix, 31. [2] Matth. i, 18 sqq. [3] Rom. viii, 29. [4] F. οὖσαν, ut et postea pro οὔσῃ. [5] F. κατὰ τῶν.

Digitized by Google

ἔχειν. Ὅμοιον γάρ ἐστι τοῦτο τῷ πρώτῳ πρὸ τῆς ἐνδημίας. Ὁ γὰρ Πρωτότοκος ὢν ἀληθῶς Πατρὸς ἄνω πρὸ πάσης κτίσεως, οὐκ ἀπὸ τοῦ ἄλλους μετ' αὐτὸν ἐκ Πατρὸς γεγεννῆσθαι λέγεται πρωτότοκος· οὐ γάρ ἐστιν αὐτῷ ἀδελφὸς δεύτερος, διότι μονογενής. Οὕτω καὶ ἐπὶ τῆς ἐνσάρκου παρουσίας ἀεὶ καὶ πρωτότοκός ἐστι Μαρίας· ἀλλὰ μονογενὴς τῇ Μαρίᾳ πέφυκε, μὴ ἔχων δεύτερον ἀδελφὸν ἀπ' αὐτῆς. Καὶ παύσωνται οἱ καθ' ἑαυτῶν μεμηχανημένοι τὰ βλαβερὰ μᾶλλον ἢπερ τὰ πρὸς ὠφέλειαν· μὴ παρακαλῶ. Ὁ τιμῶν Κύριον, τιμᾷ καὶ ἅγιον· ὁ δὲ ἀτιμάζων ἅγιον ἀτιμάζει καὶ τὸν ἑαυτοῦ Δεσπότην. Ἔστω Μαρία παρ' ἑαυτῇ ἡ ἁγία Παρθένος, τὸ ἅγιον σκεῦος. Ταῦτα γὰρ τὰ πρὸς βλάβην ἡμᾶς οὐκ ὠφελεῖ· ἡμᾶς δὲ δεῖ σεμνότερον διανοεῖσθαι, ἵνα μὴ ὑφαυχενίαν κτησώμεθα, ἢ διχόνοιαν, ἢ περιττολογίαν. Περὶ παντὸς γὰρ ἀργοῦ λόγου λόγον δώσομεν, κατὰ τὸ γεγραμμένον. Ἑαυτοὺς μεριμνήσωμεν· τὰ ἑαυτῶν ἐπισκεψώμεθα· μὴ τὰ ἑαυτῶν εἰς τοὺς ἁγίους ῥίψωμεν· μὴ ἀφ' ἑαυτῶν τὰ τῶν ἁγίων διασκεψώμεθα.

A fuit, ne adumbrata solum species esse videretur. Igitur primogenitus ac Virginis ipsius filius appellatur, non quod alios, uti dixi, liberos pepererit. Etenim est quiddam in eo genere ei simile, quod incarnationem antecessit. Nam ut Primogenitus revera Patris ante creaturam omnem exstitisse dicitur; neque tamen ideo, quod alii post ipsum a Patre geniti sint, primogenitus vocatur: non enim fratrem alterum habuit, quippe qui sit unigenitus. Ita et suscepto corpore Mariæ primogenitus appellatur, tametsi unica ejus proles exstiterit, neque secundus ex ea sit illi frater in lucem editus. Sileant itaque homines isti, qui ea sibi fingunt, quæ perniciem magis, quam utilitatem ipsis afferunt; sed ille quæso facessat error. Quicunque Dominum B honorat, honorat et sanctum; qui ignominia sanctum afficit, eamdem et Domino suo ignominiam imponit. Sit in sese Maria sanctissima illa virgo, vasque illud sacrosanctum. Ejusmodi vero pestifera atque exitialia dogmata nullum nobis fructum afferunt: nosque adeo honorificentius de illa sentire par est, ne in animi insolentiam, aut discordiam, aut supervacaneam loquacitatem incidamus. Quippe de omni otioso verbo rationem, ut scriptum est, reddituri sumus [1]. Ergo nos ipsos curemus, rerum nostrarum satagamus, neve quæ nostri propria sunt, in sanctos proferamus, aut ex nobis ipsis quæ ad illos pertinent, metiri velimus.

ΚΒ'. Πάντως γὰρ βιαζόμενοί τινες, καὶ ἐπὶ τὸ λαγνιαίτερον τρεπόμενοι, καὶ ἐν αὐτοῖς ἔχοντες φθοριμαίαν ὑπόνοιαν, βούλονται καὶ τοὺς ἁγίους χραίνειν, εἰς εὔλογον ἀπολογίαν τῆς ἑαυτῶν κακῆς καὶ ἀσθενοῦς ὑπονοίας· πρὸς οὓς ὁ Ἀπόστολός φησιν· *Θέλω μὲν πάντας εἶναι ὡς ἐμαυτόν.* Τὸ δὲ, *ἐμαυτόν*, πῶς ἄρα λέγει ἀλλ' ἢ διὰ τὸ ἀγνεύειν; *Διὰ δὲ τὰς πορνείας ἕκαστος τὴν ἑαυτοῦ γυναῖκα ἐχέτω.* Ὑπεξηρέθη δὲ ἡ ἀντωνυμία· ἐλεγκτικῶς γὰρ εἶχε καὶ ἐπιστρεφέστερον. Εἶχε γὰρ εἰπεῖν, διὰ τὰς πορνείας ὑμῶν. Τὸ, *ὑμῶν*, τοίνυν περιεῖλεν, ἵνα μὴ δόξῃ εἰς ὕβριν τινῶν τοῦτο εἰρηκέναι. Ἐῤῥέθη δὲ εἰς κατάκρισίν τινων τῶν μὴ θελόντων Θεῷ σχολάζειν, μετὰ τὸ κατὰ τὸν νόμον βιοῦν, καὶ εὐλόγως ἐπιγνῶναι τὸ αὐτοῦ σκεῦος εἰς παιδοποιίαν· ὡς καὶ οἱ παλαιοὶ πατέρες ἡμῶν τούτῳ τῷ εἴδει κέχρηνται· ὡς καὶ που εὑρήκαμεν λέγουσαν τὴν Γραφήν· *Ῥεβέκκα δὲ ἐξ ἑνὸς κοίτην ἔχουσα.* Τὸ δὲ, *ἐξ ἑνός*, εἰπὼν, σεμνότερον μὲν [2] διηγήσατο, ἔδειξε δὲ τὴν σύλληψιν δικαίαν οὖσαν. Μετὰ γὰρ τὸ ἐσχηκέναι τέκνα, δείκνυσι μηκέτι τῇ γυναικὶ αὐτὸν συναφθέντα. Ἀλλ' ἐπειδήπερ ῥᾴδιον καὶ εὐχερές ἐστιν ἐπὶ τὰ φαῦλα μᾶλλον τρέπεσθαι τὴν διάνοιαν ἢπερ ἐπὶ τὰ ἀναγκαῖα, ὀλισθηροῦ ὄντος τοῦ ἡμετέρου ἀνθρωπίνου λογισμοῦ, καὶ οὐ τάχιον εὐθύνοντος αὐτοῦ τὴν ὁρμὴν ἐπὶ τὴν εὐθεῖαν ὁδὸν τοῦ Κυρίου, ἀλλὰ κλίνοντος πῃ μὲν ἐπὶ τὰ δεξιὰ, πῃ δὲ ἐπὶ τὰ ἀριστερὰ, καὶ βαρέως πληροῦντος τὸ παρὰ τῷ Σολομῶντι εἰρημένον· *Μὴ κλίνῃς ἐπὶ τὰ δεξιὰ, μηδὲ ἐπὶ τὰ ἀριστερά·* πάλιν ἄλλως ἡμῖν στρεφομένης τῆς κακίας περὶ τοὺς αὐτοὺς λογισμοὺς, καὶ ὠθούσης ἡμῶν τὸ σῶφρον ἐφ' ἑτέρας πάλιν ὁδοὺς βαδίζειν· ἀσφαλισώμεθα οὖν μή πως τὸ περισσοτέρως

XXII. Quippe nonnulli sunt, qui cum ad luxum ac delicias effusi sint, et perniciosam mentem conceperint, jure an injuria sanctos iisdem fœditatis maculis aspergere conantur: quo pravo et imbecillo animo suo honestum aliquem colorem speciemque conquirant. Contra quos Apostolus ita C loquitur: *Velim omnes mei similes esse* [2]. Ubi illa verba, *mei similes esse*, de quo alio quam de castimonia interpretari possumus? *Verum propter fornicationes unusquisque uxorem suam habeat:* sed in priori parte pronomen detraxit, quod acerbiorem alioqui reprehensionem et castigationem haberet. Nam cum dicere posset, propter fornicationes vestras, vocem illam, *vestras*, consulto prætermisit, ne hoc ad aliquorum contumeliam jecisse videretur. Sed ad nonnullos condemnandos est dictum, qui vacare Deo nolunt: ita ut interim vitam ex legis præscripto comparent, et honeste vase suo ad prolem suscipiendam utantur, quemadmodum patres nostros usos olim esse didicimus: quod D alicubi **1054** Scriptura declarat: *Rebecca*, inquit, *ex uno concipiens. Ex uno*, dixit; et ut honestati consuleret, aliud nihil addidit, sed generationem illam justam ac legitimam fuisse significavit. Quare post susceptos liberos nullam amplius ei cum illa consuetudinem fuisse demonstrat. Et quoniam facile ac proclive nobis est mentem ad deteriora potius quam ad necessaria deflectere; cumque lubricus sit hominis animus, nec ad rectam Domini viam impetum statim suum contentionemque dirigat, sed ad dextram sinistramve declinet, atque ægre admodum huic Salomonis præcepto pareat: *Ne declines ad dexteram, nec ad*

[1] γρ. μή. [2] Matth. XII, 36. [3] I Cor. VII, 7.

Digitized by Google

sinistram [1] : cum denique circa easdem cogitationes sese torqueat ac verset improbitas, et ad alia itinera capessenda moderationem nostram impellat, cavendum illud nobis est, ne effusiora illa beatæ Virginis præconia alterius erroris et offensionis materiam alicui fortasse præbeant.

XXIII. Etenim qui in Filium contumeliosi esse voluerunt, ut antea declaratum est, abalienare ipsum a Patris divinitate studuerunt. Alii e contrario diversam in partem abeuntes, quo vehementius illum honorarent, eumdem esse Patrem, et Filium, et Spiritum sanctum asserere ausi sunt. Utrobique vero insanabilis est ac mortifera plaga. Ita quod ad sanctam ac beatam illam Virginem pertinet, quidam contumeliosius in illam invecti sunt, ut, post summum illud et integrum incarnationis Domini mysterium, corporis eam commistione pollutam dicerent : id quod omnem improbitatem impietatemque superat. Cæterum uti nonnullos tantum se in scelus commisisse didicimus, sic non sine ingenti admiratione aliud quiddam accepimus : nonnullos videlicet in iis, quæ ad sanctissimam Virginem spectant, eo amentiæ progressos, ut pro Deo nobis illam obtrudere vellent, ac de ea velut mente capti et furiosi loquerentur. Ferunt enim mulierculas quasdam in Arabia, quo e Thracia profectæ erant, novum illud dogma commentas fuisse : adeo ut in Virginis nomen et honorem collyridem sive tortam panis sacrificantes offerant et conventus habeant : in sanctissimæ, inquam, Virginis **1055** nomen modum omnem prætergressos, nefariam rem, et cum Dei contumelia conjunctam aggredi, hoc est in illius nomen per mulieres sacrificia facere. Quod quidem impium ac scelestum est, et a sancti Spiritus doctrina prorsus alienum. Quare totum illud a dæmonis afflatu et impuri spiritus disciplina profectum est. Hoc enim in ipsis impletur : *Deficient quidam a sana doctrina, intendentes fabulis et doctrinis dæmoniorum* [2]. Erunt enim, inquit, mortuos colentes, quemadmodum apud Israelitas honore sunt affecti. Ita factum est, ut sanctorum, qui suis temporibus floruerunt, redundans in Deum occasionem erroris attulerit.

XXIV. Etenim Sicimis, quæ hodie Neapolis dicitur, sacra quædam ab indigenis in honorem puellæ celebrantur, quod ab Jephthe filia manasse videtur, quæ Deo quondam sacrificata fuerat [3]. Quæ res miseris hominibus idololatriæ inanissimique cultus materiam præbuit. Quin etiam Pharaonis filiam, quæ servum Dei Moysen honoravit [4], et sublatum enutrivit, propter celebrem pueruli famam impensius, quam par erat, ac pro Deo venerantes Ægyptii, istiusmodi superstitionem in stolidos homines derivatam nefarie propagarunt. Ergo illi Thermutin Amenophi filiam, hoc est Pharaonis, adorare pergunt, quod, ut antea dixi, Moysen educaverit.

A ἐγκωμιάσαι τὴν Παρθένον γένηταί τινι εἰς ἄλλο τρόκομμα φαντασίας.

ΚΓ'. Οἱ μὲν γὰρ εἰς τὸν Υἱὸν βλασφημοῦντες, καθάπερ μοι ἄνω προδεδήλωται, φύσει ἀπαλλοτριοῦν αὐτὸν τῆς Πατρὸς θεότητος ἐφιλοτιμήσαντο· ἄλλοι δὲ πάλιν, ἑτέρως φρονήσαντες, ὡς δῆθεν τιμῆσαι περισσοτέρως προαχθέντες, τὸν αὐτὸν εἶναι Πατέρα εἶπον, καὶ τὸν αὐτὸν Υἱὸν, καὶ τὸ αὐτὸ ἅγιον Πνεῦμα· ἐπὶ δὲ τοῖς μέρεσιν ἀμφοτέροις ἀνίατος ἡ πληγή. Οὕτω περὶ τῆς ἁγίας ταύτης καὶ μακαριτίδος Ἀειπαρθένου, οἱ μὲν ἐξυβρίσαι τετολμήκασιν, ὡς συναφθεῖσαν αὐτὴν σαρκὶ μετὰ τὴν μεγίστην ἐκείνην καὶ ἀκρσιφνῆ οἰκονομίαν τοῦ Κυρίου, τῆς ἐνσάρκου αὐτοῦ παρουσίας· καὶ ἔστι τοῦτο πάσης μοχθηρίας δυσσεβέστατον. Ὡς δὲ τοῦτό φαμεν ἐνηχηθῆναί τινας οὕτω τετολμηκέναι ῥᾴστως ἐπιδοῦναι ἑαυτοὺς τῇ ἁμαρτίᾳ· οὕτω καὶ τὸ ἕτερον τεθαυμάκαμεν πάλιν ἀκηκοότες. Ἄλλους γὰρ πάλιν ἀφραίνοντας εἰς τὴν ὑπὲρ τῆς αὐτῆς ἁγίας Ἀειπαρθένου ὑπόθεσιν, ἀντὶ Θεοῦ ταύτην παρεισάγειν ἐσπουδακότας, καὶ σπουδάζοντας, καὶ ἐν ἐμβροντήσει τινὶ καὶ φρενοβλαβείᾳ φερομένους. Διηγοῦνται γὰρ, ὥς τινες γυναῖκες ἐκεῖσε ἐντῇ Ἀραβίᾳ ἀπὸ τῶν μερῶν τῆς Θράκης τοῦτό γε τὸ κενοφώνημα ἐνηνόχασιν, ὡς εἰς ὄνομα τῆς Ἀειπαρθένου κολλυρίδα τινὰ ἐπιτελεῖν, καὶ συνάγεσθαι ἐπιτοαυτὸ, καὶ εἰς ὄνομα τῆς ἁγίας Παρθένου ὑπὲρ τὸ μέτρον τι πειρᾶσθαι ἀθεμίτῳ καὶ βλασφήμῳ ἐπιχειρεῖν πράγματι, καὶ εἰς ὄνομα αὐτῆς ἱερουργεῖν διὰ γυναικῶν· ὅπερ τὸ πᾶν ἐστιν ἀσεβὲς καὶ ἀθέμιτον, ἠλλοιωμένον ἀπὸ τοῦ κηρύγματος τοῦ ἁγίου Πνεύματος, ὥστε εἶναι τὸ πᾶν διαβολικὸν ἐνέργημα, καὶ πνεύματος ἀκαθάρτου διδασκαλία. Πληροῦται γὰρ καὶ ἐπὶ τούτους τὸ, *Ἀποστήσονταί τινες τῆς ὑγιοῦς διδασκαλίας, προσέχοντες μύθοις καὶ διδασκαλίαις δαιμονίων.* Ἔσονται γὰρ, φησὶ, νεκροῖς λατρεύοντες ὡς καὶ ἐν τῷ Ἰσραὴλ ἐσεβάσθησαν. Καὶ ἡ τῶν ἁγίων κατὰ καιρὸν εἰς Θεὸν δόξα ἄλλοις γέγονε τοῖς μὴ ὁρῶσι τὴν ἀλήθειαν εἰς πλάνην.

gloria aliis, qui veritatem minime perspicerent,

ΚΔ'. Ἐν γὰρ Σικίμοις, τουτέστιν ἐν τῇ νυνὶ Νεαπόλει, θυσίας οἱ ἐπιχώριοι τελοῦσιν εἰς ὄνομα τῆς Κόρης, δῆθεν ἐκ προφάσεως τῆς θυγατρὸς Ἰεφθάε, τῆς ποτε προσενεχθείσης τῷ Θεῷ εἰς θυσίας· καὶ τοῖς ἠπατημένοις τοῦτο γέγονεν εἰς βλάβην εἰδωλολατρείας καὶ κενολατρίας. Ἀλλὰ καὶ τὴν θυγατέρα τοῦ Φαραὼ τιμήσασαν τὸν δοῦλον τοῦ Θεοῦ Μωϋσέα, ἀνελομένην τε καὶ ἀναθρέψασαν, διὰ τὸ περίφημον τότε τοῦ παιδίου ὑπὲρ τὸ δέον τιμήσαντες Αἰγύπτιοι ἀντὶ Θεοῦ, καὶ τοῦτο εἰς κακὴν παράδοσιν τοῖς ἀνοήτοις παρέδωκαν εἰς θρησκείαν. Καὶ προσκυνοῦσι τὴν Θέρμουτιν τὴν θυγατέρα (10) τοῦ Ἀμενὼφ, ἕως τότε Φαραὼ [5], ἐπειδὴ, ὡς προεῖπον, ἀνέθρεψε τὸν

[1] Prov. IV, 27. [2] I Tim. IV, 1. [3] Judic. XI, 1 sqq. [4] Exod. II, 10. [5] F. addendum τοῦ.

(10) *Τὴν Θέρμουτιν τὴν θυγατέρα.* Amenophin regem illum Ægypti nominat, sub quo Moyses natus est, in quo Eusebii *Chronicon* secutus est.

Digitized by Google

Μωϋσέα. Καὶ πολλὰ τοιαῦτα ὅμοια γέγονεν ἐν κόσμῳ εἰς πλάνην τῶν ἠπατημένων, οὐ τῶν ἁγίων αἰτίων ὄντων τισὶν εἰς πρόσκομμα, τῆς διανοίας τῶν ἀνθρώπων μὴ ἠρεμούσης, ἀλλ' ἐπὶ τὰ πονηρὰ ἐκτρεπομένης. Ἤτοι γὰρ ἀπέθανεν ἡ ἁγία Παρθένος, καὶ τέθαπται, ἐν τιμῇ αὐτῆς ἡ κοίμησις, καὶ ἐν ἁγνείᾳ ἡ τελευτή, καὶ ἐν παρθενίᾳ ὁ στέφανος· ἤτοι ἀνῃρέθη, καθὼς γέγραπται· *Καὶ τὴν ψυχὴν αὐτῆς διελεύσεται ῥομφαία*· ἐν μάρτυσιν αὐτῆς τὸ κλέος, καὶ ἐν μακαρισμοῖς τὸ ἅγιον αὐτῆς σῶμα· δι' ἧς φῶς ἀνέτειλε τῷ κόσμῳ· ἤτοι δὲ ἔμεινε. Καὶ γὰρ οὐκ ἀδυνατεῖ τῷ Θεῷ πάντα ποιεῖν, ὅσαπερ βούλεται· τὸ τέλος γὰρ αὐτῆς οὐδεὶς ἔγνω. Πέρα τοῦ δέοντος οὐ χρὴ τιμᾶν τοὺς ἁγίους, ἀλλὰ τιμᾶν τὸν αὐτῶν Δεσπότην. Παυσάσθω τοίνυν ἡ πλάνη τῶν πεπλανημένων. Οὔτε γὰρ θεὸς ἡ Μαρία, οὔτε ἀπ' οὐρανοῦ ἔχουσα τὸ σῶμα, ἀλλ' ἐκ συλλήψεως ἀνδρὸς καὶ γυναικὸς, κατ' ἐπαγγελίαν δὲ, ὥσπερ ὁ Ἰσαὰκ, οἰκονομηθεῖσα. Καὶ μηδεὶς εἰς ὄνομα ταύτης προσφερέτω· ἑαυτοῦ γὰρ τὴν ψυχὴν ἀπόλλει[1]· μήτε πάλιν ἐμπαροινείτω ἐξυβρίζων τὴν ἁγίαν Παρθένον. Μὴ γὰρ γένοιτο! οὐ συνήφθη σαρκὶ μετὰ τὴν κύησιν, οὐδὲ πρὸ τῆς κυήσεως τοῦ Σωτῆρος.

A Ejusmodi pleraque ad cæcorum hominum fraudem et errorem in mundum introducta sunt, non quod sancti cuiquam offensionis ansam præbeant, sed quod conquiescere mens hominum nequeat, et ad prava declinet. Etenim sive mortua est Virgo sanctissima ac sepulta, summo cum splendore conjuncta mors illius est, et castissimus exitus, ac virginitatis ei corona concessa; sive interfecta, ut indicare Scriptura videtur his verbis: *Et ipsius animam penetrabit gladius* [2], gloriam martyres inter ac decus obtinet, et sacrum illius corpus omni felicitate cumulatum est; per quam mundo lumen illuxit. Potest denique et in vita mansisse. Potest enim Deus quidquid libuerit efficere; nam de illius exitu nihil certo constat. Porro ultra quam par sit B sanctos venerari nefas est; sed illorum honorandus est Dominus. Quamobrem desinat tandem infelicium ille hominum error. Neque enim Maria Deus est, neque de cœlo **1056** corpus accepit, sed ab viro ac muliere genita, tametsi ex promissione, ut olim Isaacus, singulari Dei sit providentia concessa. Nemo vero in illius nomen sacrificium offerat, alioqui animæ suæ mortem atque exitium conciscet. Neque vero in sanctissimam illam contumeliose perbacchari audeat. Absit enim, ut post editum Salvatorem, aut ante partum, corpus cum ullo conjunxisse dicatur.

ΚΕ'. Καὶ ταῦτα μὲν τὰ ὀλίγα εἰς ἑαυτοὺς διασκοπήσαντες, ἐγράψαμεν τοῖς βουλομένοις καταμαθεῖν τῆς Γραφῆς τὴν ἀλήθειαν, καὶ μὴ μάτην παροινεῖν τοῖς λόγοις, καὶ βλάσφημόν τινα ἑαυτοῖς ἐξοπλίζεσθαι γλῶτταν. Εἰ δὲ βούλονταί τινες ἀνέχεσθαι[3], οὐδὲ καταδέχεσθαι τὰ ἐπωφελῆ, ἀλλὰ μᾶλλον τἀναντία· καὶ ἀφ' ἡμῶν τῶν εὐτελῶν ἔσται ῥητέον τὸ, *Ὁ ἀκούων ἀκουέτω, καὶ ὁ ἀπειθῶν ἀπειθείτω*· μή τι τοῖς ἀποστόλοις κόπον παρεχέτω, μήτε ἡμῖν μηκέτι. Ἃ γὰρ ᾠδειμεν σεμνότερα καὶ ἐπωφελῆ τῇ Ἐκκλησίᾳ, ταῦτα περὶ τῆς ἁγίας Παρθένου εἰρήκαμεν, συνηγοροῦντες τῇ κατὰ πάντα κεχαριτωμένῃ, ὡς εἶπεν ὁ Γαβριήλ· *Χαῖρε, κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ*. Εἰ δὲ ὁ Κύριος μετ' αὐτῆς, πῶς ἔσται ἐν συζυγίᾳ ἑτέρᾳ; Πῶς δὲ σαρκὶ πλησιάζουσα ἔσται ὑπὸ Κυρίου φυλαττομένη; Οἱ ἅγιοι ἐν τιμῇ, ἡ ἀνάπαυσις αὐτῶν ἐν δόξῃ, ἡ ἀπεντεῦθεν αὐτῶν ἐκδημία ἐν τελειότητι, ὁ κλῆρος αὐτῶν ἐν μακαριότητι (11), ἐν μοναῖς ἁγίαις, ὁ χορὸς μετ' ἀγγέλων, ἡ δίαιτα ἐν οὐρανῷ, τὸ πολίτευμα ἐν θείαις Γραφαῖς, τὸ κλέος ἐν τιμῇ ἀσυνεικάστῳ καὶ διηνεκεῖ, τὰ βραβεῖα ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· δι' οὗ καὶ μεθ' οὗ δόξα τῷ Πατρὶ σὺν ἁγίῳ Πνεύματι εἰς αἰῶνας. Ἀμήν.

XXV. Hæc habuimus, quæ apud nos meditata in eorum gratiam brevi scriptione complecteremur, qui sacrarum Litterarum veritatem percipere student, neque temere sermonibus insultare, aut contumeliosam sibi ipsis linguam producere. Quod si C qui refragari malint, ac spretis utilibus, quæ his contraria sunt amplecti, a nobis infimis usurpandum illud erit: *Qui audit, audiat; qui contumax est, contumax esto* [4], ac neque apostolis, neque nobis amplius molestus sit. Quæ enim religiosissima et Ecclesiæ fructuosa esse putabamus, hæc de sanctissima Virgine sumus professi, ut ejus patrocinium susciperemus, quæ gratia plenissima est: ut Gabriel locutus est: *Ave, gratia plena, Dominus tecum* [5]. Quod si cum ipsa Dominus est, quomodo alterum conjugium admisisse potest? Quonam, inquam, pacto quæ carnis consuetudinem haberet, a Domino servari dicitur? Enimvero sancti omnes magno in honore sunt. Horum est gloriosa requies, horum ex hac vita discessus ad perfectionem transitus est, eorumdem in felicitate sors, in sanctissimis domiciliis inter angelorum choros versantur, habitatio in cœlo, occupatio in sacris Litteris est, decus ac splendor sempiterno in honore consistit, denique in Christo Jesu Domino nostro posita D quem nulla conjectura potest assequi, præmia sunt; per quem, et quocum gloria Patri cum sancto Spiritu in sæcula. Amen.

Προσαγορεύουσιν ὑμᾶς πάντες οἱ ἀδελφοί. Προσείπατε δὲ καὶ αὐτοὶ πάντας τοὺς παρ' ὑμῖν ἀδελφοὺς πιστοὺς ὀρθοδόξους, στυγοῦντας ὑπερηφανίαν, μι-

Omnes vos fratres plurimum salutant. Vos vicissim salutem omnibus, qui apud vos sunt, fratribus dicite, hoc est fidelibus sinceræ fidei culto-

[1] Reg. ἀπολλύει. [2] F. ἀντέχεσθαι. [3] Luc. II, 35. [4] Ezech. III, 27. [5] Luc. I, 28.

(11) *Ὁ κλῆρος αὐτῶν ἐν μακαριότητι.* Ex hoc loco manifestum est, sanctorum, ubi ex hac vita discesserint, animas cœlesti felicitate perfrui, neque supremum judicii tempus exspectare.

Digitized by Google

ribus, qui superbiam aversantur, qui Arianorum communionem et Sabellianorum proterviam oderunt, qui consubstantialem Trinitatem profitentes adorant Patrem, et Filium, et Spiritum sanctum, tres personas, et unam substantiam, ac divinitatem, unamque gloriam, quique de salutari incarnationis Domini mysterio sincere ac citra errorem sentiunt, ac Christum plane hominem esse factum perfectumque **1057** Deum, ac perfectum hominem arbitrantur, peccati omnis expertem, qui corpus de Maria susceperit, una cum anima et mente, cæterisque, quibus hominum natura constat: adeo ut non duo sint, sed unus Dominus, unusque Deus, unus rex, unus pontifex, Deus et homo, homo ac Deus; non duo, sed unus, inquam, ex duplicis naturæ conjunctione conflatus, non ut aliquid confusum, aut in nihilum redactum sit, sed in eo omnia sint ad summam divinæ gratiæ administrationem perfecta. Valete.

A σοῦντας κοινωνίαν Ἀρειανῶν, καὶ Σαβελλιανῶν ἐρεσχελίαν, τιμῶντας δὲ ὁμοουσίως τὴν Τριάδα, Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα, τρεῖς ὑποστάσεις, μίαν οὐσίαν, καὶ θεότητα μίαν, καὶ ἁπαξαπλῶς μίαν δοξολογίαν· καὶ μὴ σφαλλομένους περὶ τὴν τοῦ Σωτῆρος ἡμῶν σωτήριον οἰκονομίαν καὶ ἔνσαρκον παρουσίαν, ἀλλὰ πιστεύοντας τελείως τὴν Χριστοῦ ἐνανθρώπησιν, τέλειον Θεὸν, τέλειον τὸν αὐτὸν ἄνθρωπον, χωρὶς ἁμαρτίας, λαβόντα αὐτὸ τὸ σῶμα ἀπὸ Μαρίας, καὶ ψυχὴν λαβόντα, καὶ νοῦν καὶ πάντα εἴ τί ἐστιν ἄνθρωπος, χωρὶς ἁμαρτίας, οὐ δύο ὄντα, ἀλλ' ἕνα Κύριον, ἕνα Θεὸν, ἕνα βασιλέα, ἕνα ἀρχιερέα, Θεὸν καὶ ἄνθρωπον, ἄνθρωπον καὶ Θεὸν, οὐ δύο, ἀλλ' ἕνα, συνενωθέντα οὐκ εἰς σύγχυσιν, οὐδ' εἰς ἀνυπαρξίαν, ἀλλ' εἰς μεγάλην χάριτος οἰκονομίαν. Ἔρρωσθε.

Hoc epistolæ exemplo contenti, quod ad illorum refellendum errorem idoneum est, ac satis superque egisse nos arbitrati, ab hac hæresi discedemus, quam serpentis e foramine prodeuntis instar, sapientissima Dei doctrina ac potentia (quæ velut styrax orbem terrarum fragrantia sua, hoc est sanctorum virginitatis filiorum, cujus B. Virgo princeps est, virtute complevit), et illius præsidio, qui per eamdem Virginem huic mundo lumen invexit, cum hactenus in lucem eruerimus, atque exitialis illius nequitiæ virus patefecerimus, ad cæteras orationem promovebimus, quo huic operi singulari Dei ope suscepto finem aliquando tandem adhibeamus.

B Τῷ δὲ τῆς ἐπιστολῆς ἀντιγράφῳ ἀρκεσθέντες, καλῶς ἔχοντι πρὸς τὴν τούτων ἀντίθεσιν, ἕως ὧδε ἱκανῶς ἔχειν δοκιμάζοντες, καὶ ταύτην ἐν Θεῷ ὑπερβεβηκότες, ὡς ἑρπετὸν ἀπὸ ὀπῆς προκύψαν, διὰ συνετῆς Θεοῦ διδασκαλίας τε καὶ δυνάμεως, τῆς ὡς στύρακος πνεούσης εὐοδμίαν ἐν κόσμῳ ἐπ' ἀρετῇ, καὶ ἁγίων παίδων τῆς παρθενίας, ἀπὸ Μαρίας ἀρξαμένης τῆς ἁγίας, διὰ τοῦ ἐξ αὐτῆς φῶς τῷ κόσμῳ ἀνατείλαντος, διελέγξαντες, καὶ τὸν κακὸν ἰὸν τῆς ἑρπετώδους μοχθηρίας αὐτῶν ἐπιδείξαντες, ἐπὶ τὰς ἑτέρας πάλιν βαδίσωμεν, εἰς τελείωσιν τῆς πάσης ἐν Θεῷ πραγματείας.

ADVERSUS COLLYRIDIANOS,

Qui Mariæ sacrificium offerunt, hæresis LIX, sive LXXIX.

ΚΑΤΑ ΚΟΛΛΥΡΙΔΙΑΝΩΝ,

Τῶν τῇ Μαρίᾳ προσφερόντων, πεντηκοστὴ ἑνάτη, ἢ καὶ ἑπτακοστὴ ἑνάτη.

C

I. Post superiorem illam hæresin, proxime ad nos alterius cujusdam fama perlata est, de qua paulo ante mentionem in epistola illa faciebamus, quam de Maria Virgine in Arabiam scripsimus. Hæc enim hæresis in Arabiam e Thracia ac superiore Scythia diffusa ad aures usque nostras pervenit. Quæ quidem apud prudentes homines ridicula ac ludibrio digna censetur. Sed nos errores illius detegere, ac quid ipsa profiteatur aperire conabimur; nec dubito quin stultitiæ plurimum, sapientiæ ne minimum quidem habere judicetur: cujusmodi cæteras omnes huic affines esse cognovimus. Nam ut paulo ante, qui superiorem illam sectam amplexi sunt, contumeliosas in B. Virginem opiniones hominum ingeniis asperserunt; sic isti contrariam in partem declinantes, **1058** extremam in noxam ac perniciem inciderunt, ut gentilium philosophorum celebre illud dictum in ipsis comprobetur: *Extremitates æqualitates esse.* Siquidem par et idem ex ambabus hæresibus detrimentum accidit, cum alii sacrosanctæ Virginis dignitatem elevent, alii præter modum ac rationem attollant. Nam quod ad posterius hoc dogma

Α'. Ἐξῆς δὲ ταύτῃ εἰς φήμην πέφηνεν αἵρεσις, περὶ ἧς ἤδη ὑπεμνήσαμεν ὀλίγῳ ἐν τῇ πρὸ ταύτης διὰ τῆς εἰς Ἀραβίαν γραφείσης ἐπιστολῆς, τῆς περὶ τῆς Μαρίας ἐχούσης. Καὶ αὐτὴ δὲ ἡ αἵρεσις πάλιν ἐν τῇ Ἀραβίᾳ ἀπὸ τῆς Θράκης καὶ τῶν ἄνω μερῶν τῆς Σκυθίας ἀνεδείχθη, καὶ εἰς ἡμῶν ἀκοὰς ἀνηνέχθη· ἥτις ἐστὶ καὶ αὐτὴ γελοῖος καὶ χλεύης ἐμπλεως παρὰ τοῖς συνετοῖς εὑρισκομένη. Ἀρξόμεθα περὶ αὐτῆς φωρᾶσαι, καὶ τὰ κατ' αὐτὴν διηγήσασθαι. Εὐηθείας γὰρ μᾶλλον κριθήσεται ἤπερ συνέσεως αὕτη· καθὼς καὶ ἄλλαι ὁμοῖαι ταύτῃ ἦσαν. Ὡς γὰρ ἄνω πολὺ διὰ τῆς πρὸς Μαρίαν ὕβρεως οἱ δόξαντες ταῦτα ὑπονοεῖν βλαβερὰς ὑπονοίας σπείρουσι λογισμοῖς ἀνθρώπων· D οὕτω καὶ οὗτοι ἐπὶ τὸ ἕτερον μέρος κλίναντες, ἐν ἀκρότητι βλάβης καταλαμβάνουσι[1]· ὅπως κἀκεῖνο τὸ παρά τισι τῶν ἔξωθεν φιλοσόφων φερόμενον, καὶ ἐν αὐτοῖς πληρωθήσεται ἐν τῷ λέγειν· *Μακαρότητες*[2] *ἰσότητες.* Ἴση γὰρ ἐπ' ἀμφοτέραις ταύταις ταῖς αἱρέσεσιν ἡ βλάβη· τῶν μὲν κατευτελιζόντων τὴν ἁγίαν Παρθένον, τῶν δὲ πάλιν ὑπὲρ τὸ δέον δοξαζόντων. Οὗτοι γὰρ οἱ τοῦτο διδάσκοντες τίνες εἰσὶν ἀλλ' ἢ γυναῖκες; Γυναικῶν γὰρ τὸ γένος εὐόλισθον, σφαλερὸν δὲ καὶ ταπεινὸν τῷ φρονήματι. Καὶ αὐτὸ γὰρ

[1] Reg. καταλαβόντες [2] Reg. μακρότητες. Corrigo al ἀκρότητες.

Digitized by Google

ἔδοξεν ἀπὸ γυναικῶν ὁ διάβολος ἐξεμεῖν· ὡς καὶ ἄνω παρὰ Κυϊντίλλῃ, καὶ Μαξιμίλλῃ, καὶ Πρισκίλλῃ περιγέλαστα τὰ διδάγματα, οὕτω καὶ ἐνταῦθα. Τινὲς γὰρ γυναῖκες κουρικόν τινα κοσμοῦσαι, ἤτοι δίφρον τετράγωνον, ἁπλώσασαι ἐπ' αὐτόν ὀθόνην ἐν ἡμέρᾳ τινὶ φανερᾷ (12) τοῦ ἔτους, ἐν ἡμέραις τισὶν ἄρτον προτιθέασι, καὶ ἀναφέρουσιν εἰς ὄνομα τῆς Μαρίας. Αἱ πᾶσαι δὲ ἀπὸ τοῦ ἄρτου μεταλαμβάνουσιν· ὡς ἐν αὐτῇ τῇ εἰς τὴν Ἀραβίαν ἐπιστολῇ γράφοντες ἐκ μέρους περὶ τούτου διελέχθημεν. Νῦν δὲ σαφῶς τὰ περὶ αὐτῆς λέξομεν, καὶ τὰς κατ' αὐτῆς ἀνατροπάς, Θεὸν αἰτησάμενοι, κατὰ τὸ δυνατὸν παραθησόμεθα, ὅπως, τῆς εἰδωλοποιοῦ ταύτης αἱρέσεως τὰς ῥίζας ἐκτεμόντες, ἀπό τινων τὴν τοιαύτην λύσσαν καταλῦσαι ἐν Θεῷ δυνηθῶμεν.

A pertinet, quosnam, præter mulierculas, auctores ac patronos habet? Quod genus lubricum, et in errorem proclive, ac pusilli admodum et angusti animi esse solet. Per eas itaque diabolus evomuisse illud videtur, idemque hac in parte fecisse, quod per Quintillam, ac Maximillam, et Priscillam in ridiculis illis disseminandis erroribus præstiterat. Etenim mulieres quædam currum, sive sellam quadratam adornantes, ac linteo desuper extento, solemni tempore, per aliquot dies panem proponunt, et in Mariæ nomen offerunt. Tum ad unam omnes illo vescuntur. De quo in epistola illa, quam in Arabiam scripsimus, nonnihil disputavimus. Nunc vero accuratius singula prosequemur, et qua ratione convincenda sit, implorata Dei ope, pro virili demonstrabimus, ut hujus hæresis, quæ idololatriæ superstitione implicata est, succisis radicibus, tantam ex animis quorumdam insaniam ac rabiem divina ope facilius evellamus.

Β'. Ἄγε τοίνυν, Θεοῦ δοῦλοι, ἀνδρικὸν φρόνημα ἐνδυσώμεθα, γυναικῶν δὲ τούτων τὴν μανίαν διασκεδάσωμεν. Τὸ πᾶν γὰρ θήλεως ἡ ὑπόνοια, καὶ Εὔας πάλιν τῆς ἀπατωμένης τὸ νόσημα· μᾶλλον δ' ὅτι τοῦ ὄφεως, τοῦ ἐρεθιστικοῦ θηρὸς, καὶ τοῦ λαλήσαντος ἐν αὐτῇ ἡ τῆς πλάνης ὑπόσχεσις, μηδὲν εἰς μέσον φέρουσα, οὐδὲ τὰ ὑπισχνούμενα τελειοῦσα, ἀλλ' ἢ μόνον θάνατον ἀπεργαζομένη, τὰ μὴ ὄντα ὡς ὄντα καλοῦσα· καὶ διὰ τῆς ὁράσεως τοῦ ξύλου παρακοὴν ἐργαζομένη, καὶ ἀποστροφὴν ἀπ' αὐτῆς τῆς ἀληθείας, καὶ τοῦ ἐπὶ πολλὰ τρέπεσθαι. Νομίζειν δὲ ἔσται ὁποῖα ὁ ἀπατεὼν ἔσπειρε, λέγων· *Ἔσεσθε ὡς θεοί.* Οὕτω καὶ τούτων τὸ φρόνημα κεπφούμενον τῇ τοῦ προειρημένου θηρὸς ἐπάρσει· ἐφ' ᾗ φύσει πάλιν τὸν θάνατον ἐργάζεται, ὡς καὶ πολλάκις εἶπον. Πρῶτον μὲν γὰρ εὐθὺς διασκοπεῖν ἀπ' αἰῶνος καὶ δεῦρο· τίνι οὐ σαφές ἐστιν, ὅτι δαιμόνων ἐστὶ τὸ δίδαγμα, καὶ σχῆμα, καὶ ἠλλοιωμένον τὸ ἐπιχείρημα; Θεῷ μὲν ἀπ' αἰῶνος οὐδαμῶς γυνὴ ἱεράτευσεν, οὐκ αὐτὴ Εὔα, καίτοι γε ἐν παρεκβάσει γενομένη. Ἀλλ' οὐκ ἐτόλμησεν ἔτι ἀσεβὲς τοιοῦτον ἀποτελέσαι ἐπιχείρημα· οὐ μία τῶν ταύτης θυγατέρων· καίτοι γε τοῦ Ἄβελ εὐθὺς ἱερουργήσαντος Θεῷ, καὶ τοῦ Κάϊν θύσαντος ἐνώπιον Κυρίου θυσίας, ἀλλ' οὐ προσδεδεγμένας· Ἐνὼχ τε εὐαρεστήσαντος, καὶ μετατεθέντος· Νῶε δὲ προσενέγκαντος ἐκ τῶν τῆς κιβωτοῦ περισσευμάτων εὐχαριστηρίους προσφορὰς Κυρίῳ, εὐγνώμονος διαθέσεως ὑποδεικνύοντος τεκμήριον, ὁμολογοῦντος τὴν χάριν τῷ σεσωκότι. Ἀβραὰμ δὲ ὁ δίκαιος ἱερουργεῖ Θεῷ, καὶ Μελχισεδὲκ ὁ ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου, καὶ Ἰσαὰκ Θεῷ εὐρίσκεται, καὶ Ἰακὼβ κατὰ δύναμιν προσήνεγκεν ἐπὶ τοῦ λίθου, ἀπὸ τοῦ φακοῦ ἐπιχέας ἔλαιον. Οἱ τούτου δὲ υἱεῖς, Λευὶ μὲν εὑρίσκεται καθεξῆς ἱερωσύνην ἀναδεδεγμένος· ἐξ αὐτοῦ δὲ τοῦ γένους οἱ τὸ ἱερατικὸν τάγμα ἀναδεδεγμένοι· φημὶ δὲ Μωϋσῆς ὁ προφήτης καὶ ἱεροφάντωρ, Ἀαρών τε καὶ οἱ τούτου παῖδες, Ἐλεάζαρ τε καὶ Φινεὲς, καὶ Ἰθάμαρ ὁ τούτου ἔγγονος.

B II. Agite ergo, Dei famuli! viriles concipiamus animos, ut muliercularum istarum disturbemus amentiam. Nihil enim in toto illo dogmate præter muliebrem opinionem est, ac deceptæ rursus Evæ morbum; sive potius serpentis, incitatricis ad malum bestiæ, et cum ipsa colloquutæ mendax promissio, quæ nihil affert in medium, neque promissa perficit, sed mortem et exitium consciscit, dum ea quæ nusquam sint, tanquam vera et exsistentia nominat. Quin et illud efficit, ut ex arboris conspectu in Deum contumaces sint, et a veritate abhorrentes ad multa ac diversa traducantur. Cujusmodi vero semina fraudulentus ille jaciat, ex ejus verbis existimari potest: *Eritis*, inquit, *sicut dii* [1]. Atque C eodem plane modo bestiæ illius arrogantia atque fastu istorum spiritus efferuntur. Qua quidem superbia proprie, ut diximus, mortem illa conciliat. Nam ut ab antiquis temporibus ad hanc usque diem animo repetamus omnia, quis non videt dæmonum **1059** illam esse doctrinam ac speciem, et discrepantem ab recta ratione conatum? Nunquam enim, ex quo mundus conditus est, sacerdotio est functa mulier, ac ne Eva quidem ipsa: quæ, tametsi gravissimum delictum admiserit, tam impium facinus perpetrare nunquam ausa est, sed nec ulla filiarum illius: quanquam et Abel Deo subinde sacra fecerit, et Cainus coram Domino sacrificia minime tamen illi grata celebrarit; ut et Enoch, qui Deo placuit, et translatus est [2]. Noe vero ex iis, D quorum in arca copia redundabat, ad agendas gratias obtulit Deo, gratique animi significationem dedit, cum in illum, a quo servatus erat, memorem beneficii animum testatus est. Nam et Abrahamus ille justus Deo sacrificavit. Tum Melchisedecus sacerdos Dei altissimi [3], et Isaacus, qui Deo placuit: necnon et Jacobus, utcunque potuit sacra super lapidem offerens, e lenticula oleum infudit [4]. Cujus e liberis postea Levi sacerdotii dignitatem

[1] Gen. III, 5. [2] Gen. V, 22; Eccli. XLIV, 16. [3] Gen. XIV, 18. [4] Gen. XXVIII, 18.

(12) *Ἐν ἡμέρᾳ τινὶ φανερᾷ.* Φανερὸς idem est ac certus. Qua in significatione sæpe in Chalcedonensi concilio usurpari solet.

Digitized by Google

obtinuit : a quo deinceps propagati sunt, qui eumdem ordinem gradumque tenuerunt; quales fuere Moyses, propheta simul et sacrorum antistes, tum Aaron, et Aaronis filii, Eleazar, Phinees, et Ithamar hujus nepos. Quid autem eos omnes commemorare necesse est, qui in Vetere Testamento Deo sacrificasse leguntur? Quemadmodum Achitob inter cæteros, tum Coritæ, Gersonitæ, et Meraritæ, qui ex Levitarum ordine fuerunt. Ad hæc domus Eli [1], ejusque successores, qui ex ipsius cognatione in domo Abimelech et Abiathar exstiterunt, uti Chelcias, ac Buzi, usque ad Jesum magnum sacerdotem, et Esdram sacerdotem, etc. Nec unquam mulier sacerdotio functa legitur.

A Καὶ τί μοι τὰ πλήθη λέγειν τῶν ἱερουργησάντων Θεῷ ἐν Παλαιᾷ Διαθήκῃ; ὡς Ἀχιτὼβ εὑρίσκεται ἱερουργῶν, οἵ τε Κορῖται καὶ οἱ Γερσωνῖται, καὶ Μεραρῖται τὴν Λευϊτικὴν πεπιστευμένοι τάξιν. Ὅ τε οἶκος Ἠλεὶ καὶ οἱ μετ' αὐτὸν οἱ ἀπὸ τῆς συγγενείας αὐτοῦ ἐν τῷ οἴκῳ Ἀβιμέλεχ, καὶ Ἀβιάθαρ, Χελκίας τε καὶ Βουζεὶ, ἄχρι Ἰησοῦ τοῦ ἱερέως τοῦ μεγάλου, Ἔσδρα τε τοῦ ἱερέως, καὶ τῶν ἄλλων. Καὶ οὐδαμοῦ γυνὴ ἱεράτευσεν.

III. Atque ut ad Novum Testamentum accedamus, si sacerdotium mulieribus mandatum foret, aut cànonicum quiddam præstare in Ecclesia liceret, nulli potius quam Mariæ illud in Novo Testamento committi sacerdotis officium debuit; cui tantus honor est habitus, ut gremio sinuque suo regem omnium, ac cœlestem Deum, Deique Filium exciperet : cujus uterus, velut templum, ac domicilium ad divini Verbi incarnationem singulari est benignitate Dei magno ac stupendo mysterio præparatus. Verum longe Deo aliter est visum, ac ne baptizandi quidem potestas est illi facta, **1060** cum alioqui tingi ab illa Christus potius quam ab Joanne potuisset. Verum Joannes Zachariæ filius, post commissum sibi baptizandi munus, ad peccatorum condonationem, vitam in solitudine traduxit : cujus pater sacerdotium gessit, et sub horam suffitus visum huic oblatum est [2]. Post hæc Petrus, et Andreas, Jacobus, et Joannes, Philippus et Bartholomæus, Thomas, Thaddæus, et Jacobus Alphæi, et Judas Jacobi, et Simon Cananæus, et Matthias ad supplendos duodecim suffectus [3]; illi, inquam, omnes et apostoli delecti sunt, ac toto terrarum orbe sacram Evangelii functionem administrarunt [4], cum Paulo et Barnaba, ac cæteris : iidemque mysteriorum auctores atque conditores fuerunt, una cum Jacobo Domini fratre, primo Hierosolymorum episcopo, a quo ut et ab aliis, quos numeravimus, apostolis, episcoporum ac presbyterorum successiones sunt in domo Dei constitutæ. Nec inter illos tamen mulier ulla cooptata legitur. Erant quidem, ut Scriptura narrat, Philippo evangelistæ filiæ IV prophetissæ, non tamen sacerdotes [5]. Similiter et Anna prophetissa fuit Phanuelis filia [6], non tamen sacerdotio prædita. Quippe impleri istud oportebat, quod est scriptum : *Prophetabunt filii vestri, et filiæ vestræ somnia somniabunt, et adolescentes vestri visiones videbunt.* Quanquam vero diaconissarum in Ecclesia ordo sit, non tamen ad sacerdotii functionem, aut ullam ejusmodi administrationem institutus est, sed ut muliebris sexus honestati consulatur, sive ut baptismi tempore adsit, sive ut inspiciat si quid passa sit, aut molestiæ pertulerit, sive ut cum nudandum est mulieris corpus, interveniat : ne

Γ'. Ἐλεύσομαι δὲ καὶ εἰς τὴν Καινὴν Διαθήκην. Εἰ ἱερατεύειν γυναῖκες Θεῷ προσετάσσοντο, ἢ κανονικόν τι ἐργάζεσθαι ἐν Ἐκκλησίᾳ, ἔδει μᾶλλον αὐτὴν B τὴν Μαρίαν ἱερατείαν ἐπιτελέσαι ἐν Καινῇ Διαθήκῃ· τὴν καταξιωθεῖσαν ἐν κόλποις ἰδίοις ὑποδέξασθαι τὸν παμβασιλέα Θεὸν ἐπουράνιον, Υἱὸν τοῦ Θεοῦ· ἧς ἡ μήτρα, ναὸς γενομένη καὶ κατοικητήριον, εἰς τὴν τοῦ Κυρίου ἔνσαρκον οἰκονομίαν κατὰ φιλανθρωπίαν Θεοῦ καὶ ἔκπληκτον μυστήριον ἡτοιμάσθη. Ἀλλ' οὐκ εὐδόκησεν. Ἀλλ' οὐδὲ βάπτισμα διδόναι πεπίστευται· ἐπεὶ ἠδύνατο ὁ Χριστὸς μᾶλλον παρ' αὐτῇ βαπτισθῆναι ἢπερ παρὰ Ἰωάννου. Ἀλλὰ Ἰωάννης μὲν παῖς Ζαχαρίου ἐν τῇ ἐρήμῳ διετέλεσε βάπτισμα ἀφέσεως ἁμαρτιῶν πεπιστευμένος· ὁ δὲ τούτου πατὴρ Θεῷ ἱεράτευσε, καὶ τῇ ὥρᾳ τοῦ θυμιάματος ὀπτασίαν εἶδε. Πέτρος τε καὶ Ἀνδρέας, Ἰάκωβος, καὶ Ἰωάννης, Φίλιππος, καὶ Βαρθολομαῖος, Θωμᾶς, C Θαδδαῖος, καὶ Ἰάκωβος Ἀλφαίου, καὶ Ἰούδας Ἰακώβου, καὶ Σίμων ὁ Καναναῖος, καὶ Ματθίας ὁ εἰς πλήρωσιν τῶν δώδεκα ἐκλελεγμένος· οὗτοι πάντες ἐξελέγησαν ἀπόστολοι, καὶ κατὰ τὴν γῆν ἱερουργοῦντες τὸ Εὐαγγέλιον ἅμα Παύλῳ καὶ Βαρνάβᾳ, καὶ λοιποῖς, καὶ μυστηρίων ἀρχηγέται σὺν Ἰακώβῳ ἀδελφῷ τοῦ Κυρίου, καὶ πρώτῳ ἐπισκόπῳ Ἱεροσολύμων· ἐξ οὗπερ ἐπισκόπου καὶ τῶν προειρημένων ἀποστόλων κατεστάθησαν διαδοχαὶ ἐπισκόπων καὶ πρεσβυτέρων ἐν οἴκῳ Θεοῦ. Καὶ οὐδαμοῦ γυνὴ ἐν τούτοις κατεστάθη. Ἦσαν δὲ, φησὶ, τέσσαρες θυγατέρες Φιλίππῳ τῷ εὐαγγελιστῇ προφητεύουσαι, οὐ μὴν ἱερουργοῦσαι. Καὶ ἦν Ἄννα προφῆτις θυγάτηρ Φανουὴλ, ἀλλ' οὐχ ἱερατείαν πεπιστευμένη. Ἔδει γὰρ πληροῦσθαι τὸ, *Προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν, καὶ* D *αἱ θυγατέρες ὑμῶν ἐνυπνίοις ἐνυπνιασθήσονται, καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται.* Καὶ ὅτι μὲν διακονισσῶν (13) τάγμα ἐστὶν εἰς τὴν Ἐκκλησίαν, ἀλλ' οὐχὶ εἰς τὸ ἱερατεύειν, οὐδέ τι ἐπιχειρεῖν ἐπιτρέπειν, ἕνεκεν δὲ σεμνότητος τοῦ γυναικείου γένους, ἢ δι' ὥραν λουτροῦ, ἢ ἐπισκέψεως πάθους, ἢ πόνου, καὶ ὅτε γυμνωθεῖη σῶμα γυναίου, ἵνα μὴ ὑπὸ ἀνδρῶν ἱερουργούντων θεαθείη, ἀλλ' ὑπὸ τῆς διακονούσης, ἃ [7] ἐπιτάσσηται ὑπὸ τοῦ ἱερέως ἐπιμελεῖσθαι πρὸς τὴν ὥραν τῆς ἐπιδεομένης γυναικὸς ἐν τῇ ὥρᾳ τῆς τοῦ σώματος αὐτῆς γυμνώσεως, τοῦ τάγματος τῆς εὐταξίας, καὶ ἐκκλησιαστικῆς εὐνομίας ἐπιστη-

[1] I Reg. I, 3. [2] Luc. I, 5 sqq. [3] Act. I, 26. [4] Rom. XV, 16. [5] Act. XXI, 9. [6] Luc. II, 36. [7] F. ἡ. Ἃ.

(13) *Καὶ ὅτι μὲν διακονισσῶν.* De diaconissis in fine operis agetur.

Digitized by Google

μόνως ἐν μέτρῳ κανόνος σφόδρα ἠσφαλισμένης. Διὸ οὔτε ἐπιτρέπει ὁ θεῖος λόγος γυναικὶ ἐν ἐκκλησίᾳ λαλεῖν, οὔτε αὐθεντεῖν ἀνδρός. Καὶ πολλὰ ἔστι περὶ τούτου λέγειν.

tum ecclesiasticæ disciplinæ prudenter admodum Propterea ne loqui quidem in ecclesia mulieri [1], permittunt. Sed de hac tota re plura disputari

Δ'. Παρατηρητέον δὲ, ὅτι ἄχρι διακονισσῶν μόνον τὸ ἐκκλησιαστικὸν ἐπεδείθη τάγμα, χήρας τε ὠνόμασε, καὶ τούτων τὰς ἔτι γραοτέρας πρεσβύτιδας, οὐδαμοῦ δὲ πρεσβυτερίδας, ἢ ἱερίσσας προσέταξε. Καὶ γὰρ οὔτε διάκονοι ἐν τῇ ἐκκλησιαστικῇ τάξει ἐπιστεύθησάν τι μυστήριον ἐπιτελεῖν, ἀλλὰ μόνον διακονεῖν τὰ ἐπιτελούμενα. Πόθεν δὲ πάλιν ἡμῖν ὁ καινὸς μῦθος οὗτος ἐγήγερται; Πόθεν γυναικῶν τῦφος, καὶ μανία γυναικωνῖτις; Πόθεν τρεφομένη ἡ κακία διὰ τῆς πάλιν θήλεος, ἡμῖν τὸ θῆλυ τῆς ὑπονοίας τοῖς φρονήμασιν ἐπιχέουσα, τὸ σφέτερον ἡδυπαθείας ἐργαζομένη, ἀπὸ τοῦ προκειμένου ἔξω βαίνειν τὴν τάλαιναν τῶν ἀνθρώπων φύσιν ἐπιχειρεῖ ἀναγκάζειν; Ἀλλὰ μὴν τοῦ Ἰὼβ δεξώμεθα τὸ φρόνημα τὸ στερεὸν τοῦ ἀθλητοῦ, ἐξοπλισώμεθα τὴν δικαίαν ἀπόκρισιν ἐπὶ τοῖς χείλεσιν ἀναλαβόντες. Εἴπωμεν καὶ αὐτοί· *Ὥσπερ μία τῶν ἀφρόνων γυναικῶν ἐλάλησας.*

Πόθεν γὰρ οὐκ ἐμβρόντητον τὸ τοιοῦτον φανήσεται παντὶ τῷ σύνεσιν ἔχοντι, καὶ ἐν Θεῷ κεκτημένῳ; Πόθεν οὐκ εἰδωλοποιὸν τὸ ἐπιτήδευμα, καὶ τὸ ἐγχείρημα διαβολικόν; Προφάσει γὰρ δικαίου ἀεὶ ὑπεισδύνων τὴν διάνοιαν ὁ διάβολος τῶν ἀνθρώπων, τὴν θνητὴν φύσιν θεοποιῶν εἰς ὀφθαλμοὺς ἀνθρώπων, ἀνδροείκελα ἀγάλματα διὰ ποικιλίας τεχνῶν διέγραψε. Καὶ τεθνήκασι μὲν οἱ προσκυνούμενοι, τὰ δὲ τούτων ἀγάλματα μηδέποτε ζήσαντα (οὔτε γὰρ νεκρὰ δύναται γενέσθαι τὰ μηδέποτε ζήσαντα) προσκυνητὰ παρεισάγουσι, διὰ μοιχευσάσης διανοίας, ἀπὸ τοῦ ἑνὸς καὶ μόνου Θεοῦ· ὡς ἡ πολύκοινος πόρνη ἐπὶ πολλὴν ἀτοπίαν πολυμιξίας ἐρεθισθεῖσα, καὶ τὸ σῶφρον ἀποτριψαμένη τῆς τοῦ ἑνὸς ἀνδρὸς εὐνομίας. Ναὶ μὴν ἅγιον ἦν τὸ σῶμα τῆς Μαρίας· οὐ μὴν θεός. Ναὶ δὴ παρθένος ἦν ἡ Παρθένος καὶ τετιμημένη, ἀλλ' οὐκ εἰς προσκύνησιν ἡμῖν δοθεῖσα, ἀλλὰ προσκυνοῦσα τὸν ἐξ αὐτῆς σαρκὶ γεγεννημένον, ἀπὸ οὐρανῶν δὲ ἐκ κόλπων πατρῴων παραγενόμενον. Καὶ διὰ τοῦτο τὸ Εὐαγγέλιον ἐπασφαλίζεται ἡμᾶς, λέγον, αὐτοῦ τοῦ Κυρίου φήσαντος, ὅτι *Τί ἐμοὶ καὶ σοὶ, γύναι; Οὔπω ἥκει ἡ ὥρα μου.* Ἵνα ἀπὸ τοῦ, *Γύναι, τί ἐμοὶ καὶ σοί;* μή τινες νομίσωσι περισσότερον εἶναι τὴν ἁγίαν Παρθένον, γυναῖκα ταύτην κέκληκεν, ὡς προφητεύων, τῶν μελλόντων ἔσεσθαι ἐπὶ τῆς γῆς σχισμάτων τε καὶ αἱρέσεων χάριν· ἵνα μή τινες, ὑπερβολῇ θαυμάσαντες τὴν ἁγίαν, εἰς τοῦτο ὑποπέσωσι τῆς αἱρέσεως τὸ λῆρολόγημα.

usus est, quas in orbe terrarum olim excitandas

A virorum, qui sacris operantur, aspectui sit exposita, sed a sola diaconissa videatur; quæ sacerdotis mandato mulieris curam gerit, quo tempore vestibus exuitur. Qua in re cum ordinis illius modestiæ, ex Canonis præscripto est ac regula consultum, aut in viros auctoritatem habere sacræ Litteræ possunt.

IV. Illud vero diligenter observandum est, solum diaconissarum officium ad ecclesiasticum ordinem necessarium fuisse; ac viduas quidem nominatim expressas, et inter illas, quæ anus essent, **1061** presbytidas vocatas, nunquam presbyteridas aut sacerdotissas esse factas. Nam neque diaconis quidem ipsis ullum in ecclesiastico ordine sacramentum perficere conceditur, sed hoc duntaxat, ut eorum quæ perficiuntur, ministri sint. Undenam igitur recens illa nobis est excitata fabula? Unde hic mulierum fastus, vel muliebris potius furor? Unde vero nequitia illa, quam denuo mulier alit ac fovet, effeminatum istud dogma animis hominum instillans, ac libidinem suam exsequens, infelici generis humani naturæ vim inferre conatur, ut a proposito scopo desciscat? Sed nos Jobi spiritus illos animo capiamus, et athletæ fortissimi robore velut armis induamur, ac responso illius utamur: *Tanquam una e stolidis mulieribus locuta es* [2].

Etenim nonne furiosum illud ac vecordiæ plenum dogma videbitur iis qui divinitus accepta sapientia præditi sunt? Nonne institutum illud cum idololatria conjunctum, ac diabolicus conatus existimandus est? Nam diabolus sub justitiæ specie perpetuo hominum mentibus obrepens, ac mortalem naturam divinis honoribus consecrans, humanas effigies artificiorum varietate perpolitas hominum oculis objecit. Quare cum illi ipsi, qui adorantur, mortui sint, eorum tamen simulacra, quæ vitæ nihil unquam habuerunt (neque enim mortua dici possunt illa, quæ nunquam vita prædita fuerunt), adoranda proponunt, sic ut animus hominum ab uno soloque Deo nefario quodam adulterio desciscat: velut meretrix, quæ corpore suo quæstum faciens multiplicibus promiscuæ veneris stimulis agitur, et unius ac legitimi matrimonii castitatem repudiat. Sanctum erat Mariæ corpus, fateor: non tamen deus illa fuit. Eadem et virgo exstitit, minime tamen nobis ad adorandum proposita, sed eum adorans ipsum, qui e sua carne genitus, e cœlo ac paterno sinu descenderat. Quare sanctum quoque nos Evangelium præmunire voluit, in quo ita Christus loquitur: *Quid mihi et tibi, mulier? Nondum venit hora mea* [3]. Ubi idcirco mulierem appellavit: *Quid mihi*, inquit, *et tibi, mulier?* ne quis B. Virginem excellentioris alicujus esse naturæ crederet, eoque vocabulo quasi vaticinans ad ea schismata hæresesque refutandas

cognoverat: nemo ut sacrosanctæ Virginis vehementiori quadam admiratione permotus sese ad illius hæresis nugas ac deliria converteret.

[1] I Cor. XIV. 34. [2] Job II, 10. [3] Joan. II, 4.

Digitized by Google

V. Est enim tota ista narratio sane quam ridicula, et anicularum lucubratione digna. Etenim quanam in Scripturæ parte continetur? Quis prophetarum unquam vel hominem adorari, nedum mulierem permisit? Quanquam enim selectum quoddam vas atque eximium sit, nihilominus mulier est, ejusdemque cum cæteris naturæ, licet animo atque sensu amplissimis honoribus affecta sit; perinde ac reliquorum sanctorum corpora, aut si quid ad gloriam ac splendorem illustrius attulero. Quemadmodum Elias, qui ab ortu suo virginitatem perpetuo servavit, et in cœlum evectus est [1]. Ut Joannes postea, qui in pectus Domini recubuit [2], quem diligebat Jesus [3]. Ut sanctissima illa Thecla; cui tamen longe est anteponenda Maria, ob cœleste illud mysterium, quod in ejus utero perfectum est. Atqui nec Elias adorandus est, tametsi adhuc superstes sit; neque Joannes, licet precibus mortem suam admirabilem ac singularem effecerit, vel id potius divino sit beneficio consecutus. Sed nec Thecla, aut alius quispiam e sanctis adoratur. Non enim vetus nobis superstitio dominabitur, ut, vivo Deo derelicto, quæ ab eo fabricata sunt adorare velimus: *Servierunt*, inquit, *et venerati sunt creaturam potius quam Creatorem, et fatui reddili sunt* [4]. Nam si ne angelos quidem adorari permittit, quanto minus id Annæ filiæ tribui concesserit, quam illi e Joacimo Dei bonitas indulsit? quam precibus omnique animi studio ac contentione parens uterque promeruit? ita tamen ut non aliam quam cæteri mortales nascendi conditionem habuerit, sed, ut illi, e virili satu ac matris utero prodierit. Quamvis autem ex Mariæ historia ac traditione illud habeatur, Joacimo ejus patri divinitus hoc in deserto nuntiatum fuisse: « Uxor tua concepit; » non ita tamen accipiendum est, quasi hoc citra nuptialem consociationem ac virilem satum acciderit. Verum quod futurum erat, missus a Deo significavit angelus, ne qua dubitatio foret propter illud, quod revera in lucem editum et a Deo constitutum ac justo viro natum fuerat.

A Ε'. Χλεύης γάρ ἐστι τὸ πᾶν, καὶ γραῶν ὁ μῦθος, ὡς εἰπεῖν, τῆς αἱρέσεως τὸ διήγημα. Ποία δέ τις Γραφὴ διηγήσατο περὶ τούτου; Ποῖος προφητῶν ἐπέτρεψεν ἄνθρωπον προσκυνεῖσθαι, οὐ μὴν γυναῖκα λέγειν; Ἐξαίρετον μὲν γάρ ἐστι τὸ σκεῦος, ἀλλὰ γυνή, καὶ οὐδὲν τὴν φύσιν παρηλλαγμένη, τὴν δὲ γνώμην καὶ τὴν αἴσθησιν ἐν τιμῇ τετιμημένη, ὥσπερ τὰ σώματα τῶν ἁγίων, καὶ εἴ τι περισσότερον πρὸς δοξολογίαν εἴποιμι· ὡς Ἠλίας ἐκ μητρὸς παρθένος, καὶ οὕτω μένων εἰς τὸ διηνεκὲς, καὶ ἀναλαμβανόμενος, θάνατον δὲ οὐχ ἑωρακώς· ὡς ὁ Ἰωάννης, ὁ ἐπὶ τὸ στῆθος τοῦ Κυρίου ἀναπεσών, ὃν ἠγάπα ὁ Ἰησοῦς· ὡς Θέκλα ἡ ἁγία, καὶ Μαρία ἡ ἐπὶ ταύτης τιμιωτέρα δι' ἣν κατηξίωται οἰκονομίαν. Ἀλλ' οὔτε Ἠλίας προσκυνητὸς, καίπερ ἐν ζῶσιν B ὢν· οὔτε Ἰωάννης προσκυνητὸς, καίτοι γε διὰ ἰδίας εὐχῆς τὴν κοίμησιν αὐτοῦ ἐκπληκτον ἀπεργασάμενος, μᾶλλον δὲ ἐκ Θεοῦ λαβὼν τὴν χάριν· ἀλλ' οὔτε ἡ Θέκλα, οὔτε τις τῶν ἁγίων προσκυνεῖται. Οὐ γὰρ κυριεύσει ἡμῶν ἡ ἀρχαία πλάνη, καταλιμπάνειν τὸν ζῶντα, καὶ προσκυνεῖν τὰ ὑπ' αὐτοῦ γεγονότα· *Ἐλάτρευσαν γὰρ, καὶ ἐσεβάσθησαν τῇ κτίσει παρὰ τὸν κτίσαντα, καὶ ἐμωράνθησαν.* Εἰ γὰρ ἀγγέλους προσκυνεῖσθαι οὐ θέλει, πόσῳ μᾶλλον τὴν ἀπὸ Ἄννης γεγεννημένην, τὴν ἐκ τοῦ Ἰωακεὶμ τῇ Ἄννῃ δεδωρημένην, τὴν δι' εὐχῆς καὶ πάσης ἐπιμελείας κατὰ ἐπαγγελίαν πατρὶ καὶ μητρὶ δοθεῖσαν, οὐ μὲν ἑτέρως γεγεννημένην παρὰ τὴν τῶν ἀνθρώπων φύσιν, ἀλλὰ, καθὼς πάντες, ἐκ σπέρματος ἀνδρὸς καὶ μήτρας γυναικός; Εἰ γὰρ καὶ ἡ τῆς Μαρίας C ἱστορία, καὶ παραδόσεις ἔχουσιν, ὅτι ἐρρέθη τῷ πατρὶ αὐτῆς Ἰωακεὶμ ἐν τῇ ἐρήμῳ, ὅτι « Ἡ Γυνή σου συνειληφυῖα· » οὐχ ὅτι ἄνευ συζυγίας τοῦτο ἐγένετο, οὐδὲ ὅτι ἄνευ σπέρματος ἀνδρός· ἀλλὰ τὸ μέλλον ἔσεσθαι προεθέσπιζεν ὁ ἄγγελος· ἀποσταλείς, ἵνα μὴ τις γένηται δισταγμὸς διὰ τὸ ἐν ἀληθείᾳ γεγεννημένον, καὶ τὸ ἐκ Θεοῦ ἤδη τεταγμένον, καὶ τῷ δικαίῳ ἐπιγεγεννημένον.

1063 VI. Quin eidem rei sacras Litteras adstipulari videmus. Nam Isaias de Filio Dei sic vaticinatur: *Ecce virgo in utero concipiet, et pariet filium: et vocabunt nomen ejus Emmanuel* [5]. Et quoniam genitura virgo dicebatur, et utero mulieris gestandus D ille, cujus nomen idem sonat, ac *nobiscum Deus*, ne qua in prophetæ animo de rei veritate dubitatio resideret, oblatum sibi visum instigante Spiritu sancto propheta narravit: *Ingressus est*, inquit, *ad prophetissam* [6]. Quibus verbis Gabrielis introitum ad Virginem declarat, cujus in Evangelio fit mentio: qui quidem a Deo missus est, ut unici Dei Filii adventum in hunc mundum, et ortum ex Maria nuntiaret [7]. *Et concepit*, inquit, *et peperit filium. Et dixit Dominus ad me: Voca nomen ejus: Cito spolia detrahe, celeriter prædare. Antequam norit puer*

Ϛ'. Καὶ πάντη τὰς Γραφὰς ὁρῶμεν διηγουμένας. Ἡσαΐας γὰρ προκηρύττει περὶ τῶν μελλόντων εἰς τὸν Υἱὸν τοῦ Θεοῦ πληροῦσθαι, λέγων· *Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ.* Καὶ ἐπειδὴ παρθένος ἦν ἡ γεννήσασα, καὶ *Θεὸς ὁ μεθ' ἡμῶν* ἑρμηνευόμενος ἐν γυναικὶ κυϊσκόμενος· ἵνα μὴ ἐν διαταγμῷ ὑπονοίας τῷ προφήτῃ γένηται ἡ ἀλήθεια, ὁρᾷ ἐν ὁράσει, καὶ διηγεῖται ἐκ Πνεύματος ἁγίου ἀναγκαζόμενος ὁ προφήτης, καί φησι· *Καὶ εἰσῆλθε πρὸς τὴν προφῆτιν* διηγούμενος περὶ τῆς τοῦ Γαβριὴλ εὐαγγελικῆς εἰσόδου· ὃς ἀπεστάλη ὑπὸ Θεοῦ διηγήσασθαι τὴν μονογενοῦς Υἱοῦ τοῦ Θεοῦ εἴσοδον εἰς τὸν κόσμον, καὶ γέννησιν ἀπὸ Μαρίας. *Καὶ ἐν γαστρὶ ἔλαβε*, φησὶ, *καὶ ἔτεκεν υἱόν. Καὶ εἶπε Κύριος πρὸς μέ· Κάλεσον τὸ ὄνομα αὐτοῦ, Ταχέως σκύλευσον, ὀξέως προνό-*

[1] IV Reg. II, 11. [2] Joan. XIII, 23. [3] Joan. XXI, 20. [4] Rom. I, 25. [5] Isa. VII, 14. [6] Isa. VIII, 3. [7] Luc. I, 26 sqq. [8] F. ἔτι.

Digitized by Google

μευσον. Πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ, καὶ τὰ σκῦλα Σαμαρείας, καὶ τὰ ἑξῆς. Καὶ πάντα ταῦτα οὕπω ἦν τετελεσμένα· ἤμελλε δὲ τοῦτο γίνεσθαι ἐν τῷ Υἱῷ τοῦ Θεοῦ, καὶ πληροῦσθαι μετὰ χίλια ἔτη καὶ ἑξακόσια πλείω ἐλάσσω. Καὶ μετὰ τοσαύτας γενεὰς τὰ μέλλοντα, ὡς ἤδη γενόμενα, ἑώρα ὁ προφήτης. Ἆρα ψεῦσμα ἦν; μὴ γένοιτο! Ἀλλὰ ἀσφαλῶς τὸ παρὰ τοῦ Θεοῦ οἰκονομηθὲν, ὡς ἤδη τετελειωμένον, ἐκηρύττετο, ἵνα μὴ ἀπιστηθῇ ἡ ἀλήθεια· ἵνα μὴ εἰς δισταγμὸν ἔλθῃ ἢ ἐν ὑπονοίᾳ τοῦ προφήτου τὸ τοιοῦτον ἔκθαμβον καὶ ἔκπληκτον μυστήριον μέλλον ἔσεσθαι. Ἢ οὐχ ὁρᾷς αὐτὸ τὸ κήρυγμα τὸ ἐπιφερόμενον, ὡς λέγει αὐτὸς ὁ ἅγιος Ἡσαΐας· *Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη· καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος, οὕτως οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ. Τὴν δὲ γενεὰν αὐτοῦ τίς διηγήσεται; Ὅτι αἴρεται ἐκ τῆς γῆς ἡ ζωὴ αὐτοῦ· καὶ δώσω τοὺς πονηροὺς ἀντὶ τῆς ταφῆς αὐτοῦ*, καὶ τὰ ἑξῆς; Καὶ βλέπε, πῶς τὰ πρῶτα ὕστερα διηγεῖται, καὶ τὰ ὕστερα ὡς γεγονότα ἑρμηνεύει, φήσας· *Ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη*. Παρῳχημένον δὲ λέγεται εἶναι. Οὐ γὰρ εἶπεν, Ἄγεται. Καὶ οὕπω ἦν ἠχθεὶς ὁ ὑπὸ Ἡσαΐου κηρυττόμενος· ἐλέγετο δὲ τῷ προφήτῃ ὡς ἤδη γεγενημένον τὸ ἔργον. Ἀπαράβατος γὰρ ἦν ἡ Θεοῦ μυσταγωγία. Ἐξ αὐτῆς δὲ ὑποβαίνων, οὐκέτι ὡς γενόμενα ἔλεγεν, ἵνα μὴ πλάνην πάλιν ἀπεργάσηται. Ἀλλά φησιν, *Αἴρεται ἐκ τῆς γῆς ἡ ζωὴ αὐτοῦ*. Ἐκ δὲ τῶν δύο προφάσεων δείκνυσι τὴν ἀλήθειαν· ὅτι τὸ, *ἤχθη*, ἤδη ἐτελειοῦτο, καὶ τὸ, *αἴρεται*, μετέπειτα ἐπληροῦτο· ἵνα ἀπὸ τοῦ γεγονέναι νοήσῃς τὸ ἀληθὲς καὶ τὸ πάγιον τῆς τοῦ Θεοῦ ἐπαγγελίας. Ἀπὸ δὲ τοῦ μέλλοντος ἔσεσθαι τὸν χρόνον ἀπεικάσεις τῶν ἀποκαλυπτομένων μυστηρίων.

A *vocare patrem et matrem, occupabit vires Damasci et spolia Samariæ* [1], etc. Quæ omnia nondum impleta fuerant, atque in Filio Dei post annos circiter mille ac sexcentos perfici debebant. Quare quæ post tot generationes eventura olim erant, perinde ac si facta jam essent, propheta cernebat. Num igitur mendacium illud erat? Nequaquam. Verum quod divinæ providentiæ consilio gerendum et administrandum erat, quasi perfectum jam esset, certissime nuntiabatur, ne non veritati fides haberetur, neve ad tam stupendum et inusitatum mysterium, quod aliquando futurum erat, prophetæ animus hæsitaret. Nonne vaticinium illud animadvertis, quod deinceps subtexuit Isaias, cum ita loquitur. *Tanquam ovis ad occisionem ductus est; et ut agnus* B *coram tondente obmutuit, sic non aperit os suum. Generationem ejus porro quis enarrabit? Quoniam tollitur e terra vita ipsius; et dabo homines nequam pro sepultura ejus* [2]? Vides ut priora posteriore loco narret, et posteriora tanquam jam facta sint exponat? *Tanquam ovis*, inquit, *ad occisionem ductus est*: quod velut præteritum significatur. Non enim dixit: Ducetur. Atqui nondum ductus ille fuerat, de quo vaticinabatur Isaias: et tamen res ipsa tanquam perfecta a propheta proponitur. Nam mysteriorum illa prophetæ oblata divinitus institutio præterire aut infecta esse non poterat. At deinceps progressus cætera non jam velut facta pronuntiat, ne fraudis atque erroris præberetur occasio. **1064** Itaque, *Tollitur*, inquit, *e terra vita ipsius*. Cæterum C duobus illis argumentis, oraculi veritatem demonstrat. Nam hæc vox, *ductus est*, rem jam tum perfectam fuisse significat; illud vero, *tollitur*, postmodum est impletum; ut ex eo quod factum dicitur, divinæ pollicitationis veritatem ac stabilitatem intelligas. Ex eo vero quod futurum denuntiatur, de mysteriorum, quæ tum explicata sunt, tempore conjecturam facere possis.

Ζ'. Οὕτω καὶ ἐπὶ τῇ Μαρίᾳ ὁ ἄγγελος προέλεγεν, ὅπερ ἤμελλεν εἰσερχόμενος ὁ πατὴρ ταύτης εἰς τὸν οἶκον τὸν ἴδιον παρὰ Θεοῦ κομίζεσθαι, τὸ δι' εὐχῆς αἰτηθὲν διὰ τῆς τοῦ πατρὸς καὶ μητρὸς αἰτήσεως· ὅτι « Ἰδοὺ ἡ γυνή σου συνειληφυῖα ἐν γαστρί· » ἵνα βεβαίως περαιώσῃ τὴν διάνοιαν τοῦ πατρὸς ἐν τῇ ἐπαγγελίᾳ. Τοῦτο δὲ γέγονέ τισιν εἰς πλάνην. Ἀδύνατον γὰρ τινα παρὰ τὴν τῶν ἀνθρώπων φύσιν ἐπὶ τῆς γῆς γεννᾶσθαι. Μόνῳ γὰρ διέπρεψεν αὐτῷ· μόνῳ παρεχώρησεν ἡ φύσις. Οὕτως, ὡς πλάστης καὶ ἐξουσιαστὴς τοῦ πράγματος, ἑαυτὸν ἀπὸ Παρθένου ὥσπερ ἀπὸ τῆς γῆς ἀνεπλάσατο, Θεὸς ἀπ' οὐρανῶν ἐλθών, σάρκα ἐνδυσάμενος ὁ Λόγος ἐξ ἁγίας Παρθένου· οὐ μὴν δὲ προσκυνουμένης τῆς Παρθένου· οὐδὲ ἵνα Θεὸν ταύτην ἀπεργάσηται· οὐχ ἵνα εἰς ὄνομα αὐτῆς προσενέγκωμεν· οὐχ ἵνα γυναῖκας πάλιν ἱερείας μετὰ τοσαύτας γενεὰς ἀποδείξῃ. Οὐκ εὐδόκησεν ὁ Θεὸς τοῦτο ἐν Σαλώμῃ γενέσθαι, οὐκ ἐν αὐτῇ τῇ Μαρίᾳ. Οὐκ ἐπέτρεψεν αὐτῇ δοῦναι βάπτισμα, οὐκ εὐλογῆσαι μαθητάς. Οὐ τὸ ἄρχειν ἐπὶ τῆς γῆς ἐκέλευσεν, ἢ μόνον ἁγίασμα αὐτὴν εἶναι, καὶ καταξιωθῆναι τῆς αὐτοῦ

VII. Sic de Maria prædixit angelus, eaque significavit, quæ illius pater domum reversus a Deo consecuturus esset; quæ nimirum uterque parens summis a Deo precibus postularet. « Ecce, inquit, uxor tua concepit in utero; » ut his verbis fidelis hominis mentem in hujus promissi fide corroboraret: quod ipsum tamen fraudi nonnullis fuit. Atqui fieri non potest, ut quis præter communem hominum naturam nascatur in terris. Uni hoc conveniebat illi; uni natura cessit. Hic, inquam, velut artifex ac dominus, semetipsum e Virgine, tanquam e terra, formavit: Deus e cœlo descendens, D Verbum e Virgine susceptum corpus induens; non ideo tamen, ut hæc adorari debeat, aut ut eam divinam ad naturam conditionemque transferat, neque ut sacrificium illius in nomen offeratur, neque tanto intervallo mulieres sacerdotes instituantur. Hoc ne in Salome quidem fieri voluit Deus, nec in Maria. Non ei baptizandi potestatem fecit, non discipulis benedicere, non in terris præesse mandavit; sed hoc unum voluit, ut sanctum quid et

[1] Isa. VIII, 3 sqq. [2] Isa. LIII, 7 sqq.

Digitized by Google

consecratum esset, ac cœleste regnum adipisceretur. Sed nec illi, quæ Rufi mater appellatur, eum honoris gradum detulit : neque mulieribus aliis, quæ e Galilæa secutæ fuerant [1]; neque Marthæ Lazari ac Mariæ sorori; non ulli denique sanctarum, quæ salutem illius adventu promeruerunt, quæque ipsi de suis fortunis necessaria subministrabant. Neque porro Chananææ mulieri [2], vel ei, quam sanguinis profluvio liberarat, vel alicui omnino in tertis feminæ dignitatem illam attribuit. Quæ cum ita sint, unde nobis draco iste volubilis emersit? cur obliqua callidaque consilia renovantur? Honoretur sane Maria : Pater vero, Filius et Spiritus sanctus adorentur; Mariam adorare nemo velit. **1065** Non enim mulieri, ac ne viro quidem, sed uni Deo mysterium illud cultusque tribuitur : adeo ut nec angeli ipsi tanto honori pares esse videantur. Deleantur itaque, quæ in miserorum hominum cordibus male sunt inscripta. Exstinguatur penitus malus ille fetus ad infelicem arborem conceptus. Convertatur opus ipsum ad Dominum conditoremque suum. Evam cum Adamo conjuge ad Deum solum venerandum pudor tandem aliquando compellat; neve serpentis vox illam decipiat, sed in Dei mandato persistat : *De ligno ne comedas* [3]. Quanquam in arbore ipsa nequaquam error fuit, sed per arborem contumaciæ error admissus est. Perinde igitur nemo errorem illum degustet, qui Mariæ occasione conflatus est. Licet enim pulcherrima arbos esset, non optima fuerit, ac sancta, et honore dignissima, non tamen ad cibum constituta. Ita quamvis Maria vel idcirco tamen adoratione prosequenda.

A βασιλείας. Οὐ τὴν καλουμένην (14) μητέρα Ῥούφου· οὐ τὰς ἀκολουθησάσας ἀπὸ Γαλιλαίας· οὐ τὴν Μάρθαν τὴν ἀδελφὴν Λαζάρου καὶ Μαρίας· οὗ τινα τῶν ἁγίων γυναικῶν καταξιωθεισῶν ὑπὸ τῆς αὐτοῦ παρουσίας σωθῆναι, ἐξυπηρετησαμένων αὐτῷ ἐκ τῶν ἰδίων ὑπαρχόντων· οὐ τὴν γυναῖκα τὴν Χανανῖτιν· οὐ τὴν αἱμορρόουσαν καὶ σεσωσμένην, οὗ τινα τῶν ἐπὶ τῆς γῆς γυναικῶν τοῦτο ποιεῖν προσέταξε τὸ ἀξίωμα. Πόθεν τοίνυν πάλιν ἡμῖν κυκλοδράκων; πόθεν ἀνακαινίζεται τὰ σκολιὰ βουλεύματα; Ἐν τιμῇ ἔστω Μαρία· ὁ δὲ Πατήρ, καὶ Υἱὸς, καὶ Ἅγιον Πνεῦμα προσκυνείσθω· τὴν Μαρίαν μηδεὶς προσκυνείτω. Οὐ λέγω γυναικί, ἀλλ' οὐδὲ ἀνδρί, Θεῷ προστέτακται τὸ μυστήριον. Οὔτε ἄγγελοι χωροῦσι δοξολογίαν τοιαύτην. Ἐξαλειφέσθω τὰ κακῶς γραφέντα ἐν καρδίᾳ τῶν B ἠπατημένων· ἀμαυρούσθω ἐξ ὀφθαλμῶν τὸ ἐγκίσσημα τοῦ ξύλου· ἐπιστρέψῃ πάλιν τὸ πλάσμα πρὸς τὸν Δεσπότην. Ἐντρεπέσθω Εὔα μετὰ τοῦ Ἀδὰμ Θεὸν τιμᾷν μόνον· μὴ ἀγέσθω τῇ τοῦ ὄφεως φωνῇ· ἀλλ' ἐμμενέτω τῇ τοῦ Θεοῦ προστάξει· *Μὴ φάγῃς ἀπὸ τοῦ ξύλου.* Καὶ ἦν τὸ ξύλον οὐ πλάνη. ἀλλὰ διὰ τοῦ ξύλου γέγονεν ἡ παρακοὴ τῆς πλάνης. Μὴ φαγέτω τις ἀπὸ τῆς πλάνης τῆς διὰ Μαρίαν τὴν ἁγίαν. Καὶ γὰρ, εἰ καὶ ὡραῖον τὸ ξύλον, ἀλλ' οὐκ εἰς βρῶμα. Καὶ εἰ καλλίστη ἡ Μαρία, καὶ ἁγία, καὶ τετιμημένη, ἀλλ' οὐκ εἰς τὸ προσκυνεῖσθαι.

VIII. Quamobrem hujus sectæ mulieres illud denuo offerendum fortunæ poculum instaurant, ac dæmoni, non Deo, mensam instruunt, uti scriptum est; ac cibis impiis vescuntur : id quod sacræ Litteræ testantur : *Mulieres subigunt farinam, et filii colligunt ligna, ut faciant placentas militiæ cœli* [4]. Ejusmodi mulierculis Jeremias os obstruat; nec amplius terrarum orbem conturbent, neve istud jactitent : *Cœli reginam honoramus* [5]. Novit Taphnes quemodmodum ulciscendæ illæ sint. Novit Magdalorum regio abjecta illarum cadavera ad putrefaciendum excipere. Noli, o Israel, mulieri fidem adhibere. Revoca te a pravæ mulieris consilio. Siquidem mulier pretiosas virorum animas captat. Hujus pedes eos, quibuscum consuescit, cum morte ad inferos deducunt : malæ mulierculæ D aurem animumque ne præbeas : *Mel enim e labiis meretricis destillat* [6] : quod brevissimo tempore guttur tuum leniens, postea felle amarius invenies, et ancipiti gladio magis exactum. Cave igitur malæ huic mulierculæ fidem adhibeas. Omnis enim hæresis mala mulier est; sed multo mulierum hæ-

C Η'. Αὗται δὲ πάλιν ἀνακαινίζουσι τῇ τύχῃ τὸ κέρασμα, καὶ ἑτοιμάζουσι τῷ δαίμονι, καὶ οὐ Θεῷ, τὴν τράπεζαν, κατὰ τὸ γεγραμμένον· καὶ σιτοῦνται σῖτα ἀσεβείας, ὡς φησιν ὁ θεῖος λόγος· *Καὶ αἱ γυναῖκες ἐρίθουσι σταῖς, καὶ οἱ υἱοὶ συλλέξουσι*[7] *ξύλα ποιῆσαι χαυῶνας τῇ στρατείᾳ τοῦ οὐρανοῦ.* Φιμούσθωσαν ὑπὸ Ἱερεμίου αἱ τοιαῦται γυναῖκες, καὶ μὴ θορυβείτωσαν τὴν οἰκουμένην· μὴ λεγέτωσαν· *Τιμῶμεν τὴν βασίλισσαν τοῦ οὐρανοῦ.* Οἶδε γὰρ Ταφνὰς ταύτας τιμωρεῖσθαι. Οἴδασιν οἱ τόποι Μαγδούλων (15) τούτων τὰ σώματα ὑποδέχεσθαι εἰς σῆψιν. Μὴ πείθου, Ἰσραὴλ, γυναικί· ἀνάκυπτε ἀπὸ κακῆς γυναικὸς συμβουλίας. Γυνὴ γὰρ τιμίας ψυχὰς ἀνδρῶν ἀγρεύει. Ταύτης γὰρ οἱ πόδες πρὸς χρωμένους μετὰ τοῦ θανάτου ἄγουσιν εἰς τὸν ᾅδην. Μὴ πρόσεχε φαύλῳ γυναικίῳ. *Μέλι γὰρ ἀποστάζει ἀπὸ χειλέων γυναικὸς πόρνης*· ὃ πρόσκαιρον λιπαίνει σὸν φάρυγγα, ὕστερον μέντοι πικρότερον χολῆς εὑρήσει, καὶ ἠκονημένον μᾶλλον μαχαίρας διστόμου. Μὴ πείθου ταύτῃ τῇ γυναικὶ τῇ φαύλῃ. Πᾶσα γὰρ αἵρεσις φαύλη γυνή· πλέον δὲ ἡ τῶν γυναικῶν αἵρεσις αὕτη, καὶ ἡ τοῦ ἀπατήσαν-

[1] Luc. XXIII, 55. [2] Matth. XV, 22.; Luc. VIII, 43. [3] Gen. II, 17. [4] Jerem. VII, 18. [5] Jerem. XLIV, 25. [6] Prov. V, 3 sqq. [7] Cor. συλλέγ.

(14) *Οὐ τὴν καλουμένην.* Hujus Rufi matris meminit Paulus ad Rom. XVI, 13 : *Salutate Rufum electum in Domino, et matrem ejus, et meam.*

(15) *Οἴδασιν οἱ τόποι Μαγδούλων.* Cornarius inepte : *Noverunt loci horum ædificiorum corpora suscipere ad putrefactionem.* Loci enim proprium nomen est Μάγδουλα. Atque hoc jampridem Leopardus animadvertit lib. XIX *Emend.*, cap. 2. Qui quidem nescio quid cogitans pro σῆψιν, mavult σέψιν, hoc est *adorationem* et *cultum*. Quod ab hujus loci sensu tam alienum est, nihil ut magis esse possit.

Digitized by Google

τος τὴν πρώτην γυναῖκα. Τιμάσθω ἡ μήτηρ ἡμῶν Εὔα, ὡς ἐκ Θεοῦ πεπλασμένη· μὴ ἀκουέσθω δὲ, ἵνα μὴ πείσῃ τὰ τέκνα φαγεῖν ἀπὸ τοῦ ξύλου, καὶ ἐντολὴν παραβῆναι. Μετανοείτω δὲ καὶ αὕτη ἀπὸ κενοφωνίας. Ἐπιστρεφέτω αἰσχυνομένη, καὶ φύλλα συκῆς ἐνδυομένη. Κατανοείτω δὲ αὐτὴν καὶ ὁ Ἀδὰμ, καὶ μηκέτι αὐτῇ πειθέσθω. Ἡ γὰρ πλάνης πειθὼ, καὶ γυναικὸς εἰς τὸ ἐναντίον συμβουλία, θάνατον τῷ ἰδίῳ συζύγῳ ἐργάζεται· οὐ μόνον δὲ, ἀλλὰ καὶ τοῖς τέκνοις. Κατέστρεψε τὸ πλάσμα Εὔα διὰ τῆς παραβάσεως, ἐρεθισθεῖσα διὰ τῆς τοῦ ὄφεως φωνῆς καὶ ἐπαγγελίας, πλανηθεῖσα ἀπὸ τοῦ κηρύγματος, καὶ ἐφ' ἑτέραν βαδίσασα διάνοιαν.

A resis illa magis, quæ ab eo, a quo prima decepta mulier est, manavit. Evæ igitur matri nostræ honor habeatur, utpote quæ a Deo producta sit; sed ei nequaquam obtemperetur, ne liberis suis persuadeat, ut ex arbore vescantur ac mandatum violent. At illam quoque vanissimæ illius vocis pœniteat. Redeat ad mentem præ verecundia, et ficulneis foliis induatur [1]. Quin et Adamus illam agnoscat, **1066** nec amplius morem gerat. Quippe frandes, blanditiæ et contrarium mulieris consilium mortem conjugi pariter ac soboli consciscunt. Nam Eva per contumaciam suam divinum opificium evertit, cum serpentis voce ac promissis illecta, ab sano dogmate deflectens, aliam ad mentem sese transtulit.

Θ'. Διὰ τοῦτο ὁ πάντων Δεσπότης καὶ Σωτὴρ, βουλόμενος θεραπεῦσαι τὸ ἄλγος, καὶ οἰκοδομῆσαι τὸ κατεστραμμένον, καὶ διορθώσασθαι τὸ ἠλαττωμένον, ἐπειδὴ ἀπὸ γυναικὸς ὁ θάνατος εἰς τὸν κόσμον κατῆλθεν, ἐκ γυναικὸς παρθένου αὐτὸς ἐγεννήθη, ἵνα τὸν θάνατον ἐκκλείσῃ, καὶ τὸ ἐλλεῖπον πληρώσῃ, καὶ τὸ ἠλαττωμένον τελειώσῃ. Στρέφεται δὲ ἡμῖν πάλιν ἡ κακία, ἵνα τὸ ἐλάττωμα εἰς τὸν κόσμον προαγάγῃ. Ἀλλ' οὔτε νέοι, οὔτε γέροντες πείθονται τῇ γυναικὶ διὰ τὴν ἄνωθεν σωφροσύνην. Οὐ παίζει ἡ Αἰγυπτία τὸν σώφρονα Ἰωσὴφ, οὔτε παρεκτρέπει· καίτοι γε διὰ πολλῆς μηχανίας ἐργασαμένη τὸ δεινὸν πρὸς τὸν παῖδα τῆς συμβουλίας. Ἀλλ' οὐ παίζεται ἄνθρωπος ἐκ Πνεύματος ἁγίου λαβὼν τὴν φρόνησιν. Οὐ τὸ σῶφρον ἀφανίζει, ἵνα μὴ τὴν εὐγένειαν κατευτελίσῃ· καταλιμπάνει τὰ ἱμάτια, καὶ τὸ σῶμα οὐκ ἀπόλλυσιν· ἀποδιδράσκει τὸν τόπον, ἵνα μὴ πέσῃ τῇ παγίδι· πρὸς καιρὸν τιμωρεῖται, εἰς τὸν αἰῶνα βασιλεύει· ἐν δεσμωτηρίῳ βάλλεται, ἀλλ' αἱρετὸν ἐν φυλακῇ καταμένειν, καὶ ἐν γωνίᾳ ὑπαίθρου, ἢ μετὰ γυναικὸς μαχίμου καὶ γλωσσώδους. Καὶ πόσα ἔστι λέγειν! Ἤτοι γὰρ ὡς αὐτὴν προσκυνοῦντες τὴν Μαρίαν, αὐτῇ προσφέρουσι τὴν κολλυρίδα αἱ ἀργαὶ αὗται γυναῖκες· ἢτοι ὑπὲρ αὐτῆς προσφέρειν ἐπιχειροῦσι τὴν προειρημένην ταύτην σαθρὰν κάρπωσιν· τὸ πᾶν ἐστιν ἠλίθιον καὶ ἀλλότριον, καὶ ἐκ δαιμόνων κινήσεως, φρύαγμά τε καὶ ἀπάτη.

IX. Propterea Dominus omnium ac Salvator, ut ei dolori mederetur, et quod eversum erat instauraret, quod defecerat restitueret, quandoquidem mors in mundum a muliere derivata fuerat, e muliere virgine natus est, quo et mortem excluderet, et quod mancum erat suppleret, et quod imminutum perficeret. Porro eadem iterum nequitia revolvitur: ut vitium ac defectum in orbem terrarum invehat. Sed mulieri neque juvenes, neque senes, propter eam qua divinitus præditi sunt temperantiam, obsequuntur. Non illudit Ægyptia mulier castissimo Josepho [2], nec a recta mente deducit, quamvis omnes adhibeat machinas, quo detestandum in adolescentem consilium exsequatur. Verum ludificari eum nemo potest, qui a Spiritu sancto prudentiam acceperit. Proinde neque castimoniam suam eripi sibi patitur, ne nobilitati suæ ignominiam imponat; vestimenta relinquit, et corporis jacturam non facit; locum illum deserit, ne in laqueum incidat; pœnas luit ad tempus, sed in æternum regnat; in carcerem conjicitur, sed multo optabilius est in custodia manere, et in angulo sub dio, quam cum muliere contentiosa et loquaci [3]. Quam multa porro adversus illam hæresin disputari possunt! Nam aut Mariam ipsam adorantes collyridem huic otiosæ mulieres offerunt; aut pro ipsa absurdam illam et ridiculam oblationem instituunt. Utrumque vero stolidum est, et a dæmone profectum nihil præter ostentationem fraudemque continet.

Ἵνα δὲ μὴ παρεκτείνωμαι τῷ λόγῳ, ἀρκέσει τὰ εἰρημένα ἡμῖν. Ἡ Μαρία ἐν τιμῇ, ὁ Κύριος προσκυνείσθω. Οὐδενὶ γὰρ ἐργάζονται οἱ δίκαιοι πλάνην. *Ἀπείραστος γάρ ἐστιν ὁ Θεὸς κακῶν*· πειράζει δὲ αὐτὸς οὐδένα, οὐδὲ οἱ αὐτοῦ δοῦλοι, πρὸς ἀπάτην. *Ἕκαστος δὲ πειράζεται ἐκ τῆς ἰδίας ἐπιθυμίας ἐξελκόμενος καὶ δελεαζόμενος. Εἶτα ἡ ἐπιθυμία τίκτει ἁμαρτίαν. Ἡ δὲ ἁμαρτία ἀποτελεσθεῖσα ἀποκυεῖ θάνατον.*

Ἱκανῶς δὲ ἔχειν περὶ πάντων τούτων νομίσαντες, ἀγαπητοὶ, καὶ ταύτην, ὡς εἰπεῖν, τὴν καν-θαρίδα, τὴν τῷ εἴδει μὲν χρυσίζουσαν, πτερω-

Ne sim longior, quæ sunt hactenus dicta sufficient. Maria in honore sit, Dominus adoretur. Nam justi nemini erroris occasionem præbent. *Deus enim neque malis tentatur* [4], nec ullum ipse, vel ejus servi circumveniendi causa tentant: *Unusquisque vero a propria concupiscentia tentatur abstractus* **1067** *et illectus. Deinde concupiscentia peccatum parit. Peccatum vero, cum consummatum fuerit, generat mortem* [5].

Quamobrem cum hucusque satis de iis omnibus disputatum a nobis arbitremur, posteaquam cantharidem, ut ita dicam, istam, colore fulvo, alis

[1] Gen. III, 7. [2] Gen. XXXIX, 7 sqq. [3] Prov. XXI, 9. [4] Jac. I, 13. [5] ibid. 14, 15.

Digitized by Google

præditam ac volantem, sed virulentam in primis ac letiferi veneni plenam, veritatis oratione protrivimus, ad aliam, quæ una postremaque superest, transeamus: Deum in primis obtestantes, ut et ad veritatis consectanda vestigia, et ad contrariam factionem penitus amoliendam, suam nobis opem impertiat.

CONTRA MASSALIANOS,

Quibus accedunt Martyriani e gentilium numero, necnon et Euphemitæ et Sataniani, hæresis LXVIII, sive LXXX.

I. Nec impudentia satiari, nec expleri stultitia potest; sed in omnia cogitationem et animum intendit suum, ac velut hianti ore in id incumbit, ut Adami Noemique stirpem labefactet, dum et pudorem ac pudicitiam variis modis exterminat, et meretriciam indolem in iis, quos lædere aggreditur, non una ratione disseminat. Etenim post superiores illas hæreses stolida quædam ac vecordia plenissima alia nobis emersit, ridicula illa quidem, nec ullo modo cohærens, e viris pariter et infelicibus mulierculis conflata. Massalianos illos vocant, quæ vox *orantes* significat. Hi aliquot abhinc annis prodire cœperunt, sub Constantii fere imperatoris tempus. Secundum quos Euphemitæ coorti sunt, qui et Massaliani vocantur, quos credibile est priores illos imitari studuisse. Verum isti quidem e gentilibus profecti, neque Judæorum sectam, neque Christianorum amplexi sunt, nec inter Samaritanos censentur, sed gentiles omnino

[1] Seg. ἐπτερωμένην. [2] F. φύσει.

(16) *Μασσαλιανοὶ δὲ οὗτοι καλοῦνται.* Theodoretus lib. IV *Histor.*, cap. 10. et lib. IV *Contra hæreses*, Μασσαλιανούς Græce Εὐχίτας appellari scribit et Ἐνθουσιαστάς, quod afflatu dæmonis correpti vim illam esse Spiritus sancti mentirentur. Iidem et *Adelphiani* ab Adelphio, quem Flavianus Antiochenus damnavit, et Εὐφημῖται. Vide Theodoretum et Photium, num. 52. Qui in concilio Side in Pamphylia celebrato condemnatos esse dicit, pluraque ad idem institutum refert. Origo vero appellationis illius ab Hebraica voce deducitur. Nam צלא est orare, preces fundere. Unde מצלין οἱ εὐχόμενοι. Ac proinde Μασσαλιανὸς per ε, quæ est forma Benoni.

(17) *Ἦσαν δὲ πρὸ χρόνου τινός.* Duplex Massalianorum genus distinguitur; nam alii erant antiquiores merique gentiles; alii ab istis propagati Christianum nomen usurpabant. De superiorum vetustate certo pronuntiari non potest: nam Epiphanii locus iste ambiguitate non vacat, quæ in interpunctione consistit. Etenim suspicari possumus ita hæc esse continuanda: Ἦσαν δὲ πρὸ χρόνου τινὸς ὡς ἀπὸ τῶν καιρῶν Κωνσταντίου, καὶ δεῦρο ἄλλοι πάλιν Εὐφημῖται. Atque hoc pacto priores, qui et gentiles, Constantii fere temporibus prodierint; alteri vero, tanquam istorum propagines, paulo antequam hæc Epiphanius commentaretur, emerserant. Verum cum non modo Frobeniana editio, sed etiam calamo exarati codices, atque ipsa Cornarii interpretatio ante vocem ἄλλοι, et post δεῦρο, interpunctionem adhibeant, existimandum est alteros istos, qui inter gentiles potius numerandi sunt, quorumque ad similitudinem posteriores expressi sunt, vetustiores exstitisse; ac tum demum sub Constantii tempora semichristianos illos exortos fuisse. Theodoretus in *Histor.*

A τὴν δὲ, ὡς εἰπεῖν, καὶ πετομένην[1], ἰοβόλον οὖσαν, καὶ δηλητήριον ἐν ἑαυτῇ κεκτημένην, τῷ λόγῳ τῆς ἀληθείας συντρίψαντες, ἐπὶ τὴν ἔτι μίαν περιλειφθεῖσαν ἰωμεν πάλιν, Θεὸν ἐπικαλούμενοι παραστῆναι εἰς τὸ τὰ τῆς ἀληθείας ἰχνηλατεῖν μέρη, καὶ κατὰ τῆς ἐναντιότητος τὴν ἀποτροπὴν τελείαν ἐργάσασθαι.

ΚΑΤΑ ΜΑΣΣΑΛΙΑΝΩΝ,

Οἳς συνάπτονται Μαρτυριανοὶ, ἐξ Ἑλλήνων ὄντες, καὶ Εὐφημῖται, καὶ Σατανιανοὶ, ἑξηκοστὴ ὀγδόη, ἢ καὶ ὀγδοηκοστή.

Α'. Κόρον οὐκ ἔχει ἡ ἀναισχυντία, οὐδὲ πλησμονὴν ἡ ἀφροσύνη· ἀλλ' ἐπὶ πάντα ἥπλωσεν ἑαυτῆς τὸν λογισμὸν, καὶ κέχηνε τὸ στόμα, τοῦ λυμήνασθαι τὰ τοῦ Ἀδὰμ καὶ Νῶε σπέρματα, διαφόρως τὸ σῶφρον ἀποτριβομένη, καὶ τὸ πορνικὸν φρόνημα πολυτρόπως B τοῖς ἀδικουμένοις ὑποσπείρουσα. Φασὶ[2] γὰρ μετὰ ταύτας πάλιν τὰς αἱρέσεις μωρά τις καὶ πάσης ἀφροσύνης ἔμπλεως ἐπανέστη ἡμῖν ἑτέρα τις, γελοῖος μὲν ὅλη, ἀσύστατον ἔχουσα τὸ φρόνημα, καὶ ἀνδρῶν καὶ γυναικῶν ἠπατημένων. Μασσαλιανοὶ δὲ οὗτοι καλοῦνται (16), ἑρμηνευόμενοι *εὐχόμενοι*. Ἦσαν δὲ πρὸ χρόνου τινὸς (17), ὡς ἀπὸ τῶν καιρῶν Κωνσταντίου καὶ δεῦρο. Ἄλλοι πάλιν Εὐφημῖται, εἴτουν Μασσαλιανοὶ καλούμενοι, ἐξ ἧς τάχα οἶμαι καὶ αὕτη τὸν μιμηλὸν ζῆλον ἔσχεν. Ἀλλ' ἐκεῖνοι μὲν ἐξ Ἑλλήνων ὡρμῶντο, οὔτε Ἰουδαϊσμῷ προσανέχοντες, οὔτε Χριστιανοὶ ὑπάρχοντες, οὔτε ἀπὸ Σαμαρειτῶν, ἀλλὰ μόνον Ἕλληνες ὄντες ὅθεν· καὶ θεοὺς μὲν λέγοντες, μηδενὶ μηδὲν προσκυνοῦντες (18), ἑνὶ δὲ μόνον

C *eccles.*, imperatoribus Valentiniano et Valente Massalianos prodiisse scribit: in quo ab Epiphanio non discrepat. Hic enim ὡς ἀπὸ τῶν καιρῶν Κωνσταντίου, πλατυκῶς καὶ ἀπορητικῶς scribit: quod ad initia Valentiniani potest extendi. Quodsi prior interpungendi ratio magis arrideat, tum ita conciliari ista poterunt: ut Massaliani superiores Constantii, posteriores Valentiniani temporibus ortum habuerint.

Josephus Scaliger *Elenchi* cap. 28, Massalianos *Essæos* appellatos esse putat, et ab iis Massalianorum propagatam hæresin. Nam Esseni Ἱκέται apud Philonem et Eusebium nominantur. At מצלין Judaice est ixétης, εὐχέτης, προσευχόμενος. Conjecturam astruunt pleraque Massalianorum instituta cum Essenis communia, ut præter assiduitatem orandi, proseucharum usus, et in eas stati conventus: tum ἀντίφωνα et ᾠδαί. Accedit, quod Massaliani, ut et Essæi suis se bonis abdicabant. D Igitur partim Judæos fuisse statuit, quod ab Essenis oriundi; partim quod Pseudochristiani se illis admiscuissent, negat fuisse; nam inter cætera mendici erant: quales veri Judæi non erant, propter τὸ φιλάλληλον eorum, quod divites non patiuntur tenuiores mendicare, aut esurire. Hæc Scaliger: quæ a Serrario nostro in Minervali merito confutantur. Est enim fallacissima nominis conjectura, cætera vero leviora quam ut nos ab Epiphanii auctoritate dimoveant. Sed illud sane ridiculum, quod mendicos negat fuisse Judæos, cum in Evangeliis et Actibus apostolorum exempla mendicorum sint plurima; interque cæteros mendici Lazari, quem verum Judæum exstitisse inficiari nemo potest. Sed de his copiose Serrarius.

(18) *Μηδενὶ μηδὲν προσκυνοῦντες.* Forte μηδενὶ δέ.

Digitized by Google

δῆθεν τὸ σέβας νέμοντες, καὶ καλοῦντες Παντοκράτορα. Τινὰς δὲ οἴκους ἑαυτοῖς κατασκευάσαντες (19), ἢ τόπους πλατεῖς, φόρων δίκην, προσευχὰς ταύτας ἐκάλουν. Καὶ ἦσαν μὲν τὸ παλαιὸν προσευχῶν τόποι ἔν τε τοῖς Ἰουδαίοις ἔξω πόλεως καὶ ἐν τοῖς Σαμαρείταις, ὡς καὶ ἐν ταῖς Πράξεσι τῶν ἀποστόλων εὑρομεν· ἔνθα ἡ πορφυρόπωλις Λυδία τοῖς περὶ τὸν ἅγιον Παῦλον ἀπήντησεν, ὡς καὶ οὕτως τὸ θεῖον γράμμα διηγεῖται· ὅτι, φησὶν, *Ἐδόκει τόπος προσευχῆς εἶναι* (20). Καὶ προσῆλθον, καὶ ἐδίδασκον οἱ ἀπόστολοι τὰς συνελθούσας κατ' ἐκεῖνο καιροῦ γυναῖκας. Ἀλλὰ καὶ προσευχῆς τόπο; ἐν Σικίμοις, ἐν τῇ νυνὶ καλουμένῃ Νεαπόλει ἔξω τῆς πόλεως, ἐν τῇ πεδιάδι, ὡς ἀπὸ σημείων δύο, θεατροειδὴς· οὕτως ἐν ἀέρι καὶ αἰθρίῳ τόπῳ ἐστὶ κατασκευασθεὶς ὑπὸ τῶν Σαμαρειτῶν πάντα τὰ τῶν Ἰουδαίων μιμουμένων.

A sunt; et cum esse deos asserant, nullum tamen adorant, sed unum duntaxat venerantur, quem Omnipotentem appellant. Qui quidem certas sibi domos fabricantes, et laxiores, fororum instar, areas, proseuchas illas nominarunt. Habuisse quidem Judæos extra urbem et Samaritanos certa quædam ad precandum loca, **1068** quas proseuchas dicerent, ex apostolorum Actibus liquet, ubi purpuræ institrix Lydia Paulo occurrisse dicitur. De quo ita Scriptura narrat: *Videbatur*, inquit, *locus orationis esse* [1]. Et accesserunt apostoli, ac mulieres per illud tempus convenientes docuerunt. Fuit et ad Sicima, quæ hodie Neapolis dicitur, secundo ab urbe lapide proseucha, sive oratorium theatri instar in planitie situm sine tecto ac nudo cœlo subjectum; in quo B fabricando Samaritani, ut in cæteris omnibus, Judæos imitati sunt.

Β'. Οὗτοι δὲ οἱ πρότερον Μασσαλιανοὶ ἐξ Ἑλλήνων ὁρμώμενοι, οἱ πρὸ τῶν νυνὶ, τῶν δῆθεν ἀπὸ ὀνόματος Χριστοῦ ὁρμωμένων, καὶ αὐτοὶ πῆ μὲν ἔν τισι χώραις τοιαῦτα τροπάριά τινα κατασκευάσαντες (21), ὡς προσευχὰς καλουμένους, καὶ εὐκτήρια· ἐν ἄλλοις δὲ τόποις φύσει καὶ ἐκκλησίας ὁμοιώματι ἑαυτοῖς ποιήσαντες, καθ' ἑσπεραν καὶ κατὰ τὴν ἕω μετὰ πολλῆς λυχναψίας καὶ φώτων συναθροιζόμενοι, ἐπιπολύ τε καταλεγμάτιά τινα (22) ὑπὸ τῶν παρ' αὐτοῖς σπου-

II. Igitur Massaliani antiquiores e gentilibus excitati, qui hodiernos istos, a quibus Christianum nomen usurpatur, antecesserunt, nonnullis in regionibus carinarum instar fastigatas ædiculas construxerunt, quas proseuchas, sive oratoria, nuncupant. Alibi vero tam in Occidente, quam Oriente eadem illa loca ad ecclesiæ formam condiderunt, ubi ingenti lucernarum ac facium accensa copia, conventus habent. Tum certos hymnos, quos illius

[1] Act. xvi, 13.

(19) *Τινὰς δὲ οἴκους ἑαυτοῖς κατασκευάσαντες.* Φόρος a recentioribus Græcis forum appellatur, sive ampla et ingens area subdivalis et ὑπαιθρος. Cu- C jusmodi proseuchas fuisse docet Epiphanius. Erant loca quædam aperta ac sine tecto, in quæ orandi causa conveniebant. Tritus est Juvenalis ille versus e Sat. III:

Ede ubi consistas; in qua te quæro proseucha.

Quem vetus scholiastes locum esse memorat, ad quem *convenire solebant mendici ad stipem petendam: alii tabernam, in qua pauperes vivant.* Addit: *et Proseuchæ, locus Judæorum ubi erant.* Exstat ea vox multis in locis apud Philonem *in Flaccum et Caium;* Josephum lib. *De vita sua.* Romæ quidem, ubi frequentes erant Judæi et vero mendicantes, proseuchæ complures fuerunt. Nam et eadem in Satyra Juvenalis occupata illorum habitationibus, et, ut credibile est, proseuchis sacra quondam fuisse loca conqueritur.

Nunc sacri fontis nemus et delubra locantur
Judæis, quorum cophinus fenumque supellex.
Omnis enim populo mercedem pendere jussa est
Arbor, et ejectis mendicat silva Camœnis.

Mendicitatem ergo Judæorum exagitat; utique verorum. Quod ne dubium sit, vel hic Martialis versus argumento esse potest.

A matre doctus nec rogare Judæus.

Adeo falsum est non mendicasse Judæos. Idem Juvenalis Sat. VI:

Cum dedit illa locum, cophino fenoque relictis,
Arcanam Judæa tremens immurmurat aurem
Interpres legum Solymarum et magna sacerdos
Arboris.

Quem locum enarrans vetus ille scholiastes multa suo more nugatur, et nescio quid de hortis garrit: quod a cophino, fenoque nimis alienum est. Nec melioris notæ est, quod adjicit: supellectilem hanc esse, ubi pulmentaria sua et aquam calidam die Sabbati servare consueverant. Est illud quidem verum, Judæos Sabbati religione prohibitos ne cibaria coquerent, ea pridie sub vesperam præparasse; unde Parasceve dicta. Verum aquam ab illis calidam in sequentem diem in feno potuisse servari, id vero ridiculum est. Quin et illud observavimus, Judæos Sabbato calidis potionibus abstinuisse. Indicat hoc Justinus *Dialogo cum Tryphone;* quem ita compellat: Μηδ' ὅτι θερμὸν πίνομεν ἐν τοῖς Σάββασι δεινὸν ἡγεῖσθε· *Neque quod aquam calidam Sabbatis bibamus succensete.* Irasci vetat Judæum, quod per Sabbata calidam potionem adhiberent. Ergo Judæi aliter instituerant. Verum reclamat Ignatius, qui epist. 3 *ad Magn.* contrarium indicat: Ἀλλ' ἕκαστος ἡμῶν σαββατιζέτω πνευματικῶς, μελέτῃ νόμου χαίρων, οὐ σώματος ἀνέσει, δημιουργίαν θεοῦ θαυμάζων, οὐχ ἑωλα ἐσθίων, καὶ χλιαρὰ πίνων, καὶ μεμετρημένα βαδίζων, καὶ ὀρχήσει, καὶ κρότοις νοῦν οὐκ ἔχουσι χαίρων. Ergo Judæorum et Sabbatariorum erat χλιαρὰ πίνειν, cum tamen ignem nisi ægrorum causa non liceret D accendere: ut in *Tract. de Sabbato* thalmudistæ docent, et R. Maimon, 1 part. *Jad, de Sabbato.*

(20) Ὅτι, *φησὶν, ἐδόκει τόπος προσευχῆς εἶναι.* Apud D. Lucam, ὅπου ἐνομίζετο προσευχὴ εἶναι. Ubi προσευχὴν pro loco ipso plerique accipiunt.

(21) *Τροπάριά τινα κατασκευάσαντες.* Non aliam vocabulo huic notionem attribuere potuimus, quam ut ἀπὸ τῆς τρόπιος, quæ carinam vox significat, derivaretur. Nisi forte τοπάρια, pro angustis parvisque locis legendum fuerit.

(22) *Καταλεγμάτιά τινα.* Cornar. καταληγμάτια. Est enim κατάληγμα carmen, sive canticum, aut celeuma. Hieron. in cap. XXV Jeremiæ, com. 30, *celeuma* scribit a Symmacho verti κατάληγμα; ab Aquila ἐασμόν; nempe a pausa; unde pausarii dicti sunt οἱ κελευσταί, symphoniaci pueri. Seneca Epist. 56: *Sed jam me sic ad omnia ista duravi, ut audire vel pausarium possim voce acerbissima remigibus modos dantem.*

Digitized by Google

grexis studiosi quidam scripserunt, ac Dei laudes con inunt: quibus magno sane errore Deum se placare ac conciliare sibi putant. Verum inscitia, quæ obcæcata semper est, hæc omnia miseris illis, præ animi fastu et insolentia, facere persuadet. Ac forte ante aliquod tempus unum ex illis ædificiis de cœlo tactum est: ubinam vero gentium, liquido nondum constat; atque haud scio an in Phœnicia contigisse istud audierim. Quin etiam nonnulli magistratus religionis ardore flagrantes quam plurimos ex illis occiderunt, eo quod veritatem adulterando corrumperent, et Ecclesiæ morem præpostera quadam imitatione auderent exprimere, cum neque Christiani interim essent, neque Judæorum sectam profiterentur. Lupicianus, opinor, dux unus ex his fuit, qui in Euphemitas istiusmodi gentiles animadverterunt: qua ex occasione nova facta est erroris accessio. Quidam enim eorum qui ob gentilem istam impietatem interfecti fuerant, corpora certis in locis sepelientes, illic easdem illas laudes hymnosque decantant et Martyrianos appellari se volunt, propter illos videlicet, qui ob idolorum cultum martyrium fecerant.

A δαίων, καὶ εὐφημίας τινὰς δῆθεν εἰς τὸν Θεὸν ποιούμενοι (ὡς καταλεγματίων καὶ εὐφημιῶν), ὥσπερ Θεὸν ἐξιλεούμενοι, ἑαυτοὺς ἀπατῶσιν. Ἡ δὲ ἀγνωσία τυφλή τις οὖσα, πάντα ταῦτα δοκήσει οἰήσεως τοῖς πεπλανημένοις παρασκευάζει. Ἐκεραυνοβολήθη δὲ πρὸ χρόνου ἓν τῶν τοιούτων κατασκευασμάτων· οὐκ ἔχω δὲ λέγειν ἐν ποίῳ τόπῳ· τάχα δὲ ἐν τῇ Φοινίκῃ τοῦτο ἠκούσαμεν. Ἀλλὰ καί τινες τῶν ἀρχόντων ζηλωταὶ πολλοὺς ἐκ τούτων ἀπέκτειναν, διὰ τὸ παραχαράττειν τὴν ἀλήθειαν, καὶ ἀντιμιμεῖσθαι Ἐκκλησίας τρόπον, μὴ ὄντας Χριστιανοὺς, μήτε ἐξ Ἰουδαίων ὁρμωμένους. Οἶμαι δὲ Λουπικιανὸς ὁ στρατηλάτης εἷς ἦν τῶν τοὺς αὐτοὺς Εὐφημίτας τῶν Ἑλλήνων τιμωρησαμένων· ἐξ ἧς προφάσεως ἐφύη πάλιν αὐτοῖς δευτέρα πλάνη. Λαβόντες γάρ τινες τὰ τῶν τότε ἀποκτανθέντων σώματα διὰ τὴν τοιαύτην Ἑλληνικὴν ἀνομίαν, καὶ θάψαντες ἔν τισι τόποις, ἐκεῖ πάλιν τὰ αὐτὰ εὔφημά τε ἐπιτελοῦσι, καὶ Μαρτυριανοὺς ἑαυτοὺς ἐπωνόμασαν, δῆθεν διὰ τοὺς ὑπὲρ τῶν εἰδώλων μαρτυρήσαντας.

1069 III. Sed eorum rursus alii altius quiddam pro stultitiæ suæ captu concipientes animo, ac nihil præter mentem suam in consilium adhibentes, jactare istud ausi sunt: Satanas, inquiunt, magnus quidam est, ac longe fortissimus, et mala quam plurima hominibus infligit. Cur igitur non ad hunc potius confugimus, et eum adoramus, atque honore prædicationeque veneramur, ut adulatorio illo cultu conciliatus nocere desinat, imo vero nostrum, inquiunt, quasi servorum suorum, rationem habeat et ignoscat? Ergo illi Satanianos semetipsos appellant. Quorum hæresin cum superioribus illis, de quibus deinceps acturi sumus, conjungendam putavimus. Quoniam utrique a veritate desciscentes idem foras prodeundi et sub dio precandi ac canendi institutum tenent. Cæterum hæc omnia ludibrii et ineptiarum plena, damni nihil admodum habebant, neque a veritate mentem abducere poterant: non enim Christiani, sed meri gentiles, habebantur. At qui hodie Massaliani vocantur, iisdem moribus ac ritibus addicti, neque initium, neque finem, neque caput, aut radicem habent ullam; sed sine fundamento ac principio prorsus inconditi sunt, et gravissimo in errore versantur: utpote qui nullo neque nominis, neque sanctionis, neque regionis, neque legum firmamento continentur. Illi igitur in unum coacti tam viri, quam mulieres, credere in Christum videntur, ac se mundo renuntiasse et sua omnia deseruisse promentur. Tum vero promiscue sexus utriusque dormientes omnes in spatiosissimis vicis per æstatem jacent; quod se quidquam in terra possidere negent. Soluti porro ac vagi sunt, et manus ad stipem porrigunt, perinde ac victu et possessione carentes. Sed eorum sermones stoliditatem omnem superant.

Γ. Ἄλλοι δὲ πάλιν ἐκ τούτων ἔτι βαθύτερόν τι διανοούμενοι, ὡς κατὰ τὴν αὐτῶν εὐήθειαν, συμβούλῳ τῇ διανοίᾳ χρώμενοι, εἶπον· « Ὁ Σατανᾶς μέγας ἐστὶ, καὶ ἰσχυρότερος, καὶ πολλὰ ἐπιτελεῖ κακὰ τοῖς ἀνθρώποις. Διὰ τί οὐ μᾶλλον πρὸς τοῦτον καταφεύγομεν, καὶ αὐτῷ προσκυνοῦμεν, αὐτόν τε τιμῶμεν, καὶ αὐτὸν εὐφημοῦμεν, ἵνα διὰ τῆς κολακευτικῆς θεραπείας μὴ ἐνεργήσῃ ἡμῖν τὰ πονηρὰ, ἀλλ' ὡς δούλων αὐτοῦ ἡμῶν γεγονότων, φασὶ, φείδεται[1] ἡμῶν; Καὶ οὕτω καὶ οὗτοι Σατανιανοὺς ἑαυτοὺς ἐπωνόμασαν. Ὁμοῦ δὲ τούτων τὴν αἵρεσιν ἐν τούτῳ συνεθήκαμεν καὶ τοὺς προειρημένους, μέλλοντας ὑφ' ἡμῶν νυνὶ λέγεσθαι. Ἐπειδὴ γὰρ τὰ ἴσα ἐν ὑπαίθρῳ ἐξαγόμενοι, ἔξω βεβηκότες τῆς ἀληθείας, ἐπὶ τὸ εὔχεσθαι, καὶ ὑμνεῖν ἐσχολάκασιν· ἀλλὰ πάντα μὲν ταῦτα περιγέλαστα ὄντα ἀβλαβῆ ἐτύγχανε, μὴ δυνάμενα παρεκκλίνειν τὸν νοῦν ἀπὸ τῆς ἀληθείας· οὐ γὰρ εἰς ὄνομα Χριστοῦ ἐλέγοντο εἶναι, ἀλλὰ Ἕλληνες τὸ πᾶν· νῦν δὲ ἀπ' ἐκείνων τῶν τρόπων οὗτοι νῦν καλούμενοι Μασσαλιανοὶ, ὧν οὔτε ἀρχὴ, οὔτε τέλος, οὔτε κεφαλὴ, οὔτε ῥίζα· ἀλλὰ τὰ πάντα εἰσὶν ἀστήρικτοι, καὶ ἄναρχοι, καὶ ἠπατημένοι, μὴ ἔχοντες ὅλως στηριγμὸν ὀνόματος, ἢ θεσμοῦ, ἢ θέσεως, ἢ νομοθεσίας. Δοκοῦσι τοίνυν οὗτοι ἐπιτοαυτὸ ἄνδρες τε καὶ γυναῖκες δῆθεν εἰς Χριστὸν πεπιστευκέναι, λέγοντες, ὡς ἀποταξάμενοι τῷ κόσμῳ, καὶ τῶν ἰδίων ἀνακεχωρηκότες· ὁμοῦ δὲ ἀναμὶξ ἄνδρες ἅμα γυναιξὶ, καὶ γυναῖκες ἅμα ἀνδράσιν ἐπιτοαυτὸ καθεύδοντες, ἐν ῥύμαις μὲν πλατείαις, ὀπηνίκα θέρους ὥρα εἴη, διὰ τὸ μὴ ἔχειν, φησὶ, κτῆμα ἐπὶ τῆς γῆς. Ἀκώλυτοι δέ εἰσι, καὶ ἐκτείνουσι χεῖρας μεταιτεῖν ὡς ἀβίωτοι καὶ ἀκτήμονες. Οἱ δὲ λόγοι αὐτῶν ἀφρόνων ἐπέκεινα. Ὃν δ' ἄν τινα ἐπερωτήσῃς ἐξ αὐτῶν ὁρμώμενον, ἐκείνων ἑαυτὸν φάσκει, οἷον δ' ἂν ἐθέλοις. Ἤτοι γὰρ προφήτην εἴποις, λέξουσιν, ὅτι Προφήτης εἰμί· ἤτοι

[1] F. φείδηται.

Χριστὸν ἂν ὀνομάσῃς, φάσκει, ὅτι Χριστός εἰμι· ἤτοι πατριάρχην, τὸ αὐτὸ ἑαυτὸν ὀνομάζει ἀναιδῶς· ἤτοι ἄγγελον, καὶ ἑαυτὸν λέγει. Καὶ ἁπλῶς ὦ τῆς τῶν ἀνθρώπων ματαιοφροσύνης! Νηστείαν δὲ οὐδ' ὅλως οἴδασιν· ἀλλὰ ὅθεν εἰς τὴν εὐχὴν ἐσχολακότες, καὶ ἀπὸ ὥρας δευτέρας, ἢ τρίτης, ἢ καὶ τὴν νύκτα, ἐὰν φθάσωσι πεινᾶσαι, πάντα ἀδεῶς ἐργάζονται, ἐσθίοντες καὶ πίνοντες. Περὶ δὲ αἰσχρότητος ἢ λαγνείας οὐ πάνυ τι δύναμαι εἰδέναι. Πλὴν οὐδὲ τούτου εἰσὶν ἀποδέοντες, μάλιστα ἐπιτοαυτὸ κοινῇ τὸ κοιτάζειν ἐσχηκότες ἅμα γυναιξὶ καὶ ἀνδράσιν. Οὗτοι δὲ καὶ ἐν Ἀντιοχείᾳ εἰσὶν ἀπὸ τῆς Μέσης τῶν ποταμῶν ὁρμώμενοι.

A Quemcunque enim ex illis interrogaveris, talem se qualem volueris, esse fatebitur. Sive prophetam dixeris, prophetas se esse dicent; sive Christum nomines, Christum se esse quilibet respondebit; sive patriarcham, hoc ipsum sibi nomen impudenter attribuet; sive angelum denique, talem se non dubitabit asserere. O singularem hominum vecordiam! Quod ad jejunium vero spectat, hoc apud illos nullum est omnino. Verum toti videlicet in orationes intenti, a secunda tertiave hora, vel etiam noctu, si esuriant, **1070** nihil non pro sua libidine faciunt, ac cibo potuque se ingurgitant. De illorum turpitudine ac flagitiis nihil certo comperi. Sed ab iis nequaquam abhorrere vel eorum consuetudo persuadet, qua promiscue viri cum mulieribus cubant. Cæterum Antiochiæ quoque sedes habent, quo e Mesopotamia sese contulerunt.

Δ'. Ἔσχον δὲ τὸ βλαβερὸν τοῦτο φρόνημα ἀπὸ τῆς ἀμετρίας τῆς τινων ἀδελφῶν ἀφελείας. Τινὲς γὰρ τῶν ἡμετέρων ἀδελφῶν καὶ ὀρθοδόξων, μὴ γινώσκοντες τὸ μέτρον τῆς ἐν Χριστῷ πολιτείας, τὸ κελεῦον ἀποτάσσεσθαι τῷ κόσμῳ, κτημάτων τε ἰδίων καὶ χρημάτων ἀποξενοῦσθαι, πωλεῖν τε τὰ ἴδια, καὶ μεταδιδόναι πτωχοῖς, λαμβάνειν δὲ τὸν σταυρὸν, καὶ ἀκολουθεῖν ἐν ἀληθείᾳ, μὴ ἀργὸν, μήτε ἀεργὸν καὶ ἀκαιροφάγον, μηδὲ [1] τῷ κηφῆνι τῶν μελισσῶν, ἐργάζεσθαι δὲ ταῖς ἰδίαις χερσίν· ὥσπερ καὶ ὁ ἅγιος ἀπόστολος Παῦλος ἀποταξάμενος τῷ κόσμῳ, κήρυξ δὲ ὢν τῆς ἀληθείας, οὗ αἱ χεῖρες οὐ μόνον ἑαυτῷ ἐπήρκουν, ἀλλὰ καὶ τοῖς συνοῦσιν αὐτῷ· οὐκ οὖσι δὲ ἐκείνοις ἀργοῖς, ἀλλ' ἅμα συμπαροῦσιν αὐτῷ ἐν τῇ ἐργασίᾳ· ὃς που καυχᾶται λέγων, διδάσκει δὲ σαφέστατα· *Ὁ μὴ ἐργαζόμενος, μηδὲ ἐσθιέτω.* Τινὲς δὲ τῶν προειρημένων ἀδελφῶν, ὡς ἀπὸ τοῦ Μάνη μεμαθηκότες τάχα, ἵν' οὕτως εἴπω, τοῦ ἀπὸ Περσίδος ἀναβεβηκότος, ἄτινα οὐκ ἐχρῆν οὕτως εἶναι. Σκοπεῖν δὲ μᾶλλον τοὺς τοιούτους παραγγέλλει ὁ θεῖος λόγος τοὺς μηδὲν ἐργαζομένους. Πεπλάνηκε γάρ τινων τὴν οἴησιν ὁ λόγος ὁ παρὰ τῷ Σωτῆρι γεγραμμένος· *Ἐργάζεσθε μὴ τὴν βρῶσιν τὴν ἀπολλυμένην, ἀλλὰ μένουσαν εἰς ζωὴν αἰώνιον.* Νομίζουσι δὲ τὴν ἀπολλυμένην εἶναι τὴν καλὴν ἐργασίαν, ἧς εἰς δικαιοσύνην ἔχομεν τὸν κάματον· ἥτις ἐπληροῦτο ἐν Ἀβραὰμ διὰ τοῦ μόσχου, καὶ τῇ καματουργίᾳ τῆς χήρας διὰ τοῦ Ἠλίου, καὶ ἐν τῇ ἐργασίᾳ τοῦ Ἰὼβ διὰ τῶν αὐτοῦ παίδων, καὶ κτημάτων, καὶ πάντων τῶν τοῦ Θεοῦ δούλων τῶν εἰς δικαιοσύνην καμνόντων ταῖς ἰδίαις χερσὶν, εἰς τὸ ἐπαρκεῖν καὶ τοῖς ἐνδεομένοις· καθὼς καὶ ἐν ἑκάστῳ μοναστηρίῳ ἔν τε τῇ τῶν Αἰγυπτίων χώρᾳ καὶ ἐν πάσαις χώραις οὕτω κάμνουσιν εἰς δικαιοσύνην· ὡς ἡ μέλιττα, χερσὶ μὲν ἔχουσα τὸν κηρὸν τῆς ἐργασίας, τὴν δὲ ψεκάδα τοῦ μέλιτος ἐν τῷ στόματι, μετὰ τῆς ἰδίας ὑμνηγόρου φωνῆς τὸν τῶν πάντων Δεσπότην κατὰ τὴν ἰδίαν αἴσθησιν ὑμνοῦσα, ὡς καὶ Σαλομὼν μαρτυρεῖ· ὅτι *Τὴν σοφίαν τιμήσασα προήχθη.* Οὕτω καὶ οἱ τοῦ Θεοῦ δοῦλοι οἱ ἀληθῶς ἐπὶ τῆς στερεᾶς πέτρας τῆς ἀληθείας τεθεμελιωμένοι, καὶ τὸν οἶκον αὐτῶν ἀσφαλῶς οἰκοδο-

B IV. Hoc vero longe perniciosissimum dogma ex nimia quorumdam fratrum imperitia manavit. Qui cum recte alioqui de fide sentirent, vitæ ex Christi Domini præscripto instituendæ modum nequaquam intellexerunt: quatenus renuntiare mundo, ac bonis se suis et facultatibus abdicare, fortunas suas vendere ac pauperibus dilargiri, crucem ferre, ac serio sequi se mandavit: non ut iners, et otiosus quispiam esset, aut intempestive helluaretur, ac lucorum inter apes similis foret: quin imo suis ut manibus opus faceret, ac beatum imitaretur Apostolum, qui, mundum valere jubens, præco veritatis exstitit, cujus manus non ipsi solum, sed et iis, qui cum illo erant, necessaria suppeditabant [2]: cum et ipsi interim minime cessarent, sed operæ

C participes essent, ut quodam ipse loco gloriatur ac disertis illud verbis præcipit: *Qui non operatur, non manducet* [3]. Sed illi, quos dixi, fratres nostri haud scio an a Mane, qui illuc e Perside profectus est, ista didicerint, quæ ab omni ratione prorsus aliena sunt. Cum e contrario animadvertere illos divina Scriptura jubeat, qui nihil operis faciunt. Verum nonnullorum mentibus dictum illud Servatoris imposuit: *Operamini non cibum qui perit, sed qui permanet in vitam æternam* [4]. At illi pereuntem illum cibum ad præclaram illam operam laboremque referunt, quem in consectanda justitia sustinemus. Quæ quidem opera in Abrahamo tum eluxit, cum is vitulum appararet [5]; necnon et in vidua, quæ Eliæ causa laboravit [6]; et in Jobo denique, qui in

D liberis idem suis fortunisque præstitit [7]. Præterea nullus est Dei famulus, qui non ad obtinendam justitiam manibus suis opus exerceat, quo in egentes beneficus esse possit. Quod in unoquoque monasterio, tam in Ægypto, quam in aliis provinciis fieri cernimus, ubi justitiæ gratia sic ad opus incumbunt omnes, tanquam apes quædam, quæ ceram pedibus, stillas mellis ore comportantes, communem universorum **1071** Dominum pro sensu suo atque captu, quodam velut vocis cantu ac prædicatione celebrant, prout testatur Salomon: *Sapientiam*, inquit, *hono-*

[1] Deest ἐτικέναι. [2] Act. xx, 34. [3] II Thess. III, 10 [4] Joan. VI, 27. [5] Gen. XVIII, 7. [6] III Reg. XVII, 15. [7] Job I, 4.

Digitized by Google

rans provecta est [1]. Nec aliter sei .i illi Dei in solida veritatis petra, velut fundamento, stabiliti, ac domum suam firmam atque inconcussam exstruentes, pro ea quam profitentur arte, minutissimas quasque operas singuli manibus suis exercent. Iidem vero universam pene Scripturam ore pronuntiant, impigre ac strenue aut orando aut psalmos emodulando pervigilant, solemnes de more conventus ac quotannis constitutos obeunt; statas horas, et alternis spatiis continuo descriptas perpetuis ad Deum fundendis precibus, summa cum abjectione animi ac laboriosis gemitibus transigunt, cum interea propriis, uti dixi, manibus, adjuncta spiritali exercitatione, opus instituant, ne aut inopia laborent, aut in humanas simulationes incidant, sic ut impiis libere veritatem eloqui non audeant; neque ab eorum hominum, qui per nefas ac pauperum injuriam locupletati sunt contagione ac maculis vindicare sese possint: nec illorum denique cibariis carere, quod justis laboribus quotidianum sibi victum comparare nequeant, sed ob inopiam, ex otio et inertia derivatam, ad beatorum mensas confugere cogantur.

A μοῦντες, ἰδίαις χερσὶ τὰς λεπτὰς αὐτῶν ἐργασίας ἐργάζονται κατὰ τὴν ἑκάστου τέχνην. Ἐν στόματι δὲ σχεδὸν πᾶσαν θείαν Γραφὴν ἀπαγγέλλουσιν, ἀκμητί τε καὶ ἀόκνως συχνὰς ποιοῦνται τὰς ἀγρυπνίας, τοῦτο μὲν ἐν εὐχαῖς, τοῦτο δὲ ἐν ψαλμῳδίαις· ἐνδελεχῶς δὲ τὰς συνελεύσεις τὰς ἐξ ἔθους ἐνθέσμως τεταγμένας· διημερεύουσί τε πάντοτε τὰς ἀδιαλήπτους κατὰ διάστημα ὥρας, τὰς εὐχὰς Θεῷ ἀκαταγνώστως μετὰ ταπεινοφροσύνης πολλῆς καὶ οἰμωγῆς ἐπιπόνου (Θεῷ) ἀναπέμποντες, ταῖς τε ἰδίαις χερσὶν, ὡς ἔφην, ἐργαζόμενοι μετὰ καὶ τῆς πνευματικῆς ἐργασίας· ἵνα μὴ ἐπιδεεῖς γένωνται, καὶ εἰς ὑποκρίσεις ἀνθρωπίνας ἐμπέσωσι, καὶ οὐκέτι τῷ ἀσεβοῦντι δυνάμενοι τὰ ἀληθῆ λέγειν, οὔτε ἐκτὸς ῥύπου εἶναι τῶν ἀπὸ ἀδικίας ἀνθρώπων πλουσίων καὶ πλεονεκτούντων τοὺς πένητας, οὔτε ἐκτὸς B σιτίων τούτων γίνεσθαι, μὴ δυναμένοις [11] ἐκ δικαίων πόνων τὴν ἐφήμερον ἔχειν τροφὴν, ἀλλ' ἀναγκαζόμενοι διὰ τὸ ἐνδεὲς τῆς ἀργίας τραπέζης πλουσίων μετέχειν.

V. Quamobrem divinum nos oraculum docet: *Ne concupiscas cibos divitum. Illi enim cum mendaci vita conjuncti sunt* [2]. Tum alio in loco ejusmodi, quales appositi fuerint, vicissim præparandos admonet: *Quod si insatiabilis es, illius cibos ne concupiscas* [3]. Qua in re præclaram pueri illi Babylone gloriam adepti sunt, qui repudiata regis mensa, exquisitis hujus epulis legumina prætulerunt ac divitias splendoremque contempserunt [4]. Nec aliter C Moyses, qui vexari affligique cum populo Dei, quam Ægyptiacis thesauris perfrui maluit [5]. Qui quidem, dum suis ipse manibus opus exercet, propheta factus est. Ille enim ipse nobilis et a filia regis adoptatus, ut ne otiosus pane vesceretur, opilio constitutus est. Idem et pater noster Jacob nos docuit, cum Labanum alloquens, Da mihi, inquit, operis aliquid, proprium ut victum meream [6]. Unde et a socero ovium itidem gregibus præficitur. Quæ idcirco **1072** facta sunt omnia, ne sancti homines panem otiosi comederent. Apostolis vero a Domino præceptum istud est: ut divini verbi prædicatione contenti essent, ne ex aliis alias in urbes ac loca prædicandi causa migrantes, variis rebus distraherentur. *Dignus est enim operarius mercede sua* [7]; et: *Sufficit operario alimentum suum* [8]. Quam eamdem ob causam pastoribus pro incredibili ipsorum in gubernandis populis occupatione, atque ecclesiastica procuratione, administrandique labore perpetuo divinum hoc oraculum edicit: *Quis gregem pascit, et illius lacte non alitur? Quis plantat vineam, et ejus fructu non vescitur* [9]? Deinde, Operam, inquit, navantem agricolam ante omnes par est fructus edere [10]: ut ne presbyterum, vel episcopum, quotidiano cibo indigentem constituat. Ob id populos adhortatur, ut quæ ad alendos sacerdotes necessaria

Ε'. Διὸ παραγγέλλει ὁ θεῖος λόγος, φάσκων· *Μὴ ἐπιθύμει βρωμάτων τῶν πλουσίων. Ταῦτα γὰρ ἔχεται ζωῆς ψευδοῦς.* Καὶ πάλιν ἐν ἄλλῳ τόπῳ, ὅτι τοιαύτας δεῖ παρασκευάζειν· *Εἰ δὲ ἀπληστότερος εἶ, μὴ ἐπιθύμει τῶν αὐτοῦ βρωμάτων·* ἐν τούτοις γὰρ ἐδοξάσθησαν οἱ παῖδες οἱ ἐν τῇ Βαβυλῶνι, ἀρνησάμενοι τράπεζαν βασιλέως, καὶ αἱρησάμενοι σπέρμασιν ἀρκεῖσθαι, ἢ τραπέζῃ, καὶ βρώμασι, χρήμασι, καὶ δόξῃ ἀποταξάμενοι, ὡς Μωϋσῆς μᾶλλον εἵλετο συγκακουχεῖσθαι τῷ λαῷ τοῦ Θεοῦ ἢπερ ἀπολαύειν τῶν ἐν Αἰγύπτῳ θησαυρῶν, ἐργαζόμενος δὲ ἰδίαις χερσὶν ἔτυχε προφητείας. Προβάτων γὰρ οὗτος ποιμὴν κατέστη, ὁ εὐγενὴς καὶ υἱὸς θυγατρὸς βασιλέως, ἵνα μὴ ἀργὸν ἐσθίῃ ἄρτον· ὡς καὶ διδάσκει ὁ πατὴρ ἡμῶν Ἰακὼβ, λέγων Λάβαν· Δός μοι ἐργασίαν, ἵνα ἐργάζωμαι τοῦ ἰδίου ἄρτου. Καὶ αὐτὸς πάλιν ποιμαίνειν προστέτακται παρὰ τοῦ ἰδίου πενθεροῦ, ἵνα μὴ ἀργοὶ ἄρτον ἐσθίωσιν οἱ δίκαιοι. Τοῖς δὲ ἀποστόλοις εἴρηται ἀρκεῖσθαι τῷ λόγῳ [12] κηρύττειν, ἵνα μὴ ἀσχολῶνται ἀπὸ πόλεως εἰς πόλιν, καὶ ἀπὸ τόπου εἰς τόπον, ἐπὶ τὸ κήρυγμα τὴν πορείαν ποιούμενοι. *Ἄξιος γὰρ ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ·* καὶ, *Ἀρκετὸν τῷ ἐργαζομένῳ ἡ τροφὴ αὐτοῦ.* Καὶ D τοῖς τε ποιμέσιν ὡσαύτως διὰ τὴν τῶν λαῶν συχνὴν ἀσχολίαν, καὶ τὴν ἐκκλησιαστικὴν διοίκησιν, καὶ ἐνδελεχῆ λειτουργίαν, φησὶν ὁ θεῖος λόγος· *Τίς ποιμαίνει ποίμνην, καὶ ἐκ τοῦ γάλακτος αὐτῆς οὐκ ἐσθίει; Ἢ τίς φυτεύει ἀμπελῶνα, καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐ μεταλαμβάνει;* Καὶ φησι· Τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν· ἵνα τὸν πρεσβύτερον, ἢ τὸν ἐπίσκοπον μὴ ἐλαττούμενον τῆς ἐφημέρου τροφῆς καταστήσειε· προτρεπόμενος λαοὺς ἐκ δικαίων πόνων νέμειν τὰ πρὸς τροφὴν τοῖς ἱερεῦσι διὰ ἀπαρχῶν τε καὶ προσφορῶν, καὶ τῶν ἄλλων· ὧν ἐξουσίαν ἔχοντες οἱ ἐκ

[1] Prov. vi, 8. [2] Prov. xxiii, 3. [3] ibid. 4. [4] Dan. i, 8 sqq. [5] Exod. ii, 15; Hebr. xi, 14. [6] Gen. xxix, 15. [7] Matth. x, 10; Luc. x, 7. [8] I Tim. vi, 8. [9] I Cor. ix, 7. [10] ibid. 13. [11] Cor. δυνάμενοι. [12] F. λόγον.

Digitized by Google

Θεοῦ τοὺς λαοὺς ὁδηγεῖν προστεταγμένοι, οὐδὲ τούτοις κέχρηνται κατακόρως, οἱ Θεῷ τελείως εὐαρεστεῖν ἐπαγγελλόμενοι.

sunt, justissimis suis laboribus quæsita suppeditent, offerendis primitiis, oblationibus ac reliquis id genus. Quæ cum in potestate sua habeant, quibus regendorum a Deo populorum est commissa provincia, horum tamen usui plene penitusque non indulgent, qui Deo perfecte placere se velle profitentur.

Ϛ'. Καὶ γὰρ ἐξ αὐτῶν τοῦ Θεοῦ ἱερέων, καὶ αὐτοὶ μετὰ τοῦ κηρύγματος τοῦ λόγου μιμούμενοι τὸν ἅγιον αὐτῶν μετὰ τὸν Θεὸν ἐν Χριστῷ πατέρα, φημὶ δὲ Παῦλον τὸν ἅγιον ἀπόστολον, καὶ αὐτοὶ, κατὰ τὸ δυνατὸν, εἰ καὶ μὴ πάντες, ἀλλ' οἱ πλείους ταῖς ἰδίαις χερσὶν ἐργαζόμενοι, οἷαν δ' ἀναλόγως συμπρέπουσαν τῷ ἀξιώματι, καὶ τῆς ἐκκλησιαστικῆς φροντίδος ἐνδελεχείᾳ εὕροιεν τέχνην, ὅπως μετὰ τοῦ λόγου καὶ τοῦ κηρύγματος ἡ συνείδησις χαίρῃ, καὶ διὰ χειρῶν ἰδίων καρποφοροῦσα, καὶ ἑαυτῇ ἐπαρκουμένη, τοῖς τε ἀδελφοῖς καὶ ἐνδεομένοις τὴν μετὰ χεῖρας οἰκονομίαν· ἀπαρχῶν δὲ, φημὶ, καὶ προσφορῶν, καὶ ἐξ αὐτῶν (23) τῶν διὰ χειρῶν εἰργασμένων δι' ὑπερβολὴν διαθέσεως πρὸς Θεὸν, καὶ τοῖς πέλας ἑκουσίως μεταδιδοῦσα· καίτοι γε μὴ ἀναγκαζομένων αὐτῶν, μήτε κατακρινομένων, ἀλλὰ δικαιοσύνης πόνους καὶ ἐργασίαν ἐκκλησιαστικὴν ἐχόντων, καὶ κατὰ δικαιοσύνην σιτουμένων, δι' ὑπερβολὴν δὲ προαιρέσεως τοῦτο αὐτῶν ποιούντων. Ἐπιπόθεῖ γὰρ αὐτῶν ἡ ἔνθεος ψυχὴ, καὶ ἐν φόβῳ Θεοῦ ἑστηριγμένη, καὶ ἐκ Πνεύματος ἁγίου τὴν γνῶσιν κεκτημένη, πλούτου ἐπουρανίου τοῦ κατὰ δικαιοσύνην μετὰ ἐπαίνου, καὶ κλέους, καὶ ἀριστείας, τοῦ διὰ θείων δογμάτων, καὶ θείας μελέτης ἁγίας Γραφῆς, καὶ λογίων Θεοῦ, ψαλμῳδιῶν τε καὶ συνάξεων, ἁγίων νηστειῶν τε καὶ ἁγνείας, καὶ πολιτείας, καὶ τῆς διὰ χειρῶν, ἕνεκεν δικαιοσύνης, μετὰ προαιρέσεως ἐργασίας. Ἀλλὰ καὶ ἄλλῳ τύπῳ(23') προελήφθησαν οἱ αὐτοὶ τίμιοι ἡμῶν ἀδελφοὶ, οἱ κατὰ Μεσοποταμίαν ἐν μοναστηρίοις ὑπάρχοντες, εἴτουν *Μάνδραις* καλουμέναις, κώμαις [1] γυναικικαῖς προσβαλλόμενοι, καὶ σάκκῳ προφανεῖ ἐπερειδόμενοι. Ἔδει δὲ τὰ τῆς ἁγίας Παρθένου μητρὸς ἡμῶν τῆς Ἐκκλησίας ὑπάρχειν τέκνα σεμνὰ, οἰκουρὰ, Θεῷ λατρεύοντα κρυφίως τῷ εἰδότι τὰ κρύφια, καὶ ἀποδιδόντι ἐν τοῖς φανεροῖς, κατὰ τὸ γεγραμμένον, καὶ εὐσχημόνως διὰ τοὺς ἔξω, καὶ μὴ βούλεσθαι λαβεῖν ἀπὸ τῶν ὁρώντων τὸν μισθὸν καὶ τὴν χάριν. Ἀλλότριον γάρ ἐστι τῆς καθολικῆς Ἐκκλησίας σάκκος προφανὴς, καὶ κόμη ἐκτεμνομένη [2] ἀπὸ τοῦ κηρύγματος τοῦ Ἀποστόλου· *Ἀνὴρ γὰρ*, φησὶν, *οὐκ ὀφείλει κομᾶν, εἰκὼν καὶ δόξα Θεοῦ ὑπάρχων.*

VI. Illi enim tametsi e sacerdotum numero sint, ad sanctissimi sui secundum Deum in Christo patris imitationem (Paulum apostolum intelligo) non omnes quidem, sed plerique tamen ad susceptam divini verbi prædicationem externam manuum operam adjungunt; quamcunque demum artem adepti sint, quæ nec e dignitate sua, nec ab Ecclesiæ cura quam perpetuam gerunt, abhorreat, ut ipsorum conscientia, præter illum divini verbi prædicandi laborem, propriarum manuum fructum ferens, ac cum sibi ipsi, tum fratribus et egentibus operis sui quæstum impertiens, voluptate perfundatur, hoc est tam primitias et oblationes, quam quod manuum suarum opera lucelli quæsierit, cum proximis suis ultro pro ardenti in Deum amore communicet. Atqui nulla ad id agendum necessitate coacti damnatique sunt: Sed cum justissimos alios labores et ecclesiasticas occupationes habeant, et pro eo atque æquum est, ali indidem debeant, abundantia quadam virtutis et prolixæ voluntatis id sibi oneris imponunt. Etenim divinus illorum animus, et in Dei timore stabilitus, infusaque a Spiritu **1073** sancto scientia præditus, cœlestium opum, quæ in justitia positæ sunt, desiderio tenetur: quas cum laude et gloria, egregiisque factis e divinis dogmatibus ac sacrarum Litterarum et oraculorum Dei meditatione, atque e psalmorum concentionibus, et ecclesiasticis conventibus, necnon et sanctis jejuniis, castitate, religiosissimo vivendi instituto, ac sponte sibi indicta ob amorem justitiæ manuum opera consequuntur. Est et alia quædam vivendi forma ac disciplina, qua istiusmodi venerandi nostri fratres utuntur, qui in Mesopotamia in monasteriis, quas Mandras appellant, domicilium fixerunt. Qui et comas muliebrem in modum promittunt, et cilicium propalam affectant. Sed nimirum oportebat sanctæ Virginis ac nostræ matris Ecclesiæ liberos esse perhonestos, domum servantes, Deoque, qui abdita occultaque novit ac palam præmia persolvit, uti scriptum est, in abdito [4] servientes, idque decore, propter exteros, et honeste: adeo ut nullam ab intuentibus mercedem, aut gratiam exspectarent. Est enim ab Ecclesiæ catholicæ et apostolorum doctrina prorsus alienum, cilicium palam præ se ferre, ac comam submittere. *Vir enim*, inquit Apostolus, *comam nutrire non debet, cum imago Dei sit et gloria* [5].

Ζ'. Τί δὲ χεῖρον [3] καὶ ἐναντίον. Οἱ μὲν τὸ γένειον τὴν μορφὴν τοῦ ἀνδρὸς ἀποτέμνουσι, τρίχας δὲ τῆς κεφαλῆς πολλάκις κομῶσι. Καὶ περὶ μὲν οὖν τοῦ γενείου (24) ἐν ταῖς Διατάξεσι τῶν ἀποστόλων φάσκει

VII. Sed deterius quiddam ac contrarium ab illis geritur: siquidem isti barbam, hoc est propriam viri formam, resecant; capillos vero ut plurimum prolixiores habent. Atqui quod ad barbam

[1] F. κόμας. [2] F. ἐκτεινομένη. [3] F. ὃ δὲ χεῖρον, vel, ἔτι δέ. [4] Matth. VI, 6. [5] I Cor. XI, 7.

(23) *Καὶ ἐξ αὐτῶν.* Imo nonnunquam id clericis veterum conciliorum canonibus præscriptum, ut Carthag. IV, can. 51. *Clericus quantumlibet eruditus Dei eruditus artificio victum quærat.* De monachis vero multo id ipsum magis affirmat Augustinus libro singulari de ea re scripto.

(23') *Ἀλλὰ καὶ ἄλλῳ τύπῳ.* Meminit in *Ancorato.*

(24) *Καὶ περὶ μὲν οὖν τοῦ γενείου.* Locus est lib. I *Constit. apost.*, cap. 3. Notus conc. Carthag. canon 44, *Clericus nec comam nutriat, nec barbam radat.*

Digitized by Google

attinet, in apostolorum Constitutionibus divino sermone ac dogmate præscribitur, ne ea corrumpatur : hoc est ne barba ponatur, neve meretricius cultus et ornatus usurpetur, ac ne per arrogantiam et fastum affectata quædam justitiæ species in congressu ac consuetudine præferatur. Illud enim Nazaræis duntaxat ob figuram congruebat. Quippe veteres per futurarum rerum adumbratas imagines traducti sunt, velut cum comam ex voto promissiorem habuerunt, donec mundi votum advenit, et impletum est, hoc est apparuit Christus Dominus unicus Dei Filius; et innotescere mundo cœpit ille ipse sempiternus quidem, sed ab omni genere hominum nequaquam agnitus; verum a quibusdam duntaxat, qui in ipsum crediderant, ut cognito capite nullam huic ignominiam imponamus. Nam non tam de proprio **1074** cujusque capite loquitur Apostolus, quam ab eo in Christum ipsum ludibrium contumeliamque derivat : *Nonne* inquit, *natura ipsa nos docet, quod vir comam si nutriat, ignominia est illi* [1]? Quod quidem ignominiæ genus laudabile non est, ut illa quæ dicit : Ignominiam contempsisti. Neque enim quasi quoddam virtutis officium, Dei illud causa suscipitur, tametsi ad Deum pertinere videatur. Sed a contentione ac pertinacia profectum est, cum jam pridem legis umbra figuraque prætergressa, veritas ipsa successerit. Quare sic Apostolus decernit : *Si quis videtur contentiosus esse, nos talem consuetudinem non habemus, nec Ecclesiæ Dei* [2]. Quibus verbis eos, qui tale aliquid faciunt, et contentiose refragantur, ab apostolorum regula ac Dei Ecclesia summovendos putat. Hæc igitur omnia, accepta a Massalianis occasione, dicere necessarium habuimus, quod et ipsi indidem contracto opinionis illius morbo animoque depravati, a veritate decide-runt : unde nova est hæresis ex otio et ignavia cæterisque pestibus conflata.

VIII. Hæc sunt quæ de istiusmodi hominibus accepimus, qui mundo ad ludibrium expositi videntur, quique plebeia ingenii sui sensa et sermones evomunt, ac nec ulla firmitate cohærent, et omnino desperati sunt, atque extra Dei ædificationem constituti. Quare paucis illis adversus eos disputatis, ad eosdem confutandos aggrediemur. Principio mulieres cum viris promiscue versari, nulla ex veteri eorum consuetudine, qui in conjugio vixerunt, deprompta justitiæ et honestatis ratio patitur. Sed unus duntaxat cum una consociari debet, ut Adamus cum Eva, Sara cum Abrahamo, Rebecca cum Isaaco copulata legitur. Nam etsi quidam e Patribus duas tresve uxores habuerint, non in eadem illæ domo fuerunt. Nam hæc alioqui forma conjunctioque porcis ac pecudibus convenit. At hæretici nostri majorem nobis stuporem afferunt, qui cum nihil se cum mulieribus habere commune profiteantur, e contrario tamen turpia quæque ac ridicula impensius perpetrant et extre-

A ὁ θεῖος λόγος καὶ ἡ διδασκαλία μὴ φθείρειν, τουτέστι μὴ τέμνειν τρίχας γενείου, μηδὲ ἑταιρισμῷ κατακομεῖσθαι [3], μήτε ὑπερηφανίας ὑπόδειγμα δικαιοσύνης τὴν προσέλευσιν ἔχειν. Ἔπρεπε γὰρ Ναζωραίοις τοῦτο μόνον διὰ τὸν τύπον. Τύπῳ γὰρ ἠγοῦντο [4] οἱ παλαιοὶ τοῦ μέλλοντος ἔσεσθαι, ἔχοντες κόμην ἐπὶ τῆς κεφαλῆς διὰ τὴν εὐχήν, ἕως ὅτου ἦλθεν ἡ εὐχὴ τοῦ κόσμου, καὶ ἐτελειώθη· κεφαλὴ δὲ πέφηνεν ὁ Χριστὸς ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ, καὶ ἐγνώσθη τῷ κόσμῳ ὁ ὢν ἀεὶ καὶ μὴ γινωσκόμενος παρὰ τῇ πάσῃ ἀνθρωπότητι, ἢ μόνον ἐνίοις τοῖς εἰς αὐτὸν πεπιστευκόσιν· ἵν', ὅταν γνῶμεν τὴν κεφαλήν, μὴ καταισχύνωμεν τὴν κεφαλήν. Οὐ γὰρ ἕνεκεν τῆς ἰδίας κεφαλῆς λέγει, ἀλλ' ἀπὸ τῆς ἰδίας εἰς Χριστὸν ἐνσκήπτει τὸ τῆς χλευῆς ἔργον· ᾗ φησιν ὁ Ἀπόστο-
B λος· *Αὐτὴ ἡ φύσις οὐ διδάσκει ὑμᾶς, ὅτι ἀνὴρ μὲν ἐὰν κομᾷ, ἀτιμία αὐτῷ ἐστιν;* Αὕτη δὲ ἡ ἀτιμία οὐκ ἐπαινετή, ὡς ἐκείνη, λέγουσα, ὅτι Αἰσχύνης κατεφρόνησας. Οὐ γὰρ διὰ Θεὸν ἡ ἀρετή, κἄν τε διὰ Θεὸν ὑπολῃφθείη· ἀλλὰ διὰ φιλονεικίαν ὁ τρόπος; παρελθόντος τοῦ κατὰ νόμον τύπου, καὶ ἐλθούσης τῆς ἀληθείας. Λέγει δέ· *Εἴ τις δοκεῖ φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν, οὔτε αἱ Ἐκκλησίαι τοῦ Θεοῦ.* Παρεξέβαλεν οὖν τοὺς τὰ τοιαῦτα ἐργαζομένους, καὶ ποιοῦντας, ἐν φιλονεικίᾳ τε ὄντας, ἀπό τε τοῦ θεσμοῦ τῶν ἀποστόλων καὶ ἀπὸ τῆς τοῦ Θεοῦ Ἐκκλησίας. Ἀλλὰ ταῦτα ἠναγκάσθημεν λέγειν διὰ τὴν πρόφασιν τῶν προειρημένων Μασσαλιανῶν, ὅτι καὶ αὐτοί, λαβόντες ἐκεῖθεν τοῦ
C φρονήματος τὴν νόσον, καὶ ἐκτραπέντες τὴν διάνοιαν, ἐξώκειλαν τῇ ἀληθείᾳ· καὶ κατέστη αἵρεσις ἐν δεινότητι ἀργίας καὶ τῶν ἄλλων κακῶν.

Η'. Ταῦτά ἐστιν ἃ περὶ τούτων καὶ αὐτῶν ἀκηκόαμεν, τῶν εἰς χλεύην τῷ κόσμῳ καταστάντων, καὶ συρφετώδη νοῦν καὶ λόγους ἐξεμούντων, ἀσυστάτων δὲ ὄντων, καὶ ἀνελπίστων, καὶ τῆς τοῦ Θεοῦ οἰκοδομῆς ἔξω βεβηκότων. Ὅθεν καὶ περὶ τούτων ὀλίγα διαλαβόντες, αὖθις εἰς ἀνατροπὴν αὐτῶν ἐργασόμεθα. Καὶ πρῶτον μὲν, ὅτι γυναῖκες [5] μετὰ ἀνδρῶν ἐπι-
D τοαυτὸ εἶναι οὔτε ἀπὸ παλαιᾶς συνηθείας τῶν φύσει συζυγιῶν κεκτημένων ὁ δίκαιος ὁρίζει λόγος, ἀλλὰ ἀνὴρ γυνὴ [6] ἐπιταυτὸ ἕνα πρὸς τὴν μίαν· ὡς Ἀδὰμ πρὸς τὴν Εὔαν, ὡς Σάρρα πρὸς τὸν Ἀβραὰμ εἶχεν, ὡς Ῥεβέκκα τῷ Ἰσαὰκ συνῆπτο. Εἰ γὰρ καί τινες τῶν Πατέρων δύο καὶ τρεῖς γυναῖκας ἐσχήκασιν, οὐκ ἐν μιᾷ οἰκίᾳ αἱ γυναῖκες ἦσαν. Χοίρων γὰρ τὸ τοιοῦτον εἶδος, καὶ κτηνῶν ἡ τοιαύτη συνάφεια. Οὗτοι δὲ μᾶλλον εἰς ἔκπληξιν ἡμᾶς ἀναγκάζουσι φέρειν, ἐπαγγελλομένων αὐτῶν πρὸς γυναῖκας συνάφειαν μὴ ἔχειν, τοὐναντίον μᾶλλον τὴν χλευὴν ἀπεργαζόμενοι, καὶ τὴν τελείαν αὐτῶν ἐνδεικνύμενοι αἰσχύνην. Εἰ γὰρ καὶ γαμετὰς εἶχον οἱ τοιοῦτοι, σποράδην, οὐκ ἀναμὶξ

[1] I Cor. xi, 14. [2] ibid. 16. [3] F. κατακοσμεῖσθαι. [4] F. ἡγοντο. [5] F. γυναῖκας. [6] F. καὶ γυνή. Et mox εἰς πρὸς τὴν μίαν.

Digitized by Google

ταύτας ὤφειλον κεκτῆσθαι. Εἰ δὲ καὶ εἰσὶν ἐν συζυγίᾳ, οὐκ ἔδει αὐτοὺς τὸ ἐκ Θεοῦ καταδειχθὲν, ἀνδρὸς πρὸς γυναῖκα συνάφειαν, μετὰ εὐσχημοσύνης, καὶ σεμνότητος, καὶ ἐπιστήμης, καὶ ἐξ ἰδίας ἐλευθερίας ἐπὶ τὸ μέσον φέροντας φωρᾶσαι. Εἰ δὲ καὶ ἀπέσχοντο γυναικῶν ἐν ἁγνείᾳ τινὲς ὄντες καὶ ἐν ἐγκρατείᾳ, ἐξύβρισαν τὸ δίκαιον διὰ τῆς ἀνοησίας, καὶ τὸ τῆς ἀρετῆς πολίτευμα διὰ τῆς ἐν ἀφροσύνῃ ἀφειδοῦς ἐργασίας· οὐ τῶν ἀποστόλων τοῦτο πεπραχότων, οὐ τῶν πρὸ τῶν ἀποστόλων προφητῶν τοῦτο διαταξαμένων.

A mam suam iguominiam ostendunt. Etenim si uxores haberent illi, separatim, non promiscue habere illas oportebat. Si, inquam, conjugio essent obstricti, nefas erat viri cum muliere copulationem, quam Deus cum omni modestia, gravitate **1075** ac prudentia conjunctam instituit, sponte sua in medium proferre ac patefacere. Quodsi a mulieribus abstinent nonnulli, qui castimoniam sibi ac temperantiam indixerint, quam habent justitiam per summam stoliditatem et honestæ vitæ disciplinam, per inconsideratam illam vesanamque licentiam ignominiose traducunt: nihil enim ejusmodi aut apostoli unquam fecerunt, aut ante apostolos prophetæ constituerunt.

Θ'. Μωϋσῆς γοῦν ἐν τῇ ἐρήμῳ, ἀναλαβὼν τὴν ὑμνηγορίαν, ᾄδει τῷ Θεῷ ᾆσμα, ἀνελθὼν ἀπὸ θαλάσσης, φάσκων· *Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται· ἵππον καὶ ἀναβάτην ἔρριψεν εἰς θάλασσαν.* Ὑμοῦ δὲ ἐπεφώνουν αὐτῷ οἱ ἄνδρες, καὶ οὐδαμοῦ γυναῖκες· ἵνα τὴν εὔτακτον δείξῃ διάθεσιν· ἵνα τὸ σεμνὸν τῆς εὐταξίας τοῦ νόμου τοῦ Θεοῦ κηρύξῃ. Εἶτα μετέπειτά φησι· *Καὶ λαβοῦσα Μαριὰμ τὸ τύμπανον, ἦρχε τῶν γυναικῶν, καὶ ἔλεγεν· Ἄσωμεν τῷ Κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται.* Καὶ γυναῖκες ὁμοῦ ἐπεφώνουν τῇ ὁμοτρόπῳ, καὶ ἀπὸ τοῦ αὐτοῦ γένους ὑπαρχούσῃ, καὶ ἔν τινι προαγούσῃ, διὰ τὴν ἀνεπιστήμονα καὶ τὴν συρφετώδη διάνοιαν τῶν ἀναμὶξ ἐργαζομένων ἑτεροδιδασκαλίας. Περὶ δὲ τῆς ἀναστάσεώς φησιν ὁ προφήτης· *Καὶ κόψονται κατὰ φυλὴν, φυλὴ κατέναντι φυλῆς· φυλὴ τοῦ Νάθαν καθ' ἑαυτὴν, καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς· φυλὴ τοῦ Ἰούδα καθ' ἑαυτὴν, καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς.* καὶ τὰ ἑξῆς. Οὕτω καὶ οἱ ἀπόστολοι διατάσσουσι τῇ Ἐκκλησίᾳ· οὕτω καὶ ὁ Κύριος διέταξεν ἐν τῷ Εὐαγγελίῳ, ἀπὸ μιᾶς τὸ ὑπόδειγμα ἡμῖν κηρύττων, φήσας τῇ μητρὶ αὐτοῦ [1], *Μή μου ἅπτου. Οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα.* Οὕτως ὁ Γιεζεὶ προσέρχεται τῇ Σουναμίτιδι, ἀπωθούμενος ταύτην· ἵνα μὴ ἀφανίσῃ τὸ τάγμα· ἵνα μὴ ὑβρίσῃ τὸν θεσμὸν τῶν προφητῶν. Ὁ δὲ προφήτης, Πνεύματι ἁγίῳ φερόμενος, κατώδυνον ἐώρα τὴν Σουναμῖτιν. Παραμυθίας δὲ χάριν ὑπερβέβηκε τὴν τάξιν, καὶ ἀνεδέξατο πρὸς τὴν ὥραν παραμυθεῖσθαι [2] τῆς γυναικὸς χάριν, ἴσον ἡγησάμενος τὸ ἅπτεσθαι τῶν αὐτοῦ ποδῶν παρὰ συνήθειαν τὴν γυναῖκα, τῆς αὐτῆς ἐν τῇ διανοίᾳ κακώσεώς τε καὶ λύπης. Καὶ τί μοι πολλὰ λέγειν περὶ τούτων, τῶν τοὺς κύνας μιμουμένων, καὶ τοὺς ὗας ζηλούντων; Περὶ δὲ τοῦ εἰπεῖν ἑαυτὸν Χριστὸν, τίνι μανίᾳ ὃν οὐκ ὀφθείη τὸ δόγμα τῶν σύνεσιν κεκτημένων; ἢ λέγειν, ὅτι Προφήτης ἐγώ; Τί γὰρ προφητείας παρ' αὐτοῖς εἶδος φαινόμενον; Ἢ ποῖον Χριστοῦ θαυμαστὸν ἔργον γίνεται; Εἰ δὲ αὐτὸς Χριστὸς, εἰς ποῖον Κύριον ἤλπικέ τε καὶ πεπίστευκε; Τί τὰ τῆς πλάνης κενοφωνήματα; Τί τῶν ἀνοήτων τὰ δόγματα; Ἀλλὰ ἀρκέσει καὶ περὶ ταύτης τὰ εἰς αὐτὴν εἰρημένα.

IX. Imo vero Moyses in deserto carmen suum concinens, canticum Deo modulatur a mari digressus. *Cantemus*, inquit, *Domino; gloriose enim magnificatus est: equum et ascensorem dejecit in mare* [3]. Atqui tum viris accinentibus, mulieres ab illis abfuerunt, ut pudorem modestiamque demonstraret, et ut divinæ legis gravitatem ac disciplinam ostenderet. Pergit vero deinde: *Maria porro tympanum sumens, præibat mulieribus et dicebat: Cantemus Domino, gloriose enim magnificatus est* [4]. Cui mulieres pari modo succinebant, quæ et ex eodem erat genere, et quodammodo supra cæteras eminebat, ut vel ex hoc uno imperitum ac plebeium illorum consilium institutumque refellatur, qui peregrini dogmatis pudenda illa ac nefaria perpetrant. Ad hæc de resurrectione propheta sic loquitur: *Et plangent tributim: tribus ex adverso tribus: tribus Nathan per sese, et uxores illorum seorsim: tribus Juda per sese, et uxores illorum seorsim* [5], etc. Sic et apostoli Ecclesiæ præscripserunt; necnon et Dominus in Evangelio mandavit et in una nobis exemplum præbuit, cum ita Mariæ dixit: *Noli me tangere. Nondum enim ascendi ad Patrem meum* [6]. Ita porro Giezi ad Sunamitidem accedens feminam repellit, ne ordinem violaret ac prophetarum instituto contumeliam faceret [7]. At propheta Spiritu sancto instinctus dolore confectam esse Sunamitidem agnovit: ideoque ut eam consolaretur, officii legem paululum transgressus est, ac propter illius solatium, quod ab ea fiebat, ad tempus est passus, cum pedes suos a muliere præter consuetudinem attrectari, calamitati ipsius ac luctui par atque æquale esse crederet. Verum quid ego diutius in illis refutandis immoror, **1076** qui canum porcorumve spurcitiam imitantur? Quod autem Christum se esse quilibet ex istis asserit; quis prudens non illud insaniæ plenissimum arbitretur? aut cum se prophetas esse narrant? Quod enim prophetiæ genus apud illos apparet? Quodnam vero, ut a Christo quondam, admirabile est ab illis opus editum? Quod si ipsemet est Christus, ecquem in Dominum speravit ac credidit? Quæ sunt illæ tandem erroris ineptiæ? quæve stolidorum hominum dogmata? Sed adversus istam hæresin hucusque disputasse satis est.

[1] Hallucinatio est. [2] Cor. παραμυθίας. [3] Exod. xv, 1. [4] ibid. 20, 21. [5] Zach. xii, 12, 13 [6] Joan. xx, 17. [7] IV Reg. iv 4 sqq.

Digitized by Google

X. Hic ego postremo toti a me operi suscepto finem imponam : in quo singularem erga nos divini numinis opem ac præsentiam sumus experti, quod ex toto animo ac mente confiteri, eidemque Domino gratias agere debemus ; quandoquidem illo juvante quidquid receptum a nobis promissumque fuit, feliciter ad exitum perduximus : ac cum hæreses omnes exposuimus refutavimusque, tum quid ab unaquaque geratur pro virium nostrarum imbecillitate patefecimus. Cæterum cum octoginta hæreseon, quas in orbem terrarum introductas ad hanc diem audivimus, quarumque numerum et appellationes, nonnullarum etiam decreta, et argumenta affectionesque cognovimus ; cum, inquam, illarum origines causasque nulla re, quoad fieri potuit, prætermissa docuerimus, vehementer illud admirari subit, quod in sacris Litteris continetur : *Sexaginta sunt reginæ, et octoginta concubinæ ; et adolescentulæ, quarum nullus est numerus : una est columba mea, perfecta mea* [1]. De his igitur octoginta pellicibus hactenus egimus ; Barbarismo, Hellenismo, Scythismo, Judaismo et Samaritismo, quæ uxorum minime legitimarum nomina sunt : cujusmodi neque ab rege dotem acceperunt, neque in testamenti tabulis cum filiis hæredes scriptæ sunt. Etenim si proprie loqui velimus, LXXV sunt hæreses, quarum matres quinque sunt : puta Hellenismus, sive gentilium secta, a qua gentiles oriundi sunt ; Judaismus, unde Judæi, et hæreses ; ac Samaritica secta, unde Samaritismus et Christianismus. Ab his velut rami quidam separatæ hæreses avulsæ sunt. Quæ licet Christi nomen præ se ferant, nihil tamen ad illum pertinent : sed partim longius ab illo distant ; partim **1077** minimam ob causam ab omni illius hæreditate alienas ac peregrinas se faciunt, una cum ipsarum liberis, cum videlicet nequaquam legitime sint, sed inter externas habeantur, ac solum sibi Christianum nomen vindicent. Quæ cum ita sint, veritas nobis ipsa declaranda superest, atque unica nimirum illa columba, quæ a sponso collaudatur.

XI. Quocirca cum otium nacti simus, post enixas ad Deum preces, ut disputatione brevem, sic majorum traditione certam veritatis defensionem deinceps instituemus. Quæ quidem non tempore posterior, imo vero prior omnibus exstitit, nosque de ea ante hæreses omnes, cum de Christi incarnatione dissereremus, mentionem initio fecimus. Eadem porro nunc cum omnes antecedit, tum Christo Domino post ejus incarnationem, velut sponsa quædam sanctissima, conjuncta est : quæ et olim cum Adamo formata, et in illis, qui Abrahamum præcesserunt, prædicata patribus, et post Abrahamum fidem merita, et per Moysem patefacta et apud Isaiam prædicta, et in Christo demonstrata, cum eoque simul exsistens, posteriore a nobis loco commendabitur. Nam athletam oportet primum omnium in certamine ac labore cæterisque generibus

[1] Cant. VI, 7. [2] Hæc depravata leviter.

Γ'. Καὶ ἕως ὧδε ἐχέτω τὸ σφραγῖσαι καὶ τελειῶσαι τὴν πᾶσαν ἡμῶν περὶ τούτων πραγματείαν· τοῦ Θεοῦ ἡμῖν ἐπιφανέντος καὶ βοηθήσαντος, ὡς ὁμολογεῖν ἔστιν ἐκ πάσης ψυχῆς, καὶ διανοίας, εὐχαριστεῖν αὐτῷ τῷ Κυρίῳ, ὅτι τὸ ἐπάγγελμα, ὃ ἐπηγγειλάμεθα, ἐν αὐτῷ τῷ Κυρίῳ κατηξιώθημεν τελειῶσαι· κατὰ αἱρέσεων δὲ, φημὶ, τὴν διήγησιν καὶ ἀνατροπὴν ποιησάμενοι, ἅμα τε καὶ ἀποκαλύψαντες παρ' ἑκάστῃ τί πράττεται, ὡς κατὰ τὴν ἡμετέραν ὑπόστασιν τῆς ἀσθενοῦς ἀνθρωπότητος. Ἕως γὰρ ἐνταῦθα ὀγδοήκοντα αἱρέσεων, ὧν ἐνηχήθημεν τῷ κόσμῳ, καὶ ἔγνωμεν τὸν ἀριθμὸν καὶ τὰς ὀνομασίας καὶ τινων τὰς ῥήσεις, προφάσεις τε καὶ σχέσεις, τὰς ὁρμὰς καὶ τὰ αἴτια ἀπαραλείπτως ὑποδείξαντες, θαυμασμῷ φερόμενοι ἐκπεπλήγμεθα τὸ ἐν τῇ θείᾳ Γραφῇ εἰρημένον, ὅτι *Ἑξήκοντά εἰσι βασίλισσαι, καὶ ὀγδοήκοντα παλλακαί· καὶ νεάνιδες, ὧν οὐκ ἔστιν ἀριθμός· μία ἐστὶ περιστερά μου, τελεία μου.* Ὡς οὖν περὶ τῶν παλλακῶν τούτων τῶν ὀγδοήκοντα εἰρηκότες ἀπαρχῆς, βαρβαρισμοῦ, καὶ Ἑλληνισμοῦ, καὶ Σκυθισμοῦ, καὶ Ἰουδαϊσμοῦ, καὶ Σαμαρειτισμοῦ, ὀνομασίας τῶν οὐκ οὐσῶν ἐνθέσμων γυναικῶν, οὐδὲ ἀπὸ τοῦ βασιλέως πεπροικισμένων, οὐδὲ ἐν διαθήκαις τῶν τέκνων αὐτῶν κληρονομεῖν δυναμένων· φύσει μὲν γάρ εἰσιν ἑβδομήκοντα πέντε, καὶ τούτων αἱ μητέρες πέντε ὥσπερ Ἑλληνισμὸς, ἀφ' οὗ Ἕλληνες, καὶ Ἰουδαϊσμὸς, ἀφ' οὗ Ἰουδαῖοι, καὶ αἱρέσεις, καὶ Σαμαρειτικὴ, ἀφ' οὗ Σαμαρειτισμὸς, καὶ Χριστιανισμὸς, ἀφ' οὗ ἐξεκλάσθησαν, ὥσπερ κλάδοι, αἱ ἀφορισθεῖσαι αἱρέσεις, εἰς ὄνομα Χριστοῦ κληθεῖσαι, μὴ οὖσαι δὲ αὐτοῦ, ἀλλ' αἱ μὲν ἀπὸ μήκοθεν αὐτοῦ πολὺ διεστῶσαι, αἱ δὲ διά τι ἐλάχιστον ἀποκληρονόμους καὶ ξένας αὐτοῦ ἑαυτὰς καταστήσασαι, καὶ τὰ αὐτῶν τέκνα τῶν οὐκ οὐσῶν ἐνθέσμων, ἔξω δὲ βεβηκυιῶν, μόνον δὲ τὸ ὄνομα ἐπικεκλημένων Χριστοῦ· περιλειφθήσεται ἡμῖν ἡ περὶ ἀληθείας ἀπόδειξις, αὐτῆς τε τῆς περιστερᾶς τῆς μονωτάτης ὑπὸ τοῦ νυμφίου ἐπαινουμένης.

ΙΑ'. Καὶ ἐν σχολῇ ἡμῶν γενομένων, καὶ σφόδρα ἱκετευσάντων Θεὸν, σύντομον μὲν τῇ διαλογῇ, ἀσφαλῆ δὲ τῇ παραδόσει καὶ ὑπὲρ ἀληθείας ἀπολογίαν ἐν τῷ ἑξῆς ποιησόμεθα, οὐκ αὐτῆς ὑστέρας οὔσης, ἀλλὰ πρώτης. Καὶ ἤδη δὲ τῆς πρὸ τῶν αἱρέσεων ἐν τῇ ἐνδημίᾳ Χριστοῦ ἀνωτάτω ἡμῖν ὑπομνησθείσης, [2] νῦν δὲ πρώτην οὖσαν, καὶ Χριστῷ συνημμένην ἁγίαν νύμφην ἀπὸ τῆς ἐνσάρκου αὐτοῦ παρουσίας, [καὶ τὸ τῆς αὐτοῦ παρουσίας,] ἥτις ἐστὶ σὺν τῷ Ἀδὰμ πεπλασμένη, καὶ ἐν τοῖς πρὸ τοῦ Ἀβραὰμ πατριάρχαις κεκηρυγμένη, καὶ μετὰ τοῦ Ἀβραὰμ πεπιστευμένη, καὶ διὰ Μωϋσέως ἀποκαλυφθεῖσα, καὶ ἐν Ἡσαΐᾳ προφητευομένη, ἐν Χριστῷ δὲ ἀναδειχθεῖσα, καὶ σὺν Χριστῷ ὑπάρχουσα, ἐν ὑστέρῳ δὲ ὑφ' ἡμῶν ἐγκωμιαζομένη. Δεῖ γὰρ τὸν ἀγωνιζόμενον πρῶτον ἐνίστασθαι τῷ ἀγῶνι, τῷ τε καμάτῳ καὶ τοῖς ἄλλοις τοῦ ἀγῶνος παλαίσμασιν, ἵνα ὕστερον τὸν στέφανον

Digitized by Google

κομισάμενος μετὰ τοῦ στεφάνου ἐν ἀγαλλιάσει διατελοίη· οὐ τοῦ στεφάνου ὑστάτου ὄντος, ἀλλὰ προκειμένου μὲν τῆς πάλης, ὕστερον δὲ διδομένου εἰς χαρὰν καὶ εἰς ἀγαλλίασιν τῷ κεκμηκότι. Ταῦτα δὲ περὶ τούτων εἰρηκότες, ἐπὶ τοὺς προειρημένους παρέλθωμεν λόγους, δεῖξαι πῶς ὀγδοήκοντα μὲν εἰσὶ παλλακαὶ, ξ' δὲ βασίλισσαι, πῶς μία ἡ παρθένος, καὶ ἀγνὴ, καὶ νύμφη ὁμοῦ, καὶ περιστερὰ, καὶ ἀμνὰς, πόλις δὲ ἁγία Θεοῦ, καὶ πίστις, *καὶ ἑδραίωμα τῆς ἀληθείας, καὶ πέτρα στερεά· ἐφ' ἧς πύλαι ᾅδου οὐκ ἀντισχύσουσιν.* Ὁμοῦ γὰρ ἐν πᾶσι Θεὸν ἐπικαλούμενοι, καὶ ἐπικαλεσάμενοι, ἐτύχομεν τῆς ἐπαγγελίας πληρῶσαι τὴν ὑπόσχεσιν, τὴν κατὰ αἱρέσεων πασῶν, φημὶ· ἥτινι ἐπαγγελίᾳ καὶ ἄχρι τῆς τῶν Μασσαλιανῶν ἐφθάσαμεν αἱρέσεως. Καὶ αὐτὴν δὲ καταπεπατηκότες τῷ ὑποδήματι τοῦ Εὐαγγελίου, ὥσπερ χαμαιλέοντα πολύπουν· ἀειδῆ, ἄμορφον, δυσοδμίαν πνέουσαν, ἐν πᾶσι Θεῷ εὐχαριστήσωμεν, Πατέρα ἐν Υἱῷ, Υἱὸν ἐν Πατρὶ, σὺν ἁγίῳ Πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

exerceri, ut postea coronam auferens in lætitia ac voluptate degat. In quo quidem corona ipsa non postrema omnium est, sed luctæ ac certaminis proposita, postremo ei qui in arenam descenderit, ad voluptatem delectationemque tribuitur. Quæ cum ita se habeant, ad institutum sermonem redeamus; idque demonstremus ipsum, quomodo cum octoginta pellices sint ac sexaginta reginæ, unica virgo sit et casta eademque sponsa, columba, agna, sancta Dei civitas, fides, *ac firmamentum veritatis* [1], *firma petra, contra quam portæ inferi non prævalebunt* [2]. Nam huc usque divina, quam imploravimus, ope ac præsidio freti, hoc assecuti sumus, ut susceptam a nobis de omnibus hæresibus disputationem absolveremus: quam ad Massalianorum hæresin usque perduximus. Hac itaque velut quodam Evangelii calceo proculcata, perinde ac chamæleonte multipede, turpi ac deformi, et graviter olente, ob hæc omnia Deo gratias agamus, ac Patrem in Filio, Filium in Patre cum sancto Spiritu celebremus in sæcula sæculorum. Amen.

[1] I Tim. III, 15. [2] Matth. XVI, 18.

ΤΟΥ ΑΓΙΟΥ ΕΠΙΦΑΝΙΟΥ

ΣΥΝΤΟΜΟΣ ΑΛΗΘΗΣ ΛΟΓΟΣ

ΠΕΡΙ ΠΙΣΤΕΩΣ ΚΑΘΟΛΙΚΗΣ ΚΑΙ ΑΠΟΣΤΟΛΙΚΗΣ ΕΚΚΛΗΣΙΑΣ.

SANCTI EPIPHANII

BREVIS AC VERA EXPOSITIO FIDEI CATHOLICÆ ET APOSTOLICÆ ECCLESIÆ.

(Ex editione card. Thomasii, *Institutiones theologicæ*, part II, *Opp.* tom. IX, p. 258. Recensuit notisque auxit Antonius Franciscus Vezzosi C. R. Romæ 1769, in 4. — Notas etiam Petavii subjecimus.)

Α'. Τὰ μὲν πολυειδῆ καὶ πολύτροπα καὶ πολυσχεδῆ τῶν σκολιῶν βουλευμάτων [1] τῶν ἐναντίων διαλαβόντες προπετῆ διδάγματα, καὶ πρὸς εἶδος καὶ γένος διελόντες, φροῦδα καὶ ἑωλα δυνάμει Θεοῦ διηλέγξαμεν (25), τόν τε ἄπειρον τὸν ἀπὸ ἑκάστης αἱρέσεως βλασφημιῶν καὶ αἰσχρολογιῶν καὶ ἀηδεστάτων αὐτῶν μυστηρίων κλύδωνα διανηξάμενοι, μάλα μόλις τῶν ζητημάτων πάντη ἐπιλυσάμενοι, καὶ τὴν τούτων μοχθηρίαν ὑπερβεβηκότες, τοῖς τῆς ἀληθείας γαληνίοις ἐπλησιάσαμεν χωρίοις, πάντα μὲν τόπον δυσθάλαττον διαπεράσαντες, καὶ πᾶσαν ζάλην καὶ ἀφρισμὸν καὶ κυμάτων κύρτωσιν [2] ὑπομεμενηκότες, σάλον δὲ, ὡς εἰπεῖν, καὶ ἴλιγγας, βράχη τε οὐ τὰ τυχόντα καὶ θηριοβόλους τόπους θεασάμενοι, ἐν πείρᾳ τε τούτων διὰ τῶν λόγων γεγενημένοι, τὸν τῆς εἰρή-

1078 I. Posteaquam varia ac multiplicia e pravis exorta consiliis ac temeraria inimicorum dogmata disputatione nostra complexi sumus, et per formas generaque distribuentes, quam cassa et inania forent Dei virtute patefecimus, tum vero ex immensis illis uniuscujusque sectæ contumeliarum in Deum ac vocum turpissimarum acerbissimorumque mysteriorum fluctibus enatavimus; cumque, omnibus quæstionum nodis ægre dissolutis et illorum improbitate superata, ad tranquillam veritatis stationem appulerimus, difficili ac tempestuoso omni loco transmisso, et procellis ac spumosis undarum vorticibus defuncti, ubi jactationem ac vertiginem experti sæpius, tum brevia vadosaque et infesta belluis loca quam plurima prospeximus, quæ

[1] γρ. βουλεύματα. [2] γρ. κύρτασιν.

(25) Referantur illa oportet ad superiorum hæreseon in *Panario* confutationem cui S. Epiphanius subjunxit, uti constat, præsentem Fidei Expositionem.

Digitized by Google

quidem iis in disputationibus commentariisque periclitati sumus : cum postremo pacis portum eminus intueamur, ad eum navem applicare cupientes, divini numinis opem rursus implorabimus. Ac metu quidem omni et trepidatione nauseaque cessante, optimo in statu positi jucundissimoque certioris auræ ac securitatis afflatu perfruentes, tranquillum jam in portum subducti, spiritu animoque gestimus. Etenim iis in omnibus, si verum fateri volumus, pluribus incommodis et maximis injuriis conflictati, ac, terrestri maritimoque itinere confecto, quorum in illo impeditas ac difficiles salebras et solitudinis asperitates, in hoc varia pericula fuimus emensi, cum jam civitatem prospiciamus, ad ipsam properemus sanctam Hierusalem, Christi virginem ac sponsam, basin et petram solidissimam venerandamque matrem nostram, et eamdem Christi sponsam. In quo opportune istud usurpare possumus : *Venite, ascendamus ad montem Domini et ad domum Dei Jacob, et annuntiabit nobis viam suam* [1], etc.

A νης λιμένα νυνὶ θεώμενοι, εἰς ὃν κατᾶραι σπεύδοντες, δι' εὐχῆς πάλιν τὸν Κύριον ἀξιοῦμεν. Ἤδη μὲν παντὸς φόβου καὶ θορύβου καὶ ναυτιάσεως ὑπολωφῶντες, ἔξει δὲ καλλίστῃ (τὰς) πρὸ τῆς στερεᾶς ἄδρας[10] ἐμπνεόμενοι καὶ ἀσφαλείας καὶ τοῦ τε εὐδίου λιμένος, ἐνισχυόμενοι τῷ πνεύματι ἤδη γεγήθαμεν. Πολλὰ μὲν (εἰ δεῖ τ' ἀληθῆ λέγειν) μοχθηρὰ ἐπὶ τούτοις, καὶ ὕδρεις οὐ τὰς τυχούσας ὑποστάντες, καὶ γῆν καὶ θάλατταν, ὡς εἰπεῖν, πεζεύσαντές τε καὶ ποντοπορήσαντες, τῆς μὲν νῆς τὰ τραχῆ, καὶ τῆς ἐρήμου τὰς δυσχωρίας, καὶ τῶν προειρημένων πελαγῶν τοὺς κινδύνους, ὁμοῦ τε πόλιν ὁρῶντες, ἐπ' αὐτὴν σπεύσωμεν, τὴν ἁγίαν Ἱερουσαλήμ, καὶ τὴν παρθένον Χριστοῦ, καὶ νύμφην, ἀσφαλῆ τε βάσιν καὶ πέτραν, σεμνήν τε μητέρα ἡμῶν, Χριστοῦ νύμ- B φην. Εὐκαιρότατα καὶ αὐτοὶ λέγοντες· *Δεῦτε, ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακώβ, καὶ ἀναγγελεῖ ἡμῖν τὴν ὁδὸν αὐτοῦ*, καὶ τὰ ἑξῆς.

1079 II. Agite itaque, Christi filii ac sanctæ Dei Ecclesiæ liberi, qui hoc nostrum de LXXX hæresibus opus benigne percurristis, quique mecum altissimum illum pravorum dogmatum, quæ hucusque percensuimus, gurgitem tranastis, ac vastam et formidabilem siticulosamque solitudinem peragrastis, rerum omnium Dominum imploremus. Quod quidem jamdudum in votis habuimus, cum in quolibet sectarum istiusmodi loco, sic tanquam in Merrha, et in formidolosa ac squalida et inaccessa solitudine [2], in obliquos ac tortuosos illorum sermones incurreremus. Nunc illud jure nostro pronuntiemus : *Quemadmodum desiderat cervus ad fontes aquarum, ita desiderat anima mea ad te, Deus* [3]. Item : *Quando veniam, et apparebo ante faciem Dei* [4] ? Quin et nos ejusdem Scripturæ verbis sponsam vocemus, non ut ille ipsius Sponsus ac Dominus et rex et Deus et protector, sed ut ejus servi iisdem quibus ipse verbis illam appellemus : *Veni de Libano, sponsa, quoniam tota pulchra es, et macula non est in te* [5]. Paradise summi artifici, sancti regis civitas, puri illibatique Christi sponsa, castissima virgo, uni ac singulari viro desponsa per fidem, splendida et diluculi instar emergens ; pulchra ut luna, electa ut sol, terribilis ut castrorum acies ordinata [6] : quam reginæ beatam prædicant, et concubinæ celebrant, et puellæ collaudant [7] ; quæ ascendis e deserto, splendidissimo candore collucens et innixa patrueli : quæ unguentorum fragrantiam redoles : quæ ascendis e deserto tanquam virgula fumi ex myrrhæ thurisque suffitu, atque ex aromatarii pulvisculo, qui suavissimum odorem exhalavit [8]. Quem illa prævidens dicebat : *Unguentum effusum nomen tuum : propterea adolescentulæ dilexerunt te* [9]. Quæ ad dexteram regis assistis,

B'. Ἄγε τοίνυν, οἱ Χριστοῦ παῖδες, υἱοὶ τῆς ἁγίας Θεοῦ Ἐκκλησίας, οἱ τόδε τὸ σύνταγμα τῶν ὀγδοήκοντα αἱρέσεων ἡμέρως αὐτὸ διερχόμενοι, καὶ συν ἐμοὶ τὸν τοιοῦτον ὄγκον τῶν προειρημένων μοχθηρῶν διδασκαλιῶν διανηξάμενοι, διαπεζεύσαντές τε τὴν τοσαύτην ἔρημον, φοβεράν τε καὶ ἐν δίψει κατατεταγμένην, ἐπικαλεσώμεθα τὸν τῶν ὅλων Κύριον. Πάλαι μὲν ἐν ἐπιθυμίᾳ τούτου ὄντες, καὶ καθέκαστον τόπον τῶν αἱρέσεων τούτων, ὥσπερ ἐν Μερρᾷ τόπῳ, C καὶ ἐν δίψει τῆς φοβερᾶς ἀδάτου ἐρήμου, ἀεὶ συναντῶντες τοῖς σκολιοῖς αὐτῶν λόγοις. Ἐπιφωνήσωμεν καὶ αὐτοί· *Ὃν τρόπον ἐπιποθεῖ ἡ ἔλαφος ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, οὕτως ἐπιποθεῖ ἡ ψυχή μου πρὸς σέ, ὁ Θεός.* Καὶ πάλιν· *Πότε ἥξω, καὶ ὀφθήσομαι τῷ προσώπῳ τοῦ Θεοῦ ;* Διὰ τοῦτο τάχιον καὶ αὐτοὶ ἐπικαλεσώμεθα, οὐχ ὡς ἐκεῖνος ἐκάλει τὴν νύμφην, νυμφίος αὐτῆς τυγχάνων, καὶ Κύριος, καὶ Δεσπότης, καὶ βασιλεὺς, καὶ Θεὸς, καὶ ὑπέρμαχος· ἀλλ' ὡς δοῦλοι αὐτοῦ ἡμεῖς ἐπικαλεσώμεθα, συνῳδὰ τῷ αὐτῷ καὶ αὐτοὶ λέγοντες· *Δεῦρο ἀπὸ Λιβάνου, νύμφη, ὅτι ὅλη καλὴ εἶ, καὶ μῶμος οὐκ ἔστιν ἐν σοί.* Ὁ παράδεισος τοῦ μεγάλου τεχνίτου, ἡ πόλις τοῦ ἁγίου βασιλέως, ἡ νύμφη τοῦ ἀσπίλου Χριστοῦ, ἡ παρθένος ἡ ἁγνὴ, μόνῳ ἑνὶ ἀν- D δρὶ ἐν πίστει μεμνηστευμένη, ἡ διαφανὴς καὶ ἐκκύπτουσα ὡσεὶ ὄρθρος, καλὴ ὡς σελήνη, ὡς ἥλιος ἐκλεκτὴ, θάμβος ὡς τεταγμένη, ἡ μακαριζομένη ἀπὸ τῶν βασιλίδων, καὶ ἐξυμνουμένη ὑπὸ τῶν παλλακίδων, ἡ ὑπὸ τῶν θυγατέρων ἐπαινουμένη, καὶ ἀπὸ τῆς ἐρήμου ἀνερχομένη, καὶ λελευκανθισμένη, καὶ ἐπὶ τὸν ἀδελφιδοῦν αὐτῆς ἐπιστηριζομένη, ἡ μύρων πνέουσα, ἡ ἀπὸ τῆς ἐρήμου ἀνερχομένη ὡς στελέχη καπνοῦ τεθυμιαμένη σμύρναν καὶ λίβανον ἀπὸ κονιορτῶν μυρεψοῦ, τοῦ δεδωκότος ἑαυτοῦ τὴν εὐοδμίαν. Ὃν προορῶσα ἔλεγε· *Μύρον ἐκκενωθὲν*

[1] Isa. II, 3. [2] Exod. XV, 23 sqq. [3] Psal. XLI, 2. [4] ibid. 3. [5] Cant. IV, 8. [6] Cant. VI, 9. [7] ibid. 8. [8] Cant. III, 6. [9] Cant. I, 2. [10] F. αὔρας.

Digitized by Google

ὀνομά σοι, διὰ τοῦτο νεάνιδες ἠγάπησάν σε. Ἡ ἐστηκυῖα ἐκ δεξιῶν τοῦ βασιλέως, ἐνδεδυμένη κροσσωτὰ, διαχρύσοις πεποικιλμένη, ἡ μηδὲν σκοτεινὸν ἔχουσα. Ποτὲ δὲ μεμελανωμένη, νυνὶ δὲ καλὴ καὶ λελευκανθισμένη· ἵνα ἐν σοὶ γενόμενοι λωφήσωμεν τῶν προδιελθόντων ἡμᾶς στυγερῶν τῶν αἱρέσεων πραγμάτων, καὶ ἡσυχάσωμεν ἀπὸ σάλων τῆς τῶν αὐτῶν τρικυμίας, καὶ ἀναψύξωμεν ἐν σοὶ, ἁγία μήτηρ ἡμῶν Ἐκκλησία, καὶ ἐν τῇ ἁγίᾳ ἐν σοὶ διδασκαλίᾳ, καὶ ἁγίᾳ καὶ μόνῃ πίστει Θεοῦ ἐν ἀληθείᾳ. Ἀλλὰ ἄρξομαι περὶ ταύτης τῆς ἁγίας πόλεως Θεοῦ τὰ θαυμαστὰ διηγεῖσθαι· τὰ γὰρ δεδοξασμένα ἐλαλήθη περὶ αὐτῆς, ὡς φησὶν ὁ Προφήτης· *Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ πόλις τοῦ Θεοῦ.* Ἀνθρώποις μὲν πᾶσιν ἀνέφικτα, ἀπίστοις δὲ ἀλλότρια, πιστοῖς δὲ ἀνθρώποις καὶ ἀληθινοῖς ἐν μέρει, ἐν ὑποσχέσει δὲ τελειώσεως (ὡς) παρὰ τοῦ αὐτῶν Δεσπότου παρασχεθησόμενα ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὅπου αὐτὴ ἡ ἁγία παρθένος καὶ κληρονόμος σὺν τῷ ἰδίῳ Νυμφίῳ ἐν οὐρανῷ ἔσχε τὸν κλῆρον καὶ τὴν κληρονομίαν.

XXIII. Jam vero quod ad mortuos spectat, nominatim illorum mentio fit, ac preces et sacrificia mysteriaque frequentantur. Matutinæ insuper laudes in Ecclesia catholica matutinæque preces assidue celebrantur; lucernales item psalmi et orationes. Porro monachorum alii in urbibus degunt, alii in monasteriis habitant, et ab hominum frequentia longius abscedunt. Nonnullis vero prolixior coma placuit, sanctioris videlicet instituti causa : id quod suapte voluntate, sine Evangelii præcepto, aut apostolorum approbatione faciunt; nam sanctus apostolus Paulus formam ejusmodi atque cultum abdicavit [1]. Sunt et alia in eadem catholica Ecclesia instituta vivendi præstantia : nimirum, quod alii carnibus prorsus abstineant, tam quadrupedum et avium quam piscium, nec non ovis ac caseo. Tum alia sunt vitæ genera, propterea quod unusquisque secundum proprium laborem mercedem accipiet [2]. Igitur sunt qui illis omnibus abstineant; alii quadrupedibus duntaxat, sed avibus ac cæteris vescuntur; alii etiam ab avibus temperant, ova et pisces adhibent; alii etiam ova repudiant. Sunt qui piscibus abstinent : qui tamen caseum sibi permittunt. Alii vero caseo non utuntur. Præterea quidam a pane abstinent : quidam ab arborum fructibus et coctis omnibus. Plerique humi cubitant, alii nudis pedibus ac sine calceamentis incedunt, alii occultum cilicium ferunt, qui id laudabiliter, virtutis scilicet aut pœnitentiæ causa, ferunt; nam cilicium palam ac præ se ferre minus decorum videtur, quod instituere nonnulli. Neque plus decoris habet, ut diximus, quod nonnullis visum est, cum vinculis collo inditis incedere. Sed quam plurimi balneas nunquam vident. Nonnulli sæculo ita renuntiarunt, ut leviores quasdam artes ac minus negotiosas sibi ipsis excogitarent, ne ætatem in otio degerent, aut cibum cum cujusquam incommodo sumerent. Magna vero ex parte in decantandis psalmis ac continuis orationibus et sanctarum Scripturarum lectionibus, iisdemque memoriter pronuntiandis, seipsos exercent.

ΚΔ'. Περὶ δὲ ξενοδοχίας καὶ φιλανθρωπίας ἐλεημοσύνης τε εἰς πάντας, πᾶσιν ὁ τῆς ἁγίας ταύτης καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας καρπὸς κεκήρυκται. Τὸ δὲ λουτρὸν ἔχει ἀντὶ τῆς παλαιωθείσης περιτομῆς ἐν Χριστῷ· διαναπαύεται ἐν τῷ μεγάλῳ σαββάτῳ, ἀντὶ τοῦ μικροῦ σαββάτου. Ἀπέχεται κοινωνίας ἁπάντων αἱρέσεων· ἀποκηρύττει πορνείαν, καὶ μοιχείαν, καὶ ἀσέλγειαν, καὶ εἰδωλολατρείαν, καὶ φόνον. καὶ πᾶσαν παρανομίαν, καὶ μαγείαν, καὶ φαρμακείαν, ἀστρονομίαν, κληδονισμοὺς, παλμῶν

1107 XXIV. Jam vero hospitalitatis et humanitatis et in omnes pauperes beneficentiæ fructus toti catholicæ et apostolicæ Ecclesiæ communis omnibus est indictus. Eadem vero Ecclesia pro obsoleta illa in Christo circumcisione baptismum accepit : ac pro exiguo Sabbato, majoris Sabbati quietem admittit. Ab omnium hæreseon communione se segregat : fornicationem, adulterium ac libidinem proscribit omnem, item idololatriam, homicidium, iniquitatem omnem, maleficas artes,

[1] F. ἄλλαι. [2] I Cor. xi, 4. [3] I Cor. iii, 8.

(1) *Ἐπὶ δὲ τῶν τελευτησάντων.* Petavii animadversione insignis ac memorabilis locus hic Epiphanii habendus est, in quo agitur de orationibus et sacrificiis, quæ pro mortuis ab Ecclesia celebrantur. Fusius eadem de re idem Epiphanius agit et in hæresi 75, num. 7, quæ hæresis est Aerii. Ἐξ ὀνόματος, nominatim mortuorum mentionem fieri in sacris peragendis, quibus illis suffragetur, tradit Epiphanius tum in præsenti, tum memorato in loco Arianæ hæreseos, quo de ritu Deum exorandi pro mortuis confer, quæ Thomasius collegit veterum documenta eximio in Breviculo veteris moris in celebratione missarum edit. nostræ tom. VII, pag. 1, et alius inde sequentibus.

(2) *Λυχνικοί τε ἅμα ψαλμοί.* Lucernales psalmi qui vespertino tempore recitabantur, quo lucernæ opus erat lumine. Unde et Vespertinum officium *Lucernarium* veteres dixere. Vide quæ apud Thomasium nostrum ea de re non semel occurrant Operum illius volumine in secundo.

Digitized by Google

veneficia, astronomiam, auguria, sortitiones, incantationes, amuleta, quæ phylacteria vocantur. Ad hæc, theatra et equestres ludos et venationes ac musicos damnat, et maledicentiam omnem, detractionem, pugnam atque rixam, blasphemiam, injuriam, avaritiam et usuram. Negotiatores non admodum probat, sed in omnium infimo loco constituit. Oblationes ab his, qui injuria neminem affecerint, neque scelus aliquod perpetrarint, sed juste vitam instituant, admittit. Preces ad Deum assidue easdemque frequentissimas ac sedulas et cum genuflexione in constitutis diebus, noctu et interdiu fundere præcipit. Porro quibusdam in locis sacri conventus et synaxes etiam sabbatis indicuntur. Illud vero non ab omnibus, sed a præstantioribus observatur, ut ne dejerent omnino, neque convicium cuiquam faciant, aut imprecentur, pro eo ac Salvator jussit : adeoque quoad in ipsis situm est, nunquam omnino mentiantur. Plerique vero bona sua vendunt et in pauperes distribuunt.

A παρατηρήσεις, ἐπαοιδίας, περίαπτα, τὰ δὴ καλούμενα φυλακτήρια. Ἀποκηρύσσει θέατρα, καὶ ἱππικοὺς, καὶ κυνήγια, μουσικούς τε καὶ πᾶσαν κακολογίαν καὶ καταλαλιάν, καὶ πᾶσαν μάχην, καὶ βλασφημίαν, ἀδικίαν τε καὶ πλεονεξίαν, καὶ τοκοληψίαν. Πραγματευτὰς οὐκ ἀποδέχεται, ἀλλὰ ὑποδεεστέρους πάντων ἡγεῖται. Προσφορὰς λαμβάνει παρὰ τῶν οὐκ ἀδικούντων, οὐδὲ παρανομούντων, ἀλλὰ δικαίως βιούντων. Εὐχὰς δὲ ἐνδελεχῶς προστάσσεται μετὰ πάσης πυκνότητος καὶ ἐκτενείας, καὶ γονυκλισίας ἐν ταῖς τεταγμέναις ἡμέραις, νύκτωρ καὶ μεθ' ἡμέραν ἀναπέμπειν Θεῷ. Ἔν τισι δὲ τόποις καὶ ἐν τοῖς σάββασι συνάξεις ἐπιτελοῦσιν· οὐ πάντη δὲ, ἀλλὰ παρὰ τοῖς ἀκρέμοσι φυλάσσεται τὸ μὴ ὀμνύναι ὅλως, μηδὲ λοιδορήσασθαι, μηδὲ κα- B ταρᾶσθαι, ἐκ προστάγματος αὐτοῦ τοῦ Σωτῆρος, μήτε μὴν ψεύσασθαι ὅσον κατὰ τὸ δυνατόν. Οἱ πλείους δὲ πιπράσκουσι τὰ ὑπάρχοντα καὶ διδόασι πτωχοῖς.

XXV. Forma quidem ac nota Ecclesiæ catholicæ est ejusmodi, cum ea fidei formula quam supra proposuimus ; et hæ leges ac decreta in ea celebrantur. Hæc est, inquam, Ecclesiæ forma ex lege, prophetis, apostolis et evangelistis conflata : quæ exquisiti cujusdam antidoti instar est, ex multis unguentis ad eorum salutem qui uti voluerint, confecti de voluntate Patris et Filii ac Spiritus sancti. Hæc est venerandæ Christi sponsæ nota C peculiaris ac descriptio, hæc illius dos et hæreditatis testamentum, hæc cœlestis ipsius sponsi Jesu Christi Domini **1108** voluntas. Per quem et cum quo Patri gloria, honor et imperium cum sancto Spiritu in sæcula sæculorum. Amen.

ΚΕ'. Οὗτος ὁ χαρακτὴρ ταύτης τῆς ἁγίας μετὰ τῆς προδηλωθείσης πίστεως, καὶ οὗτοι οἱ θεσμοὶ ἐν αὐτῇ ἀναφέρονται. Οὗτος γάρ ἐστιν ὁ χαρακτὴρ τῆς Ἐκκλησίας, ἀπὸ νόμου καὶ προφητῶν καὶ ἀποστόλων καὶ εὐαγγελιστῶν συνηγμένος· ὥσπερ ἐκ πολλῶν μυρίων ἀντίδοτος ἀγαθὴ τοῖς χρωμένοις εἰς σωτηρίαν κατεσκευασμένη ἐκ θελήματος Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος. Οὗτοι οἱ χαρακτῆρες τῆς σεμνῆς ταύτης νύμφης Χριστοῦ. Αὕτη ἡ προῖξ καὶ διαθήκη κληρονομίας καὶ βούλημα τοῦ αὐτῆς νυμφίου καὶ ἐπουρανίου Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου ἡμῶν· δι' οὗ καὶ μεθ' οὗ τῷ Πατρὶ δόξα, τιμὴ, κράτος σὺν ἁγίῳ Πνεύματι εἰς αἰῶνας αἰώνων. Ἀμήν.

Omnes qui hic sunt fratres plurimum vos salutant : sed in primis Anatolius, qui has contra octoginta hæreses disputationes notarum compendiis cum ingenti labore ac prolixa voluntate in schedis excipere atque emendare meruit : necnon et Hypatius venerabilis diaconus, qui idem illud opus e schedis in quaternionibus descripsit. Pro quibus Deum obsecrare dignemini, reverendi ac charissimi fratres. Pax Domini nostri Jesu Christi, gratia et veritas secundum ejus mandatum, cum D omnibus vobis perpetuo sit, honestissimi ac charissimi fratres. Amen.

Πάντες οἱ παρ' ἡμῖν ἀδελφοὶ προσαγορεύουσιν ὑμῶν τὴν τιμιότητα, μάλιστα Ἀνατόλιος, ὁ διά τε σημείων καὶ σχεδαρίων τῶν κατὰ τῶν αἱρέσεων τούτων τῶν ὀγδοήκοντά φημι, μετὰ πολλοῦ καμάτου καὶ προαιρέσεως καλλίστης γράψαι καὶ διορθώσασθαι καταξιωθείς· ἅμα τε καὶ Ὑπάτιος ὁ τιμιώτατος συνδιάκονος, ὁ τὴν μεταγραφὴν ἀπὸ τῶν σχεδαρίων ἐν τετράσι ποιησάμενος· ὑπὲρ ὧν καὶ εὔχεσθαι καταξιώσατε, τιμιώτατοι καὶ ποθεινότατοι ἀδελφοὶ, ὡς ἀληθῶς. Ἡ εἰρήνη τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ χάρις καὶ ἡ ἀλήθεια, κατὰ τὸ αὐτοῦ πρόσταγμα μετὰ πάντων ὑμῶν, φιλοκαλώτατοι, ἀγαπητοὶ ἀδελφοί. Ἀμήν.

Digitized by Google

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΕΠΙΦΑΝΙΟΥ

ΑΝΑΚΕΦΑΛΑΙΩΣΙΣ.

—

S. P. N. EPIPHANII

ANACEPHALÆOSIS

SIVE EORUM QUÆ IN PANARIO DICTA SUNT SUMMA COMPREHENSIO.

(Ex editione Josephi Mariæ cardinalis Thomasii in *Institutionibus theologicis*, parte II, denuo recensente Antonio Francisco Vezzosi C. R. Romæ 1769, in 4.)

—

Ἐπειδήπερ μέλλομεν ὑμῖν τά τε ὀνόματα τῶν αἱρέσεων δηλοῦν, τάς τε παρ' αὐτοῖς ἀθεμίτους πράξεις ἀνακαλύπτειν ὥσπερ ἰοὺς καὶ δηλητήρια ὄντα· σὺν αὐτοῖς δὲ ἅμα καὶ ἀντιδότους ἐφαρμόσαι, ἀλεξητηρίους μὲν τῶν δεδηγμένων, προκαταληπτικοὺς δὲ τῶν μελλόντων εἰς τοῦτο ἐμπίπτειν· Πανάριον (γάρ) τι, ἤγουν κιβώτιον ἰατρικὸν (4) τῶν θηριοδήκτων ἑρμηνεύσομεν, ὅτιπέρ ἐστί τι βιβλίον διὰ τριῶν συγγραφὲν, ἔχον αἱρέσεις ὀγδοήκοντα· αἵτινες εἰς θηρίων ἢ ἑρπετῶν αἰνίγματά εἰσι· μίᾳ δὲ μετὰ τὰς ὀγδοήκοντα ἡ τῆς ἀληθείας βάσις ἅμα καὶ διδασκαλία σωτήριος πραγματεία, καὶ Χριστοῦ νύμφη ἁγία Ἐκκλησία, οὖσα μὲν ἀπ' αἰῶνος, διὰ δὲ τῆς ἐνσάρκου Χριστοῦ παρουσίας μετὰ τὴν διαδοχὴν τοῦ χρόνου μέρος [1] τῶν προειρημένων αἱρέσεων ἀποκαλυφθεῖσα, καὶ ὑφ' ἡμῶν ἐν ὑπομνήμασι διὰ τοῦ κηρύγματος τοῦ Χριστοῦ ταχθεῖσα· καὶ πάλιν μετὰ πάσας τὰς τῶν αἱρέσεων τούτων μοχθηρίας, ὡς ἀναψυχὴν τῶν τὸν κάματον τῶν αἱρέσεων διὰ τῆς ἀναγνώσεως διελθόντων, ὑφ' ὑμῶν μετ' ἐπιτομῆς τοῦ λόγου κατὰ τὴν τῶν ἀποστόλων διδασκαλίαν σαφῶς ἀπαγγελθεῖσαν. Παρακαλεῖτε [2] δὲ πάντες οἱ φιλοκάλοις [3] ἐντυγχάνοντες, τῷ τε προοιμίῳ καὶ ταῖς μετέπειτα αἱρέσεσι, καὶ τῇ ὑπὲρ τῆς ἀληθείας ὁμολογίᾳ τε καὶ διδασκαλίᾳ τῆς ἀληθείας, καὶ πίστει τῆς ἁγίας καθολικῆς Ἐκκλησίας.

A **1109** Quoniam hæreseon omnium nomina declaranda vobis hoc in libro suscepimus, nec non exsecranda ac nefaria illarum flagitia tanquam præsentissima quædam venena patefacere volumus; atque his velut antidota quædam opponere, quæ vel iis qui morsu petiti sunt remedio esse possint, vel eos, quibus ne incidant periculum est, præmuniant ac conservent: Panarium sive arculam medicam, ad eorum qui a serpentibus icti sunt remedium, jure opus illud ac librum interpretabimur: qui in tres partes divisus hæreses octoginta complectitur, quæ serpentum ac reptilium similes sunt. Secundum quas veritatis firmamentum, et salutaris doctrina, fideique formula subjecta est, ac Christi sponsa, sancta videlicet Ecclesia declarata. B Quæ cum jam tum ab orbe condito esse cœperit, postea tamen per Christi Domini incarnationem temporum successione ante commemoratas omnes hæreses vulgata atque patefacta, eademque a nobis in commentarios ex Christi prædicatione relata: ac rursum post explicatam **1110** omnem istarum hæreseon improbitatem, ex apostolorum disciplina accurate ac perspicue brevi quodam est compendio subjecta; uti ea re illorum recreentur ac reficiantur animi, qui hunc hæreseon percurrendarum laborem susceperint. Porro vos omnes honestarum rerum studiosi lectores rogatos volumus, ut et procœmium ipsum, et insequentium hæreseon expositionem, ac veritatis professionem et doctrinam, ac sanctæ et catholicæ Ecclesiæ fidem a nobis expressam percurrere velitis.

[1] F. μετά. [2] F. παρακαλεῖσθε. [3] γρ. φιλοκάλους, sed locus parum sincerus.

(4) *Κιβώτιον ἰατρικόν.* Adhibito similitudinis involucro, *Panarii*, cujus compendium et breviarium veluti quoddam est præsens ἀνακεφαλαίωσις, nobis illic aperit Epiphanius. Hisce similia videsis in ea *Epistola ad Acacium et Paulum presbyteros*, quam *Panario* præmisisse Epiphanium constat. Cæterum de usurpatione vocis hæreseos in hisce Epiphanii scriptis; de hæresum partitione, ejusque vitiis; et de ejusdem partitionis discrimine, quod occurrit inter *Panarium*, et *Anacephalæosim*, consulendus præ cæteris Petavius sub initium pulcherrimarum suarum ad *Panarium* animadversionum.

Digitized by Google

Quæ quidem omnia hoc in opere comprehensa tribus libris explicantur, primo et secundo ac tertio. Iidem porro libri in septem tomos distributi sunt, quorum singuli certum hæreseon ac schismatum numerum continent : quæ simul collecta LXXX conficiunt. Quorum appellationes hæ sunt ac dogmata : Barbarismus, Scythismus, Hellenismus, Judaismus, Samaritismus: Ab iis deinceps reliquæ sectæ profluxerunt. Nam ante Christi Salvatoris adventum, e Barbara et Scythica ac Græca superstitione ac cæteris id genus istæ prodierunt : Pythagorici, sive Peripatetici, Platonici, Stoici et Epicurei. Tum Samaritana secta, quæ ex Judaica pullulavit ; ea porro quatuor in factiones abiit, Gortheorum, Sebuæorum, Dositheorum et Essenorum. Sequitur Judaismus, qui propriam ab Abrahamo figuram ac notam accepit, deinde per Moysis legem collatatus, ab Juda Jacobi filio, qui Israel appellatus est, et per Davidem, populi istius ex eadem illa tribu regem, Judaismi appellationem obtinuit. Ab hoc septem hæ prodierunt hæreses, Scribarum, Pharisæorum, Sadducæorum, Hemerobaptistarum, Ossæorum, Nassaræorum, Herodianorum.

Secundum has sectas successione temporum Domini nostri Jesu Christi incarnatio toti orbi salutaris illuxit, et cum hac Evangelii doctrina et cœlestis regni prædicatio ; qui quidem unicus est fons salutis et catholicæ apostolicæque Ecclesiæ vera fides. A qua insequentes omnes sectæ, quæ solum Christi nomen, non fidem præferunt, amputatæ sunt et avulsæ. Quæ sunt, Simoniani, Menandriani, **1111** Saturniliani, Basilidiani, Nicolaitæ, Gnostici qui et Stratiotici et Phibionitæ, ab aliis vero Coddiani appellantur ac Borboriani, apud alios Socratitæ, apud quosdam Zacchæi : Carpocratitæ, Cerinthiani qui et Merinthiani, Nazaræi, Ebionæi, Valentini, Secundiani, quibus accedit Epiphanes et Isidorus : Ptolemæi, Marcosii, Colorbasii, Heracleonitæ, Ophitæ, Caiani, Sethiani, Archontici, Cerdoniani, Marciones, Lucianistæ, Apelleiani, Severiani, Tatiani, Encratitæ, Phrygastæ qui et Montanistæ et Tascodrugitæ, Pepuziani qui et Priscilliani ac Quintiliani. Quibus adjiciuntur Artotyritæ, Tessarescædecatitæ qui Paschatis celebritati unam quotannis diem præfiniunt ; Alogi, qui Evangelium et Apocalypsin Joannis rejiciunt ; Adamiani, Sampsæi, qui et Helcesæi, Theodotiani, Melchisedeciani, Bardesianistæ, Noetiani, Valesii, Cathari, qui et Novatiani, Angelici, Apostolici qui et Apotactici, Sabelliani, Origenistæ fœditatis auctores, Origenistæ ab Origene qui etiam Adamantius appellatur : Pauli Samosatensis, Manichæi qui et Acoanitæ, Hieracitæ, Mele-

Καὶ ἔστι τὰ ἐν τῇ πάσῃ πραγματείᾳ διὰ τῶν προειρημένων τριῶν βιβλίων, πρώτου καὶ δευτέρου καὶ τρίτου, ἅτινα τρία βιβλία εἰς ἑπτὰ τόμους διεῖλομεν· ἐν δὲ ἑκάστῳ τόμῳ ἀριθμὸς τις αἱρέσεων καὶ σχισμάτων ἔγκειται· ὁμοῦ δὲ πᾶσαί εἰσιν ὀγδοήκοντα· ὧν αἱ ὀνομασίαι καὶ αἱ προφάσεις (5) αὗται· Βαρβαρισμὸς, Σκυθισμὸς, Ἑλληνισμὸς, Ἰουδαϊσμὸς, Σαμαρειτισμός. Ἐκ τούτων αἱ καθεξῆς, πρὸ μὲν τῆς ἐπιδημίας Χριστοῦ, ἀπὸ δὲ τοῦ Βαρβαρισμοῦ καὶ τῆς Σκυθικῆς δεισιδαιμονίας καὶ τοῦ Ἑλληνισμοῦ καὶ τῶν λοιπῶν φύσασαι αὗται· Πυθαγόρειοι, εἴτουν Περιπατητικοὶ, Πλατωνικοὶ, Στωϊκοὶ, Ἐπικούρειοι. Εἶτα ἡ Σαμαρειτικὴ οὖσα αἵρεσις ἡ ἐκ τοῦ Ἰουδαϊσμοῦ· καὶ ταύτης τέσσαρα ἔθνη, Γοργοθηνοὶ [1], Σεβουαῖοι, Δοσίθεοι, Ἐσσηνοί. Εἶτα ὁ αὐτὸς προειρημένος Ἰουδαϊσμὸς ἀπὸ τοῦ Ἀβραὰμ τὸν χαρακτῆρα εἰληφὼς, καὶ διὰ τοῦ δοθέντος νόμου τῇ Μωϋσῇ πλατυνθεὶς, καὶ ἀπὸ τοῦ Ἰούδα τοῦ υἱοῦ Ἰακὼβ τοῦ καὶ Ἰσραὴλ, διὰ Δαβὶδ τοῦ βασιλεύσαντος αὐτῶν ἐκ τῆς τούτου φυλῆς, τὸ ἐπώνυμον τοῦ Ἰουδαϊσμοῦ κληρωθείς. Καὶ ἀπ' αὐτοῦ τε νῦν τοῦ Ἰουδαϊσμοῦ ἑπτὰ αἱρέσεις αὗται· Γραμματέων, Φαρισαίων, Σαδδουκαίων, Ἡμεροβαπτιστῶν, Ὀσσαίων, Νασσαραίων, Ἡρωδιανῶν.

Ἐκ τούτων τῶν αἱρέσεων καὶ μετέπειτα κατὰ διαδοχὴν τῶν χρόνων ἐπεφάνη ἡ σωτήριος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ οἰκονομία, ἤγουν ἡ ἔνσαρκος αὐτοῦ παρουσία καὶ εὐαγγελικὴ διδασκαλία τε καὶ κήρυγμα βασιλείας· ἥτις μόνη ἐστὶ πηγὴ σωτηρίας καὶ πίστις ἀληθείας τῆς καθολικῆς καὶ ἀποστολικῆς Ἐκκλησίας. Ἐκ δὲ ταύτης περιεκλάσθησάν τε καὶ ἐσχίσθησαν ὄνομα μόνον Χριστοῦ ἔχουσαι, ἀλλ' οὐχὶ τὴν πίστιν. Εἰσὶ δὲ αὗται· Σιμωνιανοὶ, Μενανδριανοὶ, Σατορνιλιανοὶ, Βασιλιδιανοὶ, Νικολαΐται, Γνωστικοὶ οἱ καὶ Στρατιωτικοὶ, οἱ αὐτοὶ δὲ Φιβιωνῖται, παρὰ δέ τισι Κυββδιανοὶ καλούμενοι καὶ Βορβοριανοὶ, παρ' ἄλλοις δὲ Σωκρατῖται, παρ' ἑτέροις δὲ Ζακχαῖοι· Καρποκρατῖται, Κηρινθιανοὶ οἱ καὶ Μηρινθιανοὶ, Ναζαραῖοι, Ἐβιωναῖοι, Οὐαλεντῖνοι, Σεκουνδιανοὶ, οἷς συνάπτονται Ἐπιφάνιος καὶ Ἰσίδωρος· Πτολεμαῖοι, Μαρκώσιοι, Κολορβάσιοι, Ἡρακλεωνῖται, Ὀφῖται, Καϊανοὶ, Σηθιανοὶ, Ἀρχοντικοὶ, Κερδωνιανοὶ, Μαρκίωνες, Λουκιανισταὶ, Ἀπελλῆιανοὶ, Σευηριανοὶ, Τατιανοὶ, Ἐγκρατῖται, κατὰ Φρύγας [2] τῶν καὶ Μοντανιστῶν καὶ Τασκοδρουγιτῶν· Πεπουζιανοὶ οἱ καὶ Πρισκιλλιανοὶ καὶ Κυντιλιανοὶ, οἷς συνάπτονται Ἀρτοτυρῖται, Τεσσαρεσκαιδεκατῖται οἱ τὸ Πάσχα μίαν ἡμέραν τοῦ ἔτους ποιοῦντες· ἄλλοι [3] οἱ τὸ Εὐαγγέλιον καὶ τὴν Ἀποκάλυψιν Ἰωάννου μὴ δεχόμενοι· Ἀδαμιανοὶ, Σαμψαῖοι οἱ καὶ Ἐρκεσαῖοι [4], Θεοδοτιανοὶ, Μελχισεδεκιανοὶ, Βαρδησιανισταὶ, Νοητιανοὶ, Οὐαλήσιοι, Καθαροὶ οἱ καὶ Ναυάτοι, Ἀγγελικοὶ, Ἀποστολικοὶ οἱ καὶ Ἀποτακτικοὶ, Σαβελλιανοὶ, Ὠριγένειοι οἱ καὶ αἱσχρο-

[1] Scr. Γορθηνοί. [2] Leg. Καταφρυγαστῶν. [3] Cor. Ἄλογοι. [4] Cor. Ἐλκεσαῖοι.

(5) *Al προφάσεις*, causæ, occasiones, prætextus Latine dici debent potius quam *dogmata*. Confer et num. 2 laudatæ mox S. Epiphanii *Epistolæ ad Acacium et Paulum*, quam epistolam iisdem fere verbis expressam et hoc in loco Epiphanius idem nobis exhibuit.

Digitized by Google

ποιοί, Ὠριγένειοι οἱ καὶ τοῦ Ἀδαμαντίου· Παύλου τοῦ Σαμωσατέως, Μανιχαῖοι οἱ καὶ Ἀκωανῖται, Ἰουρακῖται, Μελετιανοὶ οἱ κατ' Αἴγυπτον σχίσμα ὄντες, Ἀρειανοὶ οἱ καὶ Ἀρειομανῖται, Αὐδιανῶν τὸ σχίσμα, Φωτεινιανοὶ, Μαρκελλιανοὶ, Ἡμιάρειοι, Πνευματομάχοι οἱ τὸ ἅγιον Πνεῦμα τοῦ Θεοῦ βλασφημοῦντες· Ἀεριανοὶ, Ἀετιανοὶ οἱ καὶ Ἀνόμοιοι, οἷς συνάπτεται Ἀνόμοιος [1]. Διμοιρῖται οἱ μὴ τελείαν τὴν Χριστοῦ ἐνανθρώπησιν ὁμολογοῦντες, οἱ καὶ Ἀπολιναρῖται· οἱ καὶ τὴν ἁγίαν Μαρίαν τὴν ἀειπάρθενον λέγοντες μετὰ [2] τὸν Σωτῆρα γεγεννηκέναι τῷ Ἰωσὴφ συνῆφθαι, οὗστινας ἐκαλέσαμεν Ἀντιδικομαριανίτας· καὶ οἱ εἰς ὄνομα τῆς αὐτῆς Μαρίας τῆς Θεοτόκου κολλυρίδα προσφέροντες, οἱ καλοῦνται Κολλυριδιανοί· Μασσαλιανοὶ, οἷς συνάπτονται Μαρτυριανοὶ, οἱ ἀπὸ τῶν Ἑλλήνων καὶ Εὐφημῖται καὶ Σατιανοί [3].

Ἐπανιὼν δὲ αὖθις, καὶ διελὼν ταύτας κατὰ βιβλίον, ὑποδείξω ἐν ταύτῃ τῇ ἀνακεφαλαιώσει, πόσαι τούτων τῶν ὀγδοήκοντα αἱρέσεων ἐν τῷ πρώτῳ βιβλίῳ καὶ καθεξῆς ἐν τῷ δευτέρῳ ἕως τοῦ τρίτου· ἀλλὰ καὶ καθ' ἕκαστον τῶν ἑπτὰ τόμων τῶν ἐν τρισὶ βιβλίοις συντεταγμένων, πόσαι εἰσὶν ἐν ἑαυτῷ [4] χωρισθεῖσαι αἱρέσεις. Καὶ ἔστιν οὕτως· Ἐν μὲν τῷ πρώτῳ βιβλίῳ τόμοι τρεῖς, αἱρέσεις τεσσαράκοντα ἕξ. σὺν ταῖς ὀνομασίαις τούτων, φημὶ δὲ Βαρβαρισμὸν, καὶ Σκυθισμὸν, καὶ Ἑλληνισμὸν, καὶ Ἰουδαϊσμὸν, καὶ Σαμαρειτισμόν. Ἐν δὲ τῷ δευτέρῳ βιβλίῳ τόμοι δύο, αἱρέσεις εἴκοσι τρεῖς. Ἐν δὲ τῷ τρίτῳ βιβλίῳ τόμοι δύο, αἱρέσεις ἑνδεκα. Ἐν τῷ οὖν πρώτῳ βιβλίῳ, πρώτῳ τόμῳ, αἱρέσεις κ', αἵ εἰσιν αἵδε· Βαρβαρισμὸς, Σκυθισμὸς, Ἑλληνισμὸς, Ἰουδαϊσμός. Ἑλλήνων διαφοραὶ, Πυθαγόρειοι, ἤγουν οἱ Περιπατητικοὶ, Πλατωνικοὶ, Στωϊκοὶ, Ἐπικούρειοι. Σαμαρειτικὴ αἵρεσις ἡ οὖσα ἐκ τοῦ Ἰουδαϊσμοῦ. Σαμαρειτῶν ἔθνη τέσσαρα οὕτως· Γοραινοὶ [5], Σεβουαῖοι, Ἐσσηνοὶ, Δοσίθεοι. Ἰουδαίων αἱρέσεις ζ' οὕτως· Γραμματεῖς, Φαρισαῖοι, Σαδδουκαῖοι, Ἡμεροβαπτισταὶ, Ὀσσαῖοι, Νασαραῖοι, Ἡρωδιανοί. Ἐν δὲ τῷ δευτέρῳ τόμῳ τοῦ πρώτου βιβλίου ὡσαύτως αἱρέσεις ιγ' οὕτως· Σιμωνιανοὶ, Μενανδριανοὶ, Σατορνιλιανοὶ, Βασιλιδιανοὶ, Νικολαΐται, Γνωστικοὶ οἱ καὶ Στρατιωτικοὶ, καὶ Φιβιωνῖται οἱ αὐτοὶ, παρὰ δέ τισι Σεκουνδιανοὶ, παρὰ δὲ ἄλλοις Σωκρατῖται, παρὰ δὲ ἑτέροις Ζακχαῖοι καλούμενοι· Καρποκρατιανοὶ, Κηρινθιανοὶ οἱ καὶ Μηρινθιανοὶ, Ναζαραῖοι, Ἐβιωναῖοι, Οὐαλεντῖνοι, Σεκουνδιανοὶ, οἷς συνάπτονται Ἐπιφάνιος καὶ Ἰσίδωρος· Πτολεμαῖοι. Ἐν δὲ τῷ τρίτῳ τόμῳ τοῦ αὐτοῦ πρώτου βιβλίου αἱρέσεις ιγ' οὕτως· Μαρκώσιοι, Κολορβάσιοι, Ἡρακλεωνῖται, Ὀφῖται, Καϊανοὶ, Σηθιανοὶ, Ἀρχοντικοὶ, Κερδωνιανοὶ, Μαρκίωνες, Λουκιανισταὶ, Ἀπελλῆϊανοὶ, Σευηριανοὶ, Τατιανοί· αὕτη ἡ ἀνακεφαλαίωσις τοῦ πρώτου βιβλίου τῶν τριῶν τόμων. Τοῦ δὲ δευτέρου βιβλίου τόμοι δύο. Καὶ ἐν μὲν τῷ πρώτῳ τοῦ δευτέρου βιβλίου, τετάρτῳ δὲ ὄντι κατὰ τὴν ἀπαρχῆς τοῦ ἀριθμοῦ ἀκολουθίαν, αἱρέσεις ιη' οὕτως· Ἐγκρατῖται, κατὰ Φρύγας οἱ καὶ Μοντανισταὶ καὶ Τασκο-

tiani qui in Ægypto schisma conflarunt: Ariani qui et Ariomanitæ, Audianorum secta, Photiniani, Marcelliani, Semiariani, Pneumatomachi qui in sanctum Dei Spiritum contumeliosi sunt; Aeriani, Actiani qui et Anomœi, quibus adjungitur Eunomius; Dimœritæ qui perfectam Christi incarnationem minime confitentur, qui et Apollinaristæ nominantur. Tum qui Mariam semper virginem, postquam Salvatorem genuit, cum Josepho consuevisse dicunt, quos Antidicomarianitas appellamus. Item qui in nomen ejusdem Mariæ collyridem offerunt, et Collyridiani vocantur. Massaliani, ad quos adjunguntur Martyriani, qui e gentilium secta et Euphemitæ ac Satanici.

Nunc repetita narratione et in singulos libros distributis hæresibus, hoc in brevi compendio declarabo, quotnam ex illis LXXX hæresibus in priore libro, quot in secundo ac tertio contineantur; tum in reliquis omnibus cæterorum librorum tomis, quot unicuique hæreses attributæ sunt. Harum itaque omnium series est ejusmodi: In primo libro tomi **1112** tres sunt, hæreses XLVI suis nominibus conceptæ: Barbarismus videlicet ac Scythismus, Hellenismus, Judaismus ac Samaritismus. In secundo libro tomi duo sunt, hæreses XXIII. In tertio libro tomi duo, hæreses XI. In prioris itaque libri tomo primo hæreses XX sunt: Barbarismus, Scythismus, Græcismus, Judaismus. Græcorum porro discrimina ista sunt: Pythagorei, sive Peripatetici, Platonici, Stoici, Epicurei. Samaritica hæresis quæ a Judaismo manavit: Samaritani quatuor in partes tribuuntur, Gorthenos, Sebuæos, Essenos, Dositheos. Judæorum hæreses septem: Scribæ, Pharisæi, Sadducæi, Hemerobaptistæ, Ossæi, Nasaræi, Herodiani. In secundo tomo libri primi hæreses XIII sunt: Simoniani, Menandriani, Saturniliani, Basilidiani, Nicolaitæ, Gnostici qui et Stratiotici ac Phibionitæ, ab aliis vero Secundiani, ab aliis Socratitæ, ab aliis Zacchæi dicuntur: Carpocratitæ, Cerinthiani qui et Merinthiani, Nazaræi, Ebionæi, Valentini, Secundiani, quibus accedunt Epiphanes et Isidorus: Ptolemæi. In tertio autem tomo prioris libri hæreses itidem XIII sunt: Marcosii, Colorbasii, Heracleonitæ, Ophitæ, Caiani, Sethiani, Archontici, Cerdoniani, Marciones, Lucianistæ, Appelleiani, Severiani, Tatiani. Hæc est summa tomorum trium primi libri. Secundi vero libri tomi duo sunt, cujus in priore tomo (qui quartus est, si tomos deinceps ab initio numeres) hæreses XVIII continentur hoc modo: Encratitæ, Cataphryges qui et Montanistæ ac Tascodrugitæ, Pepuziani qui et Quintiliani, quibus adjunguntur Artotyritæ; Tessarescædecatitæ qui Pascha in eamdem anni diem conjiciunt: Alogi qui et Evangelium et Apocalypsin

[1] Cor. Εὐνόμιος. [2] Cor. μετὰ τό. [3] Cor. Σατανιανοί. [4] Cor. ἑκάστῳ. [5] F. Γορθηνοί.

Digitized by Google

Joannis repudiant : Adamiani, Sampsæi qui et Helcesæi, Theodotiani, Melchisedeciani, Bardesianistæ, Noetiani, Valesii, Cathari, Angelici, Apostolici qui etiam Apotactici, Sabelliani, Origenistæ fœditatis auctores, Origenistæ ab Origene Adamantio. In secundo autem tomo ejusdem libri secundi (qui priore illa numerandi ratione quintus est) hæreses quinque **1113** sunt : Pauli Samosatensis, Manichæi qui et Acuanitæ, Hieracitæ, Meletiani qui in Ægypto schisma fecerunt, Ariani. Atque hæc est tomorum libri secundi summa. Similiter et in tertio libro tomi duo sunt. In primo tomo tertii libri (sexto autem eo quem diximus ordine) hæreses VII sunt : Audiani, Photiniani, Marcelliani, Semiariani, Pneumatomachi qui Spiritui sancto contumeliose detrahunt, Aeriani, Aetiani qui et Anomœi, hoc est *Dissimiles*, appellantur. In secundo vero tomo ejusdem tertii libri (septimo autem ex divisione illa, quam diximus) hæreses quatuor sunt : Dimœritæ, qui non perfectam Christi incarnationem confitentur, qui etiam Apollinaritæ nominantur : tum qui sanctam Mariam semper virginem, postquam Salvatorem genuit, cum Joscpho consuevisse dicunt, quos Antidicomarianitas nominamus : et qui in nomen ejusdem Mariæ collyridas offerunt, qui vocantur Collyridiani : Massaliani. Quibus adjuncta postremo est catholicæ fidei ac veritatis compendiaria defensio, in qua sancta catholica et apostolica Ecclesia consistit.

ριδιανοί· Μασσαλιανοί· καὶ ἡ περὶ τῆς ὀρθῆς πίστεως; ἁγία καθολικὴ καὶ ἀποστολικὴ Ἐκκλησία.

Ejusmodi est summa comprehensio ac totius operis adversus octoginta hæreses inscriptio, cum unica ac singulari defensione veritatis, hoc est unius Ecclesiæ atque catholicæ. Quod opus distributum in partes tres, tomos septem complectitur. Nunc aliam deinceps primi tomi prioris libri summam ac compendium instituemus, quo quidem in libro viginti hæreses continentur. In primis enim hæreseon omnium matres ac primariæ appellationes a quibus cæteræ dimanarunt, sunt ejusmodi :

Barbarismus, qui per seipsum ab Adamo ad decem generationes et Noemi tempora perseveravit. Qui Barbarismus propterea dicitur, quod vetustissimi illi mortalium neque certum aliquem auctorem habebant, nec inter se consentiebant ; sed unusquisque pro sua voluntate vitam instituebat, ac pro lege suum quisque nutum atque arbitrium sibi proponebat.

Scythismus a Noemi temporibus ad usque turris et Babylonis exædificationem, ac post turrim paucis adhuc annis obtinuit, hoc est usque ad Phalec **1114** et Rhagau, qui ad Europam transeuntes,

δρουγῖται, Πεπουζιανοὶ καὶ Κυντιλιανοί, οἷς συνάπτονται Ἀρτοτυρῖται· Τεσσαρεσκαιδεκατῖται οἱ τὸ Πάσχα μίαν ἡμέραν τοῦ ἔτους ποιοῦντες· Ἄλογοι οἱ τὸ Εὐαγγέλιον καὶ τὴν Ἀποκάλυψιν Ἰωάννου μὴ δεχόμενοι· Ἀδαμιανοί, Σαμψαῖοι, Κερκεσαῖοι [1], Θεοδοτιανοί, Μελχισεδεκιανοί, Βαρδησιανισταί, Νοητιανοί, Οὐαλήσιοι, Καθαροί, Ἀγγελικοί, Ἀποστολικοὶ οἱ καὶ Ἀποτακτῖται, Σαβελλιανοί, Ὠριγένειοι αἰσχροποιοί, Ὠριγένειοι οἱ τοῦ Ἀδάμαντος. Ἐν δὲ τῷ δευτέρῳ τόμῳ τοῦ αὐτοῦ δευτέρου βιβλίου, πέμπτῳ δὲ ὄντι κατὰ τὸν ἀριθμὸν τὸν προειρημένον, αἱρέσεις ε' οὕτως· Παύλου τοῦ Σαμοσατέως, Μανιχαῖοι οἱ καὶ Ἀκουανῖται, Ἱερακῖται, Μελετιανοὶ οἱ ἐν τῇ Αἰγύπτῳ πεποιηκότες τὸ σχίσμα, Ἀρειανοί. Αὕτη ἡ τοῦ δευτέρου βιβλίου τῶν τόμων ἀνακεφαλαίωσις. Ὁμοίως καὶ ἐν τῷ τρίτῳ βιβλίῳ εἰσὶ τόμοι δύο· ἐν τῷ μὲν πρώτῳ τόμῳ τοῦ τρίτου βιβλίου, ἕκτῳ δὲ ὄντι κατὰ τὸν ἀριθμὸν, ὃν προείπομεν, αἱρέσεις ζ', οὕτως· Αὐδιανοί, Φωτιανοί [2], Μαρκελλιανοί, Ἡμιάρειοι, Πνευματομάχοι οἱ τὸ Πνεῦμα τοῦ Θεοῦ τὸ ἅγιον βλασφημοῦντες, Ἀεριανοί, Ἀέτιοι οἱ καὶ Ἀνόμοιοι. Ἐν δὲ τῷ δευτέρῳ τόμῳ τοῦ αὐτοῦ τρίτου βιβλίου, ἑβδόμῳ δὲ ὄντι καθ' ἣν εἴπομεν διαίρεσιν, αἱρέσεις τέσσαρες οὕτως· Διμοιραῖοι οἱ μὴ τελείαν τὴν τοῦ Χριστοῦ ἐνανθρώπτησιν ὁμολογοῦντες, οἱ καὶ Ἀπολιναρῖται· οἱ καὶ ἁγίαν Μαρίαν τὴν ἀειπάρθενον λέγοντες μετὰ τὸ τὸν Σωτῆρα γεγεννηκέναι, τῷ Ἰωσὴφ συνῆφθαι, οὓς ἐκαλέσαμεν Ἀντιδικομοριανίτας· καὶ οἱ εἰς ὄνομα τῆς αὐτῆς Μαρίας κολλυρίδας προσφέροντες, οἵτινες καλοῦνται Κολλυ-

καὶ ἀληθείας ἀπολογία μετ' ἐπιτομῆς, ἥτις ἐστὶν ἡ

Αὕτη ἡ ἀνακεφαλαίωσις καὶ ἐπιγραφὴ τῆς πάσης κατὰ τῶν ὀγδοήκοντα αἱρέσεων πραγματείας, καὶ μιᾶς τῆς ὑπὲρ ἀληθείας ἀπολογίας, τουτέστι τῆς μόνης καθολικῆς Ἐκκλησίας, ἐν τρισὶ μὲν βιβλίοις ὑποκειμένη συντεταγμένως, ἑπτὰ δὲ τόμοις διαιρεθεῖσα. Ποιησόμεθα δὲ πάλιν ἀνακεφαλαίωσιν ἑτέραν τοῦ πρώτου τόμου τοῦ πρώτου βιβλίου τοῦ κατὰ τῶν εἴκοσιν αἱρέσεων διαλαμβάνοντος. Πρῶτον μὲν γὰρ αἱ τῶν αἱρέσεων πασῶν μητέρες καὶ πρωτότυποι ὀνομασίαι ἐξ ὧν ἄλλαι ἔφυσαν, αὗταί εἰσι·

Βαρβαρισμός, ἥτις καθ' ἑαυτὴν ἐστι διαρκέσασα ἀφ' ἡμερῶν τοῦ Ἀδάμ, ἐπὶ δέκα γενεαῖς ἢ τοῦ Νῶε [3]. Βαρβαρισμὸς δὲ κέκληται ἀπὸ τοῦ μὴ τοὺς τότε ἀνθρώπους ἀρχηγόν τινα ἔχειν ἢ μίαν συμφωνίαν· ἀλλ' ὅτι πᾶς τις ἑαυτῷ ἐστοίχει, καὶ νόμος ἑαυτῷ κατὰ τὴν προτίμησιν τοῦ ἰδίου βουλήματος ἐγίνετο.

Σκυθισμὸς ἀπὸ τῶν ἡμερῶν Νῶε (6), καὶ μετέπειτα ἄχρι τῆς τοῦ πύργου οἰκοδομῆς καὶ Βαβυλῶνος, καὶ μετὰ τὸν τοῦ πύργου χρόνον ἐπὶ ὀλίγους ἔτεσι, τουτέστιν ἕως Φαλὲκ καὶ Ῥαγάβ, οἵτινες ἐπὶ

[1] Cor. Ἐλκεσαῖοι [2] Cor. Φωτεινιανοί. [3] F. μέχρι τοῦ Νῶε.

(6) *Σκυθισμὸς ἀπὸ τῶν ἡμερῶν Νῶε.* Ordo hic et sectarum progressio, non hoc solum in loco, sed et alibi, in libro primo *Panarii* præsertim. Cf. Petavii de ordine illo ac progressione judicium, quod legimus inter illius animadversiones in num. 8. ad Præludium totius Operis.

Digitized by Google

τὸ τῆς Εὐρώπης κλίμα ἀνανευκότες [1], τῷ τῆς Σκυθίας μέρει καὶ τοῖς αὐτῶν ἔθνεσι προσεκλίθησαν, ἀπὸ τῆς τοῦ Θάρρα ἡλικίας καὶ ἐπέκεινα, ἐξ οὗπερ οἱ Θρᾷκες γεγόνασιν.

in Scythiam ac nationes ejusmodi penetrarunt ab Thare temporibus et ultrà : a quo Thraces oriundi sunt.

Ἑλληνισμὸς πρὸ ἓξ χρόνων [2] τοῦ Σερούχ ἀρξάμενος, διὰ τὸ τῆς εἰδωλολατρείας, καὶ ὡς ἐστοίχουν τὸ τηνικαῦτα ἕκαστος κατά τινα δεισιδαιμονίαν ἐπὶ τὸ μᾶλλον πολιτικώτερον, καὶ ἐπὶ ἔθη καὶ θεσμοὺς εἰδώλων, μέντοι γε ἐναρξάμενα τάττεσθαι τὰ τῶν ἀνθρώπων γένη, οἷς τότε στοιχήσαντες ἐθεοποιοῦντο, διὰ μὲν χρωμάτων διαγράφοντες τὴν ἀρχὴν, καὶ ἀπεικονίζοντες τοὺς πάλαι παρ' αὐτοῖς τετιμημένους, ἢ τυράννους ἢ γόητας, τι δράσαντας ἐν τῷ βίῳ μνήμης ἄξιον, δι' ἀλκῆς τε ἢ σωμάτων εὐρωστίας. Ἔπειτα δὲ ἀπὸ τῶν χρόνων τοῦ Θάρρα πατρὸς Ἀβραὰμ καὶ δι' ἀγαλμάτων αὐτῶν τὴν πλάνην εἰδωλολατρείας εἰσηγησάμενοι, τοὺς ἑαυτῶν προπάτορας δι' ἀπεικονισμῶν τετιμηκότες, καὶ πρὸ αὐτῶν τετελευτηκότας τεχνησάμενοι ἐκ κεραμεικῆς ἐπιστήμης τὸ πρῶτον, ἔπειτα δι' ἑκάστης τέχνης μιμησάμενοι, οἰκοδόμοι μὲν λίθον ξύσαντες, ἀργυροκόποι δὲ καὶ χρυσοχόοι διὰ τῆς ἰδίας ὕλης τεκτηνάμενοι, οὕτω καὶ τέκτονες καὶ οἱ καθεξῆς. Αἰγύπτιοι δὲ καὶ Βαβυλώνιοι, ὁμοῦ καὶ Φρύγες καὶ Φοίνικες ταύτης τῆς θρησκείας πρῶτοι εἰσηγηταὶ γεγόνασιν, ἀγαλματοποιΐας τε καὶ μυντηρίων [3], ἀφ' ὧν τὰ πλεῖστα εἰς Ἕλληνας μετηνέχθη, ἀπὸ τῆς Κέκροπος ἡλικίας τε καὶ χρόνων καὶ καθεξῆς. Μετέπειτα δὲ καὶ ὑστέρῳ πολὺ τοὺς περὶ Κρόνον καὶ Ῥέαν, Δία τε καὶ Ἀπόλλωνα καὶ τοὺς καθεξῆς θεοὺς ἀναγορεύσαντες.

Hellenismus cœpit a Seruchi temporibus. Unde idolorum cultus initium habuit. Cumque tunc temporis falsa quisque superstitione duceretur, deinceps civiliorem ad usum et ad certas leges simulacrorumque ritus homines sese transtulerunt. Quorum ex præscripto sibi deos finxerunt. Ac primum eos quos in honore quondam habuissent, sive tyrannos aut præstigiatores, qui memorabile quiddam in vita fecerant, ac fortitudinis et roboris illustre specimen ediderant, depingere coloribus et assimilare solebant. Postea vero ab Thare patris Abrahami tempore simulacris ac statuis eumdem errorem idololatriæ propagarunt. Quippe majores suos simulacris honestantes, ac mortuos primum ex arte figlina statuis effinxerunt; tum ad omnes artes imitandi pervenit industria : nam et architecti sectis lapidibus, argentarii et aurifices necnon et fabri sua quisque materia, ac reliqui deinceps effigies moliti sunt. Primi omnium Ægyptii ac Babylonii, necnon et Phryges ac Phœnices superstitiosi cultus et simulacrorum ac mysteriorum auctores exstiterunt. A quibus pleraque sunt ad Græcos translata : jam tum ab ætate Cecropis et deinceps. Postea vero longo demum intervallo Saturnum, Rheam, Jovem, Apollinem ac reliquos deos celebrare cœperunt.

Ἕλληνες κέκληνται ἀπὸ Ἕλληνος (7) ἀνδρός τινος τῶν ἐν τῇ Ἑλλάδι κατῳκηκότων, καὶ τὴν προσωνυμίαν τῇ χώρᾳ παρελομένου [4]· ὡς δὲ ἕτεροί φασιν, ἀπὸ τῆς ἐλαίας τῆς ἐν Ἀθήναις βλαστησάσης. Ἴωνες δὲ τούτων ἀρχηγοὶ γεγένηνται, ὡς ἔχει ἡ ἀκρίβεια ἀπὸ τοῦ Ἴωνος υἱοῦ ἀνδρὸς ἑνὸς τῶν τὸν πύργον οἰκοδομησάντων· δι' ἣν αἰτίαν καὶ Μέροπες κέκληνται διὰ τὴν μεμερισμένην φωνήν. Ὕστερον δὲ ὁ Ἑλληνισμὸς εἰς αἱρέσεις κατεστάθη κατωτέρω τῶν χρόνων, φημὶ δὲ Πυθαγορείων καὶ Στωϊκῶν καὶ Πλατωνικῶν καὶ Ἐπικουρείων καὶ λοιπῶν· θεοσεβείας δὲ ὁ χαρακτὴρ ὑπῆρχεν ἅμα, ὁ κατὰ φύσιν νόμος πολιτευόμενος, ἀπὸ τούτων τῶν ἐθνῶν ἑαυτὸν ἀφορίζων ἀπὸ τῆς κόσμου καταβολῆς, καὶ δεῦρο μέσος τυγχάνων Βαρβαρισμοῦ καὶ Σκυθισμοῦ καὶ Ἑλληνισμοῦ ἕως ὅτου συνήφθη τῇ τοῦ Ἀβραὰμ θεοσεβείᾳ. Καὶ μετέπειτα Ἰουδαϊσμὸς ἀπὸ τῶν χρόνων Ἀβραὰμ τὸν χαρακτῆρα εἰληφὼς, καὶ ἐν Μωϋσῇ, ἑβδόμῳ ἀπὸ Ἀβραὰμ, διὰ τοῦ δοθέντος νόμου ὑπὸ Θεοῦ πλατυνθείς· ἀπὸ δὲ τοῦ Ἰούδα, τετάρτου υἱοῦ Ἰακὼβ τοῦ καὶ Ἰσραὴλ, διὰ Δαβὶδ τοῦ πρώτου βασιλεύσαντος ἀπὸ τῆς τοῦ αὐτοῦ Ἰούδα (8)

Græci nomen ab Hellene viro quodam sortiti sunt, qui in Græcia degens ei regioni appellationem indidit. Sunt qui ab *elæa*, hoc est, oliva, quæ Athenis exorta est, nuncupatos esse velint. Hujus generis auctores ac conditores Ioues fuerunt, ut ex accuratiore historia constat : qui ab Ione quodam appellati sunt, unius eorum filio, qui turrim exstruxerunt : quam ob causam Meropes appellati sunt, ab divisione linguarum. Postea vero recentioribus temporibus Græca superstitio certas in hæreses ac sectas abiit : utputa Pythagoreorum, Stoicorum, Platonicorum, Epicureorum, etc. Eodem porro tempore propria forma ac nota veræ pietatis et religionis exstitit una cum lege naturæ, quæ ab origine mundi sese ab illis nationibus **1115** perpetuo segregavit, ad hanc usque diem inter Barbaram, Scythicam Græcamque superstitionem interjecta, donec cum Abrahami pietate coaluit. Tum vero Judaismus ab Abrahami temporibus propriam formam adeptus, ac per Moysem ab Abrahamo septimum, ac legem a Deo traditam amplificatus, et ab Juda quarto Jacobi filio qui et

[1] For. νενευκότες. [2] Leg. ἐκ χρόνων. [3] Reg. ἀμοντηρίων, cor. μυστηρίων. [4] Cor. παρεχομένου.

(7) Ἀπὸ Ἕλληνος. Deucalionis filii, qui 1570 circiter annis vivebat ante Christum natum.

(8) Vocem Ἰούδα, quæ de eo loco exciderat, restituimus.

Digitized by Google

Israel nominatus est, per Davidem, qui primus e tribu Juda regnum assecutus est, perfectum Judaismi nomen obtinuit. Græcorum porro ista sunt discrimina :

Pythagorci, sive Peripatetici monadem et providentiam asseruerunt; diis sacrificare, animatis vesci ac vino uti prohibuerunt. Iidem quæ ab luna sursum patent, immortalia; quæ inferiora sunt, mortalia dicebant; animas e corporibus in alia corpora etiam animalium ac bestiarum transfundi. Horum magister Pythagoras silentii rigidus observator deum se nominavit.

Platonici Deum et materiam ac formam constituerunt, mundum genitum ac corruptioni obnoxium; animam ingenitam et immortalem ac divinam arbitrati sunt : hujus tres esse partes, unam ratione præditam, alteram qua irascimur, tertiam qua concupiscimus. Communes omnibus mulieres esse voluit; nemo ut unam privatam haberet uxorem : sed ut quilibet volentes cum quibuslibet quas vellent, conjungerentur. Iidem animarum in varia corpora etiam bestiarum transitus affirmabant; deosque denique complures ab uno esse productos.

Stoici corpus universum esse definiunt, et aspectabilem hunc mundum Deum esse statuunt. Nonnulli etiam ex igne naturam illorum constare defendunt. Deum quippe mentem esse putant, ac vastissimæ totius molis cœli et terræ veluti animam; cujus corpus, ut dixi, totum hoc sit universum, oculi vero sidera. Omnium interire carnem, et animam a corpore transire in corpus sibi persuadent.

Epicurei atomos et individua corpora similibus constantia partibus et infinita, rerum omnium principium esse docuerunt, et finem felicitatis in voluptate posuerunt; Deum ac providentiam ab rerum administratione sustulerunt.

1116 Samaritismus et Samaritæ. Hujus ab Judaismo origo deducitur, quæ sectarum apud Græcos divortiis et earum decretis ac dogmatis antiquior est; nam e sinu ipso Judaismi prodiit circa Nabuchodonosori et Judaicæ captivitatis tempora. Primi sectæ conditores ex Assyriis in Judæam transportati quinque duntaxat Moysis libros acceperunt, quos per sacerdotem, qui vocabatur Esdras, rex ad illos Babylone miserat. Omnia habent cum Judæis communia, si hoc unum excipias, quod gentes abominentur, neque quemquam contingere velint, quodque mortuorum resurrectionem ac cæteras post Moysem prophetias rejiciunt. Samarita-

φυλῆς τὸ τέλος κεκληρωμένος. Ἑλλήνων δὲ διαφοραὶ αἵδε·

Πυθαγόρειοι, ἢ Περιπατητικοὶ (9), τὴν μονάδα καὶ τὴν πρόνοιαν, καὶ τὸ κωλύειν θύεσθαι θεοῖς δογματίζοντες, ἐμψύχων μὴ μεταλαμβάνειν, ἀπὸ οἴνου δὲ ἐγκρατεύεσθαι· διώριζον δὲ ἅμα ἀπὸ σελήνης καὶ ἄνω ἀθάνατα λέγοντες, τὰ δὲ ὑποκάτω θνητά· μεταγγισμοὺς δὲ ψυχῶν ἀπὸ σωμάτων εἰς σώματα ἄχρι ζώων καὶ κνωδάλων. Σιωπῶν δὲ ὁ τούτων διδάσκαλος Πυθαγόρας ἑαυτὸν θεὸν ὠνόμασε.

Πλατωνικοὶ δὲ Θεὸν καὶ ὕλην καὶ εἶδος καὶ τὸν κόσμον γενητὸν καὶ φθαρτὸν ὑπάρχειν, τὴν δὲ ψυχὴν ἀγέννητον καὶ ἀθάνατον καὶ θείαν· εἶναι δὲ αὐτῆς τρία μέρη, λογικὸν, θυμικὸν καὶ ἐπιθυμητικόν. Τὰς δὲ γυναῖκας κοινὰς τοῖς πᾶσι γίνεσθαι, καὶ μηδένα μίαν ἔχειν γαμετὴν ἰδίαν, ἀλλ' αὐτοὺς θέλοντας ταῖς βουλομέναις (10) συνεῖναι. Μεταγγισμὸν δὲ ὡσαύτως ψυχῶν εἰς σωμάτων διαφορὰς ἄχρι κνωδάλων. Ὁμοίως δὲ καὶ θεοὺς ἐκ τοῦ ἑνὸς πολλοὺς καὶ αὐτοὶ ἐδογμάτισαν.

Στωϊκοὶ, σῶμα τὸ πᾶν δογματίζοντες, καὶ τὸν αἰσθητὸν τοῦτον κόσμον Θεὸν νομίζοντες· τινὲς ἐκ τῆς τοῦ πυρὸς οὐσίας τὴν φύσιν αὐτῶν ὁρίζουσι. Καὶ τὸν μὲν Θεὸν νοῦν δογματίζουσι, καὶ ὡς ψυχὴν παντὸς τοῦ ὄντος κύτους οὐρανοῦ καὶ γῆς, σῶμα δὲ αὐτοῦ τὸ πᾶν, ὡς ἔφην, καὶ ὀφθαλμοὺς τοὺς φωστῆρας. Τὴν δὲ σάρκα πάντων ἀπόλλυσθαι, καὶ τὴν ψυχὴν πάντων μεταγγίζεσθαι ἀπὸ σώματος εἰς σῶμα.

Ἐπικούρειοι ἄτομα καὶ ἀμερῆ σώματα καὶ ὁμοιομερῆ τε καὶ ἄπειρα τὴν ἀρχὴν εἶναι τῶν πάντων ὑπεστήσαντο· καὶ τέλος εὐδαίμονα [1] τὴν ἡδονὴν ἐδογμάτισαν, καὶ μήτε Θεὸν μήτε πρόνοιαν τὰ πάντα διοικεῖν.

Σαμαρειτισμὸς, καὶ οἱ ἀπ' αὐτοῦ Σαμαρεῖται. Ὃς ἐστιν ἀπὸ Ἰουδαϊσμοῦ, πρὸ μὲν τοῦ καταστῆναι αἱρέσεις εἰς Ἕλληνας, καὶ πρὸ τοῦ συστῆναι αὐτῶν τὰ δόγματα, μετὰ δὲ τοῦ εἶναι Ἑλλήνων τὴν θρησκείαν, καὶ μέρος [2] τοῦ Ἰουδαϊσμοῦ τὴν πρόφασιν εἰληφὼς ἀπὸ τῶν χρόνων Ναβουχοδονόσορ καὶ τῆς τῶν Ἰουδαίων αἰχμαλωσίας. Μέτοικοι δὲ ὄντες ἀπὸ Ἀσσυρίων εἰς τὴν Ἰουδαίαν, καὶ λαβόντες τὴν Πεντάτευχον μόνην Μωϋσέως, τοῦ βασιλέως αὐτοῖς ἀποστείλαντος ἀπὸ Βαβυλῶνος, διὰ ἱερέως Ἔσδρα καλουμένου. Τὰ πάντα ἔχοντες ἴσα Ἰουδαίων, πλὴν τοῦ βδελύττεσθαι τὰ ἔθνη, καὶ μήτε προσψαύειν τινῶν, καὶ πλὴν τοῦ ἀρνεῖσθαι νεκρῶν ἀνάστασιν, καὶ τὰς

[1] For. εὐδαιμονίας. [2] γρ. μετά.

(9) *Πυθαγόρειοι, ἢ Περιπατητικοί.* Non satis bene Pythagoreos cum Peripateticis confundit Epiphanius, qui neque ætate, neque doctrinis inter se consentiunt.

(10) *Ταῖς βουλομέναις.* Petavium in Latina interpretatione deserit hic Thomasius; Epiphanii tamen sensa omnino non reddit Latine, ni suspiceris librarii errore et oscitantia Thomasii verba esse vitiata. Sensus ergo Epiphanii est, ut qui vellent, αὐτοὺς θέλοντας, non cum quibuslibet quas vellent, conjungerentur; sed cum quibuslibet volentibus, assentientibus; cum illis, quæ vellent, ταῖς βουλομέναις.

Digitized by Google

ἄλλας προφητείας μετὰ Μωϋσέως [1]. Σαμαρειτῶν ἔθνη τέσσαρα, Γορθηνοὶ (11), οἱ ἄλλοις καιροῖς τὰς ἑορτὰς ἄγοντες παρὰ τοὺς Σεβουαίους. Σεβουαῖοι διὰ τὴν αὐτὴν αἰτίαν τῶν ἑορτῶν πρὸς τοὺς Γορθηνοὺς διαφερόμενοι. Ἐσσηνοί, μηδ' ὁποτέραις ἐναντιούμενοι, τοῖς δὲ παρατυγχάνουσιν ἑορτάζοντες ἀδιαφόρως. Δοσίθεοι τοῖς αὐτοῖς ἔθεσιν, οἷς καὶ Σαμαρεῖται ἐμπολιτευόμενοι, περιταμῇ τε καὶ Σαββάτῳ καὶ τοῖς ἄλλοις χρώμενοι τῇ τε Πεντατεύχῳ, περισσότερόν τε τῶν ἄλλων φυλάττοντες τὸ ἀπέχεσθαι ἐμψύχων, ἐν νηστείαις συνεχέστατα βιοῦντες. Ἔχουσι δὲ καὶ παρθενίαν τινὲς αὐτῶν, ἐγκρατεύονται δὲ ἄλλοι. Πιστεύουσι δὲ νεκρῶν ἀνάστασιν, ὅπερ ξένον ἐστὶ Σαμαρείταις.

A norum est factio divisa in partes quatuor. Primi sunt Gortheni, qui festos dies aliis, quam Sebuæi, temporibus indicunt. Alii Sebuæi, qui ob eamdem festorum dierum occasionem a Gorthenis dissentiunt. Tertii sunt Esseni, qui neutri parti repugnant, sed cum iis, in quos inciderint, sine ullo discrimine festa peragunt. Postremi sunt Dosithei, qui iisdem, quibus Samaritani, institutis utuntur, circumcisionem et Sabbatum ac cætera, itidemque Pentateuchum adhibent. Præcipue vero ac præ reliquis omnibus sibi ab animatis temperant, ac perpetuo fere jejunant. Sunt inter illos qui virginitatem colunt, alii continentiam. Resurrecturos esse mortuos credunt, quod a Samaritanorum dogmate abhorret.

Ἰουδαίων αἱρέσεις ἑπτά· Γραμματεῖς, οἵτινες νομικοὶ μὲν ἦσαν, καὶ *Δευτερωταὶ* παραδόσεων τῶν παρ' αὐτοῖς πρεσβυτέρων, τῇ περιττοτέρᾳ ἐθελοθρησκείᾳ ἔθη φυλάττοντες, ἃ οὐ διὰ τοῦ νόμου μεμαθήκασιν, ἀλλ' ἑαυτοῖς ἐτύπωσαν σεβάσματα δικαιότητι τῆς νομοθεσίας.

B Judæorum sectæ numero VII, ac primo Scribæ, legis periti et traditionum quas a senioribus acceperant et *Deuteroses* vocabant, observatores fuere; ac ritus omnes superstitiosius cæteris ac diligentius tenuerunt, quos non e lege didicerant, sed sibimetipsis tanquam justitiæ legis singulares cultus ac cæremonias indixerant.

Φαρισαῖοι, ἑρμηνευόμενοι *Ἀφωρισμένοι*, οἱ τὸ ἀκρότατον βιοῦντες, καὶ δῆθεν τῶν ἄλλων δοκιμώτεροι. Παρ' οἷς καὶ νεκρῶν ἀνάστασις, ὡς καὶ παρὰ τοῖς Γραμματεῦσι, καὶ ἡ περὶ ἀγγέλου [2] τοῦ Πνεύματος ἁγίου, ὅτι ἔστι συγκατάθεσις. Πολιτεία διάφορος, ἐγκράτεια ἕως χρόνου, καὶ παρθενία νηστεία τε διὰ τοῦ Σαββάτου, ξεστῶν καθαρισμοὶ καὶ πινάκων καὶ ποτηρίων, ὡς καὶ οἱ Γραμματεῖς, ἀποδεκάτωσίς τε καὶ ἀπαρχαὶ καὶ ἐνδελεχὴς εὐχὴ καὶ σχήματα ἐθελοθρησκητικὰ τῆς ἐνδυμενείας διά τοι τῆς ἀμπεχόνης, καὶ τῶν δαλματικῶν ἤγουν κολοβίων, καὶ τοῦ πλατυσμοῦ τῶν φυλακτηρίων, τουτέστι σημάτων τῆς πορφύρας, καὶ κρασπέδων καὶ ῥοΐσκων ἐπὶ τὰ πτερύγια τῆς ἀμπεχόνης, ἅτινα ταῦτα ἐτύγχανε σημεῖα τῆς παρ' αὐτοῖς ἄχρι καιροῦ ἐγκρατείας· οἱ καὶ παρεισέφερον γένεσιν καὶ εἱμαρμένην.

Pharisæi, quos *Segregatos* interpretari possis, qui sanctissimam vitæ rationem professi, probitate cæteris antecellere videbantur. Mortuorum apud illos resurrectio ut et apud Scribas defenditur. Iidem angelum ac Spiritum sanctum esse non negant. Vitæ eximium institutum præ se ferunt, continentiam certum ad tempus ac virginitatem quoque suscipiunt, bis hebdomada quaque jejunare, C urceos ac discos et pocula sæpius eluere, ut et Scribæ, soliti : ad hæc **1117** decimas et primitias offerre, assidue precari, certos cultus ac superstitiosa vestimentorum genera curiosius affectare, cujusmodi sunt dalmaticæ sive colobia, et latiora quædam phylacteria, hoc est segmenta purpurea, et fimbriæ ac malogranata ad vestium oras appensa, quæ ipsorum temporariæ continentiæ signa præferebant. Iidem postremo geneses ac fatum introducebant.

Σαδδουκαῖοι, οἱ ἑρμηνευόμενοι Δικαιότατοι, οἳ καὶ ἐκ γένους μὲν ἦσαν Σαμαρειτῶν, ὁμοῦ δὲ καὶ ἱερέως Σαδούκ, νεκρῶν μὲν ἀνάστασιν ἀρνούμενοι, καὶ μὴ παραδεχόμενοι ἄγγελον μηδὲ πνεῦμα, τὰ δὲ λοιπὰ πάντα ὄντες Ἰουδαῖοι.

Sadducæis ab exactissima justitia nomen est. Qui e Samaritanorum genere a sacerdote quodam Sadoc ortum habuerunt. Mortuorum resurrectionem damnant, angelum ac spiritum funditus negant, cætera Judæorum similes. D

Ἡμερσβαπτισταὶ, οἳ μὲν κατὰ πάντα Ἰουδαῖοι ἦσαν, ἔφασκον δὲ μηδένα ζωῆς αἰωνίου τυγχάνειν, εἰ μή τι ἂν καθ' ἑκάστην βαπτίζοιτο.

Hemerobaptistæ nihil ab Judæis præterquam hoc uno discreparunt, quod neminem æternæ vitæ compotem esse posse dicerent, nisi quotidie se lavaret.

Ὀσσηνοί, οἱ δὴ *Ἁγιώτατοι* ἑρμηνεύονται. Ἦσαν δὲ οὗτοι κατὰ πάντα τὸν νόμον τελοῦντες, ἐχρῶντο δὲ καὶ Γραφαῖς ἑτέραις μετὰ τὸν νόμον· τοὺς δὲ πλείους τῶν μετέπειτα προφητῶν ἀπεβάλλοντο.

Osseni, quorum nomen *Procacissimos* significat. Qui ex præscripto legis omnia faciebant; sed alias præterea Scripturas adhibebant, et ex posterioribus prophetis plerosque rejiciebant.

Νασσαραῖοι, οἱ ἑρμηνευόμενοι *Ἀφηνιασταὶ*, οἳ

Nassaræos, *Contumaces* interpretari possis, qui

[1] Cor. Μωϋσῆν. [2] For. Ἀγγέλου, καί.

(11) *Γορθηνοί*, etc. Ea Epiphanii partitio, monente Petavio in Animadversione ad hanc Samaritanorum sectam, et quidem bene, æquum magis ac benignum lectorem exigit, quam accuratum et severum. Confer quæ eodem in loco habet vir doctus.

Digitized by Google

carnis usu prorsus interdicunt : ab animatis abstinent, patriarchas omnes qui in Pentateucho ad Moysis et Jesu filii Nave tempora continentur, asciscunt et iis fidem adhibent : cujusmodi sunt Abraham et Isaac et Jacob iisque superiores omnes, necnon et Moyses ipse cum Aarone atque Jesu. Cæterum Pentateuchi volumina Moysis esse non putant, et alia ab iis diversa penes se esse jactitant.

Herodiani cum Judæos in omnibus sese præstarent, Herodem Christum esse profitebantur, eique Christi dignitatem ac nomen affingebant.

Primus iste tomus est qui hæreses xx continet : et in eodem de incarnatione Christi ac veritatis professione quæ una et sola est Dei vera fides, postremo loco disseritur.

Hactenus itaque xx illarum hæreseon quæ Christum antecesserunt confutatio ac fidei et incarnationis Christi declarata ratio est.

1118 Sed e vestigio Christi Jesu Domini nostri adventus in carne consecutus est, qui et vii illas hæreses Hierosolymis offendit, et easdem sua vi dissipavit et exstinxit. Quamobrem reliquæ omnes hæreses adventu illo posteriores fuerunt : nimirum postquam Maria virgo Nazareti a Gabriele cœlestem nuntium accepit, ac Verbum illud conceptum est, quod cœlitus e paterno sinu prodiit, ante tempus atque initium omne productum, et extremis temporibus venit Deus Verbum exsistens, a Deo Patre revera genitus ejusdemque cum illo substantiæ, nec ulla re a Patre mutatus, sed vicissitudinis ac mutationis et affectionis omnis expers et citra ullam animi commotionem. Qui cum generis nostri misertus foret, descendit e cœlo, ac de Spiritu sancto, non e virili semine conceptus, verum corpus e Maria suscepit, cum e sancto ejus utero carnem sibi finxisset, humanamque animam et mentem induisset; ac quidquid omnino homo est, præter peccatum, secum ac cum divinitate sua copulasset. Inde Bethlehemi in lucem editus, atque circumcisus, Hierosolymis oblatus est; ibique a Symeone inter brachia susceptus, et ab Anna Phanuelis filia prophetissa prædicatus, Nazaretum deportatus est. Tum anno sequenti se coram Deo repræsentavit, atque inde Bethlehemum propter generis propinquitatem a matre delatus est. Sed rursum Nazaretum rediens, anno altero vertente, Hierosolymam, gestante matre, perductus est. Bethlehemi porro cum ad ædes quasdam cum matre ac Josepho divertisset, qui jam grandis natu cum

A πᾶσαν σαρκοφαγίαν ἀπαγορεύουσιν, ἐμψύχων δὲ οὐδ' ὅλως μεταλαμβάνουσιν. Ἄχρι δὲ Μωϋσέως καὶ Ἰησοῦ τοῦ Ναυῆ τοῖς ἐν τῇ Πεντατεύχῳ ἁγίοις ὀνόμασι πατριαρχῶν κεχρημένοι τε καὶ πιστεύοντες, φημὶ δὲ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ καὶ τῶν ἀνωτάτω, καὶ αὐτοῦ Μωϋσέως καὶ Ἀαρὼν καὶ Ἰησοῦ. Τὰς δὲ τῆς Πεντατεύχου Γραφὰς οὐκ εἶναι Μωϋσέως δογματίζουσιν, ἄλλας δὲ παρὰ ταύτας ἔχειν διαβεβαιοῦνται.

Ἡρωδιανοὶ, οἱ Ἰουδαῖοι μὲν ἦσαν κατὰ πάντα, Ἡρώδην δὲ Χριστὸν προσεδόκων, καὶ τούτῳ περὶ τοῦ Χριστοῦ ἐπεδίδουν γέρα καὶ ὄνομα.

Οὗτος πρῶτος τόμος περιέχων κατὰ πασῶν τῶν εἴκοσιν αἱρέσεων· ἐν αὐτῷ δὲ καὶ ἡ περὶ τῆς Χριστοῦ ἐνδημίας ὑπόθεσις, καὶ ἡ τῆς ἀληθείας ὁμολογία, ἡ B μία καὶ μόνη οὖσα τοῦ Θεοῦ ἀληθὴς πίστις.

Καὶ ἕως μὲν ὧδε ἡ τῶν πρὸ Χριστοῦ εἴκοσιν αἱρέσεων ἀντιλογία, καὶ περὶ πίστεως καὶ περὶ τῆς ἐνσάρκου τοῦ Χριστοῦ παρουσίας.

Εὐθὺς ἐπεδήμησε κατὰ πόδας ἡ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἔνσαρκος παρουσία [1], ἤτις κατέλαβε (πρὸς) τὰς προειρημένας ἑπτὰ αἱρέσεις ἐν (δὲ) Ἱεροσολύμοις, ἔσβεσε δὲ ταύτας ἡ αὐτοῦ δύναμις καὶ διεσκέδασε. Λοιπὸν δὲ ἀπὸ τῆς αὐτοῦ ἐπιδημίας, [2] μετὰ τὸ εὐαγγελισθῆναι Μαριὰμ ἐν Ναζαρὲτ, καὶ συνειληφθέναι τὸν Λόγον τὸν ὄντα ἀπ' οὐρανοῦ ἐκ κόλπων πατρῴων γεγεννημένον ἀχρόνως καὶ ἀνάρχως, ἐλθόντα δὲ ἐπ' ἐσχάτων τῶν ἡμερῶν Θεὸν Λόγον ὄντα, ἐκ Θεοῦ Πατρὸς ἀληθινῶς γεγεννημένον, ὁμοούσιον ὄντα C τῷ Πατρὶ, καὶ οὐδὲν παρὰ τὸν Πατέρα ἠλλοιωμένον, ἀλλ' ἄτρεπτον ὄντα καὶ ἀναλλοίωτον ἀπαθῆ τε ὅλως, συμπάσχοντα δὲ τῷ ἡμετέρῳ γένει, καὶ ἐλθόντα ἐπ' οὐρανοῦ, ἐγκυμονηθέντα οὐκ ἀπὸ σπέρματος ἀνδρὸς, ἀλλ' ἀπὸ Πνεύματος ἁγίου, ἀληθινῶς σῶμα ἀπὸ Μαρίας ἐσχηκότα, ἀναπλάσαντα ἑαυτῷ τὴν σάρκα ἀπὸ τῆς μήτρας τῆς ἁγίας, ψυχὴν τὴν ἀνθρωπίνην εἰληφότα καὶ νοῦν καὶ πᾶν εἴ τί ἐστιν ἄνθρωπος, εἰς ἑαυτὸν τῇ ἑαυτοῦ θεότητι συνενώσαντα, γεγεννημένον τε ἐν Βηθλεὲμ, περιτμηθέντα, προσενεχθέντα ἐν Ἱεροσολύμοις, ἐναγκαλισθέντα ὑπὸ Συμεὼν, ἀνθομολογηθέντα ὑπὸ Ἄννης τῆς τοῦ Φανουὴλ προφήτιδος, λειφθέντα [3] εἰς Ναζαρὲτ, ἐλθόντα τῷ ἑξῆς ἐνιαυτῷ ὀφθῆναι ἐνώπιον Κυρίου, γενόμενόν τε ἐν Βηθλεὲμ διὰ τὴν συγγένειαν ὑπὸ τῆς μητρὸς βασταζόμενον, D αὖθις πάλιν εἰς Ναζαρὲτ ἀπαρθέντα, καὶ κατὰ δευτέραν περίοδον ἐνιαυτῶν εἰς τὰ Ἱεροσόλυμα ἐληλυθότα βασταζόμενον ὑπὸ τῆς ἰδίας μητρός· ἐν Βηθλεὲμ ἐν οἰκίᾳ κατελθόντα σὺν τῇ ἰδίᾳ μητρὶ καὶ Ἰωσὴφ γέροντι ὄντι (12), σὺν τῇ Μαριὰμ δὲ ὄντι· κἀκεῖσε τῷ δευτέρῳ ἔτει (13) τῆς αὐτοῦ γεννήσεως κατοπτευ-

[1] Eadem lib. I *Panarii* leguntur. [2] Supplendum ex lib. I, αἱ μετέπειτα πᾶσαι γεγόνασιν αἱρέσεις· λέγω δή. Mox συνειλῆφθαι leg. [3] Scr. ἀπενεχθέντα.

(12) *Γέροντι ὄντι.* Animadverte senem ab Epiphanio dici Josephum Virginis Mariæ sponsum. Iisdem omnino verbis de illo loquitur et in *Panario* de incarnatione Christi Domini agens, num. 1; in hæresi 51, num. 10, ipsum octogenarium facit.

(13) *Τῷ δευτέρῳ ἔτει.* Ea Epiphanii opinio est, biennio a sui nativitate magos excepisse Christum Dominum; quam non solum hic insinuat, sed et in locis supra indicatis, quibus adde num. 10, Hæres. 78. Illam fortasse concessit in opinionem, quod præconcepta Matthæi narratione de Herode, qui iratus mandavit necari infantes, qui biennium nondum excesserant, *juxta tempus quod exquisierat a magis* (*Matth.* II, 16); temporum rationes negli-

Digitized by Google

θέντα, δῶρα λαβόντα, καὶ ἐν αὐτῇ νυκτὶ ὑπ' ἀγγέλου τῷ Ἰωσὴφ χρηματίσαντος εἰς Αἴγυπτον παραληφθέντα· καὶ κατελήλυθότα ἐκεῖθεν πάλιν, διὰ δύο ἐτῶν ἀνελήλυθότα, τελευτήσαντος τοῦ Ἡρώδου, Ἀρχελάου δὲ διαδεξαμένου.

Τῷ γὰρ τριακοστῷ (14) τρίτῳ Ἡρώδου, τεσσαρακοστῷ δὲ δευτέρῳ Αὐγούστου τοῦ βασιλέως γεννᾶται ὁ Σωτὴρ ἐν Βηθλεὲμ τῆς Ἰουδαίας. Κάτεισι δὲ εἰς Αἴγυπτον τῷ τριακοστῷ πέμπτῳ (14) Ἡρώδου· ἄνεισι δὲ ἀπ' Αἰγύπτου μετὰ τὴν Ἡρώδου τελευτήν. Δι' ὧν ἐπὶ τριάκοντα ἑπτὰ ἔτεσι τῆς αὐτῆς τοῦ Ἡρώδου ἀρχῆς ἦν ὁ παῖς τεσσάρων ἐτῶν (16), ὅτε Ἡρώδης τριακοστὸν ἕβδομον πληρώσας κατέστρεψε τὸν βίον. Ἀρχέλαος δὲ ἐννέα ἔτη βασιλεύει. Ὡς ἐξιὼν[1] Ἰωσὴφ ἅμα τῇ Μαρίᾳ καὶ τῷ παιδίῳ, ἀκούσας τὸν Ἀρχέλαον βασιλεύειν, ἀνεχώρησεν εἰς τὰ μέρη τῆς Γαλιλαίας, καὶ κατῴκησεν εἰς Ναζαρέτ. Ἀρχέλαος δὲ γεννᾷ τὸν Ἡρώδην τὸν νεώτερον, καὶ βασιλεύει Ἡρώδης τῷ ἐννάτῳ ἔτει τῆς τοῦ πατρὸς βασιλείας Ἀρχελάου κατὰ διαδοχήν. Καὶ γέγονε λογιζόμενα δεκατρία ἔτη (17) τῇ ἐνσάρκῳ Χριστοῦ παρουσίᾳ. Ὀκτωκαιδεκάτῳ δὲ ἔτει Ἡρώδου τοῦ ἐπικληθέντος Ἀγρίππα, ἤρξατο ὁ Ἰησοῦς τοῦ κηρύγματος, καὶ τὸ βάπτισμα τὸ ἀπὸ Ἰωάννου τότε λαμβάνει, καὶ κηρύσσει ἑαυτὸν δεκτὸν, ὑπ' οὐδενὸς ἀντιλεγόμενος, οὔτε ὑπὸ Ἰουδαίων, οὔτε ὑπὸ Ἑλλήνων, οὔτε ὑπὸ Σαμαρειτῶν, οὔτε ὑπό τινος ἑτέρου. Ἔπειτα ἀντιλεγόμενος ἐκήρυξεν ἑαυτὸν δεκτόν· καὶ γέγονεν ἐννεακαίδεκα ἔτη τῷ αὐτῷ Ἡρώδῃ, τῷ δὲ Σωτῆρι τριακοστὸν δεύτερον. Ἐν δὲ τῷ εἰκοστῷ ἔτει Ἡρώδου τοῦ Τετράρχου καλουμένου, γίνεται τὸ σωτήριον πάθος καὶ ἡ ἀπάθεια, γευσίς τε θανάτου ἄχρι σταυροῦ, πάσχοντος ἐν ἀληθείᾳ, ἀπαθοῦς δὲ μένοντος ἐν θεότητι. *Χριστοῦ γὰρ παθόντος ὑπὲρ ἡμῶν σαρκὶ*, φησὶν ἡ θεία Γραφή· καὶ πάλιν· *Θανατωθεὶς μὲν σαρκὶ, ζωοποιηθεὶς δὲ πνεύματι*, καὶ τὰ ἑξῆς. Σταυροῦται, θάπτεται, κατέρχεται εἰς τὰ καταχθόνια ἐν θεότητι καὶ ἐν ψυχῇ,

Maria degebat, secundo ab nativitate anno[1] conventus, ac muneribus ornatus est. Eadem vero nocte cum Josephus per somnium ab angelo esset admonitus, in Ægyptum transfertur. Unde rursus post biennium, mortuo jam Herode ac succedente Archelao, revertitur.

Siquidem anno Herodis XXXIII, Augusti XLII Bethlehemi in Judæa Salvator nascitur. Tum Herodis XXXV in Ægyptum profectus est. **1119** Eodem Herode mortuo, ab Ægypto rediit. Quare necesse est, XXXVII Herodis anno quartum ætatis suæ puerulum egisse, cum Herodes, inquam, septem ac triginta confectis annis vivendi finem habuit. Post hunc Archelaus novem annis regnavit : quo regnum ineunte, Josephus ex Ægypto cum Maria ac puero digressus, ubi Archelaum regnare didicit, in partes Galilææ secessit, ac tum Nazareti consedit. Cæterum Archelaus Herodem juniorem genuit; qui nono Archelai patris anno in regnum successit. Idemque annus a Nativitate Christi XIII numerandus est. Octavo decimo anno Herodis Agrippæ, Jesus Christus promulgare divinum verbum aggressus est, ac tum a Joanne baptismum accipit, et annum illum acceptum in ea præconii functione consumit, nullo neque Judæorum, neque gentilium, neque Samaritanorum, neque alterius generis repugnante. Secundo præconii cœlestis anno quam plurimos obtrectatores habuit; qui quidem Herodis ejusdem XIX, Christi XXXII exstitit. Demum XX tetrarchæ Herodis anno Christus Dominus ob humani generis salutem passus, atque eodem tempore nihil passus est; tum cum mortem degustans ad ipsum etiam crucis supplicium, passus est in veritate, cum interim nihil ipsa divinitate pateretur. *Christo enim* (ait Scriptura) *pro nobis in carne passo*[2]. Rursumque, *Mortificatus carne, vivificatus autem spiritu*[3], et quæ sequuntur. In cruce suspenditur, sepelitur; ad inferos cum divinitate

[1] Melius lib. I, οὗ ἐν ἀρχῇ τῆς βασιλείας ἐξιών. [2] A magis. [3] I Petr. IV, 1. [4] I Petr. III, 18.

gens, non satis adverterit, cum illo biennio non bene aptari posse tempus nativitatis Jesu cum tempore mortis Herodis; nec quæ ab evangelistis dicuntur cum iis, quæ in *Judæorum Antiquitatibus* habet Josephus Hebræus. Matthæus laudato in loco biennium ut admittamus, non exigit. Et quanquam in hujusmodi chronologicis inquisitionibus certi nil habeamus, verisimilior tamen apparet altera opinio, quæ et apud viros doctos communior, qua dicimus non multis a nativitate diebus Christum Bethlehemi fuisse a magis adoratum. Cui opinioni nec Matthæus repugnat, imo suffragari videtur initio illius secundi capitis magorum adventum illico subjungens narrationi nativitatis, atque aiens: *Cum ergo natus esset Jesus in Bethlehem Judæ, in diebus Herodis regis, ecce magi ab Oriente venerunt Jerosolymam.*

(14) *Τριακοστῷ τρίτῳ.* Ita cum Cæsariensi Eusebio, tum in *Chronicis*, tum in quinto lib. I *Hist. eccl.* capite, sentiebat Epiphanius At accurata magis temporum ratio illa esse videtur, quæ Natalem diem Christi Domini statuit in anno XXXIV Herodis post depulsum Antigonum regnantis, qui sane recidit in annum imperii Augusti non XLII, sed XL ante Dionysianam vulgatam æram v. Qua de re ob discrepantes inter se veterum sententias, ob difficultatem componendi inter sese tempora diversa, intricatissima et salebris undique obsita, innumeri propemodum scripsere, qui consuli possunt, et eos inter postremus profecto non est, nec insuper habendus, quem sæpe laudavimus, Petavius et in suis *De doctrina temporum* libris et in iis quæ ad Epiphanii hæresim 51 scripsit.

(15) *Τῷ τριακοστῷ πέμπτῳ.* Juxta Epiphanii opinionem, quam paulo superius minus verisimilem dicebam.

(16) *Τεσσάρων ἐτῶν.* Fortasse minus vere. Mortuus creditur Herodes anno a Christi Nativitate nondum adamussim expleto. Nec Herodes ab Antigoni morte XXXVII regnavit annos.

(17) *Δεκατρία ἔτη.* Si probari contingat, quæ supra indicabam, ad eorum rationem et locus iste Epiphanii revocetur necesse est. Quod et præstandum videtur circa annos Baptismi et Passionis Christi Domini. De quibus annis constat non minorem esse controversiam quam de tempore Nativitatis.

Digitized by Google

sua et anima descendit, captivam ducit captivitatem, ac tertio die cum sanctissimo suo corpore ad vitam excitatur. Quod quidem corpus neque dissolvendum amplius, nec passurum, nec sub mortis dominatum postea cessurum, cum sua divinitate conjunxit. Id quod Apostoli testimonio comprobatur : *Mors*, inquit, *non amplius ei dominabitur* [1].

A αἰχμαλωτεύει τὴν αἰχμαλωσίαν, καὶ ἀνίσταται τριήμερος σὺν αὐτῷ τῷ ἁγίῳ Πνεύματι, συνενώσας τὸ σῶμα τῇ θεότητι, μηκέτι λυόμενον, μηκέτι πάσχον, μηκέτι ὑπὸ τοῦ θανάτου κυριευόμενον, ὡς φησιν ὁ Ἀπόστολος· *Θάνατος αὐτοῦ οὐκέτι κυριεύει.*

Hoc igitur ipsum vere corpus, carnem ipsam et animam ipsam, ipsa quibus constabat omnia, non aliud quidquam præter verum corpus, sed ipsummet illud vi cœlesti perfudit, et in unum idemque, in unam, inquam, divinitatem consociavit, ut carneum esset incorruptibile, corporeum spiritale, concretum tenue, **1120** mortale immortale, quod nulla omnino tabe dissolutum fuerat, anima apud inferos non relicta, cum nec corpus velut instrumentum aliqua ex parte in peccati obsequium fuisset impensum, nec mens ulla fuisset in deterius mutatione polluta. Sed cum sibi omnia quæ hominis propria sunt ascivisset, eadem integra servavit, quæ veræ illi quam sibi concillaverat, naturæ ad rationi consentaneos usus divinitas concesserat : usus nimirum illos, qui ut esse penitus possint, partim corporis egent, partim animi atque humanæ mentis adminiculo : cujusmodi sunt fames, sitis, fletus, tristitia, lacrymæ, somnus, labor ac requies Hæc enim omnia nulla infuscata peccati specie, susceptæ reipsa naturæ hominis argumenta continent : cum qua vere consociata divinitas humanum tamen patitur nihil, tametsi quæ rationi consentanea forent, admiserit, atque ab omni peccato et in pejus ac vetitum mutatione procul abfuerit. Ad hæc excitatus a morte Christus occlusis januis ingressus est [2], uti quod hactenus crassum concretumque fuerat corpus, eadem cum carne ossibusque tenue ac subtile esse monstraret. Statim enim atque introgressus est, manus ac pedes et confossum latus cum ossibus ac nervis ostendit : adeo, quæ tum videbantur, solida erant, nec specie tenus exstabant. Quibus rebus eorum omnium quæ fidei et spei nostræ proposita sunt, promissorum per sese veritatem confirmavit, perficiens omnia; neque ficta duntaxat imagine, sed reipsa cum suis convescens et habitans. Quin eosdem instituit, ac cœleste regnum cum veritate nuntiare docuit : tum cum maximum illud longeque præcipuum arcanum discipulis aperuit : *Docete*, inquit [3], *omnes gentes :* hoc est, ab improbitate illas ad veritatem, ab sectis variis ad

B

C

D

Αὐτὸ τὸ σῶμα ἀληθινῶς, αὐτὴν τὴν σάρκα, αὐτὴν τὴν ψυχήν, αὐτὰ τὰ πάντα, οὐκ ἄλλο τι παρὰ τὸ ὂν σῶμα, ἀλλ' αὐτὸ ὂν ἐνδυναμώσας καὶ ἑνώσας εἰς μίαν ἑνότητα καὶ εἰς μίαν θεότητα, τὸ σαρκικὸν ἄφθαρτον, τὸ σωματικὸν πνευματικόν, τὸ παχυμερὲς λεπτομερὲς, τὸ θνητὸν ἀθάνατον, μὴ ἐωρακὸς ὅλως διαφθοράν, μὴ καταλειφθείσης τῆς ψυχῆς εἰς ᾅδην, μὴ μερισθέντος τοῦ ὀργάνου εἰς ἁμαρτίαν, μὴ χραν-θέντος τοῦ νοῦ εἰς τροπήν· ἀλλὰ τὰ ὅλα ἀνθρώπου λαβών, φυλάξας δὲ ὅλα (τὰ) τέλεια, ἐπιδεδωκυίας τῆς θεότητος τῇ ἀληθινῇ ἐνανθρωπήσει, ταῖς χρείαις [4] ταῖς εὐλογίαις κατὰ τὰς σωματικάς τε καὶ ψυχικὰς, καὶ ἐκ νοῦ ἀνθρωπίνου κεκτημένας τὴν πληροφορίαν, τὰ τῇ πείνῃ καὶ δίψῃ, καὶ κλαυθμῷ τε καὶ ἀθυμίᾳ, δάκρυσί τε καὶ ὕπνῳ, καμάτῳ καὶ ἀναπαύσει. Ταῦτα γὰρ οὐχ ἁμαρτίας εἶδος, ἀλλ' ἀνθρωπισμοῦ ἀληθεστάτου, ἀληθείᾳ τῆς θεότητος συνούσης, οὐ τὰ ἀνθρώπινα πασχούσης, ἀλλὰ τῆς θεότητος συνευδοκούσης εἰς τὰ εὔλογα, καὶ ἐκτὸς ἁμαρτίας καὶ τροπῆς ἀπηγορευμένης ὑπαρχούσης. Ἀλλὰ καὶ ἀνέστη, καὶ θυρῶν κεκλεισμένων εἰσῆλθεν, ἵνα τὸ παχυμερὲς λεπτομερὲς ἀποδείξῃ, αὐτὸ τὸ ὂν σὺν σαρκὶ καὶ ὀστέοις. Μετὰ γὰρ τὸ εἰσελθεῖν ἔδειξε χεῖρας καὶ πόδας καὶ πλευρὰν νενυγμένην, ὀστέα τε καὶ νεῦρα καὶ τὰ ἄλλα, ὡς μὴ εἶναι φαντασίαν τὸ ὁρώμενον· πίστεώς τε καὶ ἐλπίδος τῆς ἡμετέρας τὴν ὑπόσχεσιν ἐποιεῖτο δι' ἑαυτοῦ, τὰ ὅλα τελειώσας καὶ συνεαθὼν καὶ συναυλιζόμενος οὐ δοκήσει ἀλλ' ἀληθείᾳ· παιδεύων τε ἐδίδαξε βασιλείαν οὐρανῶν, ἐκήρυσσεν ἐν ἀληθείᾳ τὸ μέγα καὶ κορυφαιότατον σημαίνων τοῖς μαθηταῖς, καὶ λέγων· *Μαθητεύσατε τὰ ἔθνη*, τουτέστι, μεταβάλλετε τὰ ἔθνη ἀπὸ κακίας εἰς τὴν ἀλήθειαν, ἀπὸ αἱρέσεων εἰς μίαν θεότητα [5]· *βαπτίζοντες αὐτοὺς εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος*, εἰς τὴν Κυριακὴν ὀνομασίαν τῆς Τριάδος, ἁγίαν καὶ βασιλικὴν σφραγῖδα· ἵνα δείξῃ ἐκ τοῦ ὀνόματος μηδεμίαν ἀλλοίωσιν εἶναι τῆς μιᾶς ἑνότητος. Ὅπου γὰρ οἱ βαπτιζόμενοι κελεύονται *εἰς ὄνομα Πατρὸς*, καὶ ἀσφαλῶς [7] ἡ δοξολογία· *εἰς ὄνομα Υἱοῦ*, οὐκ ἀποδέοντος [8] ἡ ἐπίκλησις· *εἰς ὄνομα ἁγίου Πνεύματος*, οὐ διῃρημένη ἡ ἕνωσις, οὐδὲ ἀπηλλοτριωμένη τῆς μιᾶς θεότητος.

camdem divinitatem [6] traducite, *baptizantes eas in nomine Patris et Filii et Spiritus sancti :* nimirum in Dominica Trinitatis appellatione, quod ipsum sacrosanctum est ac regium signum ; quo vel ipso nomine significaret, nihil esse ab unitate diversum. Cum enim baptizari homines jubet *in nomine Patris*, firma ac stabilis est gloriæ prædicatio ; quod vero additur *in nomine Filii*, nulla re hunc a paterna dignitate deficere appellatio ipsa declarat ; postremo iis in verbis, *in nomine Spiritus sancti*, nulla est unitatis divisio, neque ab una divinitate diversitas.

1121 Denique eodem cum corpore et anima menteque ad cœlos evectus est, omnibus illis in

Ἀνελήφθη εἰς οὐρανοὺς ἐν αὐτῷ τῷ σώματι καὶ τῇ ψυχῇ καὶ τῷ νῷ, συνενώσας εἰς μίαν ἑνότητα καὶ

[1] Rom. vi, 9. [2] Joan. xx, 19, 26. [3] Matth. xxviii, 19. [4] In *Panario*, unitatem. [5] Rectius in lib. I, εὐλόγους χρείας scripsit. [6] Lib. I, ἑνότητα leg. [7] ibid. ἀσφαλῆς leg. [8] γρ. ἀποδεόντως.

Digitized by Google

μίαν πνευματικὴν ὑπόστασιν, καὶ ἕνθεον ἀποτελέσας, ἐκάθισεν ἐν δεξιᾷ τοῦ Πατρὸς, πέμψας κήρυκας εἰς ὅλην τὴν οἰκουμένην, Σίμωνα Πέτρον, Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ, Ἰάκωβον καὶ Ἰωάννην, τοὺς υἱοὺς Ζεβεδαίου, οὓς πάλαι ἐξελέξατο. Φίλιππον καὶ Βαρθολομαῖον, Ματθαῖον καὶ Θωμᾶν καὶ Ἰούδαν καὶ Θαδδαῖον, Σίμωνα τὸν Ζηλωτὴν, Ἰούδαν τε τὸν Ἰσκαριώτην καὶ προδότην αὐτοῦ γενόμενον· καὶ ἄλλους ἑβδομήκοντα δύο, ἐξ ὧν ἦσαν ἑπτὰ οἱ ἐπὶ τῶν χηρῶν (18), Στέφανος, Φίλιππος, Πρόχορος, Νικάνωρ, Τίμων. Παρμενᾶς καὶ Νικόλαος. Ἁρὸς τούτοις Ματθίας ὁ ἀντὶ Ἰούδα ἔσχατον συμψηφισθεὶς μετὰ τῶν δώδεκα ἀποστόλων. Μετὰ δὲ τούτων πάντων Μάρκος, Λουκᾶς, Ἰοῦστος. Βαρνάβας καὶ Ἀπελλῆς, Ῥοῦφος, Νίγερ καὶ οἱ λοιποὶ τῶν ἑβδομηκονταδύο. Μετὰ τούτους δὲ πάντας καὶ σὺν αὐτοῖς Παῦλον τὸν ἁγιώτατον ἀπόστολον ἐκλεξάμενος διὰ φωνῆς ἰδίας ἀπ' οὐρανοῦ, ἀπόστολον ὁμοῦ καὶ κήρυκα ἐθνῶν καὶ πληρωτὴν ἀποστολικῆς διακονίας ἀπέστειλε. Καὶ εὑρίσκει Λουκᾶν τῶν ἑβδομηκονταδύο ὄντα τῶν ἐσκορπισμένων, καὶ ἀκόλουθον αὐτὸν ἔλαβε καὶ συνεργὸν τοῦ Εὐαγγελίου. Οὕτως γοῦν ἐτελέσθη ἡ πᾶσα εὐαγγελικὴ πραγματεία ἕως τούτου τοῦ χρόνου.

Ἔσται δέ μοι ὁ λόγος ἕως ὧδε περὶ τῶν εἴκοσιν αἱρέσεων, καὶ τῆς κατὰ ἀκολουθίαν ἐν συντόμῳ εὐαγγελικῆς τοῦ κόσμου φωταγωγίας διὰ τοῦ Χριστοῦ καὶ τῶν μαθητῶν αὐτοῦ γεγεννημένης. Οἷς καὶ ὅμοια συλλέξαι καὶ παραθέσθαι τὰ προθεσπίσματά τε καὶ τὰς προφητείας ἀπὸ νόμου τε καὶ Ψαλμῶν, καὶ τῶν ἄλλων τὰς ἀκολουθίας καὶ ἀγωγάς· ἔνεστιν ἰδεῖν [1], καὶ τὴν ἀκρίβειαν καταλαβέσθαι, ὡς οὐ νόθος ἀλλ' ἀληθὴς, καὶ προκαταγγελθεῖσα ἀπὸ πάσης τῆς παλαιᾶς διαθήκης, καὶ ἀναμφίβολός ἐστιν ἡ τοῦ Χριστοῦ παρουσία καὶ εὐαγγελικὴ διδασκαλία. Ἵνα δὲ μὴ εἰς ὄγκον παρεκτείνω τὴν τῆς συντάξεως πραγματείαν, τούτοις ἀρκεσθήσομαι.

Προϊὼν δὲ ἐφεξῆς τὰς μετέπειτα τῷ βίῳ ἐπιφυείσας ἐπὶ κακῇ προφάσει δόξας ὁμοίως διαγράψω.

unum conflatis, atque in eamdem spiritualem personam concurrentibus divinisque redditis, in Patris dextra consedit, præcones in universum orbem terræ misit, Simonem Petrum et Andream ejus fratrem, Jacobum et Joannem Zebedæi filios, quos olim delegerat, Philippum et Bartholomæum, Matthæum et Thomam, et Judam ac Thaddæum, et Simonem Zelotem et Judam Iscariotem, a quo ille traditus est: item alios LXXII, e quibus VII illi fuere, qui ad viduarum obsequium delecti sunt: Stephanus, Philippus, Prochorus, Nicanor, Timon, Parmenas et Nicolaus: et præter hos Matthias, qui loco Judæ inter XII apostolos cooptatus est. Accesserunt ad illos Marcus, Lucas, Justus, Barnabas, Apelles, Rufus, Niger ac reliqui de LXXII. Post hos omnes et cum eis sanctissimum Paulum sua de cœlo voce missa apostolum gentium ac præconem, et apostolici ministerii consummatorem instituit. Qui quidem Lucam unum e LXXII discipulis qui dispersi fuerant, invenit, eumque comitem et adjutorem Evangelii adhibuit. Hoc modo totum Evangelii negotium ad hoc usque temporis confectum est.

Atque hactenus de XX sectis, deque eo, quod ordine consecutum est, et a me paucis explicatum, evangelica scilicet luce, quæ a Christo Domino ejusque discipulis orbi terrarum illata fuit. Quibus a me dictis consentanea pleraque colligere licet, ac vaticinia et oracula ex lege veteri vel Psalmis aliisque libris conquirere, et omnium seriem ordinemque perscrutari; ex iisque incarnationem Christi Domini perspicue comprobare non suppositiliam, sed veram exstitisse, atque in lege veteri nuntiatam, ut de eo nullus sit dubitandi locus relictus. Sed ne hujus operis tractatio in infinitum excrescat, his quæ dicta sunt erimus contenti.

Ac deinceps opiniones illas, quæ in hominum vitam postea pessimo colore ac specie prolatæ sunt, eadem serie pertexam.

HÆRESES TOMI II LIBRI I.

Α'. Καὶ ταῦτα γὰρ ἔνεστιν ἐν τῷ δευτέρῳ τόμῳ τοῦ πρώτου βιβλίου διαλαμβάνοντα περὶ δεκατριῶν αἱρέσεων, ὧν πρώτη ἡ τοῦ Σίμωνος τοῦ Μάγου, ὃς εὐθὺς μετὰ Χριστὸν ἔτι κηρυσσόντων τῶν ἀποστόλων ἐφάνη, ἀφ' οὗ καὶ Σιμωνιανοὶ ἐκλήθησαν, οἱ τῇ αὐτοῦ αἱρέσει προσκείμενοι. Οὗτος ἐκ Σαμαρείας ὥρμᾶτο, κώμης Γιτθῶν, Χριστοῦ δὲ ὑπέδυεν ὄνομα μόνον. Ἔδειξε δὲ αἰσχροποιΐαν τὴν μίξιν μολυσμοῦ

1122 I. Hæc sunt quæ in secundo tomo libri primi continentur, in quo XIII hæreses explicantur, quarum prima est Simonis Magi, qui statim post Christum prædicantibus adhuc apostolis emersit, a quo Simoniani illius hæresis sectatores appellati sunt. Hic ex Samariæ vico quodam Gitthis oriundus, Christum nomine tenus professus est. Auctor nefandæ obscenitatis et inquinatissimi concubitus,

[1] Leviter depravatus hic locus. Cor. ἀγωγὰς ἔνεστιν ἰδεῖν τε.

(18) *Οἱ ἐπὶ τῶν χηρῶν.* Unicum tantum nec illud præcipuum diaconorum officium, quo viduis præsto erant, tangit Epiphanius hoc in loco, de illis non composito, sed obiter agens. Cæterum non ad illud tantum munus ascitos eos fuisse satis declarat S. Lucas Apostolicorum actuum cap. VI, modum atque formam nobis describens qua electi fuere et instituti. Christianæ nimirum plebis scito quodam, probitatis morum documento; oratione, qua Deus deprecatus; apostolorum manuum publica impositione, quæ omnia non solam de viduis curam, sed grande aliquod protendunt. Declarant et Patres traditionis argumento docentes diaconos electos institutosque potissimum fuisse, ut sacerdotibus sacra facientibus ad altare ministrarent. Notum est S. Cyprianum in Epistola sua *ad Rogatianum*, quæ 65 olim habebatur in ordine, nunc autem 3, conceptis verbis scripsisse, *diaconos post ascensum Domini in cœlos, apostolos sibi constituisse, episcopatus sui et Ecclesiæ ministros.*

Digitized by Google

præterea promiscuas uxores esse voluit. Corpora negat resurgere, nec a Deo mundum fabricatum esse statuit. Imaginem porro suam scortique sui nomine Helenæ, sub Jovis ac Minervæ specie discipulis adorandam obtrusit. Apud Samaritas pro Deo Patre se venditans, Judæis Christum se esse dicebat.

II. Menandriani a Menandro quodam originem traxerunt, qui certis in rebus a Simonianis discrepabat. Mundum vero ab angelis fuisse productum asserebat.

III. Saturniliani in Syria Simonianorum turpitudinem auxerunt : nonnulla quoque ad majorem conciliandum stuporem ad illorum adjecere dogmata. Horum princeps Saturnilus fuit, qui perinde ac Menander mundi conditores angelos, hoc est septem tantum ex iis facit, idque ipsos præter supremi Patris sententiam suscepisse statuit.

IV. Basilidiani fœditatis ejusdem socii ad Basilidem originem referunt, qui cum Saturnilo, Simonianis ac Menandrianis operam dedit : ac tametsi eadem fere sentiat, in quibusdam tamen discrepat. Nam cœlos CCCLXV esse dicit, quos angelicis nominibus afficit ; ideoque totidem diebus annum constare censet. Addit et Abrasax ejusdem computationis nomen esse, quæ CCCLXV numerum exprimit ; idque sanctum esse nomen asserit.

V. Nicolaitæ a Nicolao illo derivati sunt, cui ab apostolis viduarum cura commissa fuerat. Hic zelotypia ob uxorem suam æstuans, cum aliis præposteram libidinem exercere suos docuit. Sed et Caulacaac et Prunicum et alia nomina barbarica in mundum invexit.

1123 VI. Harum Gnostici successores hæresum longe omnes turpitudinis atque exsecrandæ fœdita-

γυναικῶν ἀδιάφορον [1]. Σωμάτων δὲ ἀπέβαλε τὴν ἀνάστασιν, καὶ τὸν κόσμον μὴ εἶναι Θεοῦ ἔλεγε. Εἰκόνα δὲ ἑαυτοῦ καὶ τῆς σὺν αὐτῷ πόρνης Ἑλένης ὡτεὶ Διὸς καὶ Ἀθηνᾶς παρεδίδου τοῖς ἑαυτοῦ μαθηταῖς εἰς προσκύνησιν. Ἔλεγε δὲ ἑαυτὸν Σαμαρείταις μὲν τὸν Πατέρα, Ἰουδαίοις δὲ τὸν Χριστόν.

Β'. Μενανδριανοί, οἱ ἀπὸ Μενάνδρου τινός, οὗς [2] διέφερε μὲν κατά τι πρὸς τοὺς Σιμωνιανούς. Ἀπὸ ἀγγέλων δὲ ἔλεγε τὸν κόσμον γεγεννῆσθαι.

Γ'. Σατορνιλιανοί, οἱ κατὰ τὴν Συρίαν τὴν τῶν Σιμωνιανῶν κρατύναντες αἰσχρουργίαν· ἕτερα δὲ παρὰ τοὺς Σιμωνιανοὺς εἰς ἔκπληξιν περιττοτέραν κηρύττοντες. Ἀπὸ δὲ Σατορνίλου (19) τὴν ἀρχὴν ἐσχηκότες, ὃς καὶ αὐτὸς κατὰ Μένανδρον ὑπὸ ἀγγέλων τὸν κόσμον γεγεννῆσθαι ἔφασκε, μόνον δὲ ἑπτὰ παρὰ τὴν τοῦ ἄνω Πατρὸς γνώμην.

Δ'. Βασιλειδιανοί, τῆς αὐτῆς αἰσχρουργίας τελεσταί, ἀπὸ Βασιλείδου τε ἅμα Σατορνίλῳ, τοῖς Σιμωνιανοῖς καὶ Μενανδριανοῖς μεμαθητευμένου· τὰ ὅμοια μὲν φρονοῦντος, κατά τι δὲ διαφερομένου. Λέγει δὲ τριακοσίους ἑξήκοντα πέντε οὐρανοὺς (20) εἶναι, καὶ τούτους ὀνόματα ἀγγελικὰ ἐκτίθησι· διὸ καὶ τὸν ἐνιαυτὸν τοσούτων ἡμερῶν εἶναι. Καὶ τὸ Ἀβρασὰξ ὄνομα τῆς αὐτῆς (21) ψήφου εἶναι, καὶ εἶναι τριακοσίων ἑξηκονταπέντε, καὶ εἶναι τοῦτο τὸ ἅγιον ὀνομάφησι.

Ε'. Νικολαΐται, ἀπὸ Νικολάου (22) τοῦ ἐπὶ ταῖς χήραις ὑπὸ τῶν ἀποστόλων ταχθέντος, [3] διὰ ζῆλον τῆς ἰδίας γαμετῆς τὴν αἰσχρουργίαν ἅμα τοῖς ἄλλοις ἐπιτελεῖν τοὺς ἑαυτοῦ μαθητὰς διδάξας. Καὶ περὶ τοῦ Καυλακαὰκ (23), καὶ Προυνίκου, καὶ ἄλλων βαρβαρικῶν ὀνομάτων εἰσηγησάμενος.

Ϛ'. Γνωστικοὶ (24), τὰς αὐτὰς αἱρέσεις διαδεξάμενοι, πλέον καὶ αὐτοὶ πάντων τὴν αἰσχρότητα ἐμ-

[1] In lib. I, ἀδιαφορίαν. [2] Cor. ὅς. [3] Lib. I, ἅγιον Πνεῦμα, pro ὄνομα leg. [4] Deest ὅς.

(19) *Ἀπὸ δὲ Σατορνίλου.* Satornilum appellat Epiphanius et hic et in *Panario*. Apud alios veteres et Saturnilus vocatur et Saturninus, quod postremum nomen communiter obtinuit.

(20) *Οὐρανούς.* Non cœlos, sed cœlestes orbes interpretatur hoc in loco Petavius, quanquam et cœlos dixerit non semel in *Panario*.

(21) *Τῆς αὐτῆς ψήφου.* Petavius, *cujusdam virtutis nomen*. Obscura vocis ψήφου usurpatio ex *Panario* lucem aliquam desumere potest. Ad hujus enim hæreseos, quæ est 24, num. 7 habemus : Λέγει δὲ τὴν ὑπεράνω τούτων δύναμιν εἶναι καὶ ἀρχὴν Ἀβρασὰξ, διὰ τὸ τὴν ψῆφον τοῦ Ἀβρασὰξ ἔχειν τριακοσιοστὸν ἑξηκοστὸν πέμπτον ἀριθμόν. Virtus igitur superior, Basilidis inane commentum, *Abrasax* nomine donata, quod barbaro eo nomine velut signo quodam et nota, numerus denotaretur CCCLXV.

(22) *Ἀπὸ Νικολάου*, κ. τ. λ. S. Epiphanii opinio est communis cum sanctis Irenæo, Hilario, Augustino, Philastrio, Cassiano, et aliis, qua dicitur Nicolaitas hæreticos fœdissimos institutorem habuisse Nicolaum illum unum de septem diaconibus, quos apostoli altaris ministros et viduarum elegere patronos. Constat tamen eam opinionem incertam fieri, et Nicolaum Ecclesiæ diaconum ab infami ea labe immunem declarari a Clemente Alexandrino potissimum, cui suffragantur Cæsariensis Eusebius atque Theodoretus. Consule nostræ ætatis scriptores ea de opinione et Patrum dissidio agentes, Baronium, Tillemontium, Natalem Alexandrum.

(23) *Τοῦ Καυλακαάκ.* In *Panario*, hæresi 25, num. 3, legimus Καυλαυκαύχ. De hac voce, ut et de insequenti Προυνίκου, vide Petavium in Animadversionibus ad memoratam hæresim 25.

(24) *Γνωστικοί.* Flagitiosissimi videlicet hæretici illi, qui præ aliis omnibus gravissimum intulere Ecclesiæ damnum : in omnem enim effusi libidinem, omnem abjicientes nequitiæ mensuram, assiduis se sceleribus polluebant. Eam ob rem nauseam atque stomachum moventes illis omnibus, qui recti honestique aliquid retinerent, omnium in se odium, iram, indignationem, maledicta provocarunt. Quæ nebulonibus tantum fœdissimis propria, narrante S. Irenæo, et post illum S. Epiphanio, omnibus communia Christianis putantes idololatræ, hos illis similes credebant, a veritatis abhorrentes præconio ; criminationes iniquas, calumnias, probra, maledicta, dicteria in illos congerebant. Unde iis, qui inter fideles doctrinis ac dignitate pollebant, occasio enata et necessitas quædam, apologiis veritatem propugnandi, ab impactis falso criminibus sanctam purgandi religionem. Videndi ea de re Irenæus lib. I, cap. 24 ; Eusebius *H. E.* lib. IV, cap. 7; Epiphanius hæresi 27, num. 3.

Digitized by Google

μανῶς ἐργαζόμενοι· ἐν Αἰγύπτῳ δὲ Στρατιωτικοὶ καλούμενοι καὶ Φιβιωνῖται· ἐν δὲ τοῖς ἀνωτερικοῖς μέρεσι, Σεκουνδιανοί· ἐν ἄλλοις δὲ μέρεσι, Σωκρατῖται· παρὰ δὲ ἑτέραις, Ζακχαῖοι· ἄλλοι δὲ Κοδιανοὺς αὐτοὺς λέγουσι· ἄλλοι δὲ Βορβορίτας αὐτοὺς καλοῦσι.

A tis vesania superarunt. Stratiotici, id est, Militares in Ægypto dicuntur et Phibionitæ, in superiore tractu Secundiani, alibi Socratitæ, ab aliis Zacchæi. Sunt qui eos Codianos nominent, quidam Borboritas, sive Lutulentos.

Ζ'. Καρποκρατιανοί, ἀπὸ Καρποκράτους τινὸς τῶν ἐν τῇ Ἀσίᾳ (25), ὃς ἐδίδασκε πᾶσαν αἰσχρουργίαν ἐκτελεῖν καὶ πᾶν ἐπιτήδευμα ἁμαρτίας. Καὶ εἰ μή τις διὰ πάντων, φησὶ, παρέλθῃ, καὶ τὸ θέλημα πάντων δαιμόνων καὶ ἀγγέλων ἐκτελέσει, οὐ δύναται ὑπερβῆναι εἰς τὸν οὐρανὸν, οὐδὲ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας παρελθεῖν. Ἔλεγε δὲ τὸν Ἰησοῦν ψυχὴν νοερὰν εἰληφέναι, εἰδότα δὲ τὰ ἄνω, καὶ τὰ ἐνταῦθα καταγγέλλειν· καὶ ὡς εἴ τις πράξειεν ὅμοια τῷ Ἰησοῦ, κατ' αὐτὸν εἶναι. Τὸν δὲ νόμον σὺν τῇ τῶν νεκρῶν ἀναστάσει ἀπαγορεύει, ὡς αἱ ἀπὸ Σίμωνος αἱρέσεις. Τούτου γέγονεν ἡ ἐν Ῥώμῃ Μαρκελλίνα. Εἰκόνας δὲ ποιήσας ἐν κρυφῇ Ἰησοῦ καὶ Παύλου, καὶ Ὁμήρου καὶ Πυθαγόρου, ταύτας ἐθυμία καὶ προσεκύνει.

VII. Carpocratiani a Carpocrate quodam Asiatico dicti, qui ad omne turpitudinum ac flagitiorum genus discipulos informabat. Quod si quis, aiebat, non omnia percurrerit, neque dæmonum et angelorum omnium voluntati satisfecerit, in cœlum evehi minime potest, neque principatus et potestates transcendere. Asserebat idem Jesum mente præditam animam sumpsisse, et cœlestium ac terrenorum cognitione præditum hominibus ea nuntiasse: ac si quis eadem quæ Jesus olim, perpetret, haud eo inferiorem futurum. Demum legem una cum mortuorum resurrectione damnabat, quemadmodum et Simoniani cæterique omnes, quos hucusque percensui. Ex hujus grege Marcellina illa Romæ fuit. Pythagoræ clanculum imagines fingens, suffitibus

B

Atque idem Jesu Paulique necnon et Homeri ac eas et adoratione prosecutus est.

Η'. Κηρινθιανοὶ καὶ Μηρινθιανοί, οἱ ἀπὸ Κηρίνθου καὶ Μηρίνθου (26) Ἰουδαῖοι, οἵτινες περιτομὴν αὐχοῦσι, καὶ κόσμον ὑπὸ ἀγγέλων γεγεννῆσθαι· τὸν δὲ Ἰησοῦν κατὰ προκοπὴν Χριστὸν καλεῖσθαι.

VIII. Cerinthiani, sive Merinthiani a Cerintho et Merintho, Judaici generis exstiterunt, qui circumcisionem præ se ferebant. Mundum ab angelis fabricatum, Jesum ad Christi dignitatem per virtutum incrementa pervenisse dixerunt.

Θ'. Ναζωραῖοι (27), Ἰησοῦν μὲν ὁμολογοῦντες Υἱὸν Θεοῦ, πάντα δὲ κατὰ νόμον πολιτευόμενοι.

IX. Nazoræi ita Jesum esse Dei Filium asseruerunt, ut Mosis legem omnino vitæ ad institutum

C

asciverint.

Ι'. Ἐβιωναῖοι, παραπλησίως τῶν προειρημένων Κηρινθιανῶν καὶ Ναζωραίων, οἷς συνήφθη κατά τι ἡ τῶν Σαμψαίων τε καὶ Ἐλκεσαίων αἵρεσις· οἳ τὸν Χριστόν φασιν ἐκτίσθαι ἐν τῷ οὐρανῷ καὶ τὸ ἅγιον Πνεῦμα, ἐνδημήσαντα δὲ ἐν τῷ Ἀδὰμ πρῶτον, καὶ κατὰ καιρὸν ἐνδυόμενον αὐτὸν τὸν Ἀδὰμ, καὶ πάλιν ἐκδυόμενον· τοῦτο (γὰρ) φασὶν ἐπιτετελεκέναι αὐτὸν ἐν τῇ ἐνσάρκῳ αὐτοῦ παρουσίᾳ. Ἰουδαῖοι δὲ ὄντες Εὐαγγελίοις κέχρηνται· σαρκοφαγίαν βδελύττονται· τὸ ὕδωρ δὲ ἀντὶ Θεοῦ ἔχουσι· τὸν δὲ Χριστὸν ἄνθρωπον ἐν τῇ ἐνσάρκῳ παρουσίᾳ ἐνδεδύσθαι, ὡς ἔφην. Συνεχῶς δὲ βαπτίζονται ἐν τοῖς ὕδασι θέρους τε καὶ χειμῶνος εἰς ἁγιασμὸν δῆθεν, ὥσπερ οἱ Σαμαρεῖται.

X. Cerinthianis ac Nazoræis simillimi sunt Ebionitæ, quibus cum Sampsæis et Elcesæis aliqua ex parte convenit. Hi Christum in cœlo creatum, ejusque sanctum Spiritum affirmant. Illum ipsum in Adamum sese infudisse primo; et certo tempore induisse ipsum Adamum rursumque exuisse, idque fecisse cum in terras corpore indutus advenit. Ac licet Judæi sint, Evangelium nihilominus adhibent. Carnium esum detestantur, aquam pro Deo habent. Christum in suo illo, uti diximus, adventu hominem induisse dicunt. Denique aquis se identidem tam hieme quam æstate lavant, **1124** nimirum sanctitatis conciliandæ sibi gratia, quemadmodum Samaritæ.

D

ΙΑ'. Οὐαλεντινιανοὶ, οἳ σάρκα μὲν ἀπαγορεύουσιν εἰς ἀνάστασιν, Παλαιὰν δὲ ἀθετοῦσι Διαθήκην καὶ προφήτας, ἀναγινώσκοντες μὲν, καὶ ὅσα εἰς ὁμοίωσιν δύνανται τροπολογεῖσθαι τῆς αὐτῶν αἱρέσεως, δεχόμενοι· ἑτέρας δέ τινας μυθολογίας παρεισφέροντες, τριάκοντα ἐνιαυτῶν[1] ὀνομασίας φέροντες ἀῤῥενοθηλειῶν ὁμοῦ τε, ἐκ τοῦ πατρὸς τῶν ὅλων γεγεννημένους, οὓς καὶ θεοὺς ἡγοῦνται καὶ αἰῶνας. Τὸν δὲ

XI. Valentiniani corporum resurrectionem negant, Vetus Testamentum ac prophetas respuunt: quæ nihilominus legunt ipsi, et si quid est, quod ad illorum hæresin per figuram ac tropum accommodari possit, id admittunt. Sed certas quasdam fabulas addiderunt, et triginta æonum utriusque sexus vocabula commenti sunt; quos quidem æonas ab universorum parente ac conditore productos

[1] Cor. ex l. 1, αἰώνων.

(25) *Τῶν ἐν τῇ Ἀσίᾳ.* Clemens Alexandrinus *Stromatum* lib. III, et Theodoretus *Hæretic. fabul.* lib. I, Carpocratem non Asianum faciunt, sed Ægyptium, genere nimirum Alexandrinum.

(26) *Οἱ ἀπὸ Κηρίνθου καὶ Μηρίνθου.* Cerinthiani et Merinthiani sunt appellati; an a Cerintho, qui et Merinthus alio nomine vocaretur, an ab alio, qui a Cerintho diversus Merinthus fuerit dictus, ignorare se fatetur Epiphanius num. 8 hæreseos 27.

(27) *Ναζωραῖοι.* De hac hæreticorum secta lege Petavii Animadversionem, quæ est ad *Panarii* hæresim 29.

Digitized by Google

asserunt, quos et deos et æonas faciunt. Deinum Christum e cœlo corpus extulisse, ac per Mariam traductum esse velut per tubulum existimant.

XII. Secundiani, eorumque socii Epiphanes atque Isidorus eadem inter se paria componentes cum Valentino consentiunt; nonnulla tamen ab iis diversa ponunt, et ad fœdam insuper libidinem suos instituunt. Iidem et incarnationem negant.

XIII. Ptolemæi, Valentini discipuli fuerunt, cum quibus Flora conjungitur. Par idemque dogma de conjugationibus illis cum Valentino ac Secundianis astruunt, sed in quibusdam tamen discrepant.

Hæc est secundi tomi libri primi summa, quæ XIII hæreses complectitur.

A Χριστὸν ἀπ' οὐρανοῦ σῶμα ἐνηνοχέναι, καὶ ὡς διὰ σωλῆνος τὴν Μαρίαν πεπερακέναι.

ΙΒ'. Σεκουνδιανοί, οἷς συνάπτονται Ἐπιφάνιος [1] καὶ Ἰσίδωρος, ταῖς αὐταῖς κεχρημένοι καὶ οὗτοι συζυγίαις, ὅμοια Οὐαλεντίνῳ πεφρονηκότες, ἕτερα δὲ παρ' αὐτῶν [2] ποσῶς διηγοῦνται. Προστιθέασι δὲ αἰσχρουργίαν διδάσκοντες. Ἀπαγορεύουσι δὲ καὶ οὗτοι τὴν σάρκα.

ΙΓ'. Πτολεμαῖοι, οἱ μαθηταὶ ὄντες καὶ αὐτοὶ Οὐαλεντίνου, οἷς συνάπτεται ἡ Φλώρα. Τὰ αὐτὰ [3] τῶν συζυγιῶν καὶ οὗτοι λέγουσι, καθὰ καὶ Οὐαλεντῖνος καὶ Σεκουνδιανοί, κατά τι δὲ καὶ οὗτοι διαφέρονται.

Αὕτη καὶ ἡ τοῦ δευτέρου τόμου τοῦ πρώτου βιβλίου τῶν δεκατριῶν αἱρέσεων ἀνακεφαλαίωσις.

HÆRESES TOMI III LIBRI I.

At in III tomo ejusdem libri I aliæ hæ continentur hæreses XIII:

I. Marcosii. Marcus quidam exstitit Colorbasi condiscipulus. Is duo similiter principia constituit. Mortuorum resurrectionem negabat. Utebatur præstigiis ejusmodi, ut certis carminibus poculorum liquorem in cæruleum purpureumque colorem verteret, quibus sacris infelices mulierculas initiare solebat. Idem ad XXIV elementa perinde ac Valentinus universa revocare nititur.

II. Colorbasii. Colorbasus iste easdem fere opiniones amplexus est. Sed nonnulla tamen sunt, in quibus ab aliis hæresibus discrepat, Marci ac Valentini potissimum: siquidem propagationes æonum et ogdoadas alio modo tradidit.

1125 III. Heracleonitæ. Etiam Heracleon commentitias ogdoadas retinuit: in quibus explicandis a Marci et Ptolemæi ac Valentini cæterorumque opinione discessit. Suos porro sub ipsum vitæ exitum perinde ac Marcus instituit, oleo opobalsamo et aqua in caput infusis in salutem asserunt; unaque voces quasdam Hebraicas in ejus qui expiatur caput insusurrant.

IV. Ophitæ. Hi serpentem venerantur ac prædicant: eumque esse Christum asserunt. Ob id in quadam cista serpentem asservant.

V. Caiani consimiliter ac superiores veterem legem, et eum qui in ea locutus est, repudiant, resurrectionem carnis abnegant, Cainum commendant, quem præstantioris cujusdam virtutis fuisse prædicant. Sed et Judam divinis honoribus afficiunt, necnon et Core et Dathan et Abiron ac Sodomitas.

VI. Sethiani. Hi Sethum laudibus efferunt, quem ex supremæ Matris pœnitentia procreatum putant, cum, Caino et Abelo interfectis, congressa sinceram stirpem videlicet Sethum protulit; a quo universum genus hominum manavit. Postremo principia et potestates cæteraque, ut alii, omnia statuunt.

VII. Archontici. Isti item ad plures principes

B Ἐν δὲ τῷ τρίτῳ τοῦ αὐτοῦ πρώτου βιβλίου εἰσὶν ἕτεραι αἱρέσεις δεκατρεῖς αὗται·

Α'. Μαρκώσιοι. Μάρκος τις γεγένηται Κολορβάσου συμφοιτητής, δύο ἀρχὰς καὶ αὐτὸς παρεισάγων. Ἀθετεῖ δὲ νεκρῶν ἀνάστασιν. Φαντασίας δέ τινας δι' ἐκπωμάτων ἐξ ἐπαοιδῆς εἰς κυάνεον χρῶμα καὶ πορφύρεον μεταβάλλων, μυσταγωγεῖ τὰς ἀπατωμένας γυναῖκας. Καὶ αὐτὸς δὲ τῶν εἰκοσιτεσσάρων στοιχείων βούλεται τὰ πάντα ἡγεῖσθαι, ὁμοίως Οὐαλεντίνῳ.

C Β'. Κολορβάσιοι. Καὶ οὗτος ὁ Κολόρβασος ὡσαύτως τὰ αὐτὰ διηγούμενος, κατά τι διαφερόμενος, πρὸς τὰς ἄλλας αἱρέσεις, φημὶ δὲ πρὸς τοὺς περὶ Μάρκον καὶ Οὐαλεντῖνον, τὰς προβολὰς δὲ καὶ ὀγδοάδας ἑτέρως ἐδίδαξεν.

Γ'. Ἡρακλεωνῖται, καὶ αὐτοὶ τῇ τῶν ὀγδοάδων φέρονται μυθολογίᾳ, ἑτέρως δὲ παρὰ τὸν Μάρκον καὶ Πτολεμαῖον καὶ Οὐαλεντῖνον καὶ τοὺς ἄλλους. Ἀλλὰ καὶ ἐπὶ τῇ κεφαλῇ [4] τῶν παρ' αὐτοῖς τελευτώντων ὁμοίως τῷ Μάρκῳ λυτροῦνται δι' ἐλαίου ἀπὸ βαλσάμου καὶ ὕδατος, ἐπικλήσεις τινὰς Ἑβραϊκαῖς λέξεσιν ἐπιλέγοντες ἐπὶ τῇ κεφαλῇ τοῦ δῆθεν λυτρουμένου.

Δ'. Ὀφῖται, οἱ τὸν ὄφιν δοξάζοντες καὶ τοῦτον Χριστὸν ἡγούμενοι, ἔχοντες δὲ τὸ ἑρπετὸν τοῦτο ἐν κίστῃ τινί.

D Ε'. Καϊανοί, ὡσαύτως ἅμα τοῖς πρότερον τὸν νόμον καὶ τὸν λαλήσαντα ἐν νόμῳ ἀθετοῦντες, σαρκός τε ἀνάστασιν ἀρνούμενοι, τὸν Κάϊν δοξάζουσι, λέγοντες αὐτὸν τῆς ἰσχυροτέρας δυνάμεως. Ἅμα δὲ καὶ τὸν Ἰούδαν ἐκθειάζουσιν, ὁμοῦ τε καὶ τοὺς περὶ Κορὲ καὶ Δαθὰν καὶ Ἀβειρών, ἀλλὰ καὶ τοὺς Σοδομίτας.

Ϛ'. Σηθιανοί. Οὗτοι πάλιν τὸν Σὴθ δοξάζουσι, φάσκοντες αὐτὸν εἶναι ἐκ μεταμελείας τῆς ἄνωθεν μητρὸς, συνελθούσης μετὰ [5] τὸν Κάϊν καὶ Ἄβελ ἀποκτανθῆναι, καὶ καθαρὸν σπέρμα τὸν Σὴθ ποιήσασα, ἐξ οὗπερ λοιπὸν κατήχθη τὸ πάντων ἀνθρώπων γένος. Καὶ αὐτοὶ δὲ Ἀρχὰς καὶ Ἐξουσίας καὶ ὅσα οἱ ἄλλοι δογματίζουσι, καὶ αὐτοὶ ἐδογμάτισαν.

Ζ'. Ἀρχοντικοί. Οὗτοι πάλιν εἰς πολλὰς ἀρχὰς τὸ

[1] Al. Ἐπιφάνης. [2] For. αὐτόν. [3] Deest περί. [4] Lib. I, πρὸς τῇ τελευτῇ τοὺς παρ' αὐτοῖς τελευτῶντας. [5] For. τὸ ὑπὸ Κάϊν τὸν Ἄβέλ.

Digitized by Google

πᾶν ἀναφέρουσι, καὶ τὰ γενόμενα ἐκ τούτων γεγενῆσθαι· ἀλίσκονται [1] δὲ καὶ ἐπὶ αἰσχρότητί τινι. Σαρκὸς δὲ ἀνάστασιν ἀθετοῦσι, καὶ Παλαιὰν Διαθήκην μεταβάλλουσι [2], κέχρηνται δὲ Παλαιᾷ καὶ Καινῇ Διαθήκῃ, ἑκάστην λέξιν εἰς τὸν ἑαυτῶν νοῦν μεθοδεύοντες.

A universa referentes, quæcunque facta sunt, ab illis orta definiunt. Habent et fœdissimæ quoddam libidinis genus. Carnis resurrectionem respuunt. Vetus Testamentum calumniose rejiciunt, quanquam et hoc et Novo insuper nonnunquam utantur : ex quibus singulas voculas callide ad mentem suam accommodant.

Η'. Κερδωνιανοί, οἱ ἀπὸ Κέρδωνος τοῦ Ἡρακλέωνος, διαδεξάμενοι [3] (28) τὴν μετοχὴν τῆς πλάνης, ἀπὸ δὲ τῆς Συρίας εἰς Ῥώμην (28) μεταναστάντος, καὶ κήρυγμα ἑαυτοῦ ἐκθεμένου ἐν χρόνοις Ῥηγίνου [4] ἐπισκόπου. Δύο δὲ ἀρχὰς κηρύττει οὗτος ἐναντίας, μὴ εἶναι δὲ τὸν Χριστὸν γεννητόν, ὁμοίως τε νεκρῶν ἀνάστασιν ἀθετῶν, καὶ τὴν Παλαιὰν Διαθήκην.

VIII. Cerdoniani a Cerdone, qui quem ab Heracleone errorem hauserat, novis inventis adauxit. Ac cum Romam e Syria profectus esset, Hygini Papæ temporibus sua dogmata disseminavit. Duo porro principia contraria invicem affirmat. Negat Christum esse genitum. Mortuorum resurrectionem et Vetus Testamentum rejicit.

Θ'. Μαρκιωνισταί. Μαρκίων οὗτος ἐκ Πόντου ὁρμώμενος, ἐπισκόπου μὲν ἦν υἱὸς, φθείρας δὲ παρθένον ἀπέδρα, διὰ τὸ ἐξεῶσθαι ὑπὸ τοῦ ἰδίου πατρὸς ἀπὸ τῆς Ἐκκλησίας. Ἀνελθὼν δὲ ἐν τῇ Ῥώμῃ, καὶ αἰτήσας μετάνοιαν τοὺς κατ' ἐκεῖνο καιροῦ, καὶ μὴ τυχὼν, ἐπαρθεὶς κατὰ τῆς πίστεως, ἐδογμάτισε, τρεῖς ἀρχὰς εἰσηγησάμενος, ἀγαθόν τε καὶ δίκαιον καὶ φαῦλον· εἶναί τε τὴν Καινὴν Διαθήκην ἀλλοτρίαν τῆς Παλαιᾶς καὶ τοῦ ἐν αὐτῇ λαλήσαντος. Ἀνάστασιν σαρκὸς ἀθετεῖ. Βάπτισμα δίδωσιν οὐ μόνον ἓν, ἀλλὰ καὶ δύο καὶ τρία μετὰ τὸ παραπεσεῖν. Ὑπὲρ δὲ τῶν τεθνεώτων κατηχουμένων ἑτέρους βαπτίζει, ἀδεῶς καὶ γυναιξὶν ἐπιτρέπει λουτρὸν διδόναι.

IX. Marcionistæ. Marcio ex Ponto oriundus, episcopo patre natus est : a quo **1126** ob virginis stuprum ejectus ex Ecclesia, Romam aufugit. Ubi cum ab iis qui tum Ecclesiæ præerant, pœnitentiam frustra postulasset, catholicam fidem oppugnare instituit. Quamobrem tria esse principia dixit, bonum et justum et malum. Novum Testamentum a Vetere et ejusdem auctore alienum esse docuit. Carnis resurrectionem sustulit. Non unum baptisma duntaxat, sed et duo et tria post delictum indulget. Pro mortuis catechumenis alios baptizat, ac mulieribus conferre baptismum sine ullo discrimine permittit.

Ι'. Λουκιανισταί. Λουκιανός τις ἀρχαῖος, οὐχ ὁ νῦν ἐν χρόνοις Κωνσταντίνου γενόμενος, πάντα κατὰ τὸν Μαρκίωνα ἐδογμάτισεν, ἕτερα δὲ παρὰ τὸν Μαρκίωνα καὶ αὐτὸς ὅθεν περισσότερον δογματίζει.

X. Lucianistæ. Lucianus hic antiquior, non alter ille qui Constantino imperante vixit, in omnibus Marcionis vestigiis inhæsit, etsi quibusdam adjectis cumulatius aliquid docere studuit.

ΙΑ'. Ἀπελληϊανοί. Καὶ οὗτος ὁ Ἀπελλῆς τὰ ὅμοια Μαρκίωνι καὶ Λουκιανῷ δογματίζει, κακίζων τὴν πᾶσαν ποίησιν καὶ τὸν πεποιηκότα. Οὐχ ὁμοίως δὲ τούτοις δογματίζει καὶ τρεῖς ἀρχὰς, ἀλλὰ μίαν ἀρχὴν καὶ ἕνα Θεὸν ὄντα ἀνώτατον καὶ ἀκατονόμαστον, αὐτὸν δὲ πεποιηκέναι ἄλλον· καὶ αὐτὸς ὁ γενόμενος πονηρὸς εὑρεθεὶς, ἐποίησε τῇ ἑαυτοῦ φαυλότητι τὸν κόσμον.

XI. Apelleiani. Apelles similiter atque Marcio et Lucianus quidquid conditum est cum ipso conditore vituperat. Non tamen tria ut illi principia, sed unum tantum invexit, itidemque Deum unum ac supremum, et nominis expertem, qui singularem alterum procreaverit : qui cum malus evasisset, mundum sua illa improbitate condidit.

ΙΒ'. Σευηριανοί. Σευῆρός τις πάλιν τῷ Ἀπελλῇ συνεπόμενος, τὸν μὲν οἶνον ἀποβάλλεται, καὶ τὴν ἄμπελον, ἐκ δὲ τοῦ δρακοντοειδοῦς Σατᾶν μυθολογῶν πεφυκέναι· τὴν γυναῖκα ἀριστερᾶς δυνάμεως ὑπάρχειν (29). Ὀνομασίας δέ τινας ἀρχόντων, καὶ βιβλία τινὰ ἀπόκρυφα παρεισάγει, τὰ ὅμοια δὲ ταῖς ἄλλαις σαρκὸς ἀνάστασιν ἀθετεῖ καὶ Παλαιὰν Διαθήκην.

XII. Severiani. Severus hic Apellis assecla vinum ac vitem penitus damnat; quæ ex Satanæ in forma serpentis et terræ congressu propagata fingit. Mulierem quoque sinistræ virtutis esse dicit. Principum vocabula quædam, et quosdam apocryphos libros inducit. In mortuorum resurrectione Veterique Testamento refellendo cum aliis hæresibus consentit.

ΙΓ'. Τατιανοί. Τατιανὸς οὗτος συνεβίωσε μὲν Ἰουστίνῳ τῷ Μάρτυρι τῷ ἁγίῳ, μετὰ δὲ τὴν τοῦ μάρτυρος καὶ φιλοσόφου Ἰουστίνου τελευτὴν, προσεφθάρη τοῖς τοῦ Μαρκίωνος δόγμασι, μαθητευθεὶς τῷ αὐτῷ ἐδογμάτισε, καὶ πάλιν ἕτερα παρ' ἐκεῖνον. Ἐλέγετο δὲ ἀπὸ Μεσοποταμίας ὁρμᾶσθαι.

XIII. Tatiani. Tatianus primum cum sancto Justino martyre ac philosopho vixit. Post cujus obitum contagione Marcionis dogmatum afflatus, ejus discipulus fuit; ad eaque quæ cum eo communiter tenuit, nova insuper addidit. Ferunt e Mesopotamia oriundum hunc fuisse.

[1] Deest λέγουσιν. [2] Lib. I, διαβάλλουσι. [3] For. διαδεξαμένου. [4] Cor. Ὑγίνου.

(28) Ἀπὸ δὲ τῆς Συρίας εἰς Ῥώμην, κ. τ. λ. De hac re legenda quæ ex Irenæo habet Eusebius *H. E.* lib. IV, capitibus 10 et 11.

(29) Τὴν γυναῖκα ἀριστερᾶς δυνάμεως ὑπάρχειν, hoc est, Satanæ opus esse, ut diserte ait idem Epiphanius hæreseos 45 num. 2, Φάσκουσι δὲ καὶ τὴν γυναῖκα εἶναι ἔργον τοῦ Σατανᾶ.

Digitized by Google

Hæc est summa libri I in tres tomos divisi de hæresibus XLVI.

Αὕτη ἡ ἀνακεφαλαίωσις τοῦ πρώτου βιβλίου τῶν τριῶν τόμων, κατὰ τεσσαράκοντα ἓξ αἱρέσεων.

HÆRESES TOMI I LIBRI II.

1127 In primo vero tomo libri II, qui secundum institutum a nobis initio tomorum ordinem quartus est, hæreses continentur XVIII, hoc modo:

I. Encratitæ, Tatiani quædam velut appendix. Hi nuptias damnant, quas Satanæ tribuunt. Ab animatorum omnium usu abstinendum esse sentiunt.

II. Cataphryges, qui et Montanistæ, utrumque Testamentum approbant, sed novos prophetas ad receptos et antiquos adjiciunt: ac Montanum quemdam et Priscillam prædicant.

III. Pepuziani, qui et Quintiliani dicuntur, quibus accedunt et Artotyritæ, superioribus quidem illis, hoc est Cataphrygibus annumerandi sunt; sed ab iis tamen diversa nonnulla sentiunt. Ac Pepuzam desertum quoddam oppidum Galatiam inter et Cappadociam ac Phrygiam situm divinis honoribus extollunt, eamque Hierosolymam esse dicunt. Est autem et alia Pepuza. Mulieribus sacros magistratus ac sacerdotia deferunt. Certis initiantur mysteriis, quibus puerum confodiunt. Fingunt Pepuzæ Christum olim Quintillæ aut Priscillæ videndum se præbuisse muliebri specie. Vetus ac Novum Testamentum adhibent, ita tamen ut pleraque pro animi libidine commutent.

IV. Tessarescædecatitæ, qui stato anni die Pascha celebrant: ut quamcumque in diem XIV lunæ incurrerit, sive Sabbatum sive Dominica fuerit, ea die jejunent ac pervigilia celebrent.

V. Alogi a nobis ita nominati, qui Joannis Evangelium, ac *Logon*, hoc est, *Verbum* Deum a Patre semper genitum cœlitusque demissum, cujus in Evangelio illo mentio fit, repudiant; nec Joannis duntaxat Evangelium, sed et Apocalypsin rejiciunt.

VI. Adamiani ab Adamo nescio quo vivente sic

Ἐν δὲ τῷ πρώτῳ τόμῳ τοῦ δευτέρου βιβλίου, τετάρτῳ δὲ ὄντι κατὰ τὴν ἀπαρχῆς τῶν τόμων τοῦ ἀριθμοῦ ἀκολουθίαν, αἱρέσεις εἰσὶν ιη', οὕτως·

Α'. Ἐγκρατῖται. οἱ ἀπόσπασμα τυγχάνοντες Τατιανοῦ, τὸν γάμον ἀποβάλλοντες, τοῦ Σατανᾶ φάσκοντες τοῦτον εἶναι, πᾶσαν δὲ ἀπαγορεύοντες ἐμψυχοφαγίαν.

Β'. Καταφρῦγας, οἱ δὲ Μοντανισταί, οἵτινες Παλαιὰν καὶ Καινὴν Διαθήκην δέχονται, ἑτέρους δὲ προφήτας παρεισφέρουσι παρὰ τοὺς προφήτας, Μοντανόν τινα αὐχοῦντες καὶ Πρίσκιλλαν.

Γ'. Πεπουζιανοί, οἱ καὶ Κυϊντιλιανοί, οἷς συνάπτονται Ἀρτοτυρῖται (30), ἐκ τούτων μέν εἰσι τῶν κατὰ Φρύγας, ἕτερα δὲ παρ' ἐκείνους δογματίζοντες. Πέπουζάν τινα πόλιν ἔρημον ἀναμέσον Γαλατίας καὶ Καππαδοκίας καὶ Φρυγίας ἐκθειάζοντες, καὶ ταύτην Ἱερουσαλὴμ ἡγούμενοι. Ἔστι δὲ καὶ ἄλλη Πέπουζα. Γυναιξί τε ἀποδιδόντες τὸ ἄρχειν καὶ ἱερεύειν. Μυοῦνται δέ τινα παῖδα κατακεντοῦντες (31) νέον. Καὶ δὴ τῇ Κυϊντίλλῃ ἢ καὶ Πρισκίλλῃ, Χριστὸν ἐκεῖσε ἐν Πεπούζῃ ἀποκεκαλύφθαι ἐν ἰδέᾳ ἀληθείας[1] μυθολογοῦσι. Κέχρηνται δὲ ὡσσύτως Παλαιᾷ καὶ Καινῇ Διαθήκῃ, κατὰ τὸν ἴδιον νοῦν μεταποιοῦντες.

Δ'. Τεσσαρεσκαιδεκατῖται (32), οἱ μίαν ἡμέραν τοῦ ἔτους τὸ Πάσχα ἐκτελοῦντες, ἐν ὁποίᾳ δ' ἂν ἡμέρᾳ ἐμπέσοι τῆς σελήνης ἡ τεσσαρεσκαιδεκάτη, ἤτοι ἐν Σαββάτῳ ἢ ἐν Κυριακῇ, ἐκείνην τε νηστεύοντες, καὶ ἅμα ἀγρυπνοῦντες.

Ε'. Ἄλογοι (33) οἱ ἀφ' ἡμῶν κληθέντες, οἱ τὸ Εὐαγγέλιον Ἰωάννου, καὶ τὸν ἐν αὐτῷ ἄνωθεν ἀπὸ Πατρὸς ἀεὶ θεὸν Λόγον παρεκβάλλοντες, τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον μὴ δεχόμενοι, μηδὲ τὴν Ἀποκάλυψιν.

Ϛ'. Ἀδαμιανοί, παρὰ δέ τισιν Ἀδάμ[2] ζῶντος (34) κα-

[1] For. θηλείας: in *Panario*, γυναικός. [2] For. τινὸς Ἀδάμ.

(30) *Ἀρτοτυρῖται.* Pepuziani ideo sunt appellati, ut ait idem Epiphanius, num. 2 hæreseos 49, ἀπὸ τοῦ ἐν τοῖς αὐτῶν μυστηρίοις ἐπιτιθέντας ἄρτον καὶ τυρόν, καὶ οὕτως ποιεῖν τὰ αὐτῶν μυστήρια. Quod nimirum in suorum celebratione mysteriorum panem adhibuerint et caseum.

(31) *Τινὰ παῖδα κατακεντοῦντες* De crudeli et infanda parvuli anniculi vulneratione, qua solemni die festo quodam æneis acubus de toto illius corpusculo sanguinem exprimebant, ut eo admistione farinæ panem coagmentarent Montanistæ aut Pepuziani in usum sacrificii sui, et ad Eucharistiam conficiendam, videndus Epiphanius idem num. 14 hær. 48. Tantum facinus aperte negabant hæretici illi. lisdem vitio dant Cyrillus Hieros. *Catech.* 16, Philastrius et Augustinus de hæresibus agentes. Rem in dubio relinquunt alii et præsertim Hieronymus epistola olim 54 in ordine, nunc vero 27. Horum potius judicio suffragari video de recentioribus Baronium, Tillemontium, Alexandrum, alios.

(32) *Τεσσαρεσκαιδεκατῖται.* Quartodecimani communiter appellati, qui impune in Asiæ Ecclesiis suam principio sequebantur opinionem, rati illam esse profectam ab apostoli Joannis institutione. Nec eam dimisere, licet ab ætate Victoris pontificis summi ingentibus jactaretur disputationum fluctibus. At renuentes deinde Nicæni primi concilii, quod eas diremit disputationes, obtemperare decretis, ab Ecclesiæ universæ avulsi sinu hæreticorum sunt adepti nomen.

(33) *Ἄλογοι* a Theodoto coriario profecti, de quo infra, qui omnium primus palam dicere cœpit Christum merum esse hominem. *Vide* Eusebium *H. E.* lib. v, cap. 28.

(34) *Τινὸς Ἀδὰμ ζῶντος.* Ab Adamo quodam vivente Adamitas fuisse appellatos vult Epiphanius. At Theodoritus *Hæret. fabul.* lib. I eos ait originem retulisse suam ab hæretico Prodico, cujus mentionem habet et Alexandrinus Clemens *Stromat.* lib. I. Si vera Theodoriti opinio, Adamitæ vocati sunt a primo omnium parente, quod nudus ante peccatum incederet; quod nullas iniverit nuptias, quas et ipsi damnabant.

Digitized by Google

λούμενοι, χλεύης ἢ ἀληθείας μᾶλλον τὸ δόγμα ἔχοντες. Γυμνοὶ γὰρ ὡς ἐκ μητρὸς ἄνδρες τε καὶ γυναῖκες ἐπιτοαυτὸ συνάγονται, καὶ οὕτως τὰς ἀναγνώσεις καὶ τὰς εὐχὰς καὶ πᾶν ὁτιοῦν ἐπιτελοῦσι, δῆθεν μονάζοντες καὶ ἐγκρατευόμενοι ὄντες, καὶ γάμον μὴ δεχόμενοι, τὴν αὐτῶν Ἐκκλησίαν παράδεισον ἡγούμενοι.

Ζ'. Σαμψαῖοι καὶ Ἐλκεσαῖοι, ἔτι δεῦρο τὴν Ἀραβίαν κατοικοῦντες, καθύπερθεν τῆς Ἐρυθρᾶς [1] θαλάσσης κειμένην χώραν. Οἵ τινες ἀπὸ Ἐλκεσαίου τινὸς ψευδοπροφήτου ἠπατημένοι· οὗ ἔτι δεῦρο ἐκ τοῦ γένους ὑπῆρχε Μαρθοὺς καὶ Μαρθίνη (35), γυναῖκες δύο προσκυνούμεναι ὑπὸ τῆς αἱρέσεως ὡς θεῖαι, παραπλησίως τοῖς Ἐβιωναίοις πάντα ἔχοντες.

Η'. Θεοδοτιανοί, ἀπὸ τοῦ Θεοδότου τοῦ σκυτέως τοῦ ἀπὸ Βυζαντίου. Οὗτος ἐν παιδείᾳ Ἑλληνικῇ γέγονεν ἄκρος, ἅμα δὲ ἄλλοις ὢν ἐν ἡμέραις τοῦ διωγμοῦ (36), μόνος ἐκπεσών, καὶ ἐκείνων μαρτυρησάντων. Διὰ τὸ ὀνειδίζεσθαι, ἐπενόησε λέγειν ψιλὸν ἄνθρωπον τὸν Χριστὸν, ἵνα μὴ ὑπὸ ἔγκλημα γένηται Θεὸν ἀρνησάμενος (37), οὕτως ἐδίδαξεν.

Θ'. Μελχισεδεκιανοί (38). Οἱ τὸν Μελχισεδὲκ γεραίροντες, τινὰ δύναμιν αὐτὸν φάσκοντες, καὶ μὴ ἄνθρωπον ψιλὸν, καὶ εἰς τὸ τούτου ὄνομα πάντα ἀνάγειν τετολμηκότες.

Ι'. Βαρδησανισταί. Βαρδησανῆς οὗτος ἐκ τῆς Μεσοποταμίας ὡρμᾶτο, τὰ πρῶτα μὲν τῆς ἀληθινῆς πίστεως ὑπάρχων καὶ ἐν σοφίᾳ διαπρέπων. Ἐκκλίνας δὲ τῆς ἀληθείας, παραπλησίως Οὐαλεντίνῳ ἐδογμάτισε χωρὶς ἐνίων ὧν διαφέρεται πρὸς Οὐαλεντῖνον.

ΙΑ'. Νοητιανοί. Νοητὸς οὗτος ἀπὸ Σμύρνης (39) ὑπῆρχε τῆς Ἀσίας. Ἐφ' ἅρματι [2] δὲ ἐνεχθεὶς σὺν ἄλλοις τρισὶν, Υἱοπάτορα (40) τὸν Χριστὸν ἐδίδαξε, τὸν αὐτὸν εἶναι Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα. Ἑαυτὸν δὲ ἔλεγεν εἶναι Μωϋσέα, καὶ ἑαυτοῦ ἀδελφὸν ἔλεγεν εἶναι τὸν Ἀαρών.

ΙΒ'. Οὐαλήσιοι. Οὗτοι, καθὼς ὑπειλήφαμεν, οἱ τὴν Βάκαθον κατοικοῦντες, μητροκωμίαν τῆς Ἀραβίας τῆς Φιλαδελφίας, οἳ τοὺς παρατυγχάνοντας καὶ ἐπιξενομένους παρ' αὐτοῖς εὐνουχίζουσιν· οἱ πλείους δὲ καὶ αὐτῶν εὐνοῦχοί εἰσιν ἀποτετμημένοι. Τινὰ δὲ ἕτερα διδάσκουσιν αἱρέσεων [3], ἐν τῇ Παλαιᾷ ἀφανίζοντες τὸν νόμον καὶ τοὺς προφήτας, καί τινας ἑτέρας αἰσχρουργίας παρεισφέροντες.

A dicti, ridiculum potius quam verisimile dogma profitentur. Nudi quippe quales ex utero matri egressi sunt, viri perinde ac mulieres conveniunt, atque ita lectionibus et orationibus ac cæteris religionis officiis funguntur, et videlicet monachorum ac continentium **1128** instituta sectantur, nuptiasque condemnant; Ecclesiam vero suam paradisum nuncupant.

VII. Sampsæi sive Elcesæi ad hanc diem in Arabia degunt, supra Mortuum mare, Elcesæi cujusdam pseudoprophetæ discipuli. E cujus stirpe Marthus et Marthina feminæ duæ ætate nostra prodierunt, quas dearum instar hæresis ista coluit. Eadem porro cum Ebionæis omnino sentiunt,

B VIII. Theodotiani a Theodoto coriario Byzantino dicti, qui Græcis artibus apprime fuit institutus. Hic cum aliis quibusdam in ea quæ tum sæviebat persecutione comprehensus, cum socii ejus omnes martyrium obiissent, solus fidem ejuravit. Ob idque probris appetitus, id excogitavit, ut Christum nudum esse hominem assereret, ne crimini sibi istud verteretur, quod ejus divinitatem negasset.

IX. Melchisedeciani, Melchisedecum ita venerantur, ut virtutem esse quamdam jactitent, non hominem duntaxat, et ad ejus nomen referre universa non dubitent.

X. Bardesanistæ. Bardesanes iste e Mesopotamia oriundus, sinceram fidem initio complexus est ac sapientia præstitit. Sed a veritate postea C recedens, eadem cum Valentino docuit præter pauca quædam, in quibus ab illo discrepat.

XI. Noetiani. Noetus hic Smyrnensis ex Asia fuit. Qui in altum sublatus cum aliis tribus, Filiopatrem asserere Christum ausus est, eumdemque Patrem ac Filium et Spiritum sanctum esse profiteri. Se esse Moysem, et fratrem suum esse Aaronem dicebat.

XII. Valesii. Hi, quantum suspicor, Bacathi habitant, qui est Arabiæ Philadelphiensis primarius vicus. Iidem accedentes ad sese castrare solent, ac plerique inter illos eunuchi sunt et exsecti. Habent et alia quædam erroris plenissima dogmata : atque inter alia legem ac prophetas rejiciunt, postremo D quasdam ad illa fœditates adjiciunt.

[1] L. 1, νεκρᾶς. [2] For. ἐπάρματι. [3] Cor. ἔμπλεα ex l. 1.

(35) *Μαρθοὺς καὶ Μαρθίνη.* De duabus hisce mulieribus vide quæ habet Epiphanius in *Panario*, num. 1, hær. 53.

(36) *Ἐν ἡμέραις τοῦ διωγμοῦ.* Temporibus nempe Victoris pontificis ad finem vergente secundo Ecclesiæ sæculo.

(37) *Θεὸν ἀρνησάμενος*, quod Deum negasset. Lapsus enim in persecutione, justas exprobrationes ut elevaret submoveretque, dicebat se Christum purum hominem negavisse, non Deum. Videsis Euseb. *H. e.* lib. v, capite 28.

(38) *Μελχισεδεκιανοὶ* a Theodoto instituti, non illo quidem, de quo mox dictum, sed illius discipulo qui professione Trapezita dicebatur; quique præceptoris sui blasphemiæ addidit juxta auctorem Appendicis ad Tertulliani librum *De præscriptionibus*, capite ultimo, Melchisedecum Christo esse præstantiorem. Vide Petavium ad hunc *Panarii* locum.

(39) *Ἀπὸ Σμύρνης.* Smyrnæum facit et Theodoritus. Verum idem Epiphanius in *Panario* Noetum fecerat Ephesium.

(40) *Υἱοπάτορα.* Patrem et Filium simul, hoc est, eumdem esse Patrem qui et Filius est. Petavius vocis illius nec sensum assecutus, nec ad Noeti mentem advertens, eamdem reddidit hisce verbis, *Patri filium asserere Christum ausus est.*

Digitized by Google

XIII. Cathari Novatum Romanum secuti sunt. Illi digamos penitus proscribunt, pœnitentiam non admittunt.

1129 XIV. Angelici. Hi nusquam hodie reperiuntur. Angelici vero ordinis se esse profitebantur, idque nomine ipso præferebant.

XV. Apostolici, qui et Apotactici sive Renuntiatores, in Pisidia inveniuntur. Hi solos illos admittunt, qui se bonis omnibus abdicaverint. Cæterum Encratitarum similes sunt, etsi diversa quædam ab illis statuunt.

XVI. Sabelliani cum Noetianis in omnibus propemodum consentiunt, nisi quod Patrem ipsum negant esse passum.

XVII. Origeniani a quodam Origene derivati. Turpissimi isti sunt, ac nefariam et præposteram libidinem exercent, suaque corpora corrumpunt.

XVIII. Origeniani alii ab Origene Adamantio Scriptore. Hi mortuorum resurrectionem negant. Tam Christum quam Spiritum sanctum creatis in rebus numerant, paradisum ac cœlos, cæteraque omnia ad allegorias referunt, Christi regnum terminandum esse docent.

Hactenus tomi primi libri II hæreses XVIII.

ΙΓ'. Καθαροὶ, οἱ ἅμα Νοβάτῳ συναφθέντες τῷ Ῥωμαίῳ. Καὶ τοὺς διγάμους παντελῶς ἀποβαλλόμενοι, καὶ μετάνοιαν μὴ δεχόμενοι.

ΙΔ'. Ἀγγελικοί. Οὗτοι παντελῶς ἐξέλιπον. Ἀνόμαστο δὲ ἦσαν ἀγγελικὴν τάξιν ἔχειν, ἢ διὰ τὸ Ἀγγέλους προσκεκλῆσθαι.

ΙΕ'. Ἀποστολικοὶ, οἱ καὶ Ἀποτακτικοὶ, καὶ αὐτοὶ περὶ Πισιδίαν, μόνον Ἀποτακτικοὺς δεχόμενοι, καθ' ἑαυτοὺς δὲ εὐχόμενοι, παραπλησιάζουσι δὲ ταῖς Ἐγκρατίταις. Ἄλλας δὲ παρ' αὐτοὺς φρονοῦσιν αἱρέσεις.

ΙϚ'. Σαβελλιανοὶ, οἱ τὰ ὅμοια ἀνοήτως [1] δοξάζοντες, παρὰ τοῦτο μόνον· λέγουσι γὰρ μὴ πεπονθέναι τὸν Πατέρα (41).

ΙΖ'. Ὠριγενιανοί τινες Ὠριγένους (42), αἰσχροποιοὶ δὲ οὗτοί εἰσιν, ἀῤῥητοποιοῦντες, καὶ τὰ ἑαυτῶν σώματα φθορᾷ παραδιδόντες.

